

MEDICORVM GRAECORVM

O P E R A

QVAE EXSTANT.

EDITIONEM CVRAVIT

D. CAROLVS GOTTLOB KÜHN

PROFESSOR PHYSIOLOGIAE ET PATHOLOGIAE IN LITERARVM VNIVERSITATE LIPSIENSI PVBLICVS ORDINARIVS ETC.

VOLVMEN XI.

CONTINENS

CLAVDII GALENI T. XI.

LIPSIAE

PROSTAT IN OFFICINA LIBRARIA CAR. CNOBLOCHII

1826.


WELLCOME
LIBRARY
INSTITUTE

CONTENTA TOMI XI.

ΓΑΛΗΝΟΥ ΤΩΝ ΠΡΟΣ ΓΛΑΥΚΩΝΑ ΘΕΡΑΠΕΥΤΙΚΩΝ ΒΙΒΛΙΟΝ Α.

Ed. Chart. X. [344.] Ed. Baf. IV. (197.)

Κεφ. α'. Ὅτι μὲν οὐ τὴν κοινὴν μόνον ἁπάντων ἀνθρώπων φύσιν, ὦ Γλαύκων, ἐπίστασθαι χρὴ τὸν ἰατρὸν, ἀλλὰ καὶ τὴν ἰδίαν ἑκάστου, πάλαι τε πρὸς Ἱπποκράτους ὀρθῶς εἴρηται καὶ ἡμῖν δὲ ἐπ' αὐτῶν, ὡς οἶσθα, τῶν ἔργων τῆς τέχνης ἱκανῶς ἐσπούδασται. οὐ μὴν γράφειν γε δυνατὸν, ὥσπερ τὴν κοινὴν, οὕτω καὶ τὴν ἰδίαν ἑκάστου, ἀλλ' ὑπεναντίως ἔχει τὰ γράμματα πρὸς τὰς πράξεις, ἄλλοθί τε πολλαχόθι καὶ οὐχ ἥκιστα ἐν τοῖς νῦν ὑπ' ἐμοῦ προκειμένοις. ἠξίωσας μὲν γὰρ ἡμᾶς, ἰαμάτων τινά σοι καθόλου μέθοδον

GALENI AD GLAVCONEM DE MEDENDI METHODO LIBER I.

Cap. I. Non communem solum omnium hominum naturam o Glauco, sed et cujusque propriam nosse medicum oportere et ab Hippocrate olim recte enunciatum est et a nobis in ipsis artis operibus, ut nosti, studiose observatum; Fieri tamen non potest ut propria cujusque perinde atque communis scribatur, sed opposito se habent ordine scripta et opera cum in aliis plerisque, tum maxime in his quae nunc *docere* statuimus. Efflagitasti enim ut tibi universalem me-

ὑποτυπώσασθαι· περαίνεται δὲ αὕτη διά τε ποιότητος καὶ ποσότητος ἑκάστου τῶν βοηθημάτων καὶ τοῦ τρόπου τῆς χρήσεως αὐτῶν καὶ τοῦ πάντων τούτων χαλεπωτάτου διαγνωσθῆναι καιροῦ. περὶ ὃν ὀξὺν ἱκανῶς ὄντα, καθάπερ που καὶ τοῦτό φησιν ὁ πάντων ἡμῖν τῶν καλῶν ἡγεμὼν Ἱπποκράτης, σφαλλομένους πολλάκις ὁρᾷς οὐ τοὺς τυχόντας μόνον, ἀλλὰ δὴ καὶ τοὺς ἀρίστους ἰατρούς. καὶ μὲν δὴ καὶ μέγα τὸ ποσὸν εὐστόχως συναρμοσθὲν εἰς δύναμιν ὁ αὐτὸς ἀνὴρ ἔγραψεν. ὅταν οὖν εἰς μὲν τὸ καλῶς ἰᾶσθαι μέγα συντελεῖν φαίνοιτο ὅ τε καιρὸς καὶ ἡ ποσότης τῶν βοηθημάτων, ἴδια δὲ ταῦτα καθ᾽ ἕκαστον τῶν νοσούντων εὑρήσεις καὶ μηδὲν ἴδιον ἑρμηνεύεσθαι δύναται τῷ λόγῳ, τὸ κοινὸν οὕτως ἀναγκαζόμεθα γράφειν, κἂν τῇ χρείᾳ δεύτερον ᾖ. καὶ γὰρ οὖν καὶ ἐπισκοπούμεθα τινας ἀῤῥώστους πολλάκις, οἷς ἔμπροσθεν ὑγιαίνουσιν οὐκ ἐνετύχομεν· [345] οὔκουν οὐδ᾽ ὅπως εἶχον χροιᾶς, ἢ σχέσεως, ἢ τῆς κατὰ φύσιν θερμασίας, ἢ τῆς τῶν ἀρτηριῶν γινώσκοντες, ἵν᾽ εἰδότες ἱκανοὶ κριταὶ γενοίμεθ᾽ ἂν

dendi methodum delinearemus, haec autem qualitate quantitateque remedii cujusque et utendi modo ac occasione, quae horum omnium cognitu difficillima est, perficitur. Citra quam admodum praecipitem, ut alicubi auctor nobis bonorum omnium Hippocrates docet, plerumque medicos non vulgares modo, sed et certe optimos falli vides. Quin etiam recta assequi conjectura medicamenti quantitatem pro virium ratione corpori accommodandam difficilem esse idem vir scripsit. Quum igitur ad recte medendum magnopere conferre tum occasionem tum quantitatem remediorum constet, sint autem haec singulis aegrotis propria, nihil vero quod proprium sit verbis explicari possit, hac ratione quod commune est scribere cogimur, tametsi id usu sit secundum. Plerumque enim aegrotos quosdam invisimus, quibuscum antea dum sani essent versati non fuimus, proinde quem colorem, quam corporis habitudinem, quem nativum calorem arteriarumque pulsum ante habuerint ignoramus, quae si ante perspecta nobis fuissent, morbi utique magnitudinem

Ed. Chart. X. [345.] Ed. Baf. IV. (197.)

ποτε τῶν νοσημάτων τοῦ μεγέθους. εἰς ὅσον γὰρ ἐξίσταται τῆς φύσεως ἕκαστον, εἰς τοσοῦτον καὶ μεγέθους ἥκει. τὸ δ' ὅσον ἐξίσταται, γνῶναι δυνατὸν μόνῳ τῷ τὸ κατὰ φύσιν ἀκριβῶς ἐπισταμένῳ. τοῦτ' οὖν ἀγνοοῦντες ἐπ' αὐτῶν, ἵνα μὴ παντάπασιν ἀπορῶμεν, ἐπὶ τὸ κοινὸν ἀφικνούμεθα. πλέον δέ τι κἂν τούτῳ τῶν ἀτέχνων ὁ τεχνίτης ἔχει. καὶ τί τὸ πλέον; Ἱπποκράτης μὲν καὶ τοῦτο πρῶτος ἁπάντων ὧν ἴσμεν γέγραφεν. ὑπεμνήσαντο δὲ ἐπὶ πλέον τῶν μετ' αὐτὸν ὅσοι τῶν ἐκείνου συνῆκαν γραμμάτων, ὧν εἷς ἦν καὶ Μνησίθεος ὁ Ἀθηναῖος, ἀνὴρ τά τε ἄλλα ἱκανὸς πάντα τὰ τῆς τέχνης καὶ εἰς ὅσον χρὴ μεθόδῳ τὴν ἰατρικὴν τέχνην ἀσκεῖν, οὐδενὸς ἐπιγνῶναι δεύτερος. οὗτος ὁ Μνησίθεος ἀπὸ τῶν πρώτων καὶ ἀνωτάτω γενῶν ἀρξάμενος ἀξιοῖ τέμνειν αὐτὰ κατ' εἴδη τε καὶ γένη καὶ διαφοράς. εἶτ' αὖθις τὰ τεμνόμενα τέμνειν ὁμοίως κἀκεῖνα πάλιν ὡσαύτως, ἔστ' ἂν ἐπί τι τοιοῦτον εἶδος ἀφικώμεθα μεθ' ὃ τέμνοντες, ἄχρις οὗ τὸ τεμνόμενον, εἰς ἓν τῷ ἀριθμῷ καὶ ἄτομον ἤδη τελευτήσομεν. ταῦτ' ἀρκεῖ μοι πρός γέ σε διὰ βραχέων ἃ βούλομαι δεδηλῶσθαι. καὶ

probe judicare potuissemus. Cujusque enim morbi magnitudo tanta est quantum a naturali statu recedit. Quantum vero recedat solus is novit, qui naturalem habitum ad amussim tenuerit. Quod quum in illis ipsis ignoremus, ne omnino haesitemus, ad id quod commune est confugimus. Nam in hoc artis peritus imperito plus nonnihil potest. Quid vero plus? Hippocrates quidem omnium quos novimus id primus literis mandavit. Qui autem post hunc fuerunt, ejusque scripta intellectu consequuti sunt, fusius sunt interpretati, inter quos fuit Mnesitheus Atheniensis, vir cum in omnibus aliis quae ad artem pertinent non mediocriter eruditus tum in exercenda arte quantum via ac ratione licet nulli peritia secundus. Hic Mnesitheus a primis summisque generibus auspicatus, ea in alia item genera, species et differentias secanda esse censuit. Haec denuo in alia similiter, quae rursus eodem modo distribuerentur, dum ad aliquam talem descenderemus speciem, quae divisa in unum numero ac individuum desineret. Mihi vero satis est tibi sententiam mean

Ed. Chart. X. [345.] Ed. Bas. IV. (197.)

γὰρ ἂν εἴην γελοῖος, εἴ σε διδάσκοιμι τὰ σὰ ὥσπερ οὐχὶ παρὰ Πλάτωνος αὐτὰ πάλαι μεμαθηκότα. οὐδὲ γὰρ ὥστε διδάξαι σέ τι πως περὶ τῆς κατὰ τὴν τοιαύτην διαίρεσιν μεθόδου τὴν ὑπόμνησιν ἐποιησάμην, ἀλλ' ὅτι μοι πρὸς τὸν ἐφεξῆς λόγον ἅπαντα χρήσιμον αὐτὴν ἔσεσθαι νομίζω· καὶ τὴν αἰτίαν, ὧν ἑκάστοτε σφαλλομένους ὁρᾷς τοὺς πλείστους τῶν ἰατρῶν, ἀξιοῦντί σοι μαθεῖν οὐκ ἐνῆν ἄλλως ἐνδείξασθαι. καὶ γὰρ καὶ τὰ κατὰ τὰς ἄλλας αἱρέσεις σφάλματα καὶ ὅσα νῦν ἐπὶ τῶν νοσούντων οἱ πολλοὶ τῶν ἰατρῶν ἁμαρτάνουσι, πρώτην καὶ μεγίστην αἰτίαν ἔχει τὸ μοχθηρὸν τῆς διαιρέσεως. οἱ μὲν γὰρ ἐπὶ τῶν πρώτων καὶ ἀνωτάτω γενῶν μένουσιν, ἀρκούμενοι ταῖς ἀπὸ τούτων ἐνδείξεσιν· οἱ δὲ μέχρι μέν τινος ἔτεμον, οὐ μὴν πρός γε τὸ τέλος ἐξίκοντο· πολλοὶ δὲ καὶ μοχθηραῖς ἐχρήσαντο διαιρέσεσιν. ὅστις δὲ καὶ τὰ κατὰ φύσιν ἅπαντα καὶ τὰ παρὰ φύσιν εἰς τὴν τοιαύτην ἀνάγων μέθοδον, ἐξ ἁπάντων τούτων τῶν κατὰ τὴν διαίρεσιν ἀνενδεῆ λαμβάνοι τὴν ἔνδειξιν, μόνος ἂν οὗτος εἰς ἀνθρωπίνην δύναμιν ἀναμάρτητος εἴη περὶ τὰς ἰάσεις· καὶ τούς τε γινωσκο-

brevibus explicuisse. Nam ridiculus forem si te tua docerem, tanquam ea pridem ex Platone non didiceris. De hac re igitur meminimus, non ut te dividendi rationem doceremus, sed quod ad ea quae post dicentur omnia non inutilem fore speraremus, quodque aliter tibi causas, ob quas medicorum plurimos passim errare contingit, efflagitanti non alia via melius indicare possemus. Etenim quicquid tum in aliis sectis, tum a multis medicis in morborum curationibus delinquitur, primam id maximamque causam habet vitiosam divisionem. Quidam enim in primis summisque generibus statim consistunt, solis indicationibus quae ab illis desumuntur contenti, quidam quadantenus dividendo processerunt, sed ad divisionis metam non pervenerunt, multi autem perperam diviserunt. At quisquis omnia et quae secundum et praeter naturam sunt ad hanc viam ac rationem revocarit et ex omnibus iis quae per divisionem inventa sunt integras sumpserit indicationes, solus is quantum per humanas vires

μένους ἄμεινον τῶν ἄλλων ἰῷτο καὶ τοὺς ἀγνοουμένους εἰς ὅσον οἷόν τε καὶ τούτους ἐγγυτάτω τῶν γινωσκομένων. εἰ γὰρ διορίσαιτό τις πρῶτον μὲν τὴν κατὰ τὰς ἡλικίας διαφορὰν, ἐφεξῆς δὲ τὴν κατὰ τὰς κράσεις καὶ τὰς δυνάμεις καὶ τἄλλα τὰ τοῖς ἀνθρώποις ὑπάρχοντα, χροιὰς λέγω καὶ θερμασίας καὶ σχέσεις καὶ σφυγμῶν κινήσεις καὶ ἔθη καὶ ἐπιτηδεύματα καὶ τὰ τῆς ψυχῆς ἤθη, προσθείη δὲ τούτοις καὶ τὴν ὡς ἄῤῥενος πρὸς θῆλυ διαφορὰν, ὅσα τε κατὰ τὰς χώρας καὶ τὰς ὥρας τοῦ ἔτους καὶ τὰς ἄλλας τοῦ περιέχοντος ἡμᾶς ἀέρος καταστάσεις, ὡς χρὴ διορίσασθαι, πλησίον ἂν ἥκοι τῆς ἰδίας τοῦ κάμνοντος φύσεως. ἀλλὰ πάντων τούτων τὰ μὲν ἐν τοῖς περὶ σφυγμῶν, τὰ δὲ ἐν τοῖς περὶ κράσεων διώρισται· ὥσπερ γε καὶ τῶν παρὰ φύσιν ἁπάντων ὅσαι κατ᾽ εἴδη τε καὶ γένη διαφοραὶ τυγχάνουσιν οὖσαι, πάσας ἐν τῷ περὶ παθῶν διοριζόμεθα λόγῳ. νυνὶ δὲ ὁ μὲν λόγος ἡμῖν ἅπας ἔσται περὶ τῶν τοιούτων ἀῤῥώστων ὧν τὴν φύσιν ἀκριβῶς ἐπιστάμεθα πρὸ τῆς νόσου· συνεπινοηθήσονται δὲ αὐτοῖς καὶ οἱ λοιποὶ πάντες ὧν

licet medendo non erraverit, notos quidem aliis melius, ignotos vero quam fieri poterit maxime fecundum illos curaverit. Si quis enim probe diftinxerit primum aetatum, deinde temperamentorum differentias et vires multaque id genus quae hominibus infunt, cujusmodi eft color, calor, corporis habitus, arteriarum motus, confuetudo, ftudia et animi mores, quibus addiderit maris et foeminae difcrimen, et quae ad regiones anni tempora et alias ambientis nos aëris conftitutiones, ad propriam aegrotantis naturam prope accedet. Verum alia quidem horum omnium in libris de pulfibus, alia vero in libris de temperamentis difputata funt, quemadmodum et quae praeter naturam funt univerfa, ut inter fe formis ac generibus differant, in libris de affectibus a nobis definita funt. Nunc vero omnis noftra difputatio de iis aegrotis erit, quos exacte antequam morbum contraherent noveramus, cum quibus tamen et reliquos omnes, quorum nobis non erat perfpecta natura, intelligemus. Siquidem difficile non

ἠγνοοῦμεν. οὐδὲν γὰρ ἦν χαλεπὸν ἀπὸ τοῦ [346] τελέως διωρισμένου καὶ τὸ μὴ τοιοῦτον ἐξευρίσκειν.

Κεφ. β'. Ἀρξώμεθα οὖν ἀπὸ τῶν πυρετῶν, ἐπειδὴ καὶ σὺ τῆς τούτων ἰάσεως μάλιστα ἠξίου σοι τὴν μέθοδον λεχθῆναι, καὶ πρῶτον εἴπωμεν περὶ τῶν ἁπλουστάτων, οὓς Ἱπποκράτης ἐφημέρους καλεῖ. οὗτοι δέ εἰσιν οἵ τε διὰ κόπους γινόμενοι καὶ μέθας καὶ ὀργὰς καὶ λύπας καὶ θυμοὺς καὶ τὰς ἄλλας φροντίδας τῆς ψυχῆς τὰς συντόνους. καὶ οἱ ἐπὶ βουβῶσι δὲ πυρετοὶ τούτου τοῦ γένους εἰσὶ, πλὴν εἰ μὴ χωρὶς ἕλκους φανεροῦ γένοιντο. τηνικαῦτα γὰρ ὕποπτοί τέ εἰσι καὶ οὐδαμῶς ἐπιεικεῖς. καὶ ἀγρυπνία δὲ πολλάκις ἤνεγκεν ἁπλοῦν πυρετὸν, ὥσπερ οὖν καὶ ψύξις ποτὲ καὶ ἔγκαυσις. οὗτοι πάντες οἱ πυρετοὶ ῥᾷστα λυθῆναι δύνανται· χρὴ γὰρ ἐπί τε λουτρὰ ταχέως ἄγειν αὐτοὺς καὶ τὴν ἄλλην τὴν συνήθη δίαιταν. ὡς ὅσοι γε τὴν πολυθρύλλητον διάτριτον ἐπὶ πάντων τῶν τοιούτων ἐκδέχονται, δριμυτέρους πολλάκις εἰργάσαντο τοὺς πυρετοὺς, καί τι καὶ ἄλλο προσεξαμαρτάνοντες, ὥσπερ οὖν ὁρᾷς τοὺς πολλοὺς αὐτῶν καθ' ἑκάστην εἴσοδον

fuerit ex eo quod perfecte diſtinctum eſt id etiam quod tale non ſit invenire.

Cap. II. Igitur a febribus, quoniam harum curandarum methodum habere cupiebas, auſpicemur, primumque de ſimpliciſſimis, quas Hippocrates ephemeras vocat, diſſeramus. Hae autem ex laſſitudine naſcuntur, temulentia, ira, moerore, excandeſcentia furoreve, aliisque vehementibus animi curis. In hoc genere continentur et quae a bubone originem ducunt, exceptis iis quae ſine manifeſto fiunt ulcere. Hae namque ſuſpicione non vacant, minimeque mites ſunt. Sed et pervigilium ſimplicem ſebrem ſaepe attulit, quemadmodum et algor, nonnunquam et ardor. Omnes hae febres ſolvi facillime poſſunt, ſiquidem ad balneas aliamque uſitatam vivendi rationem aegrotum ſtatim ducere oportet. Itaque qui multorum ſermone celebratam illam diatriton, *id eſt triduanam inediam*, in omnibus iis admittunt, febres reddunt ſaepe acriores, tametſi etiam alioqui delinquunt. Quemadmodum ex ipſis videre eſt non paucos, qui quoties aegrotos inviſunt

ἁμαρτάνοντας, ὡς καὶ χειροποίητα ὄντως ἐργάσασθαι νοσήματα. τὰ μὲν δὴ τῆς θεραπείας τοῖς (198) τοιούτοις πυρετοῖς πρόχειρα, τὰ δὲ τῆς διαγνώσεως ἀκριβείας πλείονος δεῖται καὶ οὐδεὶς πρό γε ἡμῶν ἔγραψεν αὐτὰ εἰς ὅσον ἐχρῆν. ὥστ᾽ οὐδὲν θαυμαστὸν εἰς τοσοῦτον ἁμαρτάνειν τοὺς πολλοὺς ἐν ταῖς ἰάσεσιν, εἰς ὅσον κἂν ταῖς διαγνώσεσι σφάλλονται. πολλάκις γὰρ ἤρξαντό τινες νοσημάτων χαλεπῶν κατά τινα συντυχίαν, οἷον οἰνωθέντες, ἢ ἐγκαυθέντες, ἢ ψυχθέντες, ἢ κοπωθέντες, ἢ ἀγρυπνήσαντες, ἢ θυμωθέντες, ἢ ὁπωσοῦν ἄλλως αἰτίᾳ τινὶ συσχεθέντες τῶν καθ᾽ αὑτὰ βλάπτειν πεφυκότων· εἶτα οἰηθέντες τὸ πᾶν διὰ τὸ προηγησάμενον αἴτιον, οὐ δι᾽ ἄλλην τινὰ γεγονέναι διάθεσιν, ἀφυλακτότερον διαιτηθέντες ἔλαττον ἑαυτοὺς εἰς ἀνίατον ἢ καὶ δεινῶς δυσίατον ἐμβάλλοντες νόσημα. ταῦτ᾽ οὖν χρὴ περὶ παντὸς πρόνοιαν πεποιῆσθαι, καθότι καὶ Ἱπποκράτης παραινεῖ προγινώσκειν οὐ τὰ μέλλοντα μόνον, ἀλλὰ καὶ τὰ προγεγονότα καὶ τὰ παρόντα. καὶ γὰρ οὖν καὶ τὸ νῦν προκείμενον ἐκείνου τοῦ μέρους τῆς τέχνης ἐστὶ, καὶ ἡμεῖς αὐτὸ καθόσον οἷόν τε

ita aberrant, ut certe manu factos morbos inducant. Harum igitur febrium prompta eſt curatio, ſed diligentiam exigit majorem dignotio, de qua ante nos nemo quantum res poſcebat conſcripſit. Itaque mirum non eſt multos tantum curando hallucinari, quantum a dignotione aberrant. Nonnulli enim caſu quodam in graves ſaepe morbos inciderunt, velut temulenti vel ſole exuſti vel refrigerati vel labore fatigati vel vigilias paſſi vel furore concitati, aut alia quavis cauſa quae per ſe laedere idonea ſit affecti, deinde omnia ob cauſam quae anteceſſit accidere, neque aliam ſubeſſe affectionem arbitrati, negligentius victus rationem inſtituentes non intellexerunt ſeſe in incurabilem aut aegre quidem ſanabilem morbum ruere. Ob id igitur adhibenda omnino diligentia eſt, quemadmodum Hippocrates admonet, ut non ſolum futura praenoſcamus, ſed et praeterita et praeſentia cognoſcamus. Etenim quod nunc proponimus ad eam artis partem attinet, quod et nos quam dilucide poterimus ex-

Ed. Chart. X. [346.] Ed. Baf. IV. (198.)

σαφῶς γράψομεν. οὐ σμικρὰ γὰρ ἡ διαφορὰ λούειν ἤδη τὸν κάμνοντα καὶ θαῤῥεῖν κελεύειν, ἢ διὰ πάσης φυλακῆς τε καὶ ἀσφαλείας ἄγειν. εἰσελθόντας οὖν χρὴ πρὸς τὸν ἀσθενοῦντα πρῶτον μὲν ἀπὸ τῶν μεγίστων σκοπεῖσθαι τὰ κατ' αὐτόν· ἔπειτα δὲ καὶ ἀπὸ τῶν ἄλλων μηδὲν ὡς οἷόν τε μηδὲ τῶν ἐλαχίστων παραλείποντας. τὸ γὰρ μᾶλλον ἢ ἧττον τῇ παρὰ τῶν μεγίστων ἐνδείξει πιστεύειν ἐκ τῆς τῶν ἄλλων προσθήκης γίνεται. μέγιστα μὲν δὴ τοῖς πυρέσσουσιν ἅπασιν ἔν τε τοῖς σφυγμοῖς ἐστι καὶ τοῖς οὔροις γνωρίσματα· προστιθέναι δὲ χρὴ τούτοις καὶ τἄλλα σύμπαντα, τά τε περὶ τὸ πρόσωπον παρ' Ἱπποκράτους εἰρημένα καὶ τὰ τῶν κατακλίσεών τε καὶ τὰ τῆς ἀναπνοῆς καὶ ὅσα κάτω τε καὶ ἄνω κενοῦται· καὶ μὲν δὴ καὶ εἴ τι σύμπτωμα περὶ ὁτιοῦν μόριον τοῦ σώματος ἢ ἐνέργειαν αὐτοῦ συνιστάμενον βλέποις, οἷα δὴ μυρία ἐπὶ μυρίοις ἐκεῖνος ἔγραψε, μηδὲ τούτων ῥᾳθύμως μηδὲν παρέρχεσθαι. ταῦτα μὲν δὴ ἐπὶ πάντων κοινὰ τῶν πυρετῶν. ὥστε καὶ τοῖς ἁπλουστάτοις, ὑπὲρ ὧν ὁ ἐνεστηκὼς λόγος, οὐδὲν οὐδὲ τούτων χρὴ παραλιπεῖν. ἀλλ' ἐπειδὰν σοι

plicabimus. Neque parvi refert an aegrotum jam lavare confidereque, an fibi cavere ac fe tueri jufferis. Accedentes igitur ad aegrotum in primis quae in ipfo funt praecipua, deinde vero alia contemplari oportet, ne minimum quiddam, fi fieri omnino poffit, omittentes. Siquidem ut indicationi quae a maximis fumitur magis aut minus credamus, ex aliorum acceffione efficitur. Maxima vero figna in febricitantibus omnibus ex pulfibus et urinis petuntur, quibus alia omnia quae in facie effe docet Hippocrates et quae ab accubatione et refpiratione, quaeque ab excrementis tum fuperiorum tum inferiorum partium fumuntur, atque etiam fi quod appareat fymptoma in quacunque corporis parte aut ejus actione, qualia ille fexcenta in fexcentis locis fcripfit, addenda funt, neque ex his ullum ofcitanter praetereundum eft. Haec quidem febrium omnium communia funt. Itaque in his etiam fimpliciffimis, de quibus praefens eft difputatio, nullum horum relinquendum eft. Perfpectis au

[547] τά τε τῶν σφυγμῶν καὶ τὰ τῶν οὔρων ἐνδείξηται τὸ ἦθος τοῦ πυρετοῦ· τῶν μὲν σφυγμῶν μήτε τὸ τῆς φλεγμονῆς σημεῖον ἐχόντων μήθ' ὅλως τὸ κατὰ μίαν προσβολὴν τῆς ἀρτηρίας ἀνώμαλον· εἰ δὲ καὶ ἔχοιεν, τοῦτο μὲν παντάπασιν ἀμυδρὸν ἐχόντων, τῶν οὔρων δὲ ἢ πάντη τοῖς κατὰ φύσιν ἐοικότων ἢ μὴ πολὺ τῆς φύσεως ἐξισταμένων, τόθ' ἥκειν χρὴ καὶ ἐπὶ τἄλλα σύμπαντα τὰ πρόσθεν εἰρημένα. κἀπειδὰν ὥσπερ χορὸς συμφώνως ἅπαντα φθέγγωνται, θαῤῥεῖν τε ἤδη χρὴ καὶ, εἰ βούλοιο, προσανερέσθαι, μή τι προηγήσατο φανερὸν αἴτιον· εἰ γάρ τι καὶ τοιοῦτον ὁμολογήσει ὁ νοσῶν, ἀναμείνας τὴν πρώτην λύσιν τοῦ πυρετοῦ, λούειν αὐτίκα, πιστοτέρας σοι τῆς διαγνώσεως καὶ κατ' αὐτὸ τὸ τῆς λύσεως εἶδος γινομένης· ἥ τε γὰρ τῶν ἀρτηριῶν κίνησις ἐν τῷδε κατὰ πᾶν ἐξομοιοῦται τῇ τῶν ὑγιαινόντων, οὐδενὸς τῶν ἄλλων πυρετῶν εἰς τὸ κατὰ φύσιν ἐπανιόντος, οὐδ' εἰ πάμπολυς ὁ μεταξὺ χρόνος τῆς τε προτέρας τελευτῆς καὶ τῆς δευτέρας ἀρχῆς εἴη, καθάπερ ἐν τριταίοις τε καὶ τεταρταίοις, ἐν ἐκείνοις μὲν γὰρ ἀεὶ παραμένει τὸ τοῦ πυρετοῦ σημεῖον, ἐν δὲ τοῖς

tem tum ex pulfibus tum urinis febris moribus, pulfibus quidem nullam inflammationis notam, nullamque omnino in uno arteriae percuffu inaequalitatem habentibus, aut fi habeant, prorfus obfcuram, urinis vero vel eas quae fecundum naturam habent omnino imitantibus vel a naturali ftatu parum deflectentibus, ad alia quae ante commemoravimus omnia veniendum eft. Quumque omnia velut concentu quodam confonent, jam fidendum eft quaerendumque, fi lubet, ab aegroto, num qua caufa evidens praeceflerit, quod fi fateatur aeger, expectata prima febris folutione protinus lavandus eft, quum fidelior tibi dignotio fiat ex ipfa folutionis forma. Nam tunc arteriarum motus huic omnino, qui in fanis eft, affimilatur. Quum is in nulla alia febre ad naturalem ftatum redeat, etiamfi temporis fpatium inter prioris acceffionis finem et fequentis initium longum fit, velut in tertianis et quartanis, in quibus femper febris veftigium relinquitur. In diariis vero ceffante acceffione omnia fimul

ἐφημέροις συνεξαλείφεται πᾶν τοῦ παροξυσμοῦ παυομένου· τοῖς πλείστοις δὲ αὐτῶν καὶ νοτίδες· ἔστι δ᾽ οἷς καὶ ἱδρῶτες ἐπιφαίνονται χρηστοί. ἢ πάντως γε οἷον ἀτμός τις πολὺς ἐκ τοῦ βάθους ἀναφέρεται. ἀλλὰ καὶ τὰ οὖρα πολὺ βελτίω νῦν ἢ κατὰ τὴν ἀρχὴν τοῦ πυρετοῦ φανεῖταί σοι. καὶ εἰ κεφαλῆς ἢ τινος ἄλλου μέρους ἄλγημα συνεισέβαλεν, οὐδὲ τοῦτ᾽ ἂν ἔτι μένοι. καὶ ἡ τοῦ κάμνοντος εὐφορία μέγιστόν τι καὶ αὐτὴ σημεῖον οὖσα, καθάπερ τις σφραγὶς ἐπὶ πᾶσι τοῖς ἄλλοις ἐνδείξεταί σοι τὴν ἐπιείκειαν τοῦ πυρετοῦ. καὶ εἰ λουομένοις δὲ αὐτοῖς μήτε φρίκη ἀήθης διοχλοίη μήτ᾽ ἄλλη τις ἀηδία, καὶ εἰ μετὰ τὸ λουτρὸν ἐφεξῆς ἐν εὐφορίᾳ μένοι, θαῤῥῶν ἤδη τρέφοις ἂν αὐτοὺς καὶ οἶνον παρέχοις ἀδεῶς πίνειν ὅσον τοῖς παροῦσι μέτριον. ἡμεῖς δὲ, ὡς οἶσθα, πειρώμεθα λέγειν αὐτοῖς τὸ προηγησάμενον αἴτιον, οὐ περιμείναντες ἐρέσθαι τὸν κάμνοντα, καὶ ἔστι μέγιστον σημεῖον εἰς τὸ μηδὲν σφάλλεσθαι τὸ τοιαύτην τινὰ πεπορίσθαι δύναμιν. εἰ μέντοι μενόντων ἔτι τῶν τῆς ψυχῆς παθῶν ἡ ἐπίσκεψις γίγνοιτο, διὰ τῶν σφυγμῶν μάλιστα πειρᾶσθαι διαγινώσκειν, ὡς ἐν τοῖς περὶ

ſigna abolentur, harum tamen plurimae in madores ſolvuntur, nonnullae in ſuaves ac lenes ſudores, aut omnino velut vapor aliquis copioſus ex imo corpore exhalat. Sed et urinae eo tempore longe quam per initia meliores tibi apparebunt. Neque vero ſi quis cum febre caput aut partem aliam dolor occuparit, is amplius manet. Si vero et aeger facile morbum ferat, certiſſimum eſt indicium, quod velut impreſſum quoddam ſigillum omnium maxime febris manſuetudinem exprimet. Quod ſi, dum lavantur, inſolitum frigoris horrorem aliamque moleſtiam non ſentiant, ac deinde poſt lavationem facile tolerent et bene ferant, cibus offerendus vinumque potui dandum eſt ſine formidine, quantum res praeſens eſflagitat. Nos vero, ut noſti, ab aegroto ſciſcitari non ſuſtinentes cauſam quae praeceſſerit dicere conamur, quod maximum eſt argumentum eum non errare, qui talem ſit adeptus facultatem. Si vero manentibus adhuc animi motibus aegrotum contempleris, maxime ex pulſibus,

σφυγμῶν γέγραπται· μετὰ τούτους δὲ καὶ τὴν ἀπὸ τῶν ἄλλων ἀπάγειν διάγνωσιν. εἰ δ' αἰτὰ μὲν εἴη πεπαυμένα, μένοι δὲ ἡ διάθεσις, ἀμυδρὸν μέν τι καὶ κατὰ τοὺς σφυγμοὺς εὑρήσεις γνώρισμα τῶν ποιησάντων τὸν πυρετὸν παθῶν, ἀποχρήσει δέ σοι καὶ χωρὶς τῶν σφυγμῶν τὰ λοιπά· κοινῶς μὲν γὰρ ἅπασι τὰ οὖρα πυῤῥά. πρόσεστι δὲ τοῖς μὲν διὰ λύπην δριμύτης μᾶλλον ἢ πλῆθος θερμασίας· ὡς τοῖς γε διὰ θυμὸν ἔμπαλιν. ἀλλὰ καὶ ἡ ἰσχνότης τοῦ σώματος ἐπιδηλοτέρα τοῖς λυπηθεῖσιν ἢ φροντίσασι· καὶ ἡ τῶν ὀφθαλμῶν κοιλότης καί τις ἀήθης ἄχροια, ταῦτα μὲν δὴ καὶ τῶν ἄλλως ὁπωσοῦν φροντισάντων κοινά. μάλιστα δὲ τοῖς ὀφθαλμοῖς διορίζειν χρή· ἔνεστι γὰρ ἐκ τούτων τεκμαίρεσθαι κἀν τοῖς ὑγιαίνουσι μὲν τὸ τῆς ψυχῆς ἦθος. καὶ νοσούντων δὲ σαφέστερα τὰ σημεῖα τῷ γε δυναμένῳ συνορᾷν ἀκριβῶς. οὕτω μὲν οὖν τοὺς διὰ μαθήματα καὶ θεωρίαν τινὰ φροντίσαντας τῶν λυπηθέντων διακρίνειν προσήκει. τοὺς δὲ ἐπ' ἀγρυπνίαις διορίζει μὲν καὶ τὸ τῆς ἀχροίας εἶδος, ὕποιδον γάρ ἐστιν αὐτοῖς τὸ

ut in libris de pulfibus declaratum eft, deinde ex aliis dignotio petenda eft. Quod fi hi fedati fuerint, affectum vero reliquerint, ex pulfibus quidem perturbationum quae febrem attulerunt indicium obfcurum habebis, fed reliqua fine pulfibus tibi fufficient, in omnibus enim ut plurimum urinae rufae apparent. His vero qui ex moerore laborant acrimonia potius quam caloris abundantia ineft, quemadmodum contra iis qui ex iracundia. Sed et corporis macies in his quos moeror quam quos cura confecit manifeftior confpicitur, oculorumque cavitas et infueta quaedam decoloratio, quae quidem et aliorum qui quomodocunque cogitationem exercuerint communia funt. Verum ex oculis maxime difcernere licet, ex quibus et in fanis quoque animi mores conjicere poffis. At in aegrotis perfpicua magis tibi figna erunt, fi accurate confpicere queas. Sic illi quidem ab affectis moerore diftinguendi funt, qui in difciplinis et fpeculationibus mentem exercuerunt. Eos vero, qui ex pervigiliis febricitant, tum decolorationis differentia ab aliis

πρόσωπον, καὶ ἡ τῶν ὀφθαλμῶν δὲ κίνησις δήλη. μόλις γὰρ ἐπαίρουσι τὰ βλέφαρα· καὶ ἡ ὑγρότης δὲ ἐν τοῖς βλεφάροις· ξηρὰ γὰρ γίνονται τοῖς λυπηθεῖσιν ἢ φροντίσασιν. ἡ κοιλότης δὲ κοινὸν απάντων σύμπτωμα, λύπης, [348] ἀγρυπνίας, φροντίδος, οὐ μὴν ἤδη γε καὶ θυμοῦ, τούτων γὰρ οὔτε τὰ κοιλότητος τῶν ὀφθαλμῶν οὔτε τὰ τῆς ἀχροίας ἐπίδηλα. καὶ ἡ θερμασία πλείων τε καὶ ὠκέως ἐκ τοῦ βάθους ἀναφερομένη καὶ τὸ μέγεθος τῶν σφυγμῶν οὐ καθαιρεῖται, καθάπερ ἐπ' ἀγρυπνίας τε καὶ λύπης καὶ φροντίδος. ὥστε θυμοῦ μὲν καὶ πάνυ σαφῶς αὐτὰ διορίζεις· ἀλλήλων δ' ἐκεῖνα, καθότι προείρηται. τῶν δ' ἐπὶ κόποις πυρεττόντων τὸ δέρμα ξηρότερον ἤπερ ἄλλῳ τινὶ τῶν ἐφημέρων πυρετῶν. ἀλλὰ τοῦτο μὲν ἅπασι τοῖς ἐπὶ κόπῳ πυρέξασι κοινὸν ἔν γε τῷ μέχρι τῆς ἀκμῆς τοῦ παροξυσμοῦ χρόνῳ. τὸ δ' ἀπὸ τοῦδε τοῖς πλείστοις μὲν, ὅσοι γε μὴ ὑπερεπόνησαν, ἰκμάδες τινὲς ἢ ἀτμὸς θερμὸς ἐκ τοῦ βάθους ἀναφέρεται. τισὶ δὲ κἀν τοῖς μετὰ τὴν ἀκμὴν χρόνοις ἡ ξηρότης παραμένει· γίνεται δὲ τοῦτο μάλιστα τοῖς ὑπερπονήσασιν, ἢ ψυχθεῖσιν, ἢ ἐγκαυθεῖσιν ἅμα τῷ κόπῳ.

discriminat, ipsis enim subtumida facies est, tum manifestus oculorum motus. Vix enim palpebras attollunt, palpebrisque inest humiditas, nam moerore et cura affectis inarescunt. Caeterum cavitas commune omnium symptoma est, nempe tristitiae, vigiliarum et cogitationis *et studii*, non tamen iracundiae in qua nec oculorum cavitas nec decoloratio manifesta conspicitur. Calor quoque uberior est, ex altoque corpore celeriter erumpit, nec pulsus magnitudo perit, quemadmodum in vigiliis, moestitia et cogitationibus. Ab iracundia itaque evidentissime haec distinguuntur, illa vero inter se quemadmodum ante diximus. Quibus autem lassitudo febrem intulit, aridior quam in alia quacunque diaria cutis redditur. Quod omnium quidem ex lassitudine febricitantium ad accessionis usque vigorem est commune, a quo tempore plurimis qui quidem immoderate non laborarint, humor aut vapor calidus ex intimo corpore erumpit. Quibusdam vero post vigorem siccitas perseverat, praecipueque labore vexatis supra modum aut refrigeratis aut exustis una

καὶ μὲν δὴ καὶ τὰ τῶν σφυγμῶν οὐχ ὡσαύτως ἐν ἀμφοτέροις ἔχει. μικροὶ μὲν γὰρ τοῖς ὑπερπονήσασι, μεγάλοι δ᾽ εἰσὶ τοῖς ἄλλοις. οἱ δ᾽ ἐπὶ πυκνώσει τοῦ δέρματος γινόμενοι πυρετοὶ, πυκνοῦται δὲ τοῦτο ἢ ψυχόμενον ἢ ποιότητος αὐτῷ στρυφνῆς ἀθρόως προσπεσούσης, οἷόν τι καὶ τῷ λουσαμένῳ ἐν ὕδατι τῷ στυπτηριώδει ἐγένετο· οὗτοι μόνοι πάντων τῶν πυρετῶν στεγνόν εἰσι πάθος. ἔνεστι δὲ αὐτοὺς τῇ ἁφῇ διαγινώσκειν, ὥσπερ καὶ τοὺς αὐχμώδεις τῶν πυρετῶν καὶ (199) τοὺς ἐπὶ τοῖς κόποις καὶ τοὺς ἐπ᾽ ἐγκαύσεσιν. οὐδὲ γὰρ ἂν ἡ τούτων πύκνωσις ἁφὴν γεγυμνασμένην διαλάθοι. ἀτὰρ οὖν καὶ ἡ τῆς θερμασίας κίνησις ἐπαναδιδοῦσά πώς ἐστι, πρᾳεῖα μὲν κατὰ τὴν πρώτην ἐπιβολὴν τῆς χειρὸς φαινομένη, δριμεῖα δὲ εἰ χρονίσειας ἐπὶ πλεῖον γιγνομένη· οὐ μὴν οὐδὲ τὰ οὖρα πυῤῥὰ τοῖς τοιούτοις, οὐδὲ ὁ τοῦ σώματος ὄγκος συμπέπτωκεν· οὔκουν οὐδὲ οἱ ὀφθαλμοὶ κοῖλοι καὶ ξηροὶ γίνονται, ἀλλ᾽ ἔστιν οἷς ὑγρότεροί τε καὶ προπετέστεροι δόξουσιν εἶναι τῶν κατὰ φύσιν. οὐδ᾽ οἱ σφυγμοὶ μικρότεροι, καθάπερ ἐπὶ λύπης ἢ φροντίδος ἢ ἀγρυπνίας καὶ τοῖς ἄγαν ἀμέτροις γυμνασίοις χρωμένοις. τοῖς δὲ ἐπὶ βουβῶσι πυρετοῖς ἐφημέροις οἱ σφυγ-

cum defatigatione. Nec etiam modo eodem habent pulfus in utrisque. Siquidem immodice defatigati parvos, alii vero magnos obtinent. Febres vero quae ex cutis denfitate nafcuntur, haec autem denfatur aut frigore aut qualitate affatim aftringente, velut in eo, qui fe aluminofa laverat aqua, omnium folae adftricta funt affectio. Has vero tactu deprehendere licet, quemadmodum et fqualidas et quae ex laffitudine et folis ardore contrahuntur. Neque enim earum denfitas excercitatum tactum latere poteft. Caeterum caloris motus expromitur, quem quidem primo occurfu mitem, deinde acriorem, fi diutius tangendo immoretur, manus fentiet, urinae tamen rufae non apparent neque corporis moles concidit, proinde neque oculi cavi funt neque aridi, verum in quibusdam humidiores ac prominentiores quam pro naturali conftitutione vifuntur. Sed nec pulfus ut in moerore, cura, vigiliis aut immoderatis excercitationibus minores funt. In diariis vero, quae ex bubone contrahuntur, pulfus

μοὶ μέγιστοι γίνονται καὶ πυκνοὶ καὶ ὠκεῖς, καὶ ἡ θερμασία πολλὴ καὶ μετὰ τὴν ἀκμὴν εὐθὺς ἐκ τοῦ βάθους ἀναφέρεταί τις ἰκμὰς θερμὴ μὲν, ἀλλ' ἡδεῖα. τὸ γὰρ δριμὺ καὶ τὸ δάκνον ἥκιστα πυρετῶν πάντων τοῖς τοιούτοις ὑπάρχει· καὶ τὸ πρόσωπον ἐρυθρὸν αὐτοῖς γίνεται τοὐπίπαν καὶ ἐν ὄγκῳ μείζονι, καὶ τὰ οὖρα ὑπόλευκα. κοινὸν δὲ τοῖς τοιούτοις ἅπασι πυρετοῖς τοῖς ἐφημέροις ἡ ὁμαλότης τοῦ σφυγμοῦ. παντελῶς γὰρ ἐξ αὐτῶν ὀλίγοι τὴν καὶ μίαν πληγὴν ἀνωμαλίαν ἐμφαίνουσιν· ἀλλ' οὐδ' οὗτοι πάνυ σαφῶς οὐδ' ἐναργῶς. τοιαῦτα μὲν αὐτῶν τὰ γνωρίσματα.

Κεφ. γ'. Θεραπεύειν δὲ χρὴ λουτρῷ μὲν ἅπαντας, ἀλλὰ τοὺς μὲν ἐπὶ πυκνώσει τοῦ δέρματος ἢ ἐπὶ βουβῶσιν, οὐδ' εἰ ἐν τῷ ἀέρι τοῦ βαλανείου χρονίσαι κελεύσειας, οὐδὲν βλάψεις· τοὺς δ' ἄλλους ἅπαντας ὅτι τάχιστα τοῦ ἀέρος ἀπάγειν. ἐν δὲ τῷ ὕδατι, κἂν ἐπὶ πλεῖστον ἐθέλοιεν διατρίβειν, ἐπιτρέπειν. ἐλαίῳ δὲ χλιαρῷ καὶ πολλῷ καὶ μαλακαῖς χερσὶν ἀνατρίβειν ἐπιπλέον, μάλιστα μὲν τοὺς κοπωθέντας, ἐφεξῆς δ' αὐτῶν τοὺς στεγνωθέντας· καὶ τρίτους τοὺς ἐπὶ

sunt maximi, celeres ac crebri, calorque multus et a vigore statim humor quidam ex alto corpore ad cutem fertur calidus, sed tamen suavis. Ejusmodi enim febres omnium minime acres mordacesque sunt: in his facies omnino rubicunda, ac tumidiuscula subalbidaeque urinae apparent. Communis autem omnibus ephemeris est pulsus aequalitas. In harum enim paucis admodum inaequalitas in uno arteriae percussu conspicitur, sed nec ipsa quidem omnino evidens neque manifesta. Hactenus de diariarum notis.

Cap. III. Omnes quidem balneo curandae sunt, Quod si ex cutis densitate aut bubonibus febricitantes in balnei aere immorari jusseris, haudquaquam laedes. Reliqui vero omnes ab aere abducendi quam citissime sunt. At in aqua diutissime versari, si velint, permittendum. Caeterum amplius fricandi cum oleo sunt tepente ac largo, mollibus manibus maximeque qui ex fatigatione, post hos qui ex astricta cute, deinde vero qui ex bubone febricitant. Hi au-

βουβῶσι πυρέξαντας. καὶ λούειν δὲ πολλάκις εἰς ὅσον ἐγχωρεῖ τοὺς τοιούτους. ἐσθίειν δὲ τοὺς μὲν ἐπὶ τοῖς κόποις ἐνδέχεται πολλάκις, οὐ μὴν οὔτε τοὺς στεγνωθέντας οὔτε τοὺς ἐπὶ βουβῶσι πυρέξαντας· ἀλλὰ τούτοις ἀμφοτέροις ἡ λεπτὴ δίαιτα χρηστή. τοὺς δ᾽ ἐπὶ τοῖς κόποις ὅσα καλῶς πέψαι δύνανται κελεύειν ἐσθίειν, [349] ἀπεψίαν μόνον φυλαττομένους. ἀλλὰ καὶ οἴνου πίνειν εἰς ὅσον ἂν καὶ τούτου κρατεῖν δύνανται. σκοποὶ δ᾽ ἂν εἶεν τοῦ μέτρου οἵπερ δὴ καὶ τῶν ἄλλων ἁπάντων, ἥ τε δύναμις καὶ ἡ ἡλικία τοῦ νοσοῦντος καὶ ἡ φυσικὴ κρᾶσις, ἔθη τε καὶ ὧραι καὶ χῶραι καὶ τὰ ἄλλα τὰ τοιαῦτα. τοὺς δ᾽ ἐπὶ βουβῶσι πυρέξαντας εἴργειν οἴνου, πρὶν τοὺς βουβῶνας λυθῆναι. τῶν δὲ στεγνωθέντων ἢ ψυχθέντων τοὺς μὲν ἐπ᾽ ὀλίγον τοῦτο παθόντας ἥκιστά τε πληθωρικοὺς οὐ χρὴ κωλύειν οἴνου προσφέρεσθαι, τοὺς δὲ ἐπὶ πλέον ψυχθέντας ἢ πληθωρικοὺς κωλύειν συμφέρει. τοὺς δ᾽ ἐπ᾽ ἀγρυπνίαις, ἤ τινι πάθει ψυχῆς πυρέξαντας, ἐπὰν λούσῃς, ὑγραινούσῃ τε καὶ εὐχύμῳ τροφῇ διαιτᾷν. οἴνου δὲ μάλιστα μὲν τοῖς ἀγρυπνήσασιν ἀδεῶς διδόναι πᾶσι, πλὴν

tem quam fieri poffit creberrime lavandi funt, cibandi vero faepe qui ex laffitudine laborant, fed non qui ex cutis aftrictione aut bubone, horum autem utrique tenuem efflagitant victum. Fatigatis vero ea comeffe quae probe conficiant imperare oportet, evitata fola cruditate. Quin etiam vini tantum bibere quantum concoquere poffint. Horum autem modum uti et aliorum omnium ex viribus, aetate, natura, temperie et confuetudine aegrotantis, anni tempore regione et id genus aliis metiri convenit. A vino vero, qui ex bubone febrem conceperunt, donec is folutus fit, arcendi funt. At aftricti vel refrigerati, fi quidem affectus lenis fit ac humorum plenitudo minime adfit, prohiberi a vino non debent. Quod fi vehementius refrigerati fint aut humorum plenitudine laborent, vini abftinentia confert. Qui vero ex vigiliis aut aliquo animi affectu in febrem inciderunt, ubi fe laverint, humido et boni fucci victu reficiendi funt. Vinum autem maxime quidem omnibus iis qui pervigilarint intrepide

Ed. Chart. X. [349.] Ed. Baſ. IV. (199.)

εἰ μὴ κεφαλὴν ἀλγοῖεν ἢ οἱ κρόταφοι σφύζοιεν. ὃ δηλονότι καὶ ἐν τοῖς ἄλλοις φυλακτέον, ἀλλὰ καὶ τοῖς ὀργισθεῖσιν, ἢ λυπηθεῖσιν, ἢ φροντίσασιν οἶνον διδόναι· τοῖς θυμωθεῖσι δὲ, ἡνίκα ἔξω παντελῶς τοῦ πάθους ὦσι, πρότερον δ' οὐκ ἀσφαλὲς οἴνῳ χρῆσθαι. πειρᾶσθαι δὲ καὶ τὸ ἐναντίον ἀντεισάγειν ἀεὶ τῷ λυπήσαντι· κόπῳ μὲν ἀνάπαυσιν, ἀγρυπνίᾳ δὲ ὕπνον, ὀργῇ δὲ καὶ λύπῃ καὶ θυμῷ τὴν ἐν λόγοις τε καὶ πράξεσι καὶ θεάμασι καὶ διηγήμασιν θυμηδίαν. οὕτω δὲ καὶ ὁ φροντίσας ἐπ' αὐτῷ τελέως ἀναπαυσάτω τὸν λογισμόν. καὶ ὁ διὰ βουβῶνα πυρέξας αὐτόν τε τοῦτον ἰάσθω καὶ πολὺ πρότερον αὐτοῦ τὸ ἕλκος ἐφ' ᾧ συνέστη. ταῦτά σοι πυρετῶν ἐφημέρων ἔστω γνωρίσματά τε ἱκανὰ καὶ ἰάματα. τῶν δ' ἄλλων πυρετῶν οἱ μὲν ἐπὶ φλεγμοναῖς, οἱ δ' ἐπὶ χυμοῖς ἀνάπτονται. καὶ εἰσὶν οἱ μὲν ἐπὶ ταῖς φλεγμοναῖς, οἷον συμπτώματά τινα τῶν φλεγμαινόντων μορίων, καὶ τοὔνομά γε τῷ νοσήματι παρωνύμως τὰ πολλὰ ἀπὸ τοῦ πάσχοντος ὀργάνου φρενῖτις, ἢ περιπνευμονία, ἢ πλευρῖ-

dandum eſt, praeterquam quibus caput dolore afficitur aut tempora pulſant. Quod et in omnibus aliis obſervandum eſt. Sed et ira, triſtitia et cura affectis vinum exhibendum eſt, excandeſcentia vero febricitantibus non ante quam ab eo affectu omnino conquieverint, nam prius vino uti tuto non poſſunt. Perpetuo autem infeſtanti cauſae contraria opponenda ſunt remedia, labori quidem quies, vigiliis ſomnus, irae, triſtitiae et excandeſcentiae ſermones, actiones, ſpectacula et rerum narrationes, quae animo voluptatem afferant. Sic et qui cogitatione laborat, ab hoc omnino ceſſet. Et qui ex bubone febrem contraxit, hunc ipſum curet, atque in primis ulcus, ex quo ortum bubo habuit. Haec quidem de diariarum tum ſignis tum remediis abunde dicta ſint. Aliae vero febres aut ex inflammatione aut humoribus accenduntur. Et quae ex inflammatione ortum habent, inflammatarum partium velut ſymptomata quaedam ſunt, morbusque ab affecta parte denominationem fere accipit, ut phrenitis,

τις ἢ τι τοιοῦτον ἄλλο· περὶ μὲν δὴ τῶν τοιούτων ὕστερον ἐροῦμεν.

Κεφ. δ΄. Οἱ δ' ἐπὶ χυμοῖς ἀναπτόμενοι πυρετοὶ καλοῦνταί τ' αὐτὸ τοῦτο πυρετοὶ καί εἰσιν οὐ συμπτώματα νοσημάτων, ἀλλ' αὐτοὶ νοσήματα. τούτων δὲ τινὲς μὲν ἄνευ συμπτωμάτων, οἵπερ δὴ καὶ ἐπιεικέστατοί εἰσι· τινὲς δ' ἅμα συμπτώμασιν ἐνοχλοῦσιν. εἰρήσεται δ' ἡμῖν περὶ προτέρων τῶν ἄνευ συμπτωμάτων πυρετῶν· ἐν οἷς μάλιστα μὲν εἰ οἷόν τε κατὰ τὴν πρώτην ἡμέραν διαγνωστέον οἷός τίς ἐστιν ὁ πυρετὸς, ἆρά γε χρόνιος ἢ ὀξὺς, καὶ πότερον τῶν διαλειπόντων καλουμένων ἢ τῶν συνεχῶν. εἰ δὲ μὴ οἷόν τε περὶ τὴν ἡμέραν τὴν πρώτην, ἀλλὰ τῇ δευτέρᾳ γε πειρατέον ἐξευρεῖν τὴν ἰδέαν τοῦ πυρετοῦ. μηδενὸς δὲ μηδ' ἐν ταύτῃ βεβαίως διαγνωσθέντος, ἐν γοῦν τῇ τρίτῃ πάντως φανήσεταί σοι σαφέστερόν τι. παντελῶς γὰρ ὀλίγοι πυρετοὶ τῆς τετάρτης ἡμέρας δέονται πρὸς ἀκριβῆ διάγνωσιν. ἐρῶ δέ σοι καθόσον οἷόν τε διὰ βραχέων σημεῖα, δι' ὧν ἐπιγνώσῃ τὸ εἶδος τοῦ πυρετοῦ. μακρότερον δὲ καὶ σαφέστερον ἑτέρωθι πάντα λέλεκται.

peripneumonia, pleuritis et alii id genus, de quibus postea differemus.

Cap. IV. Quae vero ex humoribus accenduntur et eo ipso nomine febres vocantur et sunt, non autem morborum symptomata, sed ipsae morbi, quarum aliae sine symptomatis, haeque sane mitissimae sunt, aliae vero una cum symptomatis infestant. De prioribus quidem quae symptomatis carent nostra erit disputatio, in quibus maxime si fieri possit primo statim die febris qualisnam sit dignoscenda est, diuturnane an acuta, intermittens an continens. Quod si die primo id assequi non possis, secundo saltem ejus speciem invenire tentabis. At si nec eo quidem die certi quicquam habueris, tertius certe omnino tibi manifestius quidpiam adferet. Nam paucae admodum febres ad exactam sui dignotionem quartum diem desiderant. Quibus vero signis febris species deprehendi possit, quam brevissime fieri poterit tibi explicabo. Nam de his omnibus alibi fusius atque manifestius disputatum est.

Κεφ. ε΄. Τοὺς μὲν οὖν μετὰ ῥίγους εἰσβάλλοντας οὐκ ἂν ἀπὸ τρόπου τῶν κατὰ περίοδον ἐνοχλούντων ὑπολάβοις εἶναι. τριταῖοι γὰρ καὶ τεταρταῖοι μετὰ ῥίγους τοὐπίπαν παροξύνουσιν. [350] ἀλλ' οἱ μὲν τριταῖοι εὐθὺς ἐν τῇ πρώτῃ καταβολῇ πολλάκις μετὰ σφοδροῦ τοῦ ῥίγους ὑπήρξαντο. τεταρταῖον δ' οὐκ οἴδαμεν μετὰ σφοδροῦ ῥίγους ἀρξάμενον, ἀλλ' ἐν τῷ χρόνῳ τὸ μέγεθος αὐτῷ προσγίνεται, σὺν τῷ μηδ' εὐθὺς ἀπ' ἀρχῆς τὰ πολλὰ τὸν πυρετὸν τοῦτον εἰσβάλλειν, ἀλλ' ἑτέρων προηγησαμένων συμπίπτειν. ὁ μὲν οὖν τεταρταῖος τοῖς καλουμένοις πλάνησί τε καὶ πλανήταις ἐπιγίνεται πυρετοῖς διὰ φλέγμα. ὁ δ' ἀμφημερινὸς οὐδὲ χωρὶς τοῦ τὸ στόμα τῆς γαστρὸς πεπονθέναι τὰ πολλὰ συνίσταται· καθάπερ ὁ τεταρταῖος περὶ σπληνὶ κακοπραγοῦντι· ὁ δὲ τριταῖος περὶ ἥπατι. τὸν μὲν δὴ μετὰ σφοδροῦ τοῦ ῥίγους ἀρξάμενον εἰκὸς μᾶλλον τριταῖον ἢ τῶν ἄλλων τινὰ εἶναι πυρετῶν. εἰ δὲ καὶ τἄλλα τὰ ἐφεξῆς εἰρησόμενα μαρτυροίη, τοῦτον μὲν ἂν ἐναργῶς εὐθὺς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν διαγινώσκοις εἶναι τριταῖον. εἰ δὲ μετὰ βραχέος ἄρξεται ῥίγους,

Cap. V. Quae igitur cum rigore invadunt, non abs re ex earum numero esse, quae circuitu quodam repetunt, duxeris. Tertianae enim atque quartanae omnino cum rigore accessionem faciunt. Sed tertianae saepe cum vehementi rigore prima statim accessione incipiunt. Quartanam vero nunquam cum vehementi rigore incipere vidimus, sed temporis progressu rigori vehementiam accedere. Adde quod plerumque ab initio statim haec febris *simul* non ingruit, sed aliis antegressis contingit. Quartana igitur erraticis, quas vocant, febribus ob pituitam succedit. Vix autem citra oris ventriculi iniuriam fit quotidiana, quemadmodum nec sine lienis vitio quartana, nec tertiana absque jecoris offensione. Quin etiam si cum vehementi rigore febris initium coeperit, tertianam magis quam aliquam aliam esse jure fateberis. Quod si et alia quae deinceps dicentur consentiant, hanc quidem statim primo die tertianam esse dignosces. Sin cum levi rigore inceperit, tum aliae notae potius considerandae

τότε δεῖ καὶ μᾶλλον τοῖς ἄλλοις γνωρίσμασι τὸν νοῦν προσέχειν, ὡς οὐκ ἀμφημερινοῦ καὶ τεταρταίου μόνον, ἀλλὰ καὶ ἡμιτριταίου καὶ ἄλλου τινὸς τῶν συνεχῶν εἶναι δυναμένου. τὰ δ᾽ ἄλλα γνωρίσματα τό τε τῆς θερμασίας ἐστὶ ποιὸν καὶ καὶ ποσὸν καὶ ἡ τῶν ἀρτηριῶν κίνησις, αὐτό τε τοῦ ῥίγους τὸ εἶδος αἰσθανομένου, ὥρα τε καὶ χώρα καὶ κατάστασις καὶ ἡ φύσις τοῦ νοσοῦντος καὶ ἡ ἡλικία καὶ τὰ προηγησάμενα καὶ τὰ παρακολουθοῦντα. τὴν μὲν γὰρ θερμασίαν πολλὴν καὶ δριμεῖαν εἶναι χρή· τοὺς δὲ σφυγμοὺς μεγάλους καὶ θερμοὺς καὶ σφοδροὺς καὶ ταχεῖς καὶ πυκνοὺς καὶ χωρὶς πάσης ἀνωμαλίας, πλὴν τῆς πυρεκτικῆς. τὸ δὲ ῥῖγος, οἷον νυττομένου τοῦ χρωτὸς ὡς ὑπό τινος ὀξέος μᾶλλον ἢ ψυχροῦ, τῶν ἐν τεταρταίοις τε καὶ ἀμφημερινοῖς ψυχροῦ τοῦ ῥίγους αἰσθανομένων. τὴν δ᾽ ὥραν (200) θερινὴν, ὥσπερ οὖν καὶ τὸ χωρίον θερμὸν καὶ τήν γε παροῦσαν κατάστασιν· ἔστω δὲ καὶ ἡ φύσις τοῦ κάμνοντος θερμοτέρα τε καὶ χολωδεστέρα, καὶ ἡ ἡλικία νεανίσκου· καὶ γυμνασία μᾶλλον ἢ ἀργία προηγείσθω, καὶ ἔγκαυσις μᾶλλον ἢ ψύξις, καὶ ἔνδεια μᾶλλον ἢ πλησμονή. καὶ ἀγρυπνίαι δὲ καὶ λῦπαι καὶ κόποι καὶ σύντο-

ſunt, quum non quotidiana ſolum aut quartana, ſed et ſemitertiana aut alia ex continuarum genere aliqua eſſe poſſit. Alia vero indicia ex caloris tum qualitate tum quantitate arteriarumque motu et ex rigoris ſenſus ſpecie, anni tempore, regione, aëris conditione, aegrotantis natura ac aetate atque ex iis quae praeceſſerunt ac ſequuntur petenda ſunt. Nam calor quidem multus acrisque eſſe debet, pulſus vero magni et calidi, vehementes, celeres ac frequentes, omnis inaequalitatis praeter quam febrilis expertes. Rigor vero, velut quum corpus ab aliquo acuto magis quam frigido pungitur; quum in quartanis et quotidianis frigidus rigor ſentiatur. Anni vero tempus aeſtivum ſit, quemadmodum et regio calida et praeſens aeris conditio, laborantis quoque natura calidior ac bilioſior ſit, aetas adoleſcentia, praeceſſeritque exercitatio magis quam otium, aeſtus quam refrigeratio, victus parcus quam largus. Vigiliae quoque et moerores et laſſitudines pertinacesque curae ad id magnum

νοι φροντίδες εἰς τοῦτο συντελοῦσιν. εἰ δὲ καὶ πολλοῖς ἄλλοις τῶν νοσούντων ἐν ἐκείνῳ τῷ χρόνῳ τριταίοις ἁλῶναι συμβαίη καὶ τοῦτ' ἂν εἴη πρὸς τοῖς εἰρημένοις μέγιστον γνώρισμα. εἰ δὲ τούτων ἁπάντων ὑπαρχόντων ἢ τῶν μεγίστων τε καὶ ἐπικαιροτάτων δίψος τε αὐτοὺς ἔχει σφοδρὸν, ἔμετός τε χολῆς ἢ ἱδρὼς ἐπιγένηται ἢ ἀμφότερα, νῦν μὲν ἂν καὶ σαφῶς εἴη δῆλος. εἰ δὲ καὶ παύσαιτο μὲν πυρέττων ἐπὶ τοῖσδε ὁ ἄνθρωπος τοῦτον δὴ τὸν φανερὸν ἅπασι καὶ ἐν κινήσει πυρετὸν, ὑπολείποιτο δ' αὐτῷ κατὰ τὴν τῶν ἀρτηριῶν κίνησιν ἡ ἴδιος ἀνωμαλία τῶν πυρετῶν, βεβαίως ἂν οὕτως ἀποφαίνοις τριταῖον ὑπάρχειν αὐτὸν, ὡς εἰ καὶ διὰ τρίτης ἤδη παροξυνόμενον ἑώρας.

Κεφ. στ'. Ὁ δὲ τεταρταῖος, χρὴ γὰρ καὶ τούτου τὰ γνωρίσματά σοι γράψαι, τὸ μὲν ἐναργέστατον ἑαυτοῦ τεκμήριον ἐνδείκνυται κατὰ τὴν ἀρχὴν τῶν παροξυσμῶν, ἡνίκα ῥιγῶσιν ἔτι οἱ νοσοῦντες. ἱκανῶς γὰρ ἀραιοὶ καὶ βραδεῖς αὐτῶν οἱ σφυγμοὶ γίγνονται· κατὰ δὲ τὰς ἀκμὰς ἢ καὶ αὐξανομένων ἔτι ταχεῖς μὲν ἀνάγκη καὶ πυκνοὺς εἶναι· σώζεται

habent momentum. Quod ſi eo tempore multos tertianis corripi contigerit, maximum ejus febris una cum jam declaratis argumentum erit. Haec autem omnia ſi adfuerint aut eorum maxima et praecipua vehemensque ſitis, vomitus item bilioſus vel ſudor vel utrumque ſuperveniat, jam tum *febris* perſpicue apparebit. Quod ſi poſt haec a febre conquieverit aeger, hac inquam febre, quae ex ſuo motu omnibus eſt cognita, relinquatur vero propria febrium in arteriarum motu inaequalitas, aeque pro certo hanc eſſe tertianam pronuntiare poſſis, ac ſi tertio jam die acceſſionem videas rediiſſe.

Cap. VI. Quartana vero, nam et hujus notas tibi commemorare oportet, evidentiſſimum quidem ſui indicium praebet initio ſtatim acceſſionis, quando ipſi adhuc aegroti rigent. Pulſus enim admodum raros ac tardos obtinet, ſed neceſſario dum ad vigorem pervenit vel adhuc etiam incre-

δ᾽ ὅμως καὶ τότε ἡ ἴδιος αὐτῶν βραδύτης τε καὶ ἀραιότης, εἰ τὸ προσγεγονὸς τάχους καὶ τῆς πυκνότητος τῶν παροξυσμῶν λογίσαιο. καὶ γὰρ οὖν καὶ εἰ παραβάλοις τὴν ἀκμὴν τοῦ τεταρταίου πυρετοῦ, τῇ τοῦ τριταίου ἀκμῇ πολλῷ τινί σοι δόξουσι θᾶττόν τε καὶ πυκνότερον ἐν τοῖς τριταίοις αἱ ἀρτηρίαι σφύζειν· καὶ αὐτῆς δὲ τῆς μιᾶς κινήσεως ἐν τῷ τεταρταίῳ πυρετῷ τὸ ἀνώμαλον ἐνδείκνυται τὴν ἰδέαν αὐτοῦ. τὴν γὰρ κοινὴν ἁπάντων τῶν πυρετῶν ἐν μιᾷ προσβολῇ τῆς ἀρτηρίας ἀνωμαλίαν ἐναργεστάτην ἐστὶν εὑρεῖν ἐν τούτῳ. [351] πολλῷ γάρ τινι τήν τε ἀρχὴν τῆς κινήσεως καὶ τὸ τέλος ὠκύτερον εὑρήσεις τῶν μέσων· οὐ μὴν δὲ ἐπὶ τῶν τριταίων ὧδ᾽ ἔχει· βραχεῖα γὰρ ἐν αὐτοῖς ἡ ὑπεροχὴ τοῦ τάχους ἐστὶ καὶ μάλιστα κατὰ τὰς ἀκμάς. ἀλλὰ καὶ τὰ τῆς θερμασίας γνωρίσματα διαφερόντως αὐτοῖς ἔχει. τὸ γὰρ θερμὸν καὶ τὸ διακαὲς καὶ τὸ οἷον ζέον τῶν τριταίων πυρετῶν οὐκ ἂν εὕροις ἐν τεταρταίοις. ταυτὶ μὲν οὖν τὰ μέγιστα σημεῖα, τὰ δ᾽ ἄλλα τὰ ἔξωθεν, οὐδὲ γὰρ χρὴ ταῦτα παραλιπεῖν, ἀλλὰ τήν τε φύσιν ἐπισκοπεῖσθαι τοῦ νοσοῦντος, εἰ μελαγχολικωτέρα· καὶ τὸν καιρὸν

fcit celeres ac crebros; fervatur tamen et tunc nativa eorum tarditas ac raritas, fi celeritatem et frequentiam adjectam acceffioni confideres. Etenim fi quartanae febris vigorem cum tertianae vigore compares, multo celerius ac frequentius in tertiana arteriae tibi micare videbuntur, atque unius motus in quartana inaequalitas ejus fpeciem commonftrat. Nam communem omnium febrium in uno appulfu arteriae inaequalitatem evidentiffimam in hac invenire licet: multo enim concitatius principium motus et finem quam medium invenies, quod in tertianis non ita habet, in his enim celeritatis exceffus maximeque in vigore brevis eft. Quin etiam caliditatis notis hae febres diftinguuntur. Tertianarum enim calorem et ardorem ac tanquam fervorem in quartanis haudquaquam reperies. Haec quidem maxima figna funt, reliqua vero externa, neque haec funt omittenda. Quin aegrotantis natura confideranda eft, num ad atram bilem magis declinet et an tempus anni autumnus

τοῦ ἔτους, εἰ φθινόπωρον· καὶ τὴν παροῦσαν κατάστασιν, εἰ ἀνώμαλος. οὕτω δὲ καὶ τοῦ χωρίου τὴν φύσιν καὶ τῶν ἐπιδημούντων νοσημάτων· καὶ εἰ σπλὴν μέγας εἴη καὶ ἄτακτοι πυρετοὶ προηγήσαντο καὶ ἡ ἡλικία τῆς ἀκμῆς ἐπέκεινα καὶ εἰ μεθ' ἱδρῶτος παύοιντο· χολῆς δὲ ξανθῆς ἔμετον ἐν τούτοις τοῖς πυρετοῖς μὴ προσδοκᾷν, ὥσπερ οὐδ' ἐν τοῖς ἀμφημερινοῖς, ἴδιον γὰρ τῶν τριταίων τοῦτο. παυσαμένων δὲ τοῦ πυρέττειν, εἰ τὸ τοῦ πυρετοῦ σημεῖον ἔτι παραμένοι καὶ οἱ σφυγμοὶ τῶν κατὰ φύσιν ἀραιότεροί τε καὶ βραδύτεροι γίγνονται, τεταρταῖος ἂν εἴη σαφῶς ὁ τοιοῦτος πυρετός.

Κεφ. ζ. Ἀμφημερινὸν δὲ πυρετὸν τοῖσδ' ἂν μάλιστα γνωρίσαις· ὑγροτέραν γὰρ εἶναι χρὴ τὴν θερμασίαν αὐτοῦ μετά τινος δριμύτητος, οὐ κατὰ τὴν πρώτην ἐπιβολὴν εὐθὺς ὑποπιπτούσης, ἀλλ' ἐγχρονιζούσης τῆς χειρός. καπνώδη γάρ τινα θερμασίαν ἀτμῷ πολλῷ συμμιγῆ δόξαις ἀνιέναι, καταπνιγομένου μᾶλλον ἐν ὑγρότητι τοῦ πυρὸς πολλῇ ἢ αὐτοῦ τῆς ὕλης κρατοῦντος. ἀλλὰ καὶ οἱ σφυγμοὶ τούτοις μικρότεροι τῶν ἐν τεταρταίοις εἰσὶ πλέον ἢ ἐκεῖνοι τῶν ἐν τριταίοις.

ſit, praeſensque aëris conſtitutio inaequalis. Sic vero et loci et morborum tum ingruentium natura inſpicienda et num lien intumuerit, febresque inordinatae praeceſſerint et aetas vigorem exceſſerit febrisque in ſudores deſierit; in hac enim vomitus bilis expectandus non eſt, quemadmodum neque in quotidianis, quum id tertianarum proprium ſit. Quod ſi pacata febre febris ſignum adhuc permaneat et pulſus naturali ſit rarior ac tardior, palam eſt ipſam quartanam eſſe.

Cap. VII. Quotidianam autem febrem his maxime notis deprehendes. Calor neceſſario humentior eſt cum quadam acrimonia, quam non protinus admota manus ſed permanens ſentit. Caliditatem enim quandam fumoſam cum largo vapore commiſſam exire putabis, igne in multa humiditate potius ſuffocato, quam ipſo materiam evincente. Sed et harum pulſus minores ſunt quartanarum pulſibus, quam quartanarum pulſus ſint tertianarum. Rurſus quotidiana-

ἀραιότεροι δ᾽ αὖ πάλιν οἱ ἐν τοῖς ἀμφημερινοῖς τῶν ἐν τριταίοις τοσοῦτον, ὅσον τούτων οἱ ἐν τοῖς τεταρταίοις. βραδύτητος δὲ ὡσαύτως ἐν ἀμφοῖν ἔχουσιν. ἧττον δὲ διψώδης ὁ πυρετὸς οὗτος. λείπεται οὖν τεταρταίου τοσοῦτον, ὅσον ἐκεῖνος τριταίου. καὶ ἡ γλῶσσα καὶ τὸ σύμπαν σῶμα ξηρότατον μὲν ἐν τριταίοις, ὑγρότατον δ᾽ ἐν τούτοις ἐστὶ τοῖς πυρετοῖς· καὶ οἱ ἔμετοι φλεγματώδεις καὶ ὅσα διὰ γαστρὸς ἐκκρίνεται ψυχρότερα καὶ ὑγρότερα καὶ ὠμότερα καὶ ὑδατωδέστερα καὶ φλεγματωδέστερα. καὶ τὸ σύμπαν ἀπέπτων χυμῶν ἀνάπλεων ἐν τούτοις τοῖς πυρετοῖς εὑρήσεις τὸ σῶμα. καὶ γὰρ οὖν καὶ ἡλικίαις καὶ φύσεσι καὶ χώραις καὶ ὥραις ἔτους καὶ κράσεσιν ὑγροτέραις συμπίπτουσι. νεανίσκον μέν γε χολώδη καὶ ξηρὸν τῇ κράσει οὐκ εἶδον οὐδέπω ποτε ἁλόντα τούτῳ τῷ πυρετῷ. παῖδες δὲ καὶ μάλιστα οἱ μικρότεροί καὶ ὅσοι τῶν τελείων φλεγματικώτεροί τέ εἰσι καὶ τὴν ἕξιν τοῦ σώματος παχεῖς καὶ ἀργὸν τὸν βίον ἔχοντες ἐν πλησμοναῖς καὶ μέθαις καὶ λουτροῖς συνεχέσι καὶ μάλιστα τοῖς ἐπὶ τροφῇ ἀμφημερινοῖς εὐάλωτοι· ἀτὰρ οὖν καὶ χωρία τὰ ὑγρότερα καὶ τῶν ὡρῶν τοῦ ἔτους ὁ χειμὼν καὶ τῶν καταστάσεων αἱ ὑγρό-

rum pulfus tanto funt tertianarum pulfibus rariores, quanto his quartanarum pulfus. At in utrisque eadem eft tarditas. Verum haec febris minorem adfert fitim: hanc itaque quartana tantum excedit, quantum quartanam tertiana. Atque in tertianis quidem lingua totumque corpus aridiffimum eft, in his vero febribus humidiffimum, vomitionesque pituitofae et quicquid per ventrem excernitur frigidius, humidius, crudius, aquofius et pituitofius eft. Et in hifce febribus univerfum corpus crudis humoribus fcatet. Siquidem hae aetatibus, naturis, anni temporibus et temperaturis humidioribus accidunt. Nunquam enim adolefcentem biliofum ac natura ficcum hac febre correptum vidimus. Pueri vero praefertim natu minores, et ex grandioribus, qui pituitofi magis ac corporis habitu craffo funt, vitamque agunt otiofam gulae indulgentes et ebrietati dediti, crebro balneis maximeque a cibo utentes quotidianis facile corripiuntur, fed et locus humidior et tempus hibernum aërisque conftitutio

Ed. Chart. X. [351. 352.] Ed. Baf. IV. (200.)

τεραι, μάλιστα φέρουσι τὸν πυρετὸν τοῦτον· εἰ δὲ καὶ ἐπιδημοίη τηνικαῦτα, καὶ τοῦτό σοι πρὸς τὴν διάγνωσιν ἐπὶ τοῖς εἰρημένοις οὐ μικρὰ συντελέσει. οὐ μὴν οὐδὲ παύουσι τὰς παρακμὰς τούτων τῶν πυρετῶν οἱ ἱδρῶτες, ὥσπερ ἐν τριταίοις καὶ τεταρταίοις, ὅθεν οὐδ᾽ εἰς ἀπυρεξίαν ἔρχονται σαφῆ, πλὴν ὀλίγων δή τινων. τὰ δ᾽ οὖρα τὰ μὲν ἐπὶ προήκουσιν αὐτοῖς γιγνόμενα τοὺς καιροὺς τῆς ὅλης νόσου διδάσκει· τὰ δ᾽ ἐν ἀρχαῖς ἐνδείξεταί σοι καὶ αὐτὸ τὸ εἶδος τοῦ πυρετοῦ. τοῖς μὲν γὰρ ἀμφημερινοῖς ἢ λευκὰ ἢ λεπτὰ ἢ παχέα καὶ θολερὰ ἢ ἐρυθρά. τοῖς δὲ τριταίοις ἢ πυῤῥὰ ἢ ὑπόπυῤῥα. τοῖς δὲ τεταρταίοις πολυειδῆ μὲν, ἀλλ᾽ ἄπεπτα πάντα. καὶ ταῦτα μὲν τῶν διαλειπόντων πυρετῶν ἐστι γνωρίσματα.

Κεφ. η᾽. [352] Τοὺς συνεχεῖς δ᾽ ἂν γνωρίζοις μάλιστα μὲν ἐκ τοῦ μηδὲν αὐτοῖς παρεῖναι σημεῖον, ὧν εἴπομεν ὑπάρχειν χρῆναι τοῖς διαλείπουσι, καὶ εἰ μὴ παύοιτο δὲ τῶν τεττάρων καὶ εἴκοσιν ὡρῶν ἐντὸς ὁ πυρετός· εἰ δὲ καὶ ἀνώμαλον ποιήσαιτο τὴν αὔξησιν, οὗτος μέν γε καὶ πρὸς τοῖς ἄλλοις γνωρίσμασι καὶ χρόνον ὑποσημαίνει πλείονα· καὶ μὲν

humidior hanc maxime febrem invehunt, quae fi tunc etiam in regione graffetur, praeter ante dicta maximam adferet cognitionem. Verum harum febrium declinationes uti tertianarum et quartanarum fudoribus non finiuntur, unde neque ad manifeftam febris remiffionem paucis quibusdam exceptis perveniunt. Urinae autem procedente febre totius morbi tempora docent, initio vero febris fpeciem oftendunt. In quotidianis enim aut albae vel tenues vel craffae et turbulentae aut rubrae apparent. In tertianis rufae vel fubrufae. In quartanis vero variae, fed crudae omnes. Atque hae quidem funt febrium intermittentium notae.

Cap. VIII. Febres autem affiduas ex eo quidem maxime cognofces, quod nullum ex iis fignum habeant, quae debere ineffe intermittentibus docuimus, et fi intra quatuor et viginti horas non definant febres, quae fi inaequale fecerint incrementum, praeter alias notas majorem temporis diuturnitatem praenunciant, atque adeo fi et, quod proprium

Ed. Chart. X. [354.] Ed. Baf. IV. (200. 201.)

δὴ καὶ εἰ τὸ ἴδιον τῶν πυρετῶν σημεῖον ἐν τοῖς σφυγμοῖς ἐναργὲς ἔχοιεν. εἰ δὲ καὶ ἀταξία τις ἢ ἀνωμαλία προσείη αὐτοῖς ἢ ἀῤῥυθμία, καὶ τοῦτ᾽ ἂν εἴη σημεῖον τοῦ μεγέθους ἅμα καὶ ὡς οὐκ εἰσὶ τῶν διαλειπόντων. εἰ δὲ τοιαῦτοι μείναντες ἐν τῇ τρίτῃ τῶν ἡμερῶν μείζονα τὸν παροξυσμὸν ἐνδείξαιντο ἢ εἰ καὶ τὰ διαχωρήματα καὶ τὰ οὖρα παντάπασιν ἄπεπτα φαίνοιτο, τοὺς τοιούτους πυρετοὺς οὐκ ἐνδέχεται παρὰ τὴν ἑβδόμην κριθῆναι. εἰ δὲ καὶ ἡ τετάρτη τῶν ἡμερῶν ὁμοία φαίνοιτο τῇ τρίτῃ, καὶ ὁ πυρετὸς οἷον σμυχόμενος εἴη, καὶ τὸ πρόσωπον ἥ τε πᾶσα ἕξις τοῦ σώματος ἀσύμπτωτος, ὁ τοιαῦτος εἰς πλείονα χρόνον ἐκτείνεσθαι φιλεῖ. τοιαῦται μέν τινες αἱ διαφοραὶ τῶν ἄνευ συμπτωμάτων πυρετῶν.

Κεφ. θ΄. Ἡ θεραπεία δὲ καθ᾽ ἕκαστον αὐτῶν ἐφεξῆς γεγράψεται· πρῶτον μὲν τῶν διαλειπόντων, δεύτερον δὲ τῶν συνεχῶν λεγομένων. ἐπὶ μὲν οὖν τοῖς διαλείπουσιν ὀξύτατός τε ἅμα καὶ ἐπιεικέστατος ὁ τριταῖός ἐστι· μακρότατος δὲ καὶ ἀκίνδυνος ὅσον ἐφ᾽ ἑαυτῷ ὁ τεταρταῖος. ὁ δ᾽ ἀμφημερινὸς μακρὸς καὶ οὐκ (201) ἀκίνδυνος, ὥστε καὶ τὴν δίαιταν εὐθὺς

eſt febrium, evidens in pulſibus ſignum obtineant. At ſi neque ordinem neque aequalitatem neque numeros ſervent, argumentum erit tum earum magnitudinis tum quod ex genere intermittentium non ſint. Quod ſi tales permaneant et tertio die acceſſio major alvique excrementa et urinae omnino crudae appareant, non poſſunt ſeptimo ejusmodi febres judicari. Si vero dies quartus tertio ſimilis videatur et febris velut langueat, nec facies nec univerſa corporis habitudo concidat, in longum tempus hoc febris genus protrahi ſolet. Atque hae quidem ſunt febrium differentiae, quae ſine ſymptomatis ſunt.

Cap. IX. Deinceps vero ſingularum curatio tradetur ac primum quidem intermittentium, deinde continuarum, quas vocant febrium. Ex intermittentibus quidem breviſſima ſimul et manſuetiſſima tertiana eſt, longiſſima vero ſed tuta quantum in ſe eſt quartana. Quotidiana vero longa eſt et periculo non vacat. Itaque victus rationem ſtatim ab

Ed. Chart. X. [352.] Ed. Baſ. IV. (201.)

ἐξ ἀρχῆς καθίστασθαι προσήκει, πρὸς τὸν ξύμπαντα χρόνον τοῦ νοσήματος ἀποβλέποντας. τὰ μὲν γὰρ ὀξέα καὶ ταχέως ἀκμάζοντα, κἂν εἰ πάνυ λεπτῶς θέλοι τις διαιτᾷν, οὐκ ἄν τι μέγα βλάψει. ὅσα δὲ χρονιώτερα, ταῦτ᾽ εἰ μὴ κατ᾽ ἀρχὰς ἁδρότερον διαιτήσειας, ἢ συναναιρήσεις τῷ νοσήματι τὸν ἄνθρωπον ἢ οὐκ ἐν καιρῷ τὴν δίαιταν ὑπαλλάξεις. οὐ γὰρ χρὴ προσιούσης τῆς ἀκμῆς ἁδρότερον ἢ πρόσθεν διαιτᾷν, ἀλλὰ τοὐναντίον τῆς ὅλης τοῦ πάθους διαίτης τὸ λεπτότατον εἰς τὴν ἀκμὴν ἀποτίθεσθαι χρή· τοῦτο μὲν οὖν κοινὸν ἁπάντων. πρὸς αὐτῷ δὲ δεῖ καὶ τὰ ἴδια τῶν διαλειπόντων ἐπισκοπεῖσθαι, οἷον εὐθὺς ἐν τοῖς τριταίοις, οὐδὲν γὰρ χεῖρον ἐντεῦθεν ἄρξασθαι, διοριζέσθω σοι κατ᾽ ἀρχὰς εἰ ἀκριβής ἐστι καὶ ὡς ἂν τις εἴποι γνήσιος, ἢ οὐκ ἀκριβὴς, ἀλλ᾽ οἷον νόθος τις. ὁ μὲν γὰρ ἀκριβὴς τριταῖος τὸ μακρότατον ἐν ἑπτὰ περιόδοις κρίνεται, πρὸς τῷ καὶ ἀκινδυνότατος εἶναι. τὸν ἕτερον δὲ τὸν οὐκ ἀκριβῆ οἶδά ποτε φθινοπώρου μὲν ἀρξάμενον, ἦρος δὲ παυσάμενον· εἶτα οἷα εἰκὸς ἐν τοσούτῳ χρόνῳ, τὸ μέν τι καὶ αὐτοῦ τοῦ νοσοῦντος οὐ πάνυ τι πειθομένου τοῖς τῶν ἰατρῶν

initio inſtituemus, univerſum morbi tempus conſiderantes. Nam in acutis et qui ad ſtatum celeriter perveniunt ſi quis tenuiter omnino cibum dare velit, haud magnopere laedet. In longioribus vero, niſi per initia liberaliorem dederis cibum, aut una cum morbo hominem necabis aut intempeſtive victus ratio mutanda erit. Neque enim accedente ſtatu uberior victus quam prius inſtituendus eſt, ſed contra omnium qui per morbum exhiberi debeant tenuiſſimus in id tempus reſervandus eſt; hoc quidem omnium commune eſt. Ad haec vero quae intermittentibus propria ſint, conſiderare oportet, velut ſtatim in tertianis, neque enim male ab his auſpicabimur, diſtinguendum per initia eſt, num exquiſita ac ut ita dicam legitima, an minime exquiſita, ſed velut ſpuria ſit. Tertiana enim exquiſita ſeptem ut tardiſſime circuitibus judicatur, minimeque periculoſa eſt. Alteram autem non exquiſitam aliquando vidi autumno incipere et vere deſinere, poſtea, ut par erat tanto tempore, tum quod aegrotus

προστάγμασιν, ἀλλὰ καὶ ἁμαρτάνοντός τι· τὸ δέ τι καὶ ὑπὸ τῆς αἰτίας τοῦ χειμῶνος βλαπτομένου, σπλήν τε μέγιστος ἐξήρθη καὶ ὑποχόνδρια διεφυσᾶτο· καί τις ἤδη καὶ ὕποιδος ἦν ἄχροια περί τε τὸ πρόσωπον καὶ οὐχ ἥκιστα τοῖς σκέλεσιν, ὥστε δεῖσαί τε ἡμᾶς ἀμφὶ τῷ μειρακίῳ καὶ δεηθῆναι μειζόνων βοηθημάτων. οὕτως οὐδὲν ὅμοιον ἔχει ὁ τοιοῦτος τριταῖος τῷ ἀκριβεῖ· διὰ τοῦτο οὖν φημι χρῆναι κατὰ τὰς ἀρχὰς αὐτοὺς διορίζειν. εἰς ὅσον γὰρ τῇ φύσει διαφέρουσιν, εἰς τοσοῦτον εὔλογόν ἐστι καὶ τὸν τῆς διαίτης τρόπον [353] ὑπαλλάττεσθαι. ὅπως οὖν ἄριστα διορισθεῖεν, ἀρκεῖ μοι τὰ τῷ μειρακίῳ συμπεσόντα γράψαι, παράδειγμά τε ἅμα τῶν οὐκ ἀκριβῶν τριταίων καὶ ὑπομνήματά σοι γενησόμενα. ἦν μὲν δὴ τοῦ ἔτους τὸ μεταξὺ πλειάδων τε δύσεως καὶ τῆς προγεγενημένης ἰσημερίας· ἤρξατο δὲ μετὰ φρίκης ὁ πυρετὸς τῷ μειρακίῳ περὶ αὐτὴν σχεδὸν τὴν ἕω· ὥστε μήτε τῇ θερμασίᾳ τριταίῳ τι δόξαι ἐοικέναι μήτε τοῖς σφυγμοῖς· ἀλλ᾽ οὐδὲ χολῆς ἔμετος ἠκολούθησεν οὔτε ἱδρὼς ἱκανός· ἀλλὰ μόνον ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν ὥρᾳ που. τρίτῃ βραχεῖαι νοτίδες

imperanti medico non magnopere pareret, nonnihil etiam delinqueret, tum vero hiemis injuria male afficeretur, maxime lien intumuit et hypochondria flatu diftenta funt, tumor quidem decolor cum in facie tum maxime in cruribus apparuit, adeo ut adolefcenti timuerimus et majoribus uti remediis neceffum fuerit. Itaque haec febris nihil exquifitae tertianae fimile habet, quare ab initio diftingui oportere dico. Nam quantum natura inter fe differunt, tantum victus rationem variari aequum eft. Ut autem has optime diftinguas, fatis mihi fuerit ea recenfere, quae adolefcenti acciderunt, quae exemplum documentaque tibi futura fint febrium non exquifite tertianarum. Medium erat anni tempus inter vergiliarum occafum et quod hunc antecefferat aequinoctium, in quo adolefcentem circa fere ipfam auroram febris cum horrore corripuerat: quae neque in calore neque in pulfibus tertianae fimilis effe videbatur, imo nec vomitus biliofus fequutus eft nec multus fudor, poftridie vero ad

Ed. Chart. X. [553.] Ed. Baf. IV. (201.)

ἐγίγνοντο, ἐφ' αἷς διεπνεῖτο μὲν ὁ πυρετὸς ἀτρέμα οὕτως, ὥστε περὶ τὴν ἑσπέραν μόγις ἀπύρετον εἶναι δοκεῖν· ἔμενε δὲ δηλαδὴ κατὰ τοὺς σφυγμοὺς τό τε τοῦ πυρετοῦ σημεῖον αὐτῷ σαφὲς ἱκανῶς. ἀλλὰ τἄλλα γε πάνυ εὐφόρως εἶχε κατὰ τὴν ἑσπέραν καὶ δι' ὅλης τῆς νυκτός. αὖθις δὲ περὶ τὴν ἕω τῆς τρίτης ἡμέρας δευτέρα καταβολὴ γίνεται, τὰ πάντα τῇ πρώτῃ παραπλησία, πλὴν τοῦ χρόνου· τῆς γὰρ ἐπιούσης νυκτὸς ὀλίγον πρὸ τῆς ἡμέρας νοτίδες ἐγίγνοντο καὶ ὁ πυρετὸς ἐπαύετο περὶ τὴν ἕω τῆς τετάρτης ἡμέρας· καὶ τοῦ λοιποῦ δὲ παντὸς φθινοπώρου καὶ χειμῶνος, ἐν ᾧ διενόσησε, τά τ' ἄλλα πάντα καὶ ὁ χρόνος τῆς καταβολῆς καὶ τῆς λύσεως τοῦ πυρετοῦ κατὰ ταὐτὰ διέμενον. ἦν δὲ τὸ μειράκιον ἡλικίαν μὲν ἀμφὶ τὰ ὀκτωκαίδεκα ἔτη, λευκὸν δ' ἰδέσθαι καὶ πῖον, ἀργότερον τῷ βίῳ καὶ πολλάκις ἔμπροσθεν ἐν μέθαις τε καὶ λουτροῖς συνεχέσι καὶ πλησμοναῖς γεγενημένον, ὥστ' οὐδὲ χρηστῶς ἔπεττε τὰ σιτία. συνεισέβαλε δ' αὐτῷ καὶ σκληρὸς σφυγμὸς ἐν μὲν τῇ πρώτῃ καὶ δευτέρᾳ τῶν ἡμερῶν μετρίως, ἐν δὲ τῇ τρίτῃ καὶ τετάρτῃ

horam circiter tertiam paucus exiit mador, cum quo et febris evanuit, fed adeo fenfim, ut circa vesperam vix febris expers aeger videretur, nimirum relicto tunc in pulfibus evidente admodum febris figno. Verum reliqua circa vefperam ac per totam noctem facile omnino aeger ferebat. Rurfus vero circa tertii diei auroram fecunda acceffio priori in omnibus praeter quam tempore fimilis rediit: fequente enim nocte paulo ante diem exhalato vapore febris deceffit circa quarti diei auroram, et reliquo toto autumno ac hieme, quo tempore aegrotavit, tum reliqua omnia tum acceffionis et folutionis febris tempus eadem permanferunt. Adolefcens autem annos plus minus octodecim natus erat, afpectu albus ac pinguis, vitae deditus otiofiori priusque crebris tum crapulis tum lavationibus ufus ac fatietatibus, proinde cibos improbe concoquebat. Acceffit vero et huic pulfus durities mediocris quidem in primo et fecundo die, in tertio vero et quarto et fequentibus usque ad feptimum

καὶ ταῖς ἐφεξῆς μέχρι τῆς ἑβδόμης εἰς τοσοῦτον ἧκε σκληρότητος, ὡς ἄν τινα δόξαι τῷ σφυγμῷ μόνῳ πιστεύσαντα πολλῶν εἶναι τὸ νόσημα μηνῶν· καὶ τοιοῦτος παρέμενεν ἄχρι τῆς κατὰ τὸ ἔαρ ἰσημερίας, ἐν ᾗ πρῶτον ἤρξατο μαλάττεσθαι. καὶ αὖθις ὕστερον ἡμέρᾳ τεσσαρακοστῇ τελέως ἀπαλλάττεται τοῦ τριταίου, κατὰ βραχὺ τοῦ τε σφυγμοῦ μαλαχθέντος καὶ τοῦ παροξυσμοῦ μικροτέρου γιγνομένου καὶ τῶν οὔρων ὑπόστασιν χρηστὴν ἐχόντων· καὶ γὰρ οὖν καὶ ταῦτα κἀν τῷ πρόσθεν χρόνῳ πάντα δεινῶς ἦν ἄπεπτα. τοιοῦτος μὲν δὴ ὁ ἐναντιώτατος τῷ ἀκριβεῖ τριταίῳ. τοὺς δ᾽ ἄλλους τοὺς μεταξὺ παμπόλλους ὄντας ἐκ τῶν ἄκρων ἀφωρισμένων οὐ χαλεπῶς ἂν εὑρήσεις. ἃ γὰρ ἐν ἀρχῇ τοῦ λόγου τριταίων πυρετῶν ἔγραψα γνωρίσματα, ταῦτα σύμπαντα εἰ παρείη, τὸν ἀκριβῆ τριταῖον οὐκ ἐργάζεται, ᾧ πάντως καὶ ὁ τοῦ παροξυσμοῦ χρόνος βραχὺς ὡρῶν τεττάρων ἢ πέντε ἢ ἓξ ἢ τὸ μήκιστον ἕνδεκά που ἢ δώδεκα. καὶ μὲν δὴ καὶ τὰ οὖρα τῶν τοιούτων ἐν τῇ τρίτῃ τῶν ἡμερῶν ἢ πάντως γε τῇ τετάρτῃ φέρει τι σημεῖον πέψεως. οὕτω μὲν οὖν ἀκριβῆ τε καὶ οὐκ ἀκριβῆ γνωρί-

ad tantam pervenit duritiem, ut fi quis foli pulfui credidiffet, multorum effe menfium morbum putaffet, ac talis permanfit usque ad vernum aequinoctium, in quo primum mollefcere coepit. Poftea rurfus quadragefimo die ab hac tertiana prorfus liberatus eft, paulatim pulfu emollefcente et acceffione decrefcente, urinisque probum fedimentum habentibus, quae prius vehementer crudae omnes erant. Haec quidem certe maxime contraria eft exquifitae tertianae. Reliquas vero omnes intermedias quae permultae funt ex definitis extremis haud difficile invenies. Si enim quae initio commentationis fcripfimus tertianarum figna omnia adfuerint, exquifitam tertianam effe teftabuntur, cujus acceffionis tempus breviffimum quidem omnino quatuor aut quinque aut fex horarum eft, longiffimum vero undecim aut duodecim. Atque etiam harum urinae tertio aut omnino quarto die concoctionis indicium oftendunt. His igitur notis abfoluta tertiana et fpuria cognofcuntur.

ζοις τριταῖον. ἀνάλογον δὲ καὶ τεταρταῖον καὶ ἀμφημερινόν. ᾧ μὲν γὰρ ὑπάρχει πάνθ᾽ ὅσα πρόσθεν ἔγραψα τεταρταίων πυρετῶν γνωρίσματα, γνήσιός τε καὶ ἀκριβὴς τεταρταῖος. ᾧ δὲ μὴ, νόθος τις ἐκεῖνος καὶ οὐκ ἀκριβής. καὶ ἀμφημερινῶν δὲ ὅτῳ μὲν πάνθ᾽ ὅσα γέγραπται πάρεστιν, ἀκριβής· ᾧ δὲ μὴ, ὁ τοιοῦτος οὐκ ἀκριβής. οὐκ οὖν οὐδὲ χρόνιοι ὁμοίως τεταρταίῳ καὶ ἀμφημερινῷ οἱ οὐκ ἀκριβεῖς, ἀλλ᾽ ὥσπερ τριταῖος ὀξὺς ὁ ἀκριβὴς, οὕτω τεταρταῖός τε καὶ ἀμφημερινὸς χρόνιοι. ταῦτα μὲν ἐν τοῖς κατὰ περίοδόν τινα πυρέττουσι σκοπεῖσθαι. τῶν δ᾽ ἄλλων πυρεττόντων οὖρά τε καὶ διαχωρήματα καὶ τὴν ὅλην ἕξιν τοῦ σώματος ὁρᾷν· καὶ τὴν θερμασίαν καὶ τὴν τῶν ἀρτηριῶν κίνησιν, ὅσα τ᾽ ἄλλα πρὸς τούτοις ὁ Ἱπποκράτης τε [354] καὶ ἡ μακρὰ πεῖρα κελεύει σκοπεῖσθαι, χώρας καὶ ὥρας καὶ καταστάσεις καὶ ἡλικίας καὶ κράσεις σωμάτων, ἔθη τε καὶ τὰ προηγησάμενα τῶν αἰτίων καὶ τὰ συνεισβάλλοντα τοῖς νοσήμασι καὶ ὅσα μεταξὺ ἐπιφαίνεται. παρήνηται μὲν οὖν ὡς ἄν τινι δόξῃ τὸ πᾶν, οὐ μὴν πρός γε τὴν ἀλήθειαν

Ad hunc vero modum quartana et quotidiana diſtinguuntur. Cui enim omnia inſunt ſigna, quae prius in febribus quartanis ſcripſimus, germana exquiſitaque quartana eſt. Sin minus, ſpuria minimeque exquiſita. Et ex quotidianis legitima quidem eſt, cui omnia quae diximus inſunt, quae ſi non adſint, exquiſita non eſt. Itaque febres ſpuriae non tam longae ſunt quam quartana et quotidiana. Sed quemadmodum vera tertiana acuta eſt, ſic quartana et quotidiana diuturnae. Haec quidem in his quae circuitu repetunt conſideranda ſunt. In aliis vero febribus urinas, alvi excrementa et univerſum corporis habitum inſpicere oportet, calorem quoque et arteriarum motum. Ad haec alia quaecunque Hippocrates longaque experientia contemplanda eſſe jubent, nempe regiones, anni tempora, aëris conſtitutiones, aetates et temperaturas corporum, conſuetudines et antecedentes cauſas, quaeque una cum morbis invadunt quaeque medio tempore apparent. Omnia quidem ut cuipiam videri poſſet monita ſunt, ſed revera haud ita res ha-

ὧδ᾽ ἔχει. τὸ γάρ τοι μέγιστον μὲν ἁπάντων τούτων, ῥηθῆναι δὲ μικρότατον, οὐδέπω γέγραπται. τί δ᾽ ἐστὶ τοῦτο; ποσότης νοσήματος καὶ δυνάμεως· πρᾶγμα πρὸς μὲν τὴν δήλωσιν ἑνὸς ὀνόματος δεόμενον· εἰς δὲ τὴν χρείαν μέγιστον. οὐδὲ γὰρ οἷόν τε προγνῶναι καλῶς, ἄνευ τοῦ τὸ ποσὸν ἑκάστου τῶν εἰρημένων ἀκριβῶς ἐκλογίζεσθαι. καὶ γὰρ εἴτ᾽ ὀλέθριόν ἐστι τὸ νόσημα, εἴτε μὴ, καὶ ὁπηνίκα μᾶλλον δυνατὸν ἢ τεθνήξεσθαι τὸν ἄνθρωπον ἢ ἀπαλλαγήσεσθαι τοῦ πάθους, εἰ μὴ πάντων τῶν προειρημένων τὸ ποσὸν ἀκριβῶς διασκεψάμενος ἀνάγοις εἰς δύο κεφάλαια τήν τε νόσον αὐτὴν καὶ τοῦ νοσοῦντος τὴν δύναμιν, οὐκ ἂν οἷός τ᾽ εἴης προγνῶναι καλῶς. τῆς μὲν γὰρ δυνάμεως οὕτως ἰσχυρᾶς οὔσης ὡς περιγίγνεσθαι τοῦ νοσήματος, ἀνάγκη σωθῆναι τὸν ἄνθρωπον. εἰ δὲ τοὔμπαλιν εἴη, πάντως τεθνήξεται. μὴ τοίνυν ὁποῖόν τι τὴν ἰδέαν ἐστὶ τὸ νόσημα σκόπει μόνον, ἀλλὰ καὶ πηλίκον. οὐ μικρᾶς δὲ τοῦτό γε δεῖται τριβῆς, τά τ᾽ ἄλλα καὶ τῷ μήτε γραφῆναι μήθ᾽ ὅλως διδαχθῆναι λόγῳ δύνασθαι τὸ ποσὸν ἑκάστου. καὶ εἴτι ἄρα τὸ ἡμέτερόν ἐστιν, οὐχ ὑπ᾽ ἄλλου τινὸς εἰς το-

bet. Quandoquidem quod maximum horum omnium eſt, dictu autem breviſſimum, nondum explicatum eſt. Quid vero hoc eſt? Morbi et virium quantitas, res quidem quae verbo uno explicari poſſit; ad uſum maxima eſt. Neque enim bene praenoſcere poteris, niſi horum cujusque quantitate diligenter explorata. Non enim an morbus lethalis ſit nec ne nec quando vel mori vel a morbo vindicari potius homo debeat niſi omnium quae diximus quantitatem diligentius contemplatus, in duo redegeris capita in morbum ipſum et laborantis vires, praeſcire recte poteris. Nam ſi vires adeo validae ſint, ut morbum evincant, neceſſario ſanitati homo reſtituetur. Sin contra omnino morietur. Non igitur ſolum cujusnam ſit generis morbus, ſed et quantus ipſe ſit inſpiciendum eſt. Hoc autem non parva eget peritia, cum propter alia, tum quod nec ſcribi nec verbis explicari ullo modo eorum cujusque quantitas poſſit. Si quid igitur noſtrum eſt, id non tam ex alia re ulla quam ex crebra con-

σοῦτον ἀκριβείας ἥκει ἢ ἐκ τοῦ μάλιστα ἠσκῆσθαι περὶ τὸν τῆς ποσότητος στοχασμόν· τοῦτο μὲν δὴ καὶ ἐπ' αὐτῶν τῶν ἔργων καὶ μαθεῖν καὶ διδάξαι δυνατόν. ὅσα δ' ἐν τῇ ποιότητι τὸν διορι(202)σμὸν ἔχει, ταῦτα γράψομεν ἀκριβῶς τε ἅμα καὶ σαφῶς εἰς ὅσον ἐγχωρεῖ διὰ βραχέων.

Κεφ. ι'. Τὸν μὲν οὖν ἀκριβῆ τριταῖον, ὡς ἂν ὑπὸ τῆς ξανθῆς χολῆς κινουμένης δυναστευόμενον, ὑγραίνειν τε καὶ ψύχειν εἰς τοσοῦτον, εἰς ὅσον ἂν οἷόν τε μάλιστα. τὰ γὰρ ἐναντία τῶν ἐναντίων ἰάματά ἐστι, κολάζοντα μὲν τὸ ὑπερβάλλον, ἀντεισάγοντα δὲ τὸ λεῖπον. ὁ δὲ τῆς ξανθῆς χολῆς χυμὸς ἁπάντων τῶν ἐν τῷ σώματι χυμῶν θερμότατος καὶ ξηρότατός ἐστι. προτρέπειν οὖν χρὴ τὸν μὲν εἰς τὴν γαστέρα συῤῥέοντα, κενοῦσθαι δι' ἐμέτων· τὸν δὲ κάτω ὑπιόντα ὡσαύτως διὰ τῆς κάτω ἐκκρίσεως· τοῦτο μὲν δὴ καὶ αὐτόματον ἐν τοῖς ἀκριβέσι γίνεται τριταίοις. καὶ τοῖς οὔροις δὲ καὶ τοῖς ἱδρῶσι ποδηγεῖν· ἀγαθὴ δὲ καὶ ἡ διὰ τῶν κάτω τῆς χολῆς κάθαρσις. ἀλλὰ τὴν μὲν γαστέρα μαλακοῖς κλύσμασι κενοῦν· τὰ οὖρα δὲ προτρέπειν σελίνου τε καὶ ἀνήθου τοῖς πόμασιν

jiciendae quantitatis exercitatione percipitur, quod ex operibus et discere et docere possis. Quae vero qualitate distinguuntur, diligenter simul ac dilucide quam brevissime fieri poterit scribemus.

Cap. X. Exquisitam autem tertianam, ut in qua concitata bilis flava dominetur, quoad fieri maxime potest humectare ac refrigerare oportet. Nam contrariorum contraria sunt remedia, quae quod superat coerceant, quod autem deest farciant. Flavae autem bilis humor omnium qui in corpore sunt humorum calidissimus ac siccissimus est. Itaque adhortandum est, confluentem in ventriculum vomitu, deorsum vero subeuntem pari modo per inferiorem excretionem vacuari, quod et sponte exquisitis tertianis accidit. Per urinas quoque et sudores iter moliri oportet, sed commoda per inferna bilis purgatio. At mollibus clysteribus venter subducendus est, urinae vero potionibus iis in quibus maduerit apium et anethum provocandae. Et si coctio-

ἐναποβρέχοντα. καὶ ἢν σοι πέψεως σημεῖα προφαίνηται, θαῤῥῶν ἤδη καὶ τοῦ ἀψινθίου διδόναι· τοῦτο μὲν δὴ καὶ ἄλλως μέγιστον ἴαμα τοῦ στομάχου διὰ χολῆς δῆξιν καὶ μᾶλλον εἰ τῆς κόμης αὐτοῦ λαμβάνων ὅσον αὔταρκες ἐναποβρέχοις μελικράτῳ. λουτρὰ δὲ θερμὰ δι' ὕδατος ποτίμου τὸ μέν τι κενοῖ τῆς χολῆς ἀπάγοντα, τὸ δέ τι καὶ τῇ ποιότητι μεγάλως ὀνίνησιν· ὑγραίνει γὰρ καὶ ψύχει κατὰ δύναμιν, ὅσα τοιαῦτα λουτρά. τὰ δὲ θαλάττια καὶ ἁλμώδη καὶ νιτρώδη καὶ θειώδη πλεῖον μὲν ἀπάγει τῆς χολῆς, πολὺ δ' ἧττον ὠφελεῖ τῶν ποτίμων. ἄμεινον δ' εἰπεῖν, οὐδ' ὠφελεῖν αὐτὰ μειζόνως βλάπτοντα ταῖς ποιότησιν ἢ βοηθοῦντα ταῖς κενώσεσιν. ἀτὰρ οὖν καὶ οἶδά τινα κιβδήλῳ λογισμῷ τοιοῖσδε χρήσασθαι λουτροῖς ἀναπεισθέντα· εἶτα ξηρανθέντα τὴν ἕξιν τοῦ σώματος, εἰς τοσοῦτόν τε διαφθαρέντα, [355] ὥστε μαρανθεὶς ἀπέθανεν. ἐπέτεινε δὲ αὐτῷ καὶ ἡ ἄλλη πᾶσα δίαιτα πρὸς τὴν κένωσιν τῆς χολῆς. ἀεὶ δὲ χρὴ ποιότητας ἐναντίας τῇ κρατούσῃ παρὰ φύσιν ἀντεισάγειν· καὶ ὡς τὸ πολὺ βέλτιον τοῦτο τοῦ κενοῦν ὁπωσοῦν· ὅπερ οὔτ' αὐτὸς ἐγίνωσκεν, οὔθ' ἑτέρων

nis notae apparuerint, jam cum fiducia abfinthium dabis, quod alioqui ftomacho quem erodens bilis infeftat fummum remedium eft, praefertim fi ejus comae quantum ufus efflagitat in aqua mulfa maceraris. Sed et balnea calida ex aqua potabili profunt, tum quod bilis aliquid educunt, tum quod fua qualitate mirifice juvent; ea enim hujusmodi balnea humectant et facultate refrigerant. Marina vero, falfa, nitrofa, et fulphurofa plus quidem bilis exigunt, verum minus quam ex aqua dulci utilia funt: praeftat vero nec ea utilia dicere, quando plus fua qualitate laedunt quam vacuando profunt. Equidem novi quendam, qui falfo adductus judicio hifce balneis ufus eft ac deinde reficcato corporis habitu eo venit exitii, ut tabe interierit. Reliqua autem victus ratio illi bilis vacuationem adaugebat. At contraria qualitas qualitati praeter naturam excedenti perpetuo objicienda eft, et plerumque id utilius eft quam quovis modo vacuare; verum ipfe nec hoc noverat, neque ex aliis didicerat. In balneis

Ed. Chart. X. [355.] Ed. Baf. IV. (202.)

ἐμάνθανε λεγόντων. ἔν τε οὖν τοῖς λουτροῖς οὗτος ὁ σκοπὸς γιγνέσθω, διαβρέξαι τε καὶ ὑγρᾶναι τὸ σῶμα· καὶ διὰ τοῦτο μήτε νίτρου μήθ᾿ ἁλῶν μήτε νάπυος προσπάττειν, οἷα δὴ τοὺς πλείστους ἐστὶν ἰδεῖν λυμαινομένους τοῖς ἀῤῥώστοις, ἀλλ᾿ ὅτι μάλιστα θερμὸν ἔλαιον περιχέοντας ἐμβιβάζειν τε τῷ ὕδατι καὶ διαβρέχεσθαι, καὶ εἴ γ᾿ ἐθέλοιεν νήχεσθαι ἐν αὐτῷ, συγχωρεῖν αὐτοῖς εἰς ὅσον δύνανται. τοὺς δὲ φιλολουτροῦντας, οὐδ᾿ εἰ δὶς τῆς ἡμέρας λούειν ἐθέλοις, ἁμαρτάνοις· ἀλλ᾿ ἐν καιρῷ μάλιστά σοι τοῦτο μνημονευέσθω. εἰ δὲ καὶ πέψεως τῆς νόσου σημεῖα φαίνοιτο, κἂν εἰ πλεονάκις λούοις, οὐκ ἂν ἁμάρτοις. οἴνου δὲ πρὶν μὲν πέττεσθαι τὸ νόσημα παντάπασιν εἴργειν, ἀρξαμένου δὲ πέττεσθαι, λεπτὸν καὶ ὑδαρῆ καὶ ὀλίγον τὴν πρώτην διδόναι· πλησίον δ᾿ ἤδη τοῦ λύεσθαι γενομένου πλείονα. σιτία δὲ ὅσα ὑγραίνει τε καὶ ψύχει, πάντα χρήσιμα τριταίοις ἀκριβέσι. τὸ δὲ ποσὸν ἐν αὐτοῖς τοσοῦτον ὅσον πλεῖστον καλῶς πέψαι δύνανται. λαχάνων μὲν ἀτράφαξίς τε καὶ βλίτον καὶ λάπαθον καὶ μαλάχη καὶ θριδακίνη καὶ κολοκύνθη. τῶν δ᾿ ἄλλων ὅ τε πτισάνης χυλὸς καὶ τὰ διὰ

igitur hic fcopus fit, ut corpus abluatur ac humefcat, proinde neque nitrum neque fal neque finapi infpergenda funt; id quod factitare plurimos videre licet aegrotos enecantes. Ubi autem calente oleo plurimum perfuderis, in aquam ducere ac proluere oportet, et fi in ea natare velint, iis quantum poffunt permittendum eft. Qui vero balneis delectantur, neque fi bis die lavare velis peccabis, fed praecipue in memoria habeto, ut id opportune fiat. Nam fi coctionis morbi fignis apparentibus frequentius laveris, non erraveris. A vino vero, antequam morbus concoquatur, prorfus arcendi funt, ubi autem coctionis initium habuerit, paucum, tenue et dilutum initio dandum eft, liberalius vero ubi in propinquo morbi folutio eft. Cibus autem frigidus et humidus omnis exquifitis tertianis confert. Tantus autem dari debet quantus optime concoqui poffit. Ex oleribus quidem atriplex, blitum, rumex, malva, lactuca et cucurbita. Ex aliis autem cremor hordei et forbitio ex alica. Ex pifcibus vero

τοῦ χόνδρου ῥοφήματα, καὶ ἰχθύων οἱ πετραῖοι, καὶ τῶν πτηνῶν τὰ μαλακόσαρκα, καὶ τῶν μὴ τοιούτων τὰ πτερά· καὶ μὲν δὴ καὶ ἀλεκτρυόνων τοὺς ὄρχεις διδόναι καὶ τῶν συῶν τοὺς πόδας τε καὶ τοὺς ἐγκεφάλους· τῶν μικροτέρων δὲ εἰ καὶ τὰς σαρκὰς δοίης τακερὰς, οὐδὲν βλάψειας. ἀλλὰ καὶ ὠὰ συγχωρεῖν ῥοφεῖν καὶ μάλιστα τὰς λεκίθους· ῥᾷον γὰρ αὗται πέπτονται τοῦ λευκοῦ. καὶ τῶν ὀπωρῶν δέ γε συγχωρεῖν γεύεσθαι, τῶν γε μὴ παντάπασι δυσπέπτων. ἀπέχειν δὲ μέλιτός τε καὶ νάπυος καὶ ταρίχου καὶ τῶν δριμέων ἁπάντων καὶ οἴνων δὲ τῶν παλαιῶν ἱκανῶς καὶ ὅσοι θερμοὶ φύσει. αὕτη μὲν οὖν ἡ δίαιτα τῶν πολλῶν ἐστόχασταί σοι. ὅσοι δὲ μὴ τρυφῶσι, διαιτητέον ἐστὶ ὡς οἶσθα κἀμὲ διαιτηθέντα ποτὲ ἐν ἀκριβεῖ τριταίῳ πυρετῷ κατὰ τὸν Ἱπποκράτειον λόγον ἐν χυλῷ πτισάνης ἄχρι κρίσεως. ταῦτα μὲν ἐν τοῖς ἀκριβέσι τριταίοις.

Κεφ. ια΄. Ἐν δὲ τοῖς μὴ ἀκριβέσι προνοεῖσθαι χρὴ μάλιστα καθ᾽ ὅσον οἷόν τε μήτ᾽ αὐξῆσαι τὸ νόσημα μήτε καταβαλεῖν τοῦ νοσοῦντος τὴν δύναμιν ἐν χρόνῳ

ſaxatiles. Ex avibus quae molli ſunt carne et ex minime talibus alae, gallorum quoque teſticuli et ſuum pedes et cerebra danda ſunt, parvulorumque porcellorum ſi illiquefactas coctura carnes dederis, nihil offendes. Sed et ova ſorbilia permittuntur et maxime eorum lutea, ut quae quam album facilius coquantur. Ex fructuum autem genere ii guſtari conceduntur, qui omnino coctu difficiles non ſint. Melle vero, ſinapi, ſalſamentis et omnibus acribus abſtinere debent, et vinis admodum vetuſtis naturaque calidis. Haec quidem victus ratio eſto multorum ad conjecturam tibi tradita et expoſita. Qui vero molliter non educantur, iis victus inſtituendus eſt qualem me aliquando in exquiſita tertiana ex Hippocratis ſententia dare vidiſti, nempe ptiſanae cremorem usque ad febris judicium. Haec quidem in exquiſitis tertianis ſervanda ſunt.

Cap. XI. Maxime vero in his quae exquiſitae non ſunt tertianis, quoad fieri poteſt proſpiciendum eſt, ne morbus increſcat, dejiciantur que vires, ut quas longiore morbi

πλείονι ταλαιπωρεῖσθαι μέλλουσαν. ἔστι μὲν οὖν χαλεπὸν ἀμφοῖν κρατεῖν, ὡς ἂν τῶν μὲν ἀσιτιῶν ὅσον εἰς τὴν πέψιν τοῦ νοσήματος ὠφελουσῶν, τοσοῦτον ἢ καὶ ἐπὶ πλεῖον ἀδικουσῶν τὴν δύναμιν· τῶν δὲ τροφῶν ὅσον εἰς ῥώμην συντελουσῶν τῷ νοσοῦντι, τοσοῦτον ἐμποδιζουσῶν τὰς πέψεις. ἀλλὰ κἀνταῦθά σοι γνωστέον, εἰς ὅσον μὲν ἥκει μεγέθους ἡ νόσος, εἰς ὅσον δὲ καὶ ἡ δύναμις αὐτοῦ τοῦ νοσοῦντος· ἵνα πρὸς τὰ μείζονος ἐπικουρίας δεόμενα ἀποβλέπων ἀσιτίαις μὲν ἐν ἰσχυροτέρᾳ τῇ δυνάμει καὶ δυσπέπτῳ νοσήματι θαῤῥαλεώτερον χρήσῃ· τροφαῖς δὲ πλείοσιν ἐν ἀσθενεστέρᾳ μὲν τῇ δυνάμει, νοσήματι δὲ μὴ πάνυ δυσπέπτῳ. ταῦτα μὲν δὴ κἀν τοῖς ἄλλοις ἅπασι νοσήμασι χρὴ σκοπεῖν. [356] ἐν δὲ τοῖς οὐκ ἀκριβέσι τριταίοις οὐδὲ λούειν εὐθὺς κατ' ἀρχὰς ἀγαθὸν, ἀλλ' ἡνίκα ἂν φαίνοιτο ἤδη τὰ σημεῖα τῆς πέψεως, οὐδὲ καθ' ἡμέραν τρέφειν, ἀλλ' ἀρκεῖ παρὰ μίαν. ἡσυχία δὲ καὶ θάλψις τῶν καθ' ὑποχόνδριον αὐτοῖς συμφέρει καὶ ῥοφήματα τὰ εὔπεπτα καὶ κλύσματα τῆς κάτω γαστρὸς μὴ πάνυ μαλακά. καὶ εἰ αἵματος ἀφαιρέσεως δέοιντο, μηδὲ τοῦτο

intervallo afflictum iri oporteat, utrumque enim tenere difficile eft, quod inedia quantum ad morbi coctionem prodeft tantum vel plus etiam vires offendit, cibi vero quantum ad aegrotantis vires conferunt, tantum coctionem impediunt. Sed et hic nofcendum eft, ad quam magnitudinem morbus perventurus fit et quantum laborantis vires fint duraturae, ut ea perfpiciendo, quae majori auxilio egent, cibi abftinentia quidem, ubi valentiores funt vires et morbus coctu difficilis, confidentius utaris, ubi vero imbecilliores vires et morbus non omnino coctioni contumax eft, largiori cibo. Haec quidem et in omnibus aliis morbis confideranda funt. Neque vero ftatim per initia in fpuriis tertianis lavare falubre eft, fed ubi primum coctionis figna apparuerint. Neque quotidie cibum dare oportet, fed alternis diebus abunde fuerit. Quies autem et praecordiorum fotus juvat et forbitiones quae facilem admittant coctionem. Clyfteres quoque non admodum molles alvo indantur. Quod fi fanguinis mif-

παραλείπειν, ἀλλ᾽ εὐθὺς κατ᾽ ἀρχὰς διορισάμενος ἐξ ὧν οἶσθα ἀποχεῖν αἵματος ὅσον τοῖς παροῦσι μέτριον. ἡ δ᾽ ὅλη τῆς διαίτης κατάστασις οὐ ψύχουσα καὶ ὑγραίνουσα τὸ σύμπαν σῶμα ὡς ἐπὶ τῶν ἀκριβῶν ἐστι τριταίων, ἀλλά τι καὶ τοῦ τμητικωτέρου καὶ τοῦ θερμοτέρου τρόπου προσεπιλαμβανέσθω. μάλιστ᾽ οὖν ἁρμόσειεν αὐτοῖς ὁ τῆς πτισάνης χυλὸς ἐμβαλλομένου πεπέρεως· ἢ καὶ ὑσσώπου ποτὲ καὶ ὀριγάνου ἢ στάχυος νάρδου ἐμβαλὼν μελικράτῳ καὶ συναφεψῶν διδόναι πίνειν καὶ τἄλλα δ᾽ ὅσα οὖρα κινεῖ πλὴν τῶν ἄκρως θερμαινόντων τε καὶ ξηραινόντων. μάλιστα δὲ τοῦ ἀψινθίου διδόναι συνεχέστατα μετὰ τὴν ἑβδόμην ἡμέραν. καὶ μὲν δὴ καὶ ὀξύμελι πολλοὺς ὤνησε πινόμενον καί τι τῶν ἐπιεικῶν ὑπηλάτων, οἷς οἶσθα καὶ ἡμᾶς χρωμένους συνεχῶς. ὁ δὲ ἐπὶ τοῖς σιτίοις ἔμετος εἰς τοσοῦτον ἄρα τοῖς ἐν τῷδε πυρετῷ χρονίζουσι χρήσιμος, ὥστε πολλοὺς οἶδα τελέως ἀπαλλαγέντας εὐθέως ἐπὶ τοῖς ἐμέτοις.

Κεφ. ιβ΄. Ἑξῆς δὲ περὶ τῶν τεταρταίων ἐροῦμεν, οὓς καὶ αὐτοὺς κατ᾽ ἀρχὰς μετρίως τε καὶ πράως ἄγειν

fione opus fit, neque ea omittenda eft, fed initio ftatim diftinctis iis quas nofti rebus tantum detrahes, quantum fatis effe in praefentia videatur. Tota vero ratio victus fit, non quae ut in exquifita tertiana refrigeret et humectet, fed quae vim aliquam incidendi et calefaciendi affumat. His igitur maxime prodeft ptifanae fuccus cui injectum piper fit, aut nonnunquam etiam hyffopum et origanum et mulfa cui injecta nardi fpica eft et cocta potui datur, aliaque quae ciendae urinae vim habent, nifi ea vehementer calefaciant exficcentque. Frequentiffime vero abfinthii coma maxime poft feptimum diem danda eft, mulfum acetum etiam multis in potu profuit et aliquod ex iis quae blande purgant, quibus nos faepe uti vidifti. Vomitus autem poft cibum adeo fane utilis eft illis quibus haec febris inveteraverit, ut multos norim ftatim poft vomitiones a febre prorfus effe liberatos.

Cap. XII. Deinceps autem de quartanis differemus, quas per initia moderate leniterque tractare oportet, nullum

χρὴ, μήτε φάρμακόν τι τῶν ἰσχυρῶν μηδὲν προσφέροντας μήτε κένωσιν, εἰ μή τι ἄρα πάνυ σφόδρα φαίνοιτο πλεονάζον αἷμα. καὶ εἰ διελόντι φλέβα τὸ ῥέον εἴη μέλαν καὶ παχὺ, μάλιστα δ᾽ ἐν τοῖς σπληνώδεσι τοιοῦτον εὑρίσκεται, θαῤῥεῖν τῇ κενώσει· ξανθοῦ δὲ καὶ λεπτοῦ φανέντος, ἐπέχειν αὐτίκα. τέμνειν δὲ φλέβα ἤτοι τὴν ἐντὸς ἢ τὴν μέσην ἀγκῶνος ἀριστεροῦ, καὶ δίαιταν ἐφεξῆς ἄφυσόν τε καὶ χρηστὴν διαιτᾶσθαι, μαλάττοντας τὴν γαστέρα, καθ᾽ ὅσον οἷόν τε διὰ τῶν (203) συνηθῶν. εἰ δὲ μηδὲν ἀνύοι ταῦτα, κλύσμασι χρῆσθαι κατ᾽ ἀρχὰς μὲν μαλακοῖς, ὕστερον δὲ καὶ δριμυτέροις. χοιρείων δ᾽ εἴργειν αὐτοὺς κρεῶν καὶ πάντων ὅσα γλίσχρα καὶ βραδύπορα καὶ τῶν ψυχόντων καὶ τῶν ὑγραινόντων ἐδεσμάτων ἁπάντων, οἴνῳ δὲ χρῆσθαι λευκῷ τε καὶ λεπτῷ καὶ συμμέτρως θερμῷ. καὶ πτηνῶν τοῖς εὐχύμοις καὶ οὐχ ἑλείοις· καὶ ἰχθύων τοῖς εὐπέπτοις τε καὶ μαλακοσάρκοις καὶ μηδὲν γλίσχρον ἔχουσι. καὶ ταρίχει δὲ χρῆσθαι καὶ νάπυϊ καὶ δι᾽ ἡμερῶν τινων τῆς διὰ τριῶν πεπέρεων προσλαμβάνειν ἢ τοῦ διοσπολιτικοῦ φαρμάκου· καὶ εἰ πεπέρεως μόνου σὺν ὕδατι καθ᾽ ἑκάστην

vehemens medicamentum aut vacuationem adhibentes, nisi sanguis admodum exsuperare videatur. Et si secta vena sanguis niger ac crassus, qualis maxime in lienosis conspicitur, profluat, audacter mittendus est, sin flavus ac tenuis, statim supprimendus. Secanda vero vel interna vel media sinistri cubiti vena est et victus deinceps qui flatus sit expers probumque succum generet adhibeatur, venterque si fieri potest consuetis emolliatur, quae si non profecerint, clysteribus per initia quidem mollibus, postea vero acrioribus sollicitandus est. A suilla autem carne cibisque omnibus glutinosis et lentis seu tarde meantibus, quique refrigerant et qui exsiccant arcendi sunt aegroti, vino vero albo, tenui et mediocriter calido utantur. Ex avibus autem quae boni succi sint ac non palustres, ex piscibus qui facile coquantur et molli minimeque glutinosa sint carne dare oportet. Salsamentis vero ac sinapi utendum est et certis diebus interpositis medicamentum quod ex triplici pipere est sumendum, aut diospo-

ἡμέραν λαμβάνοιεν, ὀρθῶς ἂν ποιοῖεν. τρίψεων δὲ καὶ περιπάτων καὶ λουτρῶν καὶ τῶν ἄλλων τῶν συνηθῶν μὴ παντελῶς εἴργειν. εἰ δὲ καὶ παντάπασιν ἀπέχεσθαι λουτρῶν δύναιντο, ταῖς τρίψεσιν ἀρκούμενοι μάλιστ᾽ ἂν ὀνίναιντο. καὶ εἰ βραχὺς εἴη καὶ μὴ πάνυ βίαιος ὁ τεταρταῖος πυρετὸς, ἐν ταῖς μέσαις τῶν ἡμερῶν οὐδὲν χεῖρον ἅπτεσθαι τῶν συνηθῶν γυμνασίων. ταῦτα μὲν δὴ κατὰ τὰς ἀρχὰς καὶ μέχρι τῆς ἀκμῆς πρακτέον. εἰ δ᾽ ἐν ἀκμῇ μάλιστά που δοκοίη τοῦ νοσήματος εἶναι ὁ κάμνων, τότε χρὴ διαιτᾷν μὲν λεπτότερον ἢ πρόσθεν τε καὶ ὄπισθεν· εὐθὺς δὲ καὶ ἡσυχάζειν εἰς μακρὸν κελεύειν· [357] καὶ τῶν σπλάγχνων προνοεῖσθαι, καταιονῶντά τε καὶ καταπλάττοντα τοῖς μαλάττειν τε καὶ χαλᾷν δυναμένοις. ἐφεξῆς δὲ τοῖς διουρητικοῖς καλουμένοις χρῆσθαι φαρμάκοις· καὶ εἰ τὰ τῆς πέψεως τοῦ νοσήματος σημεῖα φαίνοιτο, καθαίρειν τηνικαῦτα τοῖς τοὺς μέλανας χυμοὺς κενοῦσι φαρμάκοις χρὴ οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ πολλάκις, ἢν οὕτως δέῃ. χρῆσθαι δὲ καὶ τοῖς ἀπὸ τῶν σιτίων ἐμέτοις τηνικαῦτα συνεχῶς, καὶ μηδενὸς κωλύοντος ἐλλέβορον λευκὸν διδόναι τὴν πρώτην

liticon, folumque piper cum aqua recte quotidie praebebis. A frictionibus vero, ambulationibus, balneis aliisque confuetis penitus arcendi non funt. Verum fi a balneis omnino abftinere poffent, folis contenti frictionibus plurimum juvarentur. Et fi brevis quartana fit minimeque violenta, non male per acceffionum intermiffiones aegroti ad folitas exercitationes fefe conferent. Haec quidem per initia usque ad vigorem peragenda funt. Quod fi in morbi vigore conftitutus aeger jam effe videatur, tunc tenuiori quam ante vel poft victus ratione uti debet, ftatimque longa quies imperanda eft, ac vifceribus providendum fotu ac litu, quibus emolliendi laxandique vis infit. Deinde medicamentis quae diuretica vocant urinas evocare oportet, et fi coctionis notae apparuerint, tunc medicamentis quae atram bilem educunt non femel, fed faepe purgare, fi res ita exigere videatur. A cibo vero aegrotum vomere oportet: tunc autem fi nihil vetet, album veratrum faepe dandum eft primum ra-

ἐπιμιγνύντα ῥαφανίσιν· εἰ δὲ μηδὲν ἀνύει καὶ αὐτὸν τὸν ἐλλέβορον. οἷς δ' ἐμεῖν ἀδύνατον, τούτους σφοδρότερον καθήραντας κάτω τοῦ διὰ τῶν ἐχιδνῶν φαρμάκου πίνειν διδόναι καὶ τῶν ἄλλων ὅσα πρὸς τοὺς τοιούτους ἐπαινεῖται πυρετούς· ἐν οἷς ἐστι καὶ τὸ σύνηθες ἡμῖν ἁπάντων δοκιμώτατον, ὁποῦ τοῦ Κυρηναϊκοῦ λαμβάνον. ὅσοι δὲ κατ' ἀρχὰς τῶν τοιούτων τι φαρμάκων ἔδοσαν ἢ ὅλως πρὸ τῆς ἀκμῆς, ἁπλοῦν μὲν ὄντα τὸν τεταρταῖον διπλοῦν πολλάκις ἐποίησαν, ἢ πάντως μείζονά τε καὶ χαλεπώτερον εἰργάσαντο· διπλοῦν δὲ ὄντα τριπλοῦν ἐποίησαν, ἢ πάντως γε τοὺς δύο χαλεπωτέρους τε καὶ μείζονας. οἶδα δέ τινα ἰατρὸν, ὅστις ἐτόλμησεν ὑπὸ τριῶν ἐχομένῳ τεταρταίων δοῦναι τοῦ διὰ τῶν ἐχιδνῶν φαρμάκου οὔπω τοῦ νοσήματος ἀκμάζοντος· εἶτα οἷα εἰκὸς αὐξηθέντων ἁπάντων συνεχὴς διαδεξάμενος πυρετὸς ἀπέκτεινε τὸν ἄνθρωπον.

Κεφ. ιγ'. Ἀμφημερινὸν δὲ θεραπεύων ὀξυμέλιτί τε χρῶ κατὰ τὰς πρώτας ἡμέρας καὶ τοῖς οὖρα καλῶς προτρέπειν δυναμένοις καὶ τὸ σύμπαν σοι τῆς διαίτης κεφάλαιον

dioulis immiſſum, quod ſi nihil profuerit, ipſum etiam veratrum. His vero qui vomere nequeunt, vehementius per inferiora purgatis medicamentum, quod ex viperis eſt temperatum, dandum eſt et alia quae adverſus has febres commendantur, in quibus omnium probatiſſimum habetur, quod ex liquore Cyrenaico conficitur, nobis uſitatum. Qui autem per initia aliquod ex his medicamentis dederunt aut omnino ante morbi ſtatum ex ſimplici quartana duplicem ſaepe aut omnino majorem ac difficiliorem, ex duplici vero triplicem aut omnino duas ipſas difficiliores ac majores reddiderunt. Novi enim medicum quendam, qui tribus quartanis laboranti medicamentum ex viperis ante morbi vigorem dare ſit auſus: deinde omnibus ut par erat adauctis aſſidua febris ſucceſſit, quae hominem jugulavit.

Cap. XIII. In curanda autem quotidiana primis diebus tum aceto mulſo tum his quae probe urinam cieant eſt utendum, ac in ſumma victus ratio incidendi vi praedita eſſe

τμητικώτερον ἔστω. περὶ δὲ τὴν ἀκμὴν προνοεῖσθαι χρὴ τῆς γαστρὸς, μάλιστα δὲ τοῦ στόματος αὐτῆς. κἄπειτ᾽ ἐμεῖν ἀπό τε ῥαφανίδων καὶ σιτίων κελεύειν καὶ τοῖς φλέγμα κενοῦσιν ὑπηλάτοις χρῆσθαι. τὰ δ᾽ ἄλλα τῆς διαίτης πρὸς τοὺς κοινοὺς ἀποβλέπων σκοποὺς ἐξευρήσεις.

Κεφ. ιδ'. Τοὺς δὲ συνεχεῖς πυρετοὺς, οἷς μὲν ἡ ἀκμὴ τοῦ νοσήματος οὐ πορρωτέρω τῆς ἑβδόμης ἔσεσθαι μέλλοι καὶ ἔστιν ἡ δύναμις ἰσχυρὰ καὶ τὰ τῆς ἡλικίας ὁμολογεῖ, τούτους μὲν ἀκριβῶς τε πάνυ διαιτᾷν καὶ λεπτῶς. ὅσοις δ᾽ ἤτοι πορρωτέρω τῆς ἑβδόμης ἡ ἀκμὴ τοῦ ὅλου νοσήματος ἢ τὰ τῆς δυνάμεως οὐκ εὔρωστα, κατ᾽ ἀρχὰς μὲν ἁδρότερον, ἐγγὺς δὲ τῆς ἀκμῆς λεπτότερον, ἀκμαζόντων δ᾽ ἤδη λεπτότατον διαιτᾷν. εἶτ᾽ αὖθις ἁδροτέραν ἀεὶ καὶ μᾶλλον ὁμοίαν τὴν αὔξησιν ποιούμενον τῇ πρὸ τῆς ἀκμῆς μειώσει. αἵματος δὲ ἀφαίρεσις διά τε τὸ μέγεθος τοῦ νοσήματος καὶ οἷς πολὺ πλέον ἔρευθός ἐστι τοῦ κατὰ φύσιν καί τις ὄγκος ἀήθης ὅλου τοῦ σώματος μετέωροί τε καὶ τεταμέναι φλέβες, τούτων ἀφαιρεῖν, ἢν μή σε τὰ τῆς δυνάμεως ἢ τὰ τῆς ἡλικίας ἤ τι τῶν ἄλλων ὧν κατ᾽

debet. Circa ſtatum vero de ventre maximeque ejus ore ſollicitum eſſe oportet: poſteaque jubere ut a raphanide et cibis aſſumptis aeger vomat: hisque utatur medicamentis, quae pituitam eliciant. Reliquam vero victus rationem ex communibus ſcopis facile invenies.

Cap. XIV. In febribus autem continuis, quibus morbi vigor non longius ſeptimo futurus eſt et vires validae ſunt aetasque conſentit, exquiſitus omnino et tenuis victus inſtituendus eſt. In quibus vero longius ſeptimo totius morbi ſtatus erit aut virtus imbecilla eſt, per initia quidem liberalius, inſtante vero ſtatu parcius, vigente autem morbo tenuiſſime alere oportet. Poſtea rurſus ſemper uberius eodem modo cibum augendo, quo ante ſtatum minuebatur. Sanguis vero et ob morbi magnitudinem et quibus rubor major quam naturae conveniat ineſt et univerſum corpus plus ſolito tumet aut venae eminentes ac diſtentae ſunt mittendus eſt, niſi vires, aetas et alia quae initio commemorata

Ed. Chart. X. [357. 358.] Ed. Baf. IV. (203.)

ἀρχὰς εἶπον ἀπείργει. ὑγραὶ δὲ δίαιται ὅτι τοῖς ὀξέσι πυρετοῖς ἅπασι συμφέρουσιν ὀρθῶς εἴρηται πάλαι. πτισάνης τε οὖν χυλὸν οἷς οὐκ ὀξύνεται διδόναι καὶ μελίκρατον οἷς οὐκ ἐκχολοῦται καὶ τὰ διὰ τοῦ χόνδρου ῥοφήματα καὶ ἄρτον δι᾽ ὕδατος, ὅσα τ᾽ ἄλλα τῆς αὐτῆς ἢ παραπλησίας ἐστὶ δυνάμεως. τοῖς δ᾽ ἰσχυρῶς θερμοῖς καὶ καυσώδεσιν, ὅταν πρῶτον ἴδῃς τὰ τῆς πέψεως σημεῖα, θαῤῥῶν ὕδατος ἤδη ψυχροῦ διδόναι πίνειν [358] τῆς δόσεως τὸ πλῆθος, μετρῶν ὥρᾳ τε καὶ χώρᾳ καὶ ἡλικίᾳ καὶ φύσει καὶ ἔθει. τοιαύτη μέν τις ἐν τῷ καθόλου φάναι τῶν ἄνευ συμπτωμάτων πυρετῶν ἐπιμέλεια.

Κεφ. ιέ. Τῶν δὲ μετὰ συμπτωμάτων πυρετῶν οὐκ ἔθ᾽ ἁπλῶς οὕτως, ἀλλὰ μετρῆσαι χρὴ καθ᾽ ὅσον οἷόν τε πηλίκος μὲν ὁ πυρετὸς, πηλίκον δὲ τὸ σύμπτωμα τὸ τὸν κίνδυνον ἐπιφέρον, καὶ πρὸς τὸ σφοδρότερον ἐν αὐτοῖς καὶ χαλεπώτερον ἵστασθαι, μηδὲ θατέρου παντάπασιν ἀμελοῦντας. φέρε γὰρ εἴ τις πυρέττοι μὴ τῆς καλουμένης πληθωρικῆς διαθέσεως παρούσης, ἀλλ᾽ ἐξ ἀπεψιῶν τε προσφάτων εἴη καὶ δάκνοιτο καὶ θλίβοιτο τὸ στόμα τῆς γαστρὸς ἢ καὶ χυμὸν

ſunt prohibeant. Quod vero humidus victus acutis omnibus febribus conferat olim recte dictum eſt. Cremor igitur ptiſanae in quibus non aceſcit exhibendus eſt et mulſa quibus in bilem non vertitur ſorbitionesque ex alica et panis ex aqua aliaque quae aut eandem aut huic proximam facultatem obtineant. Quod ſi vehementer calidae ſint deurantque febres, ubi primum coctionis notae apparuerint, cum fiducia danda in potu frigida eſt, cujus modum ex tempore, regione, aetate, natura et conſuetudine metimur. Haec quidem in univerſum eſt curandarum febrium quae accidentibus carent ratio.

Cap. XV. Quae vero cum ſymptomatis ſunt febres, haud ita ſimpliciter curantur, ſed quoad fieri poteſt expendere oportet, quanta febris ſit quantumque ſymptoma, quod periculum adferat, ac horum vehementiori moleſtiorique inſiſtendum, non neglecto tamen omnino altero. Age igitur febricitet quispiam citra humorum redundantiam, ſed cum recenti cruditate os ventris mordente prementeque rejecerit

τινα μοχθηρὸν ἐμημεκὼς εἴη καὶ τῇ τούτου διόδῳ μεγάλως βεβλαμμένος, ὥστε καὶ δυσφορεῖν καὶ ἀλύειν· ἆρ' ἐνταῦθα πρὸς τὸν πυρετὸν ἀποβλέψαντες μόνον κενοῦν ἐπιχειρήσομεν τὸ πλῆθος, ὅπερ ἄλλως ἂν ἀλύπως ἐπράξαμεν; ἢ πρότερον τοῦ στόματος τῆς γαστρὸς προνοησόμεθα, κἄπειθ' οὕτως, ἐπειδὰν ἡμῖν καλῶς ἔχῃ τοῦτο, τὴν ἐνδεχομένην τοῦ παντὸς σώματος κένωσιν ποιησόμεθα; ἐμοὶ μὲν οὖν οὕτω δοκεῖ. πολλάκις γοῦν εἶδον πολλοὺς τῶν τοιούτων, τοὺς μὲν ἀπολλυμένους, τοὺς δ' εἰς ἔσχατον ἀφικομένους κινδύνου, ἐπιχειρησάντων αὐτοὺς κενοῦν τῶν ἰατρῶν, πρὶν ῥῶσαι τὸν στόμαχον. ἀλλ' οὐδὲ εἰ μετὰ διαῤῥοίας ὁ πυρετὸς εἴη, χρήζει τινὸς ἄλλης κενώσεως, ἀλλ' αὐτάρκης αὕτη, κἂν μὴ κατὰ λόγον ᾖ τοῦ πλήθους. ὅσοι γὰρ τῶν τοιούτων ὡς πλείονος χρηζόντων ἀφαιρέσεως ἤτοι τοῦ αἵματος ἀπάγειν ἐτόλμησαν ἢ τὴν γαστέρα κινεῖν, ἔτι μᾶλλον ὀξεῖς κινδύνους ἐπήνεγκαν. ἀλλ' οὐδ' εἰ σπώμενός τις ἅμα καὶ κενώσεως αἵματος εἴη χρήζων, οὐδὲ τούτῳ τοσοῦτον ἀφαιρεῖν προσήκει εἰσάπαξ ὅσου δεῖται τὸ πάθος, ἀλλά τι καὶ τῷ συμπτώματι καταλειπτέον ἱδρῶτάς

vomitione humorem aliquem vitiofum, qui in tranfitu ita vehementer aegrotum laeferit, ut moleftie anxieque ferat. Solamne multitudinem ad febrem tum refpicientes vacuare tentabimus, quod citra moleftiam alioqui feciffemus? An prius ori ventris profpiciemus ac poftea ubi recte id habuerit univerfum corpus quantum res ipfa expofcit vacuabimus? Mihi fane ita videtur. Tales igitur non paucos faepe vidimus alios quidem interiiffe, alios vero in fummum periculum fuiffe adactos, quum eos vacuare ventris ore nondum confirmato medici tentaffent. Sed nec fi cum alvi profluvio febris fuerit alia vacuatione eft opus. Verum ipfum per fe fufficit, etiam fi non fit pro plenitudinis ratione. Quicunque enim ab iis tanquam majori inanitione egentibus vel fanguinem ducere vel ventrem movere aufi funt, in gravia pericula praecipitarunt. At fi quis convulfus fit fimulque fanguinis miffione egeat, ne fic quidem femel et univerfim tantum detrahes quantum affectus exigit, fed et aliquid

τε πολλάκις κινοῦντι καὶ ἀγρυπνίας προσφέροντι καὶ τὴν ἰσχὺν καταβάλλοντι τοῦ νοσοῦντος. οὕτω δὲ καὶ εἰ ἀγρυπνία σφοδρὰ καὶ εἰ ἄλγημα σύντονον ἐνοχλοίη τὸν νοσοῦντα, φυλακτέον ἀθρόας τε καὶ πολλὰς κενώσεις. οἷον δέ τι σύμπτωμα καὶ τὴν τοῦ περιέχοντος ἀέρος ὑπολογιστέον κρᾶσιν, ὅταν γε ἀκριβῶς ᾖ θερμὴ καὶ ξηρὰ καθάπερ ἦν τις ἐν τῷ μεταξὺ κυνὸς ἀνατολῆς καὶ ἀρκτούρου. καὶ διὰ τοῦτο πάντες ἀπέθανον, ὧν οἱ μηδ᾽ ὅλως ταῖς ὥραις προσέχοντες ἰατροὶ τὰς φλέβας τεμεῖν ἐθάῤῥησαν. οὕτω δὲ καὶ εἰ ψυχρά τις εἴη πάνυ σφόδρα, καὶ γὰρ οὖν καὶ τότε φυλακτέον ἀποχεῖν τι τοῦ αἵματος, εἰδότας οὐ μικροὺς ἐν τοῖς τοιούτοις ἀκολουθεῖν κιν(204)δύνους. ἀπόλλυνται δ᾽ οἱ μὲν ἐν ταῖς θερμαῖς πάνυ καταστάσεσιν οὐκ ὀρθῶς κενωθέντες ὑπὸ τῆς καλουμένης συγκοπῆς τε καὶ διαφορήσεως. οἱ δ᾽ ἐν ταῖς ψυχραῖς ἐν ἀρχαῖς τῶν παροξυσμῶν καταψυχθέντες σφοδρῶς οὐκέτ᾽ ἀναφέρουσι. ταῦτ᾽ ἄρα καὶ τῶν χωρίων οὔτ᾽ ἐν τοῖς θερμοῖς ἄγαν οὔτ᾽ ἐν τοῖς ψυχροῖς αἵματος ἀφαιρέσει θαῤῥοῦμεν. ἀλλ᾽ ἐὰν μὲν ὁμολογῇ τὰ τῆς ὥρας τῷ χωρίῳ, παντάπασιν ἀπεχόμεθα· μὴ ὁμολογούν-

fymptomati eft relinquendum, quod plerumque fudores movet, vigilias adfert et robur dejicit aegrotantis. Ad eundem autem modum fi vehemens vigilia dolorque gravis aegrotum infeftet, fubitas ac multas vacuationes vitare oportet. Aëris vero ambientis temperatura, quum omnino calida et ficca eft, qualis inter Canis et Arcturi exortum, fymptomatis loco habenda eft. Quocirca omnes quibus medici neglecta temporum ratione venam fecare aufi funt perierunt. Ad eundem modum, fi vehementer admodum frigida fit, nam tum quoque a fanguinis miffione eft temperandum, quando in talibus non parva fequi pericula videmus. Etenim in calidis vehementer aëris conftitutionibus improbe vacuati fyncope, ut vocant, ac refolutione intereunt. At in frigidis per acceffionum initia vehementer refrigerati non amplius relevantur. Igitur neque in calidis neque in frigidis fupra modum regionibus fanguinem mittere audemus. Quod fi regioni temporis conditio refpondeat, omnino abftinemus, at fi non

των δὲ κενοῦμεν μὲν, ἀλλ᾽ ἔλαττον πολὺ ἢ ὡς εἰ μηδ᾽ ἕτερον ἐκώλυεν. οἷον δέ τι σύμπτωμα καὶ τὸ τοῦ νοσοῦντος εὐπαθὲς ὑφοράσθαι χρή. πολλοὶ γὰρ οὔτ᾽ ἐκενώθησάν ποτε οὔτε κένωσιν ἀθροωτέραν οὐδεμίαν οὔτ᾽ ἀσιτίαν μακροτέραν φέρουσιν· ἀλλ᾽ οἱ μὲν ἄῤῥωστοι τὴν ἅπασαν ἰσχὺν τοῦ σώματος [359] ἐπ᾽ αὐτοῖς γίνονται ῥᾳδίως· οἱ δ᾽ εὐθὺς τὸν στόμαχον φαύλως ἴσχουσιν, ὥστε ἀποστρέφεσθαι τὰ σιτία· καὶ εἰ βιασάμενοι λάβοιεν ἢ μὴ κατέχειν ἢ μὴ πέττειν καλῶς. ἐν τούτῳ τῷ μέρει τῆς διαγνώσεως καὶ τὴν κρᾶσιν τοῦ νοσοῦντος θεωρητέον. ὅσοι γὰρ θερμοὶ καὶ ξηροὶ φύσει τυγχάνουσιν ὄντες, οὗτοι πάντες ὑπὸ τῶν ἀθρόων κενώσεων ῥᾳδίως βλάπτονται. καὶ μὲν δὴ καὶ τὸ ἔθος οὐ μικρὰ μοῖρα πρός τε τἄλλα σύμπαντα καὶ οὐχ ἥκιστα πρὸς τὴν τῆς κενώσεως ἔνδειξιν. οἱ μὲν γὰρ οὔτ᾽ ἐκενώθησαν ἔμπροσθεν οὔτε ποτὲ κένωσιν ἀθρόαν ὑπήνεγκαν, παμπόλλοις σιτίοις ἐχρῶντο. τινὲς δ᾽ ἔμπαλιν οὔτε πολλοῖς χρῶνται σιτίοις καὶ κενώσεων ἐθάδες εἰσί. τούτους μὲν οὖν ἀδεῶς κενωτέον, ὅταν γε καὶ τἄλλα ὑπαγορεύῃ. τοὺς δ᾽ ἑτέρους τοὺς ἀήθεις οὐδ᾽ εἰ

confentit, vacuamus quidem, fed longe minus quam fi neutrum vetaret. Quin etiam velut fymptoma quoddam ad fufcipiendam affectionem proclivitas confideranda eft. Multi enim nunquam evacuati fuerunt, neque ullam pleniorem vacuationem neque longiorem inediam ferunt, ut quae aliis omnes corporis vires facile dejiciant, aliis ftatim os ventris adeo male afficiant, ut a cibis abhorreant et fi affumere cogantur, aut non contineant aut improbe coquant. In hac dignotionis parte expendenda eft aegri temperies. Natura enim calidi et ficci omnes ab integra vacuatione prompte laeduntur. Confuetudo quoque non parum habet momenti, cum ad alia omnia, tum maxime ad vacuationis indicationem. Alii enim nunquam funt vacuationem ante experti neque integram pertulerunt largoque cibo ufi funt. Alii contra amplo cibo nec utuntur et vacuationibus funt affueti. Hos igitur intrepide vacuare oportet, modo reliqua id faciendum dictent. Alios vero nempe infolitos non item,

τἄλλα σύμπαντα προτρέποιτο. κατὰ ταὐτὰ δὲ καὶ τὰς ἕξεις τοῦ σώματος χρὴ σκοπεῖσθαι. τοῖς μὲν γὰρ πυκνὴν καὶ στερεὰν ἔχουσι τὴν σάρκα δυσπαθὴς ἡ ἕξις. ὥστ᾽ οὐδὲν χρὴ δεδιέναι κενοῦν αὐτοὺς εἰσάπαξ, ἤν γε καὶ τἄλλα κελεύῃ. τοῖς δὲ μαλακήν τε καὶ βρυώδη καὶ διαῤῥέουσαν ἑτοίμως εὐπαθὴς ἐστι δεινῶς. ὥστε τῶν γε τοιούτων οὐδ᾽ εἰ πάντα τἄλλα κελεύοι, τοῦ αἵματος ἀποχεῖν οὐδὲ τότε τολμητέον, ἀλλὰ καὶ ταῖς ἄλλαις κενώσεσι καθ᾽ ὅσον οἷόν τε μετρίως τε καὶ εὐλαβῶς χρηστέον. ὁμοίως δὲ καὶ ὅσοι παχεῖς ὑπερβαλλόντως ἢ ἰσχνοὶ, καὶ γὰρ καὶ τούτων τάς τε φλέβας τέμνειν φυλακτέον καὶ τὰς ἄλλας κενώσεις τὰς ἀθρόας εὐλαβητέον. εἴη δ᾽ ἂν ἐν τούτοις καὶ ἡ ἡλικία, καθάπερ τι σύμπτωμα κωλυτικὸν ἀθρόας κενώσεως· οὔτε γὰρ οἱ παῖδες οὔθ᾽ οἱ γέροντες ἀλύπως αὐτὰς φέρουσι. πάντας οὖν τοὺς εἰρημένους, ὅταν αἱ διαθέσεις κένωσιν ὑπαγορεύωσιν, οὐχ ἅπαξ οὐδ᾽ ἀθρόως, ἀλλὰ κατὰ βραχὺ κενωτέον, ἀσιτίαις τε συμμέτροις καὶ τρίψεσι καὶ κλύσμασι μαλακοῖς, καταιονήσεσί τε καὶ καταπλάσμασι καὶ βαλανείοις· ἑκάστου πάλιν τούτων τὴν ἔνδειξιν ἀπὸ τῶν

etiamfi reliqua omnia fuadeant. Ad eundem vero modum et corporis habitus contemplandi funt. Nam qui denfa folidaque funt carne, haud facile iis injuriis patent. Itaque verendum non eft eos femel vacuare fi et alia hortentur. Qui vero mollem et algae modo teneram prompteque diffluentem hanc habent, in gravem noxam facile ruunt. Quare ab his etiamfi omnia alia fuadeant, fanguinem ducere non audemus, verum aliis vacuationibus, quam moderatiffime promptiffimeque fieri poteft utimur. Similiter autem et his, qui habitu funt immodice vel obefo vel gracili venam faecare et alio quovis modo affatim vacuare timendum eft. His vero aetas tanquam fymptoma quoddam, quod affatim vacuare prohibeat, annumerari poteft, neque enim pueri neque fenes fine moleftia hanc vacuationem fuftinere poffunt. Hos igitur commemoratos omnes efflagitante vacuationem affectu non femel nec affatim fed paulatim vacuare oportet, mediocribus inediis, frictionibus, mollibus clyfteribus, fotibus, cataplafmatis et balneis. Quorum omnium rur-

προειρημένων λαμβάνοντας. οὕτω δὲ καὶ εἰ δύο ποτὲ συμπτώματα ἐναντία παρακολουθοίη, σκέπτεσθαι χρὴ, ὁπότερον αὐτῶν ἰσχυρότερόν ἐστιν. ὡσαύτως δὲ καὶ εἰ νοσήματα δύο περὶ τὸν αὐτὸν ἄνθρωπον εἴη, μαχομένας τὰς ἐνδείξεις ποιούμενα· καὶ γὰρ καὶ τότε πρὸς τὸ κατεπεῖγον ἵστασθαι χρὴ, μηδὲ θατέρου παντάπασιν ἀμελοῦντας. τὰς δ᾽ ἀπὸ τῶν συμπτωμάτων τε καὶ νοσημάτων ἐνδείξεις οὐχ ἁπλῶς, ἀλλὰ κατὰ τὴν ἐργαζομένην ἕκαστον αἰτίαν χρὴ σκοπεῖν, οἷόν ἐστι ἡ λειποθυμία καὶ ἡ ἔκλυσις. εἰώθασι γὰρ οἱ ἰατροὶ καθ᾽ ἑνὸς πράγματος ἄμφω ταῦτα τὰ ὀνόματα φέρειν· αὐτὸ μὲν οὖν τὸ πρᾶγμα ἕν ἐστιν, αἰτίαι δ᾽ αὐτοῦ πολλαί. λειποθυμοῦσι γὰρ ἐπί τε χολέραις καὶ διαῤῥοίαις καὶ δυσεντερίαις καὶ λυεντερίαις καὶ γυναικείῳ ῥῷ καὶ τραύμασιν, αἱμοῤῥοΐσι τε καὶ ἀναγωγαῖς αἵματος καὶ ταῖς διὰ ῥινῶν αἱμοῤῥαγίαις καὶ λοχείαις καθάρσεσιν ἀμέτροις. ἤνεγκε δέ ποτε καὶ ἀπεψία μεγάλη λειποθυμίαν καὶ μάλισθ᾽ ὅταν ἀμετρότερον ὑπαγάγῃ τὴν γαστέρα. καὶ ὁ βούλιμος δὲ καλούμενος οὐδὲν ἄλλο ἢ λειποθυμία ἐστί. καὶ ὑστερικῆς πνίξεως ἁπάσης λειποθυμία προη-

fus indicationes ab iis quae ante memorata funt defumere oportet. Ad eundem vero modum, fi quando duo fymptomata contraria fequantur, utrum eorum fit vehementius confiderandum eft. Pari ratione fi duo morbi in eodem homine pugnantes habent indicationes, tunc enim urgenti eft infiftendum, fed altero nequaquam neglecto. Quae autem a fymptomatis et morbis fumuntur indicationes, non fimpliciter, fed pro caufa quae ununquodque attulit confiderandae funt, velut animi defectio ac exfolutio. Sunt enim pro una eademque re ambo haec nomina a medicis ufitata, ipfa quidem res una eft, fed ejus caufae multae. Anima enim deficit ex cholera, diarrhoea, dyfenteria, lienteria, fluxu muliebri, vulneribus, haemorrhoidibus, fanguinis tum ex ore tum e naribus profufione, immodicisque ex partu purgationibus. Nonnunquam vero animae defectum attulit magna cruditas, praefertim quum alvum immodice fubduxit. Et ingens fames, quae bulimos dicitur, nihil aliud eft quam

γεῖται· καὶ ταῖς ἀναδρομαῖς τῶν ὑστέρων ἕπεται καὶ ταῖς παρεγκλίσεσι δὲ καὶ ταῖς φλεγμοναῖς αὐτῶν πολλάκις ἀκολουθεῖ. προηγεῖται δ' ἀποπληξίας τε καὶ κακοήθους ἐπιληψίας καὶ διαφορήσεων καὶ τῶν συγκοπῶν καὶ μαρασμῶν. ἀλλὰ καὶ συνεισβάλλει ποτὲ καταβολαῖς πυρετῶν οὐκ ὀλίγαις καὶ μάλισθ' ὅταν ἄκρως ᾖ ξηρὸν καὶ αὐχμῶδες ἢ πληθωρικὸν ἀμέτρως τὸ σῶμα. καὶ καυσώδει δὲ καὶ κακοήθει πυρετῷ συνεισέβαλέ ποτε· καὶ τοῖς μεγάλως καταψυχθεῖσι τὰ ἄκρα τοῦ σώματος ἐν ταῖς εἰσβολαῖς τῶν πυρετῶν· [360] καὶ ὅσοι διὰ μέγεθος φλεγμονῆς ἢ ἥπατος ἢ κοιλίας ἢ στομάχου πυρέσσουσι, καὶ οὗτοι λειποθυμοῦσι κατὰ τὰς ἀρχὰς τῶν παροξυσμῶν· μάλιστα δ' οἷς πλῆθος χυμῶν ὠμῶν καὶ ἀπέπτων καί τις ἔμφραξις ἐπικαίρου μορίου. λειποθυμοῦσι δὲ καὶ ὅσοις τὸ στόμα τῆς γαστρὸς ἄῤῥωστον, ἢ ὑπὸ μοχθηρίας χυμῶν δάκνεται ἢ ὑπὸ παχέων ἢ γλίσχρων ἢ ὑγρῶν ἢ ψυχρῶν βαρύνεται. καὶ μὲν δὴ καὶ ψυχικῶν παθῶν ἰσχύϊ λειποθυμοῦσί τινες· μάλιστα δὲ πρεσβῦται πάσχουσιν αὐτὸ καὶ οἱ ἄλλως ἀσθενεῖς. καὶ γὰρ λυπηθέντες αὐτῶν πολλοὶ καὶ χαρέντες καὶ

animi deliquium. Omnem etiam uteri ſtrangulatum antecedit lipothymia, quemadmodum ejus tum aſcenſum tum deflexum in latus tum inflammationes ſaepe ſequitur. Sed et apoplexiam, comitialem morbum, ſi quidem malignus eſt, reſolutionem, ſyncopen et marcorem anteit. Nonnunquam cum ſebrium acceſſionibus non paucis accedit: maxime ſi corpus ſumme aridum ſit ac ſqualidum aut immodice plenum. Cum febre quoque ardenti ac maligna, aliquando et quibus per ſebrium acceſſiones extrema vehementer refrigerata ſunt, quique ob inflammationis vel jecoris vel ſtomachi magnitudinem ſebricitant, iis per acceſſionum initia anima deficit, praeſertim ubi crudorum minimeque coctorum humorum multitudo aut inſignis alicujus partis obſtructio infeſtat. Item et quibus os ventris aut imbecillum eſt aut a vitioſis humoribus mordetur aut craſſis vel glutinoſis vel humidis vel ſrigidis ingraveſcit. Quin et nonnulli affectuum animi vehementia deficiunt, praecipue ſenes quique ex aliis imbecillitate aliqua laborant. Etenim ipſo-

θυμωθέντες ἐλειποθύμησαν. ἀλλὰ καὶ νοτίδες ἔσθ᾽ ὅτε μὴ κατὰ καιρὸν τοῖς οὕτως ἔχουσιν ἐπιφαινόμεναι λειποθυμίας ἐπιφέρουσιν, ὥσπερ καὶ τοῖς ἰσχυροτέροις ἱδρῶτες ἄμετροι. καὶ εἰ ἀπόστημά τι ῥαγείη, βλάπτει τὴν δύναμιν ἰσχυρῶς· καὶ μάλιστα εἰ ῥαγὲν ἀθρόως εἰς κοιλίαν ἢ εἰς στόμαχον ἢ εἰς θώρακα συῤῥέοι. καὶ ἡμεῖς αὐτοὶ τέμνοντες ἀποστήματα εἰ τὸ πῦον ἀθρόως ἐκκενώσωμεν, ἀνάγκη λειποθυμῆσαι· καὶ εἰ καθαίροντες ἢ κλύζοντες ἢ ὁπωσοῦν κενοῦντες, ἀθροώτερον αὐτὸ δράσωμεν· οὐδὲ γὰρ οὐδὲ τὸ ἐν τοῖς ὑδέροις ὑγρὸν καί τοι περιττὸν ὂν καὶ παρὰ φύσιν ἀλύπως ἀνέχεται τὴν ἀθρόαν κένωσιν, ἀλλὰ ἀνάγκη καὶ τότε λειποθυμῆσαι τὸν ἄνθρωπον. ἀλλὰ καὶ διὰ μέγεθος ὀδύνης ἐκλύσεις γίνονται δήξεών τινων ἢ στρόφων ἢ εἰλεῶν ἢ κωλικῆς διαθέσεως ἐξαίφνης ἐμπεσούσης. ἀλλὰ καὶ νεῦρον τρωθὲν καὶ μυὸς κεφαλὴ λειποθυμίαν ἤνεγκε καὶ τὰ ἐν τοῖς ἄρθροις ἕλκη τὰ κακοήθη καὶ τὰ γαγγραινώδη καὶ νομώδη σύμπαντα καί τις ἄμετρος ψύξις ἢ θερμασία καὶ

rum non paucis moeror, laetitia ac excandefcentia hunc animi defectum intulerunt. Nonnunquam vero et intempeftive erumpentes vapores hoc modo affectis animi deliquium induxerunt. Quemadmodum et robuftioribus immodici fudores. Praeterea abfceffus eruptio vires vehementer laedit, maximeque fi in ventrem, ftomachum aut thoracem affatim confluit. Et fi nos aliquando fecto abfceffu pus affatim vacuemus, neceffario deficit anima, quemadmodum fi uberius purgemus vel inaniamus feu clyfteribus feu alio quovis modo idem malum adferemus, neque vero in hydrope humor, etfi abundet et praeter naturam fit, femel totus citra noxam vacuari poteft, alioqui hominem deficere animo neceffe eft. Sed et doloris vehementia vires profternit, nimirum fi repente vel morfus incidat vel tormina vel colicus affectus vel ileos vel aliud malum oboriatur. Porro vulneratus nervus et mufculi caput animae deliquium induxerunt, et maligna articulorum ulcera et gangraenofa et depafcentia omnia ac immoderata quaedam frigiditas aut

ἡ τοῦ ζωτικοῦ τόνου λύσις. αὗται μὲν αἱ τῆς λειποθυμίας αἰτίαι. καθ' ἑκάστην δὲ αὐτῶν ἡ θεραπεία ἴδιος, καὶ γράψαι νῦν ὑπὲρ πασῶν οὐκ ἐγχωρεῖ. τὰς γὰρ ἐν τοῖς πάθεσι συνεδρευούσας οὐχ οἷόν τε χωρὶς ἐκείνων ἰάσασθαι. τοσοῦτον οὖν ἐν τῷ παρόντι λόγῳ ἐροῦμεν περὶ αὐτῶν, εἰς ὅσον ἄν τις μαθὼν ἱκανὸς εἴη τοῖς ἐξαίφνης ἐμπίπτουσιν ἐνίστασθαι παροξυσμοῖς. οἷον ὅτι τοῖς μὲν χολέραις καὶ διαῤῥοίαις καὶ ταῖς ἄλλαις ταῖς πολλαῖς καὶ ἀθρόαις κενώσεσιν ἐκλυομένοις ὕδωρ τε ψυχρὸν προσραίνειν καὶ τοὺς μυκτῆρας ἐπιλαμβάνειν καὶ ἀνατρίβειν τὸ στόμα τῆς γαστρὸς καὶ κελεύειν ἐμεῖν ἢ σπαράττειν τὸν στόμαχον ἤτοι δακτύλων ἢ πτερῶν καθιέντων· ἀλλὰ καὶ χεῖρας καὶ σκέλη καὶ πόδας διαδεῖν· εἶναι δὲ χρὴ καὶ τοὺς δεσμοὺς πλείονας μὲν καὶ σφοδροτέρους ἐν ταῖς χερ(205)σὶν, ὅταν διὰ τῶν κάτω μερῶν αἱ κενώσεις γίγνωνται, καθάπερ ἐν ταῖς αἱμοῤῥοΐσι καὶ διαῤῥοίαις ὅσας τε διὰ τῶν ὑστερῶν αἱ γυναῖκες κενοῦνται. τὸ γὰρ τὰ σκέλη τηνικαῦτα σφοδρῶς διαδεῖν ἐπισπᾶταί τι κάτω πολλάκις. ἔμπαλιν δ' ἐν ταῖς διά τε ῥινῶν αἱμοῤῥαγίαις καὶ τοῖς ἐμέτοις οἱ δεσμοὶ πλείονές τε καὶ σφοδρότεροι κατὰ τὰ σκέλη γιγνέ-

caliditas et vitalis roboris folutio. Hae quidem funt animae deficientis caufae. Singulae vero earum propriam defiderant curationem, fed nunc de omnibus fcribendi locus non eft. Nam quae affectibus infunt, fine his curari non poffunt; De his igitur in hac difputatione eatenus differam, quatenus difcat aliquis, quomodo repente incidentibus acceffionibus occurrere poffit. Frigida exempli gratia iis fpargenda eft, qui ex cholera, alvi profluvio ac aliis multis fubitisque vacuationibus exfolvuntur. Nares quoque comprimendae funt et os ventris perfricandum vomitusque imperandus aut ftomachus infertis in os vel digitis vel plumis laceffendus, fed brachia et crura vincienda funt, manus quidem pluribus et vehementibus vinculis, quum infernae partes vacuantur ut in haemorrhoidibus, alvi fluxione et uteri vacuatione. Nam tunc crura vehementer revincta deorfum faepe aliquid attrahunt. Contra vero in fanguinis e naribus eruptione et in vomitionibus crura et pluribus et valentioribus ligaturis

σθωσαν. καὶ μὲν δὴ καὶ ὅσοις ἐπὶ τρώμασιν αἱμοῤῥαγοῦσιν, ὡσαύτως ἄνω μὲν ἐπὶ τοῖς κάτω· κάτω δ᾽ ἐπὶ τοῖς ἄνω τὰ δεσμὰ περιβάλλειν. ἐξευρίσκειν δέ τι καὶ ἀνάῤῥοπον σχῆμα τῷ μέρει, μὴ μέντοι πάνυ σφόδρα· τεινόμενον γὰρ ἐν τῷδε καὶ πονοῦν οὐδὲν ἧττον ἢ εἰ κατάῤῥοπον ἦν παροξύνεται. τὸ δὲ σύμπαν ἢ ἐπὶ τὰ κοινὰ ἀντισπᾷν τοῖς πεπονθόσιν ἢ ἐπὶ τὰ τῆς κενώσεως κατάρξαντα· διὰ τοῦτο τὰς μὲν ἐκ τῶν ὑστερῶν ἀθρόας κενώσεις αἱ παρὰ τοὺς τιτθοὺς προσβαλλόμεναι σικύαι τάχιστα παύουσι· τὰς δὲ [361] διὰ τῶν ῥινῶν ἥπατί τε καὶ σπληνὶ κατὰ τὴν αἱμοῤῥαγοῦσαν ῥῖνα, καὶ εἰ δι᾽ ἀμφοτέρων ἀθρόον καὶ πολὺ φέροιτο, τοῖς σπλάγχνοις ἀμφοτέροις προσβάλλειν. ἴαται δὲ καὶ οἶνος ὕδατι ψυχρῷ κεκραμένος τὰς ἐπὶ ταῖς ἀθρόαις κενώσεσιν ἐκλύσεις καὶ μάλιστα τῶν εἰς τὴν γαστέρα ῥεπόντων ῥευμάτων. ἐπισκοπεῖσθαι δὲ ἤν μή τι κωλύῃ τὴν τοιαύτην δόσιν, οἷον εἰ σπλάγχνον τι φλεγμαῖνον ἢ κεφαλῆς ἄλγημα σφοδρότερον ἢ παρακρουστικόν τι πάθος ἢ πυρετὸς καυσώδης ἐν ἀπέπτῳ νοσήματι. μεγάλαι

ſtringenda ſunt. Quin etiam quibus ſanguinem vulnera profundunt, ſi quidem id in ſuperioribus partibus accidat, infernae, ſin infernis, ſupernae vinculis adſtringendae ſunt. Invenienda enim vulnerato loco figura eſt quae ſurſum vergat, non tamen ſupra modum, nam ſi adeo tendatur ut dolorem ſentiat, non minus quam ſi deorſum vergeret fluxio irritabitur. In ſumma autem ad ea revellere oportet vel quae communitatem cum affectis partibus habent, vel a quibus humor decurrit, proinde vehementes uteri fluxiones admotae mammis cucurbitulae celerrime compeſcunt, ſanguinis vero e naribus eruptionem, eaedem jecori et lieni pro nare ſanguinem fundente aut ambobus viſceribus, ſi cruor ex utraque nare affatim abundeque profluat, affixae cohibent. Vinum quoque aqua gelida dilutum animi defectiones ex immodicis vacuationibus ſanat, maxime ſi ad ventriculum fluxio repat. Conſiderandum autem eſt, num id adhiberi aliquid prohibeat, qualis eſt viſceris alicujus inflammatio aut vehemens capitis dolor aut deliratio aut

γὰρ ἐν τοῖς τοιούτοις καὶ σχεδὸν ἀνίατοι ταῖς τῶν οἴνων πόσεσιν ἕπονται βλάβαι. μηδενὸς δὲ κωλύοντος, ἐφεξῆς δεῖ διορίζεσθαι τήν τε φύσιν τοῦ νοσοῦντος καὶ τὸ ἔθος καὶ τὴν ἡλικίαν καὶ τὴν τοῦ περιέχοντος ἀέρος κρᾶσιν· εἰς ταῦτα γὰρ ἀποβλέπων ἢ θερμὸν ἢ ψυχρὸν δώσεις τὸ πόμα. τοὺς μὲν γὰρ ἀήθεις ψυχροῦ πόματος ἢ καὶ φανερῶς βλαπτομένους ὑπ᾽ αὐτοῦ καὶ ὅσοι φύσει ψυχρότεροι καὶ τοὺς ἐν ἐσχάτῳ γήρᾳ ἢ καὶ χωρίῳ ψυχροτέρῳ φύσει ἢ καὶ χειμῶνος εἴργειν τοῦ ψυχροῦ. τοῖς δ᾽ ἐναντίως ἔχουσιν ἀδεῶς διδόναι πίνειν. ἔστω δὲ καὶ οἶνος ἐπὶ μὲν τοῖς εἰς τὴν γαστέρα ῥεύμασι θερμός τε καὶ λεπτὸς, οἷος ὁ Λέσβιος. ἐπὶ δὲ ταῖς αἱμοῤῥαγίαις παχύς τε καὶ μέλας καὶ στρυφνός. ἐπὶ δὲ τοὺς τόπους αὐτοὺς ἐπιτιθέναι, γαστρὶ μὲν καὶ μήτρᾳ καὶ στομάχῳ καὶ θώρακι τὰ τονοῦν πεφυκότα. κεφαλῇ δὲ καὶ μετώπῳ καὶ ταῦτα καὶ τὰ ψύχοντα. καὶ ἐφ᾽ ὧν ἐπιπολῆς καὶ κατὰ τοὺς μυκτῆρας φλεβῶν εἴη τις ἐῤῥωγυῖα, τῶν ἐπεχόντων φαρμάκων τὸ αἷμα ἐπιτιθέναι. λουτρὰ δὲ τοῖς μὲν εἰς τὴν γαστέρα ῥεύμασιν ἐπιτη-

ardens febris cum morbo crudo. Magnae enim ac propemodum incurabiles ex vini potu noxae fequuntur. Quod fi nihil prohibeat, deinceps aegrotantis natura, confuetudo, aetas et ambientis aëris temperies confideranda eft, quibus perfpectis aut calidum aut frigidum potum dabis. Nam qui frigidum bibere non confueverunt, aut eo manifefte laeduntur, quique natura frigidiores funt ac extreme fenes aut in regione naturaliter frigida degunt aut hiberno tempore, a frigido arcendi funt. Qui vero aliter habent potare intrepide poffunt. Quod fi ventriculus fluxione tentetur, vinum calidum ac tenue, quale Lefbium eft, detur. Craffum vero ac nigrum acerbumque in fanguinis eruptione. Locis autem ipfis ventri quidem et utero et ftomacho et thoraci quae robur parti inferere idonea fint admovere oportet. Capiti vero et fronti tum haec tum quae refrigerent. Et fi qua in fumma cute aut naribus rupta vena eft, aliquod ex iis quae fanguinem fiftunt medicamentum imponendum eft. Balneae autem commodiffimae funt, fi defluxionis init*

Ed. Chart. X. [361.] Ed. Baf. IV. (205.)

διότατα· τὰς δ' αἱμοῤῥαγίας δεινῶς παροξύνει. καὶ ὅσοι διὰ πλῆθος ἱδρώτων λειποθυμοῦσι, καὶ τούτοις ἐναντιώτατα, χρὴ γὰρ αὐτῶν στύφειν τε καὶ ψύχειν, οὐ χαλᾷν τὸ δέρμα. καὶ τὸν οἶνον ψυχρὸν μάλιστα διδόναι τούτοις καὶ μηδὲν ὅλως προσφέρειν θερμόν. ἀλλὰ μηδὲ διαδεῖν τὰ κῶλα, μήδ' ἀναγκάζειν ἐμεῖν, μηδὲ κινεῖν ὅλως. καὶ πνευμάτων εἰσόδους ψυχόντων ἐπιτεχνᾶσθαι καὶ τὸν ἀέρα τοῦ οἴκου τρέπειν εἰς ψύχουσάν τε καὶ στρυφνὴν ποιότητα, μυρσίναις τε καὶ ἀμπέλων ἕλιξι καὶ ῥόδοις καταστρωννύντα τοὔδαφος· τούτων οὐδὲν χρήσιμον τοῖς εἰς τὴν γαστέρα ῥεύμασιν, αὔξεται γὰρ εἰς ὅσον ἂν πυκνωθῇ τὸ δέρμα. τοῖς μὲν οὖν ἐπὶ ταῖς κενώσεσιν ἐκλυομένοις οὕτω βοηθεῖν ἔν γε τῷ παραχρῆμα. τοῖς δ' ἐπὶ πλήθεσιν οὐκ ἔθ' ὁμοίως, ἀλλὰ τρίβειν ἐπὶ πλεῖστον ἐπ' ἐκείνων τὰ κῶλα καὶ θερμαίνειν καὶ διαδεῖν. οἴνου δὲ καὶ τροφῆς ἀπέχειν καὶ λουτρῶν, εἰ πυρέττοιεν· ἀρκεῖ δ' αὐτοῖς μελικράτου τε διδόναι πόμα ἢ θύμου ἢ ὀριγάνου ἢ γλήχωνος ἢ ὑσσώπου ἔχοντος ἐναφηψημένον. ἐπιτήδειον δὲ καὶ

riam venter patiatur, fed fanguinis eruptionem vehementer irritant. Atque iis etiam adverfiffima funt, quibus ex fudoris copia deficit anima, quando his cutis laxanda non eft, fed adftringenda ac refrigeranda. Vinum quoque frigidum maxime eft adhibendum, nihil vero quod calidum fit omnino dandum eft. Sed nec membra ligare nec cogere ad vomitum nec ullo modo movere oportet. Domus porro aditus refrigeranti aurae expofitus fit, aerque in frigidam denfantemque qualitatem mutetur myrti frondibus, vitium capreolis ac rofis humi fparfis, nihil horum fluxionibus quae in ventrem feruntur confert, has enim tantum augent quantum cutem denfant. His igitur qui ex vacuationibus exfolvuntur, fic in praefens eft fuccurrendum. Qui vero humorum multitudine animo deficiunt haud ita curantur, verum illorum artus plurimum fricandi funt, calefaciendi ac ligandi. Caeterum a vino et cibis temperare debent, atque etiam a balneis fi febris adfit, contenti mulfae potu, in qua thymum, origanum, pulegium vel hyffopum concoctum fit.

ὀξύμελι. καὶ τὰς ἐφ᾽ ὑστέραις δὲ πεπονθυίαις ἐκλυομένας ὡσαύτως ἰᾶσθαι, πλὴν ὀξυμέλιτος, καὶ διαδεῖν καὶ τρίβειν σκέλη μᾶλλον ἢ χεῖρας. καὶ ὥσπερ ἐπ᾽ ἐκκρίσει πολλῇ παρὰ τοὺς τιτθοὺς σικύας ἐπιτίθεμεν, οὕτως αἷς ἀνέσπασται καὶ παρέσπασται, βουβῶσί τε καὶ μηροῖς προσάξομεν. καὶ ταῖς μὲν ῥισὶν ὀσφραντὰ δυσωδέστατα, ταῖς δὲ μήτραις εὐώδη. καὶ τὰ χαλᾷν καὶ θερμαίνειν δυνάμενα φάρμακα προσοίσομεν. εἰ δ᾽ ἄῤῥωστος ὁ στόμαχος εἴη καὶ ταύτῃ λειποθυμοῖεν, ἐπιπλάττειν μὲν τοῖς τονοῦν δυναμένοις, οἷα τά τε διὰ τῶν φοινίκων ἐστὶ [362] καὶ οἴνου καὶ ἀλφίτων καὶ κρόκου καὶ ἀλόης καὶ μαστίχης· ἐπιβρέχειν δὲ τοῖς δι᾽ ἀψινθίου καὶ μηλίνου καὶ μαστιχίνου καὶ νάρδου καὶ οἰνάνθης καὶ οἴνου. καὶ εἰ ἐκκαίοιντο, μιγνύναι τι καὶ τῶν ψυχόντων, οἷον τῆς τε κολοκύνθης τὸν χυλὸν καὶ τῆς θριδακίνης καὶ τῆς ἀνδράχνης καὶ τοῦ στρύχνου καὶ τῆς σέριος καὶ τοῦ ὄμφακος. οὗτος μέν γε οὐ ψύχει μόνον, ἀλλὰ καὶ στύφει. καὶ ψυχρὸν ὕδωρ τοῖς διακαιομένοις τὸν στόμαχον ὤνησε πολλάκις ἐν καιρῷ δοθὲν, ἄλλως δὲ μεγάλως βλάπτει. καὶ χρὴ μᾶλλον οἴνου θερμοῦ

Confert autem et acetum mulfum. Quae porro ex uteri affectibus mulieres animo deftituuntur, eodem modo curantur, excepto aceto mulfo. His etiam crura potius, quam brachia deliganda funt atque perfricanda, et quemadmodum in larga fluxione mammis cucurbitulas admovemus, fic quibus furfum revulfus retractusque in latus eft uterus inguinibus et femoribus. Naribus quoque objiciendi funt graviffimi odores, utero vero fuaves. Adhibenda item funt laxantia ac calefacientia medicamenta. Si vero ex ftomachi imbecillitate animi deliquium fequatur, imponere quae roborandi vim obtineant emplaftra, qualia funt quae ex palmulis conficiuntur, vino, polentis, croco, aloë et maftiche, perfundere vero oleo abfinthino, melino, maftichino, nardino, oenanthino et vino oportet. Aeftuante autem ftomacho, aliquid quod refrigeret mifcendum eft, qualis eft cucurbitae, lactucae, portulacae, folani, feris et uvae acerbae fuccus. Haec enim non folum refrigerat, fed et adftringit et aqua frigida ardenti ftomacho plerumque confert opportune data, alioqui magno-

διδόναι τοῖς ἀῤῥώστοις τὸν στόμαχον, εἰ μηδὲν ἄλλο κωλύει· ὤνησε δὲ μεγάλως τοὺς τοιούτους στομάχους καὶ ἡ τῶν ἀκρωτηρίων τρίψις. εἰ δ᾽ ἐπὶ τούτοις βελτίους μὴ γένοιντο, τοὺς μὲν ἐκκαιομένους ἐπὶ λουτρὸν ἄγειν τὴν ταχίστην. ὅσοι δὲ ψύξεώς τινος αἴσθησιν ἔχουσι, τοῦ τε διὰ τριῶν πεπέρεων φαρμάκου καὶ αὐτοῦ τοῦ πεπέρεως μόνου καὶ ἀψινθίου πινόντων. ὅσοι δὲ μοχθηρῶν χυμῶν δακνόντων τὸ στόμα τῆς γαστρὸς ἐκλύονται, διδοὺς ὕδωρ θερμὸν ἢ ὑδρέλαιον ἐμεῖν κελεύειν. εἰ δὲ δυσεμεῖς εἶεν, θάλπειν χρὴ πρότερον αὐτά τε τὰ περὶ τὸν στόμαχον χωρία καὶ πόδας καὶ χεῖρας. εἰ δὲ μηδ᾽ οὕτως δύναιντο, πτερὰ ἢ δακτύλους καθιέντας ἐρεθίζειν. εἰ δὲ μηδ᾽ οὕτως, αὖθις αὐτοῖς ἔλαιον θερμὸν ὅτι κάλλιστον δοτέον. εἴωθε δὲ πολλάκις τοὔλαιον οὐκ εἰς ἔμετον μόνον ὁρμᾷν, ἀλλὰ καὶ τὴν γαστέρα λαπάττειν· ἔστι δὲ καὶ τοῦτο οὐ μικρὸν ἀγαθὸν τοῖς παροῦσιν. ὥστ᾽ εἰ μὴ γένοιτο αὐτόματον, ἐπιτεχνᾶσθαι χρή· μάλιστα δὲ τοῖς προσθέτοις αὐτὸ πειρᾶσθαι δρᾷν· εἰ δὲ ῥᾷον ἐπὶ τοῖσδε γένοιτο, καὶ ἀψινθίου

pere laedit. Imbecillo autem ſtomacho vinum calidum potius dandum eſt, modo nihil aliud prohibeat, ejusmodi autem ſtomachi frictionibus extremarum partium mirifice juvantur. Quod ſi ex his nihilo melius habeant, exaeſtuantes quidem celerrime ad balneum ducendi ſunt. His vero qui alicujus frigoris ſenſu afficiuntur, medicamentum quod triplici pipere conſtat ſolumque piper et abſinthium in potu dandum eſt. Qui vero ex vitioſis humoribus os ventris mordentibus exanimantur, epota vel aqua calida vel hydrelaeo vomere jubeantur. At ſi non facile vomant, prius partes ſtomacho adjacentes et manus et pedes calefaciendi ſunt. Quod ſi ne ſic quidem vomere poſſint, immiſſis in os vel pennis vel digitis ſtomachus irritandus eſt. Sin neque ſic vomant, rurſus oleum calidum quam optimum adhibendum eſt. Id autem oleum ſaepe non ſolum vomitum provocare, ſed et ventrem mollire ſolet, id quod non parum ad rem de qua agitur facit. Quocirca niſi ſponte accidat, arte procurare oportet, maxime vero appoſitis remediis, ex quibus ſi facilius vomat.

κόμην ἐναφέψων μελικράτῳ διδόναι πίνειν καὶ οἶνον ἐφεξῆς· καὶ παντοίως ῥωννύναι τὰ μόρια διά τε τῶν ἔξωθεν ἐπιτιθεμένων φαρμάκων καὶ τοῦ ἀψινθίου ταῖς πόσεσιν. οὐ μὴν κατ' ἀρχὰς κελεύω σε τοῦτο ποιεῖν οὕτως, ἀλλ' ὕστερον, ἡνίκα μὲν ἤδη καθαρὰ τὰ περὶ τὴν κοιλίαν ᾖ· περιεχομένων δ' ἔτι τῶν χυμῶν ἐν αὐτῇ μηδέπω στύφειν, ἀλλ' ἀρκεῖ θάλπειν μόνον, ὡς ἔμπροσθεν εἴρηται. φλέγματος δὲ πολλοῦ καὶ ψυχροῦ κατὰ τὸ στόμα τῆς γαστρὸς ἠθροισμένου, καταντλεῖν μὲν ἐπὶ πλεῖστον, ἐλαίῳ συνέψων ἀψίνθιον· ἐφεξῆς δὲ τοῦ μελικράτου διδόναι ἢ ὑσσώπου ἤ τι τῶν ὁμοίων ἀποβρέχων ὀξυμέλιτός τε καὶ πεπέρεως καὶ τοῦ διὰ τριῶν πεπέρεων καὶ τοῦ διοσπολιτικοῦ φαρμάκου. καὶ τὸ σύμπαν σοι τῆς διαίτης κεφάλαιον τμητικὸν ἔστω. τὰς δ' ἐπὶ ταῖς ἰσχυραῖς ψύξεσιν ἐκλύσεις ὁμοίως τοῖς βουλίμοις ἰᾶσθαι, παντὶ τρόπῳ θερμαίνοντα. τόν τε οὖν οἶνον αὐτοῖς διδόναι θερμῷ κεκραμένον καὶ τροφὰς τὰς θερμαίνειν πεφυκυίας, ἀνατρίβειν τε καὶ θάλπειν παρὰ πυρί. τὰς δ' ἐπὶ θερμασίᾳ πλείονι γινομένας λειποθυμίας τοῖς ἐμψύχειν τε καὶ τονοῦν δυναμένοις. ἐμπίπτου-

abfinthii coma aqua mulfa incocta in potu danda eft, deinde vinum, modisque omnibus roborandae partes funt tum medicamentis forinfecus impofitis tum abfinthii potu. At non per initia quidem, fed poft repurgato jam ventre id faciendum effe fuadeo, quando fi fuccos contineat, adftringendus non eft, fed calefaciendus, ut prius dictum eft. Si vero multa frigida pituita in ore ventriculi collecta fit, plurimum fovere oportet oleo, in quo abfinthium decoctum fit, deinde mulfam dare, in qua vel hyffopum vel id genus aliud maduerit et acetum mulfum et piper, quodque ex triplici pipere conftat medicamentum et diofpoliticum. Victus autem ratio omnino incidendi facultate fit praedita. Ex vehementi autem refrigeratione defectiones non aliter atque bulimum curamus, nimirum calefacientes modis omnibus. Itaque vinum in potu dandum eft calida temperatum cibique calefacere idonei. Fricare quoque ejusmodi aegrotos oportet, ad ignemque calefacere. Quae vero ex fupervacuo calore ortum habent lipothymiae, refrigerantia ac roborantia defi-

(206)σι γὰρ αὗται μάλιστα τοῖς ἐν ἀέρι πνιγώδει καὶ βαλανείῳ χρονίσασι. ῥώσεις οὖν αὐτοὺς ἐν μὲν τῷ παραχρῆμα τότε ψυχρὸν ὕδωρ προσραίνων καὶ ῥιπίζων καὶ πρὸς ἄνεμον τρέπων καὶ τρίβων τὸ στόμα τῆς κοιλίας καὶ σπαράττων· ἐφεξῆς δ' ἤδη καὶ οἶνον διδοὺς καὶ τροφάς. τοὺς δὲ διὰ μέγεθος φλεγμονῆς ἢ καὶ κακοήθειαν σφοδροῦ πυρετοῦ λειποθυμοῦντας ἐν ταῖς εἰσβολαῖς καὶ καταψυχομένους τὰ κῶλα τρίβων ἰσχυρῶς καὶ θάλπων καὶ διαδῶν σκέλη τε καὶ χεῖρας, ἐγρηγορέναι τε κελεύων καὶ σιτίου παντὸς ἀπέχεσθαι καὶ πόματος. ἄριστον δ' ἐπὶ τούτων προγνῶναι τὸ μέλλον ἔσεσθαι καὶ φθάνειν αὐτὰ πράξαντα πρὸ τοῦ παροξυσμοῦ. καὶ τοὺς διὰ ξηρότητα δὲ συγκοπτομένους ἐν ταῖς τῶν παροξυσμῶν ἀρχαῖς ἄριστον προγινώσκειν. [363] εἰ γὰρ ὥραις που δύο ἢ τρισὶν ἔμπροσθεν πρὸ τοῦ παροξυσμοῦ θρέψαις, διακρατεῖσθαί τε πόδας καὶ χεῖρας κελεύσειας, οὐκ ἂν ἀπόλοιντο. εἶναι δὲ χρὴ τὰς τροφὰς εὐπέπτους τε καὶ εὐστομάχους. εἰ δὲ καὶ σφοδρὸν τὸν κίνδυνον ὑπονοήσῃς ἔσεσθαι, φθάνειν οἴνου διδόναι καὶ μάλιστ' εἰς χόνδρον ἑφθὸν τὸν οἶνον ἐπιχέας προσφέρειν. εἰ δὲ καὶ ἄρτον ἀντὶ χόνδρου δοίης, ἴσον δύναται.

derant. His enim maxime accidunt, qui diutius in aëre aeſtuoſo et balneis verſati ſunt. In praeſens igitur robur his reſtitues, ſi frigidam inſpergas ac ventiles et aurae exponas, osque ventris frices ac irrites, poſtea vino et cibo reficias. At quibus ob inflammationis magnitudinem aut vehementis ſebris malignitatem in acceſſionibus animus deficit, quique refrigerantur, eorum artus fricare ac caleſacere cruraque ac manus ligare, vigilias imperare, cibum potumque in totum circumcidere oportet. Optimum porro in his quid futurum ſit praenoſſe et ea ante febris acceſſionem efficere. Quique ex ſiccitate per acceſſionum initia in ſyncopen labuntur praenoſſe optimum. Nam ſi duabus tribusve horis ante acceſſionem cibum dederis et pedes et manus contineri juſſeris, ſervari poterit. Cibus autem coctu facilis ſit et ſtomacho accommodatus. Quod ſi vehemens fore periculum ſuſpiceris, vinum maxime alicae elixae ſuperfuſum dare anticipabis. Loco autem alicae panis eadem utilitate adhiberi

Ed. Chart. X. [363.] Ed. Baf. IV. (206.)

μετρίας δὲ τῆς συγκοπῆς προσδοκωμένης οὐδὲν οἴνου δεῖ, ἀλλ᾽ ἀρκεῖ τηνικαῦτα ῥοιῶν ἢ ἀπίων ἢ μήλων ἤ τινος ἄλλης ὀπώρας στυφούσης ταῖς τροφαῖς μιγνύναι. καὶ εἰ ἐπὶ τοῖσδε μετρίως τὸν παροξυσμὸν ἐνέγκοιεν, αὖθις τρέφοντας οὐκ ἀναγκαῖον ὀπώραις χρῆσθαι. ταῦτα μὲν πράττειν, εἰ προγνοίης τὸ μέλλον ἔσεσθαι. τοῖς δ᾽ ἐξαίφνης εἰς τὸν κίνδυνον ἐμπίπτουσιν οἴνου τε διδόναι θερμοῦ καὶ ἄρτου καὶ χόνδρου σὺν αὐτῷ θερμοῦ παντελῶς ὀλίγον. εἰ γὰρ τούτοις πλεῖον δοίης ἢ δυσπεπτότερα σιτία τοῖς οὕτως ἔχουσιν, οὐ συγκοπήσονται μόνον, ἀλλὰ καὶ πνιγήσονται τελέως. τοῖς δὲ δι᾽ ἔμφραξιν ἐπικαίρου μορίου λειποθυμοῦσιν ὀξύμελί τε διδόναι καὶ τὸ δι᾽ ὑσσώπου καὶ ὀριγάνου καὶ γλήχωνος καὶ μέλιτος πόμα· καὶ τροφὰς τοῦ τμητικωτέρου τρόπου. τὰ γὰρ παχέα καὶ γλίσχρα μεγάλας ἐν τοῖς τοιούτοις ἐργάζεται βλάβας. ἀλλὰ καὶ τὰ κῶλα τρίβειν τε καὶ διαδεῖν οὐδὲν χεῖρον. ἀγαθὸν δὲ καὶ τοῖς οὖρα κενοῦσι χρῆσθαι πόμασιν, οἷα τά τε δι᾽ ἀνήθου καὶ μαράθρου καὶ σελίνου καὶ πετροσελίνου καὶ

potest. Si vero mediocris syncope expectetur, vino opus non est: sed tunc abunde feceris, si mala punica vel pyra vel mala vel pomum aliud quodpiam, adstringendi facultate donatum, cum cibis miscueris. Post haec vero si moderate accessionem ferant, quum iterum cibus datur, pomorum usus necessarius non est. Haec quidem agenda sunt, si quod futurum est praesenseris. Si qui vero inopinato in hoc discrimen inciderint, vini calidi, panis et alicae cum eo calidae momentum dare debebis. Nam si largiorem aut coctu difficiliorem hoc modo affectis cibum dederis, non solum in syncopen perducentur, sed omnino suffocabuntur. Quibus autem animus ex insignis partis obstructione deficit acetum mulsum dandum est, potioque ex hyssopo, origano, pulegio et melle et cibi ex eorum qui valenter incidunt genere. Crassi enim ac glutinosi magnopere in hoc affectu laedunt. Nihil vero obsuerit artus perfricare ac ligare. Sed et utiliter potiones, quae ciendae urinae facultatem habent, adhibentur, quales ex anetho, foeniculo, apio, petroselino, ammi,

ἄμμεως καὶ δαύκου καὶ νάρδου στάχυος· ἐφ᾽ οἷς φανερᾶς οὔσης ἤδη τῆς ὠφελείας οἴνῳ χρῆσθαι λευκῷ καὶ λεπτῷ μὴ πάνυ παλαιῷ. γνωριεῖς δὲ τὰς τοιαύτας ἐμφράξεις ταῖς τ᾽ ἄλλαις ἀνωμαλίαις τῶν σφυγμῶν καὶ μάλισθ᾽ ὅσαι κατὰ μέγεθός τε καὶ μικρότητα καὶ σφοδρότητα καὶ ἀμυδρότητα γίνονται, μὴ παρούσης τῆς καλουμένης πληθωρικῆς συνδρομῆς. εἰσὶ γὰρ κἀκείνης κοιναί. γίγνονται δὲ καὶ διαλείποντες ἐπὶ ταῖς μεγάλαις τῶν τοιούτων διαθέσεων οἱ σφυγμοί. ταῦτα μὲν οὖν ἐπὶ πλέον ἐν τοῖς περὶ σφυγμῶν λέγεται. νυνὶ δὲ μεταβῶμεν ἐπὶ τὸν περὶ τῶν ὑπολοίπων ἐκλύσεων λόγον· οἷον ὅσαι τε διὰ ῥῆξιν ἀποστήματος ἢ τομὴν γίγνονται καὶ ὅσαι διὰ κένωσιν ἀθρόαν ἐν ὑδέροις. ἀπόχρη δὲ τούτοις ἐν μὲν τῷ παραυτίκα τοῖς ὀσφραντικοῖς ἀνακτήσασθαι· μικρὸν δ᾽ ὕστερον ῥοφήμασιν εὐπέπτοις χρῆσθαι. εἰ δὲ διὰ λύπην ἢ χαρὰν ἢ φόβον ἢ θυμὸν ἢ ἔκπληξιν ἐκλυθεῖεν, ὀσφρητικοῖς τε καὶ ταῖς τῶν ῥινῶν καταλήψεσιν ἀνακτησάμενον ἐμεῖν ἀναγκάζειν. ὡσαύτως δὲ καὶ τοὺς ἐπὶ τραύμασιν ἢ καθάρ-

dauco et fpica nardi funt, quae ubi jam manifefte juverint, vino albo ac tenui non admodum vetere utendum eft. Nofcuntur autem hujusmodi obftructiones cum ex aliis pulfuum inaequalitatibus, tum maxime ex his quae in magnitudine et parvitate, vehementia et debilitate inveniuntur, modo adjuncta fyndrome, *id eft concurfu*, quam plethoricam vocant, non fit. Ea enim communes cum obftructione inaequalitates obtinet. In ejusmodi autem affectibus, fi quidem magni funt, pulfus intermittunt. Verum haec fufius in libris de Pulfibus funt explicata. Nunc vero ad reliquarum animi defectionum difputationem tranfeamus, cujusmodi eft, quae ex abfceffus vel ruptione vel fectione et immodica in his qui hydero laborant vacuatione fit. Satis enim ad praefens fuerit rebus odoris hos reficere, paulo poft autem forbitiones coctu faciles adhibere. At fi ob triftitiam, laetitiam, timorem, excandefcentiam aut pavorem animo conflernantur, odoramentis et narium comprehenfionibus refocillati ad vomitum cogendi funt. Ad eundem modum fi qui ex vul-

σεσιν ἢ ἀλγήμασι τοῖς κατὰ τὰ ἄρθρα καὶ νεῦρα καὶ τῶν μυῶν τοὺς τένοντας ἔν γε τῷ παραχρῆμα δεῖ ἀνακτᾶσθαι· μετὰ δὲ ταῦτα τὴν προσήκουσαν ποιεῖσθαι τοῦ παθήματος θεραπείαν. αἱ δ᾽ ἐπὶ τοῖς κωλικοῖς πάθεσιν ἢ τοῖς εἰλεοῖς ἤ τινι τῶν οὕτω μεγάλας ἐπιφερόντων ὀδύνας ἑπόμεναι λειποθυμίαι ταῖς τε τῶν πεπονθότων μορίων ἀλέαις μάλιστα καθίστανται καὶ ταῖς τῶν ἄκρων τρίψεσιν. τὰς δὲ δι᾽ ἀῤῥωστίαν οἰκείαν τῶν διοικουσῶν τὸ σῶμα δυνάμεων ἐκλύσεις ἐπὶ δυσκρασίᾳ τῶν μορίων ἐκείνων γιγνομένας, ὅθεν αἱ δυνάμεις ὁρμῶνται, ταῖς ἐναντίαις δυσκρασίαις ἰᾶσθαι προσήκει, θερμαίνοντας μὲν τὰς ψυχρὰς, ψύχοντας δὲ τὰς θερμὰς, ἐπί τε τῶν ἄλλων ἀνάλογον. ἡ μὲν οὖν ζωτικὴ καλουμένη δύναμις, ἣν ἐκ καρδίας ὁρμωμένην ἐδείξαμεν, [364] ἐκ τῶν ἀμυδρῶν σφυγμῶν γνωρίζεται. ἡ δ᾽ ἐξ ἥπατος μὲν ὁρμωμένη, θρεπτικὴ δ᾽ ὀνομαζομένη, ταῖς αἱματώδεσι διαχωρήσεσι κατ᾽ ἀρχὰς μὲν ὑδατώδεσί τε καὶ λεπταῖς γιγνομέναις, ὕστερον δὲ παχείαις, οἵαπερ ἡ ἀμοργή. τὴν δ᾽ ἀπ᾽ ἐγκεφάλου μὲν ὁρμωμένην δύναμιν ἐξαιρέτως δ᾽ ὑπό τινων ὀνομαζομένην ψυχι-

neribus, purgationibus doloribusque articulorum, nervorum et tendonum muſculorum animo deficiant, in primis reficere, poſtea vero idoneum affectui remedium praeſtare oportet. Si vero colicos affectus aut ilioſos aut eorum aliquem qui vehementer affligunt animi deliquium ſequatur, affectarum partium fomentis calidis et extremarum frictionibus animus reſtituitur. Quae vero ob propriam facultatum corpus noſtrum moderantium imbecillitatem animi defectiones fiunt, ab intemperie earum partium unde vires proficiſcuntur contractam, contraria intemperie curari debent, nempe frigidam calefaciendo, calidam refrigerando atque in aliis eadem ratione. Vitalis quidem vocata facultas, quam e corde prodire docuimus, ex pulſuum debilitate deprehenditur. Quae autem ex jecore oritur, hanc altricem vocant, ex cruentis alvi dejectionibus initio quidem aquoſis et tenuibus, deinde vero amurcae in modum craſſis. Quae vero ex cerebro originem ducit facultas, animalem nonnulli peculiari nomine vocant,

κὴν, τῇ ἐπὶ τὰς προαιρετικὰς κινήσεις ἀῤῥωστίᾳ γνωρίζομεν. ἀλλὰ περὶ μὲν τῶν τοιούτων διαθέσεων ἰδίᾳ σοι γράφομεν ἐν ἑτέρῳ γράμματι, πάμπολλα γάρ ἐστιν ἐν αὐτοῖς παρορώμενα τοῖς ἰατροῖς.

Κεφ. ιστ΄. Ἐπεὶ δὲ τὸν περὶ τῶν συμπτωμάτων λόγον πεποιήμεθα μέχρι δεῦρο, πάλιν ἐπάνιμεν πρὸς τὰ ἐξ ἀρχῆς ἕνα κοινὸν ἐπὶ πάντων ἔχοντες σκοπὸν, ἐπισκέπτεσθαι τὴν ἐργαζομένην ἕκαστον αὐτῶν αἰτίαν· αὕται γὰρ ἐνδείξονταί σοι τὴν προσήκουσαν ἴασιν. οἷον εἴ τις ἀλγοίη τὴν κεφαλὴν, εἰ μὲν ἀσώδης εἴη καὶ καρδιώττοι, κελεύειν ἐμεῖν, ἐμεῖται γὰρ ἢ χολὴν ἢ φλέγμα ἢ ἄμφω. μηδενὸς δ᾽ ἐπισήμου κατὰ τὴν γαστέρα παθήματος ὑποφαινομένου σκοπεῖσθαι, πότερον πλῆθός ἐστιν ἢ ἔμφραξις ἢ φλεγμονή τινος τῶν ἐν τῇ κεφαλῇ μορίων· εὑρήσεις δὲ πρῶτον μὲν, εἰ δι᾽ ὅλης αὐτῆς ἐκτέταται τὸ ἄλγημα πυνθανόμενος, εἰ κατά τινα τῶν μορίων ἐρείδει σφοδρότερον. ἔπειτα δὲ πότερον μετὰ βάρους ἢ τάσεως ἢ δήξεως ἢ σφυγμοῦ. τὰ γὰρ μετὰ βάρους ἀλγήματα πλῆθος δηλοῖ· τὰ δὲ μετὰ δήξεως ἢ ἀτμῶν ἢ χυμῶν δριμύ-

arbitrarii motus imbecillitate cognofcitur. In alio autem opere de ejusmodi affectibus, ex quibus multa funt a medicis praetermiffa, feorfum tibi confcribemus.

Cap. XVI. Quoniam autem hactenus fymptomata difputando profequuti fumus, rurfus ad ea quae initio propofita funt redeamus, unum omnium communem fcopum habentes, nempe caufae a qua haec omnia fiant contemplationem, ipfa enim conveniens remedium tibi oftendet, velut in capitis dolore, fi quis cibum faftidiat et ftomachi rofionem fentiat, vomere juffus, vel bilem vel pituitam vel utrumque vomitione ejiciet. Nulla vero nota ventris affectum teftante, confiderandum num repletio vel obftructio vel inflammatio aliquam capitis partem obfideat, quod inveniemus primum quidem interrogantes num dolor in univerfum caput fparfus fit, an in parte quapiam vehementius infideat. Poftea vero an cum gravitate, diftentione, morfu vel pulfu affligat. Si enim cum gravitate urget, multitudinem, cum morfu autem, acrimoniam vel vaporis vel humoris,

τητα· τὰ δὲ μετὰ σφυγμοῦ φλεγμονήν· τὰ δὲ μετὰ τάσεως, εἰ μὲν ἄνευ βάρους καὶ σφυγμοῦ καὶ πνεύματος ἀπέπτου καὶ φυσώδους, πλῆθος· εἰ δὲ μετὰ σφυγμοῦ, καὶ φλεγμονὴν ὑμενώδους σώματος· εἰ δὲ μετὰ βάρους, πλῆθος ἐντὸς τῶν ὑμένων ἐνισχόμενον. ὅταν οὖν παντάπασι ταῦτα διορισθείη, τὴν ἐργαζομένην ἕκαστον αὐτῶν αἰτίαν σκοπεῖν χρή. ἐκείνη γὰρ ἐνδείξεταί σοι τὴν θεραπείαν· οἷον εἰ πλῆθος εἴη περιεχόμενον ἀτμῶν ἢ χυμῶν, ἐπισκοπεῖσθαι, πότερον διὰ μέγεθος πυρετῶν οἱ χυμοὶ χυθέντες τε καὶ οἱονεὶ ζέσαντες ἐπὶ τὴν κεφαλὴν ὥρμησαν, ἢ διὰ τὴν τοῦ μέρους ἀῤῥωστίαν ἢ διὰ τὴν ἐν παντὶ τῷ σώματι πλησμονήν· ταύτην μὲν γὰρ οὐκ ἂν χαλεπῶς ἰάσαιο ταῖς τοῦ ὅλου κενώσεσι. τὴν δ' ἐπ' ἀσθενείᾳ τοῦ μορίου τὸ μέν τι πάντῃ τοῦ σώματος ἀντισπῶν, τὸ δέ τι ταῖς τοῦ μέρους ἰάσεσιν. ἀντισπάσεις μὲν οὖν κλύσμασί τε δριμέσι καὶ δεσμοῖς καὶ τρίψεσι τῶν κάτω πολλαῖς, καὶ ἢν οὕτω δέῃ, καὶ τοῦ αἵματος ἀπάγων τί. τὸ [δὲ μόριον ἐξιάσῃ, καθ' ὃν μὲν καιρὸν ἀντισπᾷς εἰς τὸ ὅλον σῶμα, ταῖς ἀπωθεῖσθαί τι τῆς κεφαλῆς δυναμέναις (207) ἐπι-

cum pulfu inflammationem, cum diftentione autem citra gravitatem quidem, ac pulfum crudi ac flatulenti fpiritus copiam, cum pulfu vero, membranaceae fubftantiae inflammationem, cum gravitate vero, retentam in membranis multitudinem indicat. His igitur omnibus diftinctis caufa unde fingula proficifcuntur eft confideranda. Si quidem illa curandi rationem tibi commonftrabit, ut quum vel vaporis vel humoris copia contineatur, confiderandum eft, an ob febris magnitudinem fufi ac velut fervefacti humores caput fubierint, an propter partis imbecillitatem, an totius corporis plenitudinem; hanc etenim facile curaveris nimirum corporis univerfi vacuatione. Eam vero quae ob partis fit imbecillitatem partim quidem revocando in totum corpus, partim vero affecto loco remedia adhibendo. Revocamus quidem acribus clyfteribus et vinculis ac multis infernarum partium frictionibus fanguinis etiam nonnihil, fi ita neceffitas urget, detrahendo. Parti autem medemur, interim dum in corpus

βροχαῖς· μετὰ δὲ ταῦτα ταῖς κενούσαις· εἰς ὕστερον δὲ ταῖς τονούσαις. ἀπωθεῖται μὲν οὖν ἔλαιον τὸ καλούμενον ὠμοτριβὲς ἢ ἄλλο τι τῶν τοιούτων παραπλήσιον, οἷον ὀξυρόδινόν τε καὶ ῥόδινον αὐτὸ καθ᾽ αὑτὸ, καὶ ὅσα διὰ τῶν τοῦ μήκωνος κωδιῶν καὶ θαλλῶν ἐλαίας τῶν ἁπαλῶν καὶ κιττοῦ τῶν κορύμβων ἡδυόσμου τε τοῦ χλωροῦ καὶ σισυμβρίου σκευάζεται· χρῆσθαι δ᾽ αὐτοῖς ἐπὶ μὲν ὠμοτέρου τε καὶ ψυχροτέρου πλήθους χλιαροῖς· ἐπὶ δὲ θερμοτέρου καὶ χολωδεστέρου ψυχροῖς. κενοῖ δὲ καὶ διαφορεῖ τὸ θερμὸν ἔλαιον αὐτό τε καθ᾽ αὑτὸ καὶ μᾶλλον εἰ παλαιὸν ἢ σικυώνιον εἴη ἢ καὶ ἄνηθον ἐναφηψημένον ἔχοι· τὸ γὰρ μὴ πάνυ παχείων μήτε γλίσχρων χυμῶν πλῆθος [365] ἱκανῶς διὰ τῶν τοιούτων κενώσεις· ἀλλὰ καὶ ἢν σπονδύλιον ἢ ἕρπυλλον ἐναφέψοις ἢ γλήχωνος κόμην ἢ καλαμίνθης ἢ ἡδυόσμου τε καὶ σισυμβρίου, κενώσεις οὕτω καὶ τὸ παχύτερον. αὐτὰ δὲ ταῦτα καὶ τόνον τινὰ δίδωσι τοῖς μορίοις καὶ ῥώννυσι τὰ ἠσθενηκότα. χρηστέον οὖν αὐτοῖς ἐφεξῆς, μέχρι παντελοῦς ἰάσεως. καὶ εἰ δεήσειε, διά τε ῥινῶν καὶ

totum revellimus, ea capiti infpergentes quae repellendi vim obtinent, deinde vacuantes, poftea vero roborantes. Repellit quidem oleum omphacinum dictum aut aliquod aliud fimile, quale eft oxyrodinum et ipfum rofaceum per fe et quae ex papaveris calycibus ac teneris oleae termitibus, hederae corymbis, viridi menta et fifymbrio comparantur, quibus in crudiore quidem et frigidiore plenitudine tepidis uti licet, frigidis vero in calidiore ac biliofiore. Vacuat autem ac digerit oleum calidum folum, praefertim fi vel vetus vel ficyonium fit aut fi anethum in ipfo fuerit concoctum, haec enim abunde vacuant humorum plenitudinem, non quidem omnino crafforum ac lentorum, fed et fi vel fpondylium vel ferpyllum oleo incoxeris vel pulegii comam vel calaminthae aut menthae et fifymbrii craffiorem etiam humorem vacuabis. Eadem quoque robur quoddam partibus inferunt ac debiles confirmant. His itaque continenter usque ad integram curationem eft utendum. Et fi res poftulat,

ὑπερῴας καθαίρειν καὶ πταρμοὺς κινεῖν. καὶ ἢν ἐπὶ λουτρὸν ἀγάγῃς τὸν ἄνθρωπον, ἀνατρίβειν τε ξηραῖς σινδόσι τὴν κεφαλὴν καὶ χωρὶς ἐλαίου διαπλάττειν, ἁλί τε καὶ νίτρῳ καὶ νάπυϊ. ταῦτα μὲν δὴ τῆς ἐπ' ἀῤῥωστίας τοῦ μορίου κεφαλαλγίας ἰάματα. τῆς δ' ἐπὶ μεγέθους πυρετῶν, τῆς μὲν ἰαμάτων δεομένης, αἱ ψυχραὶ ποιότητες καὶ δυνάμεις δι' ὑδρελαίου τε καὶ ὀξυροδίνου καὶ μήκωνος κωδιῶν ἐπιβροχαὶ συγκείμεναι ἁρμόζουσι. τῆς δὲ κρίσιμον αἱμοῤῥαγίαν ἢ ἔμετον δηλούσης ἰάματα μὲν οὐ χρὴ ζητεῖν· οὐδὲ γὰρ σύμπτωμά τι τήν γε τοιαύτην νομιστέον, ἀλλὰ μᾶλλον ἀγαθὸν σημεῖον, ὥσπερ καὶ τἄλλα τὰ πρὸ τῶν κρίσεων ἃ τοὺς μὲν πολλοὺς ἐκφοβεῖ, χρηστὸν δέ τι δηλοῖ. κάλλιστον δὲ δύνασθαι γνωρίζειν σῶμα ταραττόμενον ὑπὸ φύσεως παρασκευαζομένης ἐπί τε τὰς ἄλλας ἐκκρίσεις καὶ οὐχ ἥκιστα τὰς δι' ἐμέτων τε καὶ αἱμοῤῥαγίας, ὧν ἀχώριστόν ἐστι σημεῖον ἡ κεφαλαλγία. λέγεται δ' ἐπὶ πλέον μὲν ἑτέρωθι πάντα. τὸ δὲ νῦν εἰδέναι, καθ' ὅσον ἐγχωρεῖ τὴν ἐξ ἀρχῆς φυλάττοντα προαίρεσιν διὰ συντόμων εἰπεῖν, τὰ περὶ αὐτῶν εἰρήσεται.

etiam per nares et palatum purgabis ſternutamentaque ciebis. Quod ſi ad balnea hominem deduxeris, caput ſiccis linteis perfricabis ſalemque et nitrum ac ſinapi ſine oleo inſperges. Haec quidem ſunt dolorum capitis ex ejus partis imbecillitate remedia. Quum vero ex ſebris magnitudine dolor accidit remediaque efflagitat, frigidae tum qualitates tum facultates et quae ex hydrelaeo, oxyrodino et papaveris calicibus ſiunt perfuſiones auxiliantur. Doloris autem capitis decretoriam vel ſanguinis eruptionem vel vomitionem nunciantis curatio veſtiganda non eſt, non enim ſymptoma, ſed ſalubre ſignum potius ſit exiſtimandus, quemadmodum et alia non pauca, quae multos quidem ante criſin terrent, ſalutem vero promittunt. Optimum autem eſt poſſe cognoſcere corpus a natura perturbari, tum alias excretiones tum maxime vomitum ac ſanguinis eruptionem moliente, quorum inſeparabilis nota eſt capitis dolor. De omnibus autem in alio opere fuſius tractatur. Quantum vero ad praeſentem cognitionem attinet, primum ſervantes inſtitutum de ipſis

Ed. Chart. X. [365.] Ed. Baf. IV. (207.)

σκεπτέον οὖν πρῶτον μὲν τὸ τῶν πυρετῶν εἶδος, εἰ θερμοὶ καὶ διακαεῖς. ἐκκρίσεσι γὰρ οἱ τοιοῦτοι φιλοῦσι κρίνεσθαι· καθάπερ οἱ μαλακώτεροί τε καὶ οἷον σμυχόμενοι χρονίζουσί τε καὶ εἰς ἀποστάσεις ὁρμῶσι τὰ πολλά. δεύτερον δὲ, εἰ σωτήριόν ἐστι τὸ νόσημα, τίς γὰρ ἀγαθὴ κρίσις ἐν τῷ ὀλεθρίῳ νοσήματι ἐλπισθείη; τρίτον ἐπὶ τοῖσδε τὸν καιρὸν τῆς ὅλης νόσου σκοπεῖν. εἰ γὰρ ἀρχῆς ἢ ἐπιδόσεώς ἐστι σημεῖον μηδέπω δ' ἀκμῆς μηδὲ πέψεως γνωρίσματα δι' οὔρων ἢ πτυσμάτων ἢ ἀποπατημάτων, οὐκ ἐνδέχεται κρίσιν ἀγαθὴν γενέσθαι. ταῦτα μέν ἐστιν ἐξ ὧν ἄν τις ἐλπίσειε δι' ἐκκρίσεως κριθήσεσθαι τὸ νόσημα. τοῦ δὲ νῦν ἤδη καὶ μηκέτι μέλλοντος σημεῖα τάδε· δυσφορία προηγεῖται κρίσεως ἁπάσης· καὶ εἰ μὲν ἐν ἡμέρᾳ μέλλοι κριθήσεσθαι τὸ νόσημα, νύκτωρ· εἰ δ' ἐν νυκτὶ, δι' ἡμέρας. εἰ οὖν τοιοῦτόν τι βλέποις, ἐπισκοπεῖσθαι δεῖ πόσην ἄγει τὴν ἀπὸ τοῦ νοσεῖν ἡμέραν ὁ ἄνθρωπος. εἰσὶ γὰρ καὶ αἳ κρίνειν πεφύκασι κἂν βραχείας ὁρμῆς τῆς φύσεως λάβωνται. πολλοὶ δ' ἐν μὲν ταῖς σφοδραῖς κινήσεσιν ὅλως οὐ δύνανται τὸ μέγεθος συνο-

aliquid breviter dicemus. Primum igitur confideranda febrium fpecies eft, an calidae fint ac ardentes. Solent enim hae excretione judicari, quemadmodum mitiores et velut languentes diutius durant ac in abfceffum plerumque finiuntur. Deinde vero an morbus falutaris fit, nam quis bonam crifin in pernitiofo morbo fperaverit? Tertio ad haec univerfi morbi tempus notare oportet. Nam fi principii vel incrementi, nondum vero ftatus aut coctionis notae apparuerint, per urinas aut fputum aut alvi dejectiones bona crifis fieri non poteft. Haec quidem funt ex quibus morbum per excretionem judicatum iri fperare poffis. Jam vero ejus quod adeft nec jam futurum eft, hae funt notae: in tolerando difficultas univerfam crifin antecedit, noctu quidem fi interdiu morbus judicari debet, interdiu vero fi noctu. Igitur fi quid ejusmodi confpexeris, videndum eft quotum morbi diem ducat aeger. Nam funt qui vel parvo naturae impulfu decernere idonei funt. Sed multi ne in vehementibus quidem commotionibus cognofcere omnino poffunt an

ρῶν τῆς ταραχῆς, εἰ κατὰ τὴν φύσιν ἐστὶ τῆς ἡμέρας. ἡ μὲν γὰρ ἑβδόμη ἡμέρα καὶ κατὰ τὰς βραχείας παρασκευὰς τῆς φύσεως ἐξορμᾷ πρὸς τὴν διὰ κενώσεως κρίσιν. ἡ δ᾽ ἕκτη μεγάλης τε δεῖται τῆς παρασκευῆς καὶ πολλάκις μὲν οὐδ᾽ ἔκρινεν. εἰ δέ γε ἔκρινεν, οὔτε χωρὶς κινδύνου οὔτε πιστῶς. οὕτω δὲ καὶ τῶν ἄλλων ἡμερῶν ἑκάστης ἐστί τις ἴδιος φύσις, ἣν ἐν τοῖς περὶ κρισίμων διορίζόμεθα. φέρε δὴ καὶ τὴν ἡμέραν εἶναι κατὰ τὸ τῆς ταραχῆς μέγεθος. εἶτ᾽ ἐφεξῆς σκοπεῖν, ὁποία τις ἡ κρίσις ἔσται· περὶ μὲν οὖν τῶν ἄλλων οὐδὲν δεόμεθα λέγειν νῦν. εἰ δ᾽ ἔμετος ἢ αἵματος ἔκκρισις διὰ ῥινῶν ἔσεσθαι μέλλοι, ταύταις γὰρ ἐλέγομεν ταῖς ἐκκρίσεσιν ἕν τι τῶν σημείων εἶναι τὴν κεφαλαλγίαν, [366] ἐκ τῶνδε μάλιστα διορίζεσθαι· πρῶτον μὲν εἰ μὴ κατ᾽ ἀρχὰς εὐθὺς εἰσέβαλεν οἷον σύμπτωμά τι τοῦ νοσήματος, ἀλλ᾽ ἐν τῇ πρὸ τῆς κρίσεως ταραχῇ. δεύτερον δ᾽ εἰ καὶ ὁ τράχηλος συναλγοίη καὶ ὑποχόνδριον ἀνασπώμενον εἴη καὶ εἰ δύσπνοιά τις αἰφνίδιος, οἱονεὶ στενοχωρουμένου τοῦ θώρακος. εἰ γὰρ ἐπὶ τούτοις ἅπασιν ἐξαίφνης

perturbationis magnitudo pro diei natura fit. Septimus enim vel exiguo naturae instructu crisin per vacuationem movet. Sextus vero magno naturae conatu eget atque raro quidem decernit. Quod si decernat, id cum periculo et sine fide fit Ad eundem modum aliorum etiam dierum singulis propria quaedam natura inest, quam in libris de diebus decretoriis explicavimus. Agedum perturbationis magnitudini dies respondeat, postea considerato qualis futura crisis sit; de aliis quidem nunc disputare necesse non est. An vero vomitus futurus sit vel sanguis per nares fluxurus, in ejusmodi enim crisibus signum unum esse dicebamus, nempe capitis dolorem, ex iis maxime deprehendere licet: in primis quidem si ab initio statim non invasit dolor, tanquam morbi symptoma quoddam, sed in perturbatione crisin praecedente. Deinde si condolescat collum et hypochondrium retrahatur, spirandique difficultas quaedam repentina velut presso thorace suboriatur. Si enim omnibus his incidentibus repente

ὀγκούμενοι οἱ σφυγμοὶ μὴ καταπίπτοιεν εἰς μικρότητα μηδ᾽ ἀμυδροὶ γίγνοιντο, παραχρῆμα τὴν κρίσιν ἐλπίζειν· εἰ δὲ πρὸς τῷ μὴ καταπίπτειν εἰς ὕψος ἀρθεῖεν καὶ σφοδρότητα προσλάβοιεν, ἐπιβλέπειν ἤδη χρὴ τὸ πρόσωπον τοῦ νοσοῦντος· εἰ γὰρ καὶ πάλλοιτό τι τῶν ἐν αὐτῷ μορίων ἢ σφύζοιεν αἱ ἐν τοῖς κροτάφοις φλέβες ἢ μῆλον ἢ ῥὶς ἢ ὀφθαλμὸς ἐρυθρότερα γίγνοιντο, τὴν κρίσιν μᾶλλον ἐλπίζειν. εἰ δὲ καὶ δακρύουσιν ἄκοντες ἢ μαρμαρυγὰς ὁρᾷν φαντάζοιντο καὶ τὰς χεῖρας ἐπὶ τὰς ῥῖνας φέροιεν ὡς κνώμενοι, τηνικαῦτα μὲν οὐκέτι μέλλον, ἀλλ᾽ ἤδη ῥέον ὄψει τὸ αἷμα. κνησαμένων γὰρ αὐτῶν ἅπαξ που καὶ δὶς εὐθὺς ἐκρήγνυται. μὴ καταπλαγῇς δ᾽ ἐν τούτοις, ἢν παραφρονοῦντα τὸν ἄνθρωπον καὶ ἀναπηδῶντα θεάσαιο. καὶ γὰρ καὶ ταῦτα τῆς ἄνω φορᾶς τῶν χυμῶν γνωρίσματα. καθάπερ ἥ τε δύσπνοια καὶ τὸ ὑποχόνδριον ἀνασπώμενον, ὅ τε τράχηλος ἅμα τῇ κεφαλῇ βαρυνόμενος· ἀλλά σοι σὺν τούτοις ἕν τι σημεῖον ἔστω καὶ ἡ παραφροσύνη. καὶ ταῦτα μὲν οὖν ἱκανὰ γνωρίσματα. προσέρχεται δ᾽ αὐτοῖς πολλάκις ἥ τε τοῦ νοσοῦντος ἡλικία τε καὶ φύσις

pulfus turgefcant nec in parvitatem recidant nec debiles fiant, jamjam crifis eft exfpectanda. Si vero praeterquam quod non concidunt etiam in altum attollantur vehementioresque reddantur, jam infpicienda aegrotantis facies eft, in qua fi pars aliqua palpitet aut temporum venae micent aut mala aut naris aut oculus rubicundior appareat, crifis habendae major fpes eft. Quod fi inviti illacriment aut fplendores fe cernere fibi videantur ac manus velut fcabentes naribus admoveant, tunc jam non adfore, fed adeffe fanguinis fluxionem confpicies. Statim enim femel ac iterum fcabentibus fanguis erumpit. In his vero ne perterrearis etiamfi delirare ac fubfilire hominem videas. Haec enim funt humorum furfum tendentium indicia. Quemadmodum et fpirandi difficultas et hypochondria retracta collumque una cum capite degravatum, fed et cum his delirium fignum quoddam fit. Atque haec quidem figna fufficiant. Saepe vero et cum his accedit aegrotantis aetas et natura quae fpem

βεβαιοῦσα τὴν ἐλπίδα καὶ προσέτι τοῦ ἔτους ὁ καιρὸς, ἥ τε παροῦσα κατάστασις. εἰ γὰρ μειράκιον εἴη τὸ νοσοῦν ἢ ἄλλως φύσει θερμὸν ἢ πολύαιμον, ἔτι μᾶλλον ἐλπίσεις. εἰ δὲ καὶ πρόσθεν αὐτῷ πολλάκις αἷμα διὰ ῥινῶν ἐπιφάνη, νοσοῦντί τε καὶ ὑγιαίνοντι, τοῦτο μὲν καὶ μόνον ἱκανὸν αἱμοῤῥαγίας ἐλπίδα παρασχεῖν. εἰ δὲ καὶ τὸν καιρὸν τοῦ ἔτους ὁρῴης θέρος, ἢ οὐ θέρος μὲν, ἄλλως δὲ θερμὴν τὴν παροῦσαν κατάστασιν, ἆρ᾽ οὐκ ἄν τινα καὶ παρὰ τούτων ἔνδειξιν λάβοις; εἰ δὲ καὶ πολλοὶ κατ᾽ ἐκεῖνον τὸν καιρὸν αἱμοῤῥαγίας εἶεν κεκριμένοι, καὶ τοῦτ᾽ ἂν αὐξήσειέ σου τὴν ἐλπίδα, καὶ εἰ πληθωρικὸν εἴη τὸ σῶμα καὶ εἰ συνηθῶν ἐκκρίσεων ἐπίσχεσις. ἐμοὶ μὲν οὐδ᾽ ὅλως χαλεπὸν εἶναι δοκεῖ, τοσαῦτα καὶ τοιαῦτα γνωρίσματα μελλούσης αἱμοῤῥαγίας ἔχοντα δύνασθαι προγινώσκειν, ἀλλ᾽ ἄτοπόν τε καὶ δεινῶς ἀμαθὲς τὸ μὴ προγνῶναι. τῇ δ᾽ ὀλιγωρίᾳ τῶν νῦν ἰατρῶν θαυμάζεται τὰ μὴ θαυμαστά. καὶ γὰρ εἴτ᾽ ἐξ ἀριστεροῦ μυκτῆρος εἴτ᾽ ἐκ δεξιοῦ ῥυήσεται τὸ αἷμα, χαλεπὸν μὲν οὐδὲν ἐκ τῶν εἰρημένων προγινώσκειν, τοῖς πολλοῖς δὲ τῶν ἰατρῶν οὐ μόνον χαλεπὸν, ἀλλ᾽ οὐδὲ δυνατὸν

confirmat, praeterea anni tempus et praeſens aëris conſtitutio. Nam ſi aeger adoleſcens eſt aut alioqui calidae naturae aut copioſi ſanguinis, major ſpes fuerit. Quod ſi prius eidem aut aegrotanti aut ſano ſaepe ſanguis per nares effluxerit, vel hoc ſolum ſatis fuerit ad ſanguinis profuſionis ſpem habendam. At ſi anni tempus aeſtas eſt aut ſi aeſtas non eſt, ſed aëris praeſens conſtitutio calida, nonne ex his indicium aliquod deſumes? Jam vero ſi et multi eo tempore per ſanguinis profuſionem criſin habuerint, praeterea ſanguine corpus redundet et ſolitae excretiones ſupprimantur, haec quoque ſpem tibi auxerint. Mihi quidem neque omnino difficile videtur futuram ſanguinis eruptionem poſſe praeſciri, ubi tot ac talia ſigna habeas. Abſurda vero res eſt ac magna imperitia id non praenoſſe. Sed ſunt qui medicorum hujus tempeſtatis culpa ac incuria ea demirentur, quae admiratione digna non ſunt. Sive enim ex laeva ſive dextra nare ſanguis fluxurus ſit, ex jam dictis haud difficulter praeſenties. Verum medicorum non pauci non ſolum id dif-

ὅλως εἶναι δοκεῖ· καί τοι καὶ ταύτας καὶ τὰς ἄλλας ἐκκρίσεις ἁπάσας ἔνεστι προγνῶναι, δύο ταῦτα σκοπουμένῳ· τό τε ὅθεν ἡ ὁρμὴ τῆς φύσεως καὶ τὸ ποῦ. καὶ γὰρ συνεργήσομεν ταῖς ἐλλείψεσι καὶ κωλύσομεν τὰς ἀμέτρους γινομένας φορὰς, εἰ ταῦτα γινώσκοιμεν· οἷον αὐτίκα τὰς ἀπὸ σπληνὸς αἱμοῤῥαγίας αἱ κατὰ τὸ ἀκρι(208)βέστερον ὑποχόνδριον ὑποτιθέμεναι μεγάλαι σικύαι ῥᾳδίως ἀντισπῶσι, τὰς δ᾽ ἀπὸ τοῦ ἥπατος αἱ κατὰ τὸ δεξιόν. κἀπὶ τῶν ἄλλων ὁ αὐτὸς λόγος. ἐξ ἑνὸς γὰρ περὶ πάντων δυνήσῃ συλλογίζεσθαι τό γε καθόλου σκοπούμενος. ὥστε κἀγὼ τῇδε καταπαύσω τὸν παρόντα λόγον. ἐφεξῆς δὲ περί τε τῶν ἐπὶ ταῖς φλεγμοναῖς ἀναπτομένων πυρετῶν δίειμί σοι καὶ τῶν ἄλλων παθῶν, ὅσα καθ᾽ ἕκαστον τῶν τοῦ σώματος μορίων συνίσταται. φλεγμονὰς δ᾽ οἱ μὲν παλαιοὶ τὰς οἷον φλογώσεις ὠνόμαζον· οἱ δὲ νεώτεροι οὐ πάσας· [367] οὔτε γὰρ τὸν ἕρπητα οὔτε τὸ ἐρυσίπελας οὔτ᾽ ἄλλο οὐδὲν τῶν τοιούτων ταῖς φλεγμοναῖς συναριθμοῦσιν, ἀλλ᾽ ἑνὶ μόνῳ τῶν θερμῶν παθημάτων ἐπιφέρουσι τοῦτο τὸ

ficile esse, sed omnino sciri non posse arbitrantur, tametsi tum hae tum aliae omnes excretiones pvaevideri possint si duo haec consideraveris, nempe unde naturae impetus fiat et in quam partem vergat. Quae si noris, defectum supplebis et immoderatum motum inhibebis, velut exempli gratia magna cucurbita sinistro hypochondrio admota ex liene, dextro vero ex jecore profluentem sanguinem facile retrahet. Eadem quoque in aliis partibus habenda est ratio. Nam ex uno de omnibus idem colligere licet si universale contempleris. Quocirca hoc loco praesenti libro finem imponam. Deinceps vero de febribus, quas phlegmonae accendunt atque de aliis affectibus, qui in singulis corporis partibus consistunt differam. Phlegmonae autem quasi phlogoses a veteribus dicebantur: a recentioribus vero non omnes. Neque enim herpes neque erysipelas neque id genus aliud inflammationibus annumerantur, sed ex calidis affectibus uni tantum, cujus durus tumor et dolor pulsatilis comes est.

ὄνομα, τὸ μετ' οἰδήματος σκληροῦ καὶ ὀδύνης σφυγματώδους. οὐ μὴν τούτῳ γε μόνῳ πυρετοὺς καὶ πόνους ἑπομένους ὁρῶμεν, ἀλλ' ἅπασιν ἁπλῶς τοῖς θερμοῖς καὶ οἷον ζέουσι πάθεσι. περί τε οὖν τούτων καὶ τῶν ἄλλων ὅσα τοιαῦτα νοσήματα τὸν ἑξῆς ποιησόμεθα λόγον.

hoc nomen tribuunt, tametſi non talem ſolum ſed ſimpliciter omnes calidos ac velut ſervidos affectus, febres ac dolores ſequi videmus. De his igitur atque aliis id genus morbis deinceps differemus.

ΓΑΛΗΝΟΥ ΤΩΝ ΠΡΟΣ ΓΛΑΥΚΩΝΑ ΘΕΡΑΠΕΥΤΙΚΩΝ ΒΙΒΛΙΟΝ Β.

Ed. Chart. X. [367.] Ed. Baf. IV. (208.)

Κεφ. α'. Περὶ δὲ τῶν καθ' ἕκαστον μέρος τοῦ σώματος παθῶν, ὦ Γλαύκων, ἑξῆς ἐροῦμεν ἀπὸ φλεγμονῆς ἀρξάμενοι. καὶ γὰρ πλειστάκις αὕτη γίνεται καὶ πλείστας ἔχει διαφοράς· καὶ πάσαις αὐταῖς πυρετοὶ πεφύκασιν ἕπεσθαι. κοινὸν μὲν οὖν ἁπάσαις ἡ ἄμετρός ἐστι θερμασία καὶ οἷον φλόγωσις, ὅθεν περ καὶ τὸ τῆς φλεγμονῆς ὄνομα κατ' αὐτῶν ἐπιφέρειν ἔθος ἦν τοῖς παλαιοῖς. ἰδίαν δὲ καθ' ἑκάστην εὕροις ἄν τινα διαφοράν, ἐξ ἧς τό τε εἶδος αὐτῆς γνωριεῖς καὶ τῆς προσηκούσης εὐπορήσεις ἰάσεως. ἑτέρως μὲν γὰρ ἕρπη-

GALENI AD GLAVCONEM DE MEDENDI METHODO LIBER II.

Cap. I. De fingularum autem corporis partium affectibus, Glauco, deinceps differemus ab inflammatione exorfi. Haec etenim et frequentiffime incidit et plurimas habet differentias, hisque omnibus febres accedere folent. Itaque omnium communis eft immoderatus calor ac velut phlogofis, *i. inflammatio*, unde et ipfis phlegmones nomen veteres indidere. Harum autem cuique fuam inveneris differentiam, ex qua ejus tum fpecies cognofcitur, tum idoneum remedium fuppeditatur. Aliam enim herpetes, aliam eryfi-

τας, ἑτέρως δ' ἐρυσιπέλατα, ἑτέρως δὲ φύγεθλα καὶ τἄλλα τῶν φλεγμονῶν εἴδη θεραπεύσεις. ὥστε πάλιν ἡγεῖται κἀνταῦθα διαγινώσκειν ὀρθῶς τὰ πάθη δύνασθαι. καί σοι πειράσομαι τοῦτο πρῶτον γράψαι, διελόμενος ἐξ ἀρχῆς περὶ τῶν κατὰ τὰς φλεγμονὰς πάσας διαφορῶν. πρώτη μὲν οὖν διαφορὰ φλεγμονῆς ἐστι, καθ' ἣν τὴν μὲν αὐτῆς ὑγρὰν, τὴν δὲ ξηρὰν εἶναι συμβέβηκεν. ὑγρὰν μὲν ἥτις ἂν ἐκ ῥεύματος θερμοῦ τὸ μόριον καταλαμβάνοντος γίγνηται· ξηρὰν δ' ὅταν μηδενὸς ἐπιῤῥυέντος τὴν σύμφυτον θερμασίαν ἐκπυρωθῆναι συμβῇ. τοῦτο δὲ μέχρι μέν τινος οἷον πυρετός ἐστι τοῦ μορίου· ἐπειδὰν δὲ εἰς ἄμε[368]τρον ἤδη θερμότητα καὶ ξηρότητα προήκῃ, φθορὰ καὶ νέκρωσις παντελὴς γίγνεται, ὅθεν οὐδ' εἰς πλείω τέμνεσθαι πέφυκεν, ὥσπερ ἡ ἑτέρα διαφορὰ καθ' ἣν ἐπιῤῥεῖν τινας χυμοὺς ἐλέγομεν τῷ μέρει. πολλὰ γὰρ τὰ ταύτης εἴδη· αἵματος μὲν γὰρ ἐπιῤῥυέντος ἕτερον· χολῆς δὲ ξανθῆς ἕτερον· ἀμφοῖν δ' ἅμα τρίτον ἄλλο. καὶ μὲν δὴ καὶ καθ' ἕκαστον αὐτῶν ἢ σεσηπός ἐστιν ἤδη τὸ ἐπιῤῥέον ἢ ἐν τῷ μορίῳ σφηνούμενον σήπεται· καὶ ἤτοι παχὺ τὴν σύστασιν

pelata, aliam phygethla et aliam aliae inflammationum species curationem efflagitant. Quocirca hic quoque cognofcendorum recte affectuum facultas rurfus antecedit. Atque hoc primum tibi fcribere conabor, ubi omnium inflammationum differentias ab initio diftincte conftituero. Prima itaque inflammationis differentia eft, quae in humidam et ficcam diftinguitur. Humidam quidem quae in calida defluxione partem obfidente fit, ficcam vero in qua citra ullum defluvium nativus calor accenditur. Hoc autem quadantenus velut febris partis ipfius eft, quae quum ad immoderatam jam caliditatem et ficcitatem pervenit, exftinguitur omnino ac emoritur. Quocirca neque in plura poteft dividi, quemadmodum altera differentia, quae uti dicebamus ex humorum defluxu in partem aliquam fit. Ejus enim multae funt fpecies, una ex fanguinis, altera ex bilis, tertia ex utriusque fimul defluxione. Atque etiam in harum fingulis aut jam computruit quod defluit aut putrefcit in parte infartum: idque vel fubftantia craffum eft vel tenue vel fuave vel

ἢ λεπτὸν ἢ χρηστὸν ἢ δριμύ. αἵματος μὲν οὖν χρηστοῦ καὶ συμμέτρου τῷ πάχει ῥυέντος εἴς τι μόριον ἀθρόως καὶ διὰ τὸ πλῆθος σφηνωθέντος, ὀδύνη σφοδρὰ καταλαμβάνει τὸν ἄνθρωπον, ἤν γε μὴ παντελῶς δυσαίσθητον ᾖ τὸ μόριον· καὶ σφυγμὸς ἀνιαρὸς ἐν τῷ βάθει καὶ τείνεσθαι πάντη νομίζει καὶ θλᾶσθαι τὸ μόριον καὶ θερμασίας αἰσθάνεσθαι πλείονος, ὡς διακαίεσθαι δοκεῖν καὶ ἀναψύχεσθαι ποθεῖν· καὶ ἔρευθος ἐπανθεῖ τοιοῦτον, οἷον τοῖς λελουμένοις ἢ παρὰ τῷ πυρὶ θαλφθεῖσιν ἢ πως ἄλλως θερμανθεῖσι. τοῦτο τὸ πάθος τὴν τοῦ γένους ὅλου προσηγορίαν ἀπηνέγκατο καὶ καλεῖται φλεγμονὴ, ἄλλοις παραπλησίως πολλοῖς εἴδεσι λαμβάνουσι τὸ τοῦ γένους ἐπιφερόμενον ὄνομα. καὶ γίνεται συνεχῶς ἐπὶ πάσῃ σχεδὸν προφάσει· καὶ γὰρ καὶ τρώσεσι καὶ σπάσμασι καὶ θλάσμασι καὶ ῥήγμασι καὶ τοῖς ἐκ τῶν γυμνασίων καμάτοις, ἐξαρθρήμασί τε καὶ κατάγμασι καὶ τοῖς αὐτομάτοις ἕλκεσιν ἐπιγίγνεται· καὶ χωρὶς δὲ τούτων ἁπάντων, ὅταν εἰς ἄμετρον χυμῶν πλησμονὴν αἱ φλέβες ἀφίκωνται, τότε τὸ περιττὸν ἀποχέουσιν εἴς τι χωρίον, ὃ ἂν ἐπιτηδειότατον ᾖ τηνικαῦτα

acre. Si igitur fanguis bonus ac craffitudine mediocris univerfim in aliquam partem fluxerit atque ob multitudinem conftipetur, dolor vehemens, nifi pars omnino hebetem fenfum habeat, hominem corripit, pulfusque in profundo infeftat et diftendi partem ipfam usquequaque ac contundi aeger putat, tantumque fentit calorem, ut deuri videatur ac refrigerari cupiat, rubor quoque qualis ex balneis accedit aut ad ignem efflorefcit vel alio quovis modo calefactis in cute apparet. Affectus hic totius generis appellationem accepit vocaturque inflammatio, quemadmodum et aliae multae fpecies fui generis nomen adoptarunt. Oriturque frequenter ex omni fere caufa, etenim et vulneribus convulfionibus, contufionibus, rupturis, laffitudini quam exercitatio attulit, luxationibus, fracturis et fponte natis ulceribus fupervenit, praeter haec omnia quum venae immodice plenae in eam partem, quae tunc recipere maxime fit idonea, fupervacuum humorem fundunt: ea autem pars caeteris eft aut

δέξασθαι· πάντως δὲ τοῦτο τῶν ἄλλων ἢ ἀῤῥωστότερόν ἐστιν ἢ μανότερον ἢ ἕλκειν ἑτοιμότερον ἢ ἀκινητότερον, ἐξ ἡστινοσοῦν αἰτίας, εἰς ταύτας ἀχθὲν τὰς διαθέσεις. οὐ γὰρ τοῦτό γε νῦν πρόκειται λέγειν. χολὴ δὲ ξανθὴ ἡνίκα μὲν τὴν ἑαυτῆς φύσιν σώζουσα σὺν τῷ αἵματι φέρεται πανταχόσε τοῦ σώματος, ἴκτερος τὸ πάθος καλεῖται. μόνης δ' ἀποκριθείσης καὶ κατά τι μόριον ἱσταμένης, ἕρπης ὀνομάζεται· εἰ μὲν δὴ παχεῖα τὴν σύστασιν εἴη, πᾶν ἑλκοῖ μέχρι τῆς ὑποκειμένης σαρκὸς τὸ δέρμα, καὶ καλεῖ τούτους Ἱπποκράτης ἕρπητας ἐσθιομένους. εἰ δὲ λεπτοτέρα εἴη, τὸ ἐπιπολῆς μόνον ὥσπερ ἐπικαίει καὶ τοῦτο τὸ εἶδος ἀπηνέγκατο τὴν τοῦ γένους προσηγορίαν, ἁπλῶς τε καὶ χωρὶς προσθήκης ἕρπης ὀνομασθέν. τῶν γὰρ ἄλλων δυοῖν εἰδῶν τὸ μὲν ἤδη προειρημένον ἐσθιόμενος ἕρπης ὀνομάζεται, θάτερον δὲ τὸ λοιπὸν κεγχρίας, ὅτι καὶ τούτῳ συμβέβηκε, φλυκταίνας μικρὰς καὶ πολλὰς ἐπιπολῆς τοῦ δέρματος ἐπεγείρειν, κέγχροις ἐοικυίας. γίνεται δ' ὁ τοιοῦτος ἕρπης ὑπὸ χολῆς μὲν καὶ αὐτὸς, ἀλλ' ἧττον δριμείας καὶ θερμῆς ἢ οἱ πρόσθεν. εἰ δ' ἐξ αἵματος καὶ ξανθῆς

imbecillior aut rarior et ſolutior aut ad attrahendum promptior aut immobilior, quacunque de cauſa ad has affectiones perducta fuerit. De hoc enim diſceptare nunc non ſtatuimus. Flava bilis, quando ſuam ſervans naturam per univerſum corpus cum ſanguine fertur, arquatum morbum parit. Herpes vero vocatur, quum ſola a ſanguine ſecreta eſt, ac in parte aliqua conſiſtit, quae ſi craſſa ſit conſiſtentia totam cutem usque ad ſubjectam carnem exulcerat, atque ejusmodi herpetas Hippocrates exedentes vocat. Sin tenuior bilis ſit, ſolam ſuperficiem quaſi deurit, atque haec ſpecies generis nomen accepit, ſimpliciterque et ſine adjectione herpes nominatur. Harum enim duarum formarum altera modo commemorata herpes exedens, altera vero miliaris dicitur, quod puſtulae parvae ac multae in ſumma cute excitentur milio ſimiles. Fit autem ejusmodi herpes etiam ab ipſa bile, ſed minus quam priores acri et calida. Quod ſi ex ſanguine et flava bile juſto calidioribus fluxio miſta fuerit, aut ex

χολῆς θερμοτέρων τοῦ δέοντος μικτὸν εἴη τὸ ῥεῦμα, ἢ ἐξ αἵματος μὲν, ζέοντος δὲ καὶ λεπτοτάτου τὴν σύστασιν, ἐρυσίπελας τὸ πάθος καλεῖται, θερμότερον πολλῷ τῆς φλεγμονῆς τοῦτο καὶ ξανθότερον ἰδέσθαι. καὶ εἰ ἅψαιο, ῥαδίως ὑποτρέχει τὸ αἷμα καὶ αὖθις ἐπιῤῥεῖ, λεπτὸν ἀκριβῶς καὶ ἐρυθρὸν φαινόμενον, οὐ μὴν οὐδ' ὀδυνᾶται ὁμοίως τῇ φλεγμονῇ τοῦτο. καὶ κατ' οὐδὲν δὲ τῶν τῆς φλεγμονῆς εἰδῶν οὔτε σφυγμὸν οὔτε θλῖψιν οὔτε τάσιν ὁμοίαν ἐπιφέρει, ἀλλ' ἔσθ' ὅτε καὶ πάνυ μετρίως ἐνοχλεῖ καὶ μάλισθ' ὅταν κατὰ μόνου τοῦ δέρματος ἐκχυθῇ, μηδὲν ἀδικοῦν τὴν ὑποκειμένην σάρκα· καὶ μὲν δὴ καὶ γίνεται τοιοῦτον ὡς τὰ πολλὰ καὶ τοῦτό ἐστι τὸ ἀκριβὲς ἐρυσίπελας. ὡς τό γε καὶ τῆς ὑποκειμένης ἁπτόμενον σαρκὸς οὔτ' ἐξ ἀκριβῶς λεπτοῦ γίνεται τοῦ ῥεύματος οὔτ' ἐρυσίπελάς ἐστι μόνον, ἀλλ' ἤδη μικτὴ διάθεσις ἐξ ἐρυσιπέλατός τε [369] καὶ φλεγμονῆς, ἐπικρατεῖ δ' ἐν αὐτῇ ποτὲ μὲν τὰ τοῦ ἐρυσιπέλατος ἴδια συμπτώματα, καὶ καλεῖται τὸ τοιοῦτον πάθος ὑπὸ τῶν νεωτέρων ἰατρῶν ἐρυσίπελας φλεγμονῶδες· ποτὲ δὲ τὰ τῆς φλεγμονῆς, καὶ ὀνομάζουσιν αὐτὸ τηνικαῦτα φλεγμονὴν ἐρυσιπελατώδη. εἰ δὲ τὰ μηδε-

ſanguine quidem, ſed fervido ac ſubſtantia tenuiſſimo affectus eryſipelas vocatur, multo inflammatione calidior aſpectuque flavior. Et ſi tetigeris, ſanguis facile ſuffugit rurſusque affluit exquiſite tenuis et viſu ruber, non tamen aeque cruciat eryſipelas atque inflammatio. Neque ſecundum ullam inflammationis ſpeciem aut pulſat aut premit aut diſtendit. Verum aliquando moderate omnino infeſtat et maxime quum in ſolam cutem ſparſum eſt, minimeque ſubjectam carnem laedit atque magna ex parte tale ſit exquiſitumque eryſipelas eſt. Quemadmodum id quod ſubjectam carnem invadit, minimeque ex plane tenui fluxione ſit ſolum eryſipelas non eſt, ſed jam miſtus ex eryſipelate et inflammatione affectus, in quo quum propria eryſipelatis ſymptomata praevalent a recentioribus medicis eryſipelas phlegmonodes, quum vero inflammationis, eryſipelatodes inflammatio dicitur. Quod ſi neutrius luculenter vincant, ſed pa-

τέρου ἐπικρατοίη σαφῶς, ἀλλ' ἴσα φαίνοιτο, (209) φλεγμονὴ καὶ ἐρυσίπελας μεμίχθαι λέγεται. τὸ μὲν οὖν ἀκριβὲς ἐρυσίπελας αὐτοῦ τοῦ δέρματος μόνου πάθος ἐστίν. οὐ μὴν ἥ γε φλεγμονὴ μόνων τῶν ὑποκειμένων τῷ δέρματι μορίων, ἀλλὰ μάλιστα μὲν τούτων, ἐνίοτε δὲ καὶ τοῦ δέρματος. καὶ ἔστιν αὕτη τἄλλα μὲν ὀδυνηρὰ τῆς ἑτέρας οὐδὲν ἧττον, ἄπεστι δ' αὐτῆς ὁ σφυγμός. ὅταν δὲ τὸ ἐπιῤῥέον αἷμα θερμὸν ἱκανῶς ᾖ καὶ παχὺ, καθ' ὅτι ἂν μόριον ἀθρόον ἐπιῤῥυῇ, τοῦτο καῦσαν ἕλκος ἐσχάραν ἔχον εἰργάσατο. τὸ πέριξ δ' αὐτοῦ πᾶν εἰς φλεγμονὴν ἐξαίρει, ζέουσάν τε καὶ δεινῶς ἐπώδυνον. ὀνομάζεται δὲ τὸ τοιοῦτον πάθος ἄνθραξ. ὅταν δὲ τὸ ἐπιῤῥέον αἷμα μέλαν ᾖ καὶ παχὺ καὶ ἰλυῶδες καὶ ζέον, οἷόν περ τὸ προειρημένον, ἅμα δὲ καὶ ἰχῶράς τινας λεπτοὺς μεμιγμένους ἔχῃ, φλυκταίνας ἐπιπολῆς τοῦ δέρματος ἀνίστησιν, ὁμοίας ταῖς ἀπὸ πυρὸς ὧν ἐκῤῥηγνυμένων τὸ ἐσχαρῶδες ἐπ' αὐταῖς ἕλκος εὑρίσκεται· καὶ ἔστιν ἄνθραξ ἤδη καὶ τοῦτο. τὰ μὲν οὖν τῆς φλεγμονῆς εἴδη τοσαῦτα κατά γε τὴν φύσιν αὐτὴν τοῦ πάθους διαιρούμενα. πολλὰ δ' ἂν ἴσως δόξειέ τις παραλελεῖφθαι

ria cernantur, inflammatio et eryfipelas mifta effe dicuntur. Itaque exquifitum eryfipelas folius cutis eft affectus. At inflammatio non folum fubjectarum cuti partium quanquam maxime quidem harum, fed et cutis aliquando affectus eft. Atque haec quidem non minorem alioqui quam illa dolorem invehit, fed pulfatione caret. Quum vero fanguis admodum calidus ac craffus eft, in quamcunque partem confertim fluxerit, hanc exurit ulcusque cum crufta efficit. Quicquid vero circumftat, in inflammationem attollit ferventem ac dolore gravi conflictantem. Vocatur autem hujusmodi affectus carbunculus. Quod fi influens fanguis niger fit, craffus, faeculentus ac fervidus, qualis eft prior, admixtamque faniem quandam tenuem habeat, puftulae in cutis fuperficie oriuntur his quae ex igne fiunt fimiles, fub quibus ruptis cruftofum ulcus invenitur. Eft et hic affectus etiam carbunculus. Tot igitur funt inflammationis fpecies fecundum affectus naturam divifae. Multas vero fpecies quispiam forte pu-

τῷ πλήθει τῶν ὀνομάτων ἐξαπατώμενος, οἷον βουβῶνάς τε καὶ φύματα καὶ φύγεθλα καὶ ὀφθαλμίας καὶ περιπνευμονίας καὶ πλευρίτιδας καὶ ἄλλα πολλὰ τῶν ὁμοίως ὀνομαζομένων. ἅπαντα γὰρ ταῦτα φλεγμοναὶ μέν τινές εἰσιν, ἐν οἷς πρόσθεν εἶπον εἴδεσι περιεχόμεναι, διαφόρου δ᾽ αὐτῶν ἕκαστον ἔτυχε προσηγορίας, τῶν πρώτως θεμένων αὐτὰς σύνθετον νόησιν αὐτοῦ τε τοῦ πάθους καὶ τοῦ δεδεγμένου ἅμα μέρους αὐτὸ, δι᾽ ἑνὸς ἑρμηνεῦσαι βουληθέντων ὀνόματος. ἔστι γὰρ ὁ μὲν βουβὼν καὶ τὸ φῦμα καὶ τὸ φύγεθλον ἀδένων παθήματα. βουβὼν μὲν ἡ φλεγμονή· φῦμα δὲ τὸ ταχέως αὐξόμενον καὶ πρὸς ἐκπύησιν ἐπειγόμενον· φύγεθλον δὲ τὸ λεγόμενον φλεγμονῶδες ἐρυσίπελας ἢ ἐρυσιπελατώδης φλεγμονή. οὕτω δὲ καὶ ὀφθαλμία μὲν ἡ τοῦ πεφυκότος ὑμένος τῷ κερατοειδεῖ φλεγμονή· πλευρῖτις δ᾽ ἡ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος· συνάγχη δὲ φάρυγγος· ἡ περιπνευμονία δὲ τοῦ πνεύμονος· ἑκάστου τε τῶν ἄλλων ἀνάλογον. τὰς μὲν οὖν ἐν τοῖς φαινομένοις μέρεσι τοῦ σώματος φλεγμονὰς ἕτοιμον γνωρίζειν· τὰς δ᾽ ἐν τοῖς ἀφανέσιν, αἳ καὶ τοὺς πυρετοὺς ἐπιφέ-

taverit esse praetermissas, nominum multitudine hallucinatus, cujusmodi sunt bubones, phymata, phygethla, ophthalmiae, peripneumoniae, pleuritides et alia multa similiter nuncupata. Omnia enim haec inflammationes quaedam sunt in antedictis speciebus comprehensae, quarum quaeque diversam sortita est appellationem. Quoniam qui primi haec nomina indiderunt compositam intelligentiam tum ipsius affectus tum partis hunc continentis, verbo uno explicare voluerunt. Sunt enim bubo, phyma et phygethlon glandularum affectus. Bubo quidem inflammatio, phyma vero affectus est, qui et celeriter augetur et ad suppurationem festinat, phygethlon vero phlegmonodes, ut vocant, erysipelas est aut inflammatio erysipelatodes. Ad eundem modum ophthalmia inflammatio est ejus membranae, quae corneae adhaeret, pleuritis ejus quae costas succingit, angina faucium, peripneumonia vero pulmonis, eadem quoque in reliquis est ratio. Quae igitur in conspicuis corporis partibus inflammationes existunt prompte cognosci possunt, quae vero in abditis latent

ρουσι πάντως, οὐκέθ᾽ ὁμοίως· ἀλλ᾽ ἐμοὶ μὲν δοκεῖ γνώμης τε πάνυ λεπτῆς ἡ τοιαύτη δεῖσθαι διάγνωσις, ἐμπειρίας τε τῆς φύσεως τῶν μορίων, ἣν ἐξ ἀνατομῆς τε ἅμα καὶ ἀκριβοῦς ἐπιστήμης ἐνεργειῶν τε καὶ χρειῶν πορίζόμεθα· περὶ μὲν δὴ τούτων ἐν ἑτέραις εἴρηται πραγματείαις. νῦν δ᾽ οὐκέτ᾽ ἐγχωρεῖ, προστιθέναι τὸν περὶ τούτων λόγον, ἐξαίφνης σοι προσπεσούσης ἀναγκαίας ἀποδημίας. ὅπως δ᾽ ἄν τις τὰς ἐν τοῖς φαινομένοις μορίοις συνισταμένας φλεγμονὰς κάλλιστα ἰῷτο, τοῦτό σοι πρῶτον δίειμι τὴν ἀρχὴν ἀπὸ τοῦ πολλάκις τε γιγνομένου πάθους καὶ δι᾽ αὐτὸ τοῦτο ὅλου τοῦ γένους τὴν προσηγορίαν ἀπενηνεγκαμένου ποιησάμενος. ἐφ᾽ οὗ τοῦτο πρῶτον ἁπάντων φημὶ χρῆναι σκοπεῖν, ὅπερ κἀν τοῖς ἄλλοις ἅπασι μεγίστην ἔχει δύναμιν, ἐξευρεῖν τὴν πρόφασιν τοῦ νοσήματος.

Κεφ. β΄. [370] Ἔστι γοῦν μία τις πρόφασις τῶν φαινομένων φλεγμονῶν, οὐ πάνυ τι λανθάνουσα τὸ καλούμενον ῥεῦμα, πλὴν εἴποτε συνδρομοι ταῖς δι᾽ ἄλλην τινὰ πρόδηλον αἰτίαν δοκούσαις γεγονέναι. ἡνίκα μὲν γὰρ οὐδεμιᾶς

atque omnino febres adferunt non aeque, fed mihi quidem videtur ejusmodi cognitio acri judicio egere, peritiaque naturae partium, quam ex anatome fimul et exquifita fcientia tum actionum tum ufuum nobis comparamus, de quibus in aliis operibus difputatum eft. Nunc vero de his quidem retexere fermonem non vacat, quando te derepente peregre proficifci neceffitas urget. Qua ratione autem inflammationes, quae in fumma cute exoriuntur, optime quis curare poffit, tibi primum explicabo ab eo affectu aufpicatus, qui quod plurimum incidat totius generis appellationem meretur. In quo id in primis quod et in omnibus aliis maximam vim obtinet confiderare oportet, nempe ut morbi caufa inveniatur.

Cap. II. Igitur inflammationum quae in confpicuo funt caufa una quaedam eft non admodum occulta, quae fluxio appellatur, nifi aliquando cum his copuletur, quae ab alia evidente caufa fieri videntur. Quando enim nulla ha-

ἐκείνων προηγησαμένης ἐξαίφνης ἐφλέγμηνε τὸ μόριον, ἡ μὲν ἐργασαμένη τὸ πάθος αἰτία ῥεῦμα καλεῖται, τὸ πάθος δ᾽ αὐτὸ ῥευματικὴ διάθεσις. καὶ χρὴ μάλιστ᾽ ἐπὶ τῶν τοιούτων φλεγμονῶν τὰς ἀρχὰς τῶν ἰάσεων χρηστὰς εἶναι. τὰ γὰρ ἐν αὐταῖς ἁμαρτήματα δυσιάτους ἢ καὶ παντάπασιν ἀνιάτους ἐργάζεται τὰς διαθέσεις. μέγιστα δ᾽ ἁμαρτήματα δύο ταῦτα, τό τε μηδεμίαν ὅλου τοῦ σώματος πρόνοιαν ποιεῖσθαι καὶ τὸ θερμαίνειν μὲν καὶ ὑγραίνειν ἔτι τὸ μέρος. ἄμφω δ᾽ οἱ πολλοὶ τῶν ἰατρῶν ἁμαρτάνουσι. τινὲς μὲν γάρ εἰσιν ἐκ τῆς μεθοδικῆς αἱρέσεως ἀναπεπεισμένοι καὶ τὰς φλεγμονὰς ἁπάσας στεγνὰ πάθη νομίζοντες καὶ χαλᾷν αὐτὰς ἡγούμενοι δεῖν. εἰσὶ δ᾽ οἳ καὶ ἀλόγως τε καὶ ἀσκέπτως ἐκείνοις ἕπονται, μίαν ἀπολογίαν τοῦ κακῶς ποιεῖν ἔχοντες τὸ σὺν πολλοῖς ἁμαρτάνειν. ἀλλ᾽ οὔτε τῶν δογματικῶν ἰατρῶν τις οὔτε τῶν ἐμπειρικῶν οὕτως ἐγίγνωσκεν. ἀλλ᾽ ὅπερ ὅ τε λόγος ὑπαγορεύει καὶ ἡ πεῖρα, τὸ μὲν ὅλον σῶμα κενοῦν ταῖς ἐνδεχομέναις κενώσεσι συμβουλεύουσιν, αὐτὸ δὲ τὸ φλεγμαῖνον μέρος ἐπιβρέχειν τε καὶ καταπλάττειν τοῖς ἀπωθεῖσθαι μὲν τὸ ἐπιῤῥέον

rum praecedente pars repente inflammatione est obsessa, causa quae affectum attulit rheuma, *i. fluxio,* morbus vero affectio rheumatica dicitur. Atque in his praecipue inflammationibus optima per initia curatio adhiberi debet. Nam qui in ipsis error committitur, aut curatu difficiles aut omnino immedicabiles reddit affectiones. Haec autem duo maxima sunt errata, nullam totius corporis rationem habere et partem calefacere ac humectare. At in his duobus medici maxime delinquunt. Nonnulli enim ex methodica secta persuasi et inflammationes omnes affectiones astrictas esse arbitrati, laxandas esse sibi putaverunt. Sunt vero qui temere et inconsiderate illos imitantur, unum mali agendi habentes patrocinium, nimirum se cum multis errare. Sed neque ex dogmaticis medicis neque empiricis quispiam ita sensit. Verum quod et ratio et experientia suadet, corporis universi congruas vacuationes moliri jubent, partem vero inflammatam perfundere ac illinire his quae influentis

Ed. Chart. X. [370.] Ed. Baf. IV. (209.)

δυναμένοις, κενοῦν δὲ τὸ ἤδη περιεχόμενον ἐν τῷ πεπονθότι τόπῳ· τόνον δὲ καὶ ῥώμην ἐντιθέναι τοῖς ἤδη πεπονηκόσι μορίοις. εἰς ἃ δὲ χρὴ βλέποντας κενοῦν, εἴρηται μὲν ἤδη καὶ πρόσθεν, ἀλλὰ καὶ νῦν ἔτι δι' ὀλίγων ὑπομνήσομεν· ὥστε κἂν τοῖς ἑξῆς ἅπασι μεμνημένον σε μηκέτι δεῖσθαι καθ' ἕκαστον πάθος ἀκούειν τοὺς ἐνδεικνυμένους σκοποὺς τὰς κενώσεις. ἡλικίαν μὲν οὖν καὶ ὥραν καὶ χώραν καὶ τὴν παροῦσαν κατάστασιν καὶ τὴν ῥώμην τοῦ κάμνοντος καὶ τὴν ἕξιν καὶ τὸ ἔθος καὶ αὐτὴν τὴν τοῦ νοσήματος ὑπόθεσιν ἐπιβλέπειν ἐφάσκομεν δεῖν. ἐκ τούτων γὰρ, ὅτε χρὴ κενοῦν ἢ μὴ κενοῦν καὶ ὅθεν καὶ ὅπως, εὑρεθήσεται, οἷον ἐπὶ τῆς προκειμένης διαθέσεως· εἰς γόνυ φερέσθω τὸ ῥεῦμα καὶ τοῦτ' ἐπὶ πλεῖστον ἀθρόως ἐξαιρέσθω. φαινέσθω δέ σοι καὶ τὸ σύμπαν σῶμα μεστὸν αἵματος καὶ ἡ δύναμις τοῦ νοσοῦντος ἰσχυρὰ καὶ ὁ καιρὸς τοῦ ἔτους ἔαρ ἔστω καὶ τὸ χωρίον εὔκρατον καὶ ὁ νοσῶν μειράκιον ἢ νεανίσκος, οὗτος αἵματος κενώσεως τῆς ἐκ τῶν ἄνω χωρίων δεῖται καὶ χρὴ τεμεῖν αὐτοῦ τῶν ἐν ἀγκῶνι φλεβῶν, ἤτοι τὴν ἐντὸς ἢ τὴν μέσην. εἰ δὲ τῶν ἄνωθέν τι

humoris repellendi vim habeant, et qui in affecto loco continetur vacuare, roburque ac vires affectis jam partibus inferere. Quae autem vacuando obfervari debeant, antea diximus, ac nunc quoque paucis explicabimus, ut deinceps fervata memoria jam te per fingulos affectus vacuationis indicationes edoceri neceffe non fit. Aetatem igitur, tempus, regionem, praefentem aëris conftitutionem, robur aegrotantis, habitudinem, confuetudinem atque ipfam morbi fpeciem animadvertendam effe diximus. Haec enim quando vacuandum aut minime vacuandum fit et unde et quo modo docent, velut in fubjecto affectu: confluat in genu humor atque repente vehementer intumefcat. Tibi vero univerfum corpus fanguine plenum effe videatur, valideque aegrotantis vires fint, anni tempus ver et regio modice temperata, adolefcensque vel juvenis fit aeger, huic fanguinem ex fupernis partibus mittere oportet, fecta cubiti vena vel interna vel media. Quod fi fuperna pars affecta fit, ex inferna ducen-

Ed. Chart. X. [370. 371.] Ed. Baf. IV. (209.)

ἐπεπόνθει, κάτωθεν ἀπάγειν τοῦ αἵματος. ἀεὶ γὰρ εἰς τοὐναντίον τὴν τοῦ ῥεύματος ὁρμὴν ἀντισπᾷν ξυμφέρει. καταπλάττειν δὲ τῷ διὰ τοῦ ἀειζώου καὶ λεπισμάτων ῥοιᾶς ἑφθῶν ἐν οἴνῳ καὶ ῥοῦ καὶ ἀλφίτων συγκειμένῳ· κάλλιστον γὰρ τοῦτό γ' ἔν τε τοῖς τοιούτοις καὶ πάνθ' ὅσων δεόμεθα δρᾷν δυνάμενον. ἀποκρούεται γὰρ τὸ ἐπιῤῥέον καὶ ξηραίνει τὸ περιεχόμενον καὶ ῥώννυσι τὰ πέριξ μόρια. καὶ ἄλλα δὲ μυρία φάρμακα κατὰ τὸν αὐτὸν τρόπον ἔνεστί σοι συντιθέναι. ὧν τὴν μέθοδον τῆς συνθέσεως ἐν τοῖς περὶ φαρμάκων μεμάθηκας. ὅθεν κἀγὼ καθ' ἕκαστον ἕν τί σοι παραγράψω καὶ ὑπόμνημά τε ἅμα καὶ παράδειγμα τῆς τῶν ἄλλων δυνάμεως ἐσόμενον. εἰ μὲν δὴ μὴ σφοδρῶς ὀδυνῷντο, τοῖς τοιούτοις χρῆσθαι· σὺν ὀδύνῃ δὲ μείζονι τοῦ ῥεύματος ἐμπεσόντος οὐ χρὴ μὲν οὐδ' οὕτως οὐδ' ὕδωρ θερμὸν οὔτ' ἔλαιον [371] οὔτε τὰ διὰ τῶν πυρίνων ἀλεύρων προσφέρειν καταπλάσματα. πολέμια γὰρ ἅπαντα τὰ τοιαῦτα ταῖς ῥευματικαῖς διαθέσεσι, κἂν εἰ παραχρῆμα δόξειε ῥαστώνην τινὰ φέρειν. ἀρκεῖ δὲ τῶν τοιούτων τινὶ παραμυθήσασθαι τὸ σφοδρὸν

dus eſt ſanguis. Nunquam enim incommode fluxionis impetus in contrarium revellitur. Cataplaſma vero ex ſempervivo et malicorio in vino decoctis, rhu polentaque imponendum eſt, ut quod in his optimum ſit omniaque quibus nobis opus eſt praeſtare poſſit. Repellit enim quod influit et quod jam continetur exſiccat et circumſtantes partes confirmat. Alia autem ſexcenta medicamenta eodem modo miſcere potes, quorum componendorum rationem ex libris de medicamentis didiciſti. Unde in ſingulis unum aliquod tibi ſubſcribam, futurum monumentum ſimul et exemplum ejus quae in aliis eſt facultatis. Ejusmodi vero remediis utendum eſt, ubi dolor vehemens non eſt, ubi vero graviore cum dolore defluxio inciderit, neque aqua calida neque oleum neque cataplaſmata ex triticea farina adhibenda ſunt. Haec enim omnia affectibus ex humorum influxu contractis adverſantur, tametſi levamentum quoddam ſtatim afferre videantur. Satis enim fuerit, doloris, vehementiam mitigare

τῆς ὀδύνης, ὅσα διὰ γλυκέος τε καὶ ῥοδίνου καὶ κηροῦ βραχέος ἐν ἀμφοῖν τετηκότος σύγκειται. χρὴ δὲ καὶ ταῦτ' ἀναλαμβάνειν ἐρίοις ῥυπαροῖς, οἴσυπον ὡς πλεῖστον ἔχουσι· καὶ θέρους μὲν ψυχρά· χειμῶνος δὲ χλιαρὰ προσφέρειν. οὕτω δὲ καὶ τὰ καταπλάσματα δι' ἀρνογλώσσου καὶ φακῆς (210) καὶ ἄρτου καὶ ῥοδίνου. μικρὸν δ' ὑπεράνω τῶν πεπονθότων χωρίων ἐπιτιθέναι σπόγγον οἴνῳ στρυφνῷ βεβρεγμένον ἢ ὕδατι ψυχρῷ· κάλλιον δ' εἰ καὶ ὄξους ὀλίγον ἔχοι. καὶ εἰ μὲν ἐπὶ τοιούτοις ἀξιόλογός τις ὠφέλεια γένοιτο καὶ μηδαμοῦ πῦον ὑποφαίνοιτο, τοῖς πρὸς τὰ ῥεύματα μαλθακοῖς ἐμπλάστροις δεῖ χρῆσθαι· κάλλιστα δ' αὐτῶν, ὅσα ξηραίνειν τε ἅμα καὶ ἀπωθεῖσθαι δύναται τὸ ἐπιῤῥέον αἷμα χωρὶς ὀδύνης. ὥστε τά γε συνάγοντα σφοδρῶς καὶ διὰ τοῦτο ὀδυνῶντα πλεῖον ἀδικεῖ τοῖς ἀλγήμασιν ἢ ὠφελεῖ ξηραίνοντα. τοιοῦτον οὖν εἶναι χρὴ τὸ φάρμακον, οἷόν ἐστι τὸ σύνηθες ἡμῖν τὸ διὰ τῆς χαλκίτεως ἀνιέμενον ῥοδίνῳ. εἰ δὲ καὶ καθαρὸν ἔριον οἴνῳ στρυφνῷ βρέχων ἔξωθεν ἐπιβάλλοις αὐτῷ, πλέον ὀνήσεις. ὑποφαινο-

aliquo ex his quae ex paſſo et roſaceo ac paucula cera cum his ambobus liquata conficiuntur. Haec autem lana ſuccida, quae oeſypi plurimum habeat excipienda ſunt, ac aeſtate quidem frigida, hieme vero tepida admovenda. Ad hunc modum cataplaſmata ex arnogloſſo, lenticula, pane et roſaceo adhibenda ſunt. Paulo vero ſupra affectum locum admovenda eſt ſpongia vino acerbo imbuta aut aqua frigida, momentum autem aceti ſatius fuerit huic immiſcere. Quod ſi ex his utilitas aliqua memoratu digna acceſſerit et nusquam pus appareat, mollibus quae adverſus fluxiones parantur emplaſtris utendum eſt, ex quibus optima ſunt, quae exſiccare ſimul ac repellere fluentem ſanguinem et citra dolorem poſſint. Quocirca quae cutem vehementer tendunt proindeque dolorem adferunt, haec plus laedunt quam exſiccando proſint. Tale igitur eſſe debet medicamentum, quale nobis in uſu crebro eſt, quod ex chalcite conſtat roſaceo temperatum. Si vero lanam mundam vino acerbo madentem extrinſecus ſuperpoſueris, majorem utilitatem attuleris. At

μένου δὲ κατὰ τὸ μόριον πύου, καταπλάττειν μὲν ἀναγκαῖον ἅπαξ ἢ δίς που. καὶ ἄμεινον εἰς τὰ παρόντα τὸ ἐκ τῶν κριθῶν ἄλευρον. παραπλέκειν δ' ὁμοίως τι κἂν τούτοις ἢ ὄξους ἢ οἴνου. καὶ διελόντα καὶ κενώσαντα τὸ πῦον φυλάττεσθαι μὲν τοῦ λοιποῦ προσφέρειν ἔλαιον ἢ ὕδωρ. καὶ εἰ ἀπονίψαι ποτὲ δέοι τὸ τραῦμα, μελικράτῳ τε ἢ ὀξυκράτῳ καὶ οἴνῳ καὶ οἰνομέλιτι χρηστέον. ἐπιτιθέναι δ', εἰ μὲν ἔτι φλεγμαίνοι, τὸ διὰ τῆς φακῆς κατάπλασμα. μὴ φλεγμαίνοντος δὲ τῶν τε ἄλλων φαρμάκων τι τῶν ἐμπλαστῶν, οἷς ἐπὶ ταῖς τοιαύταις τομαῖς χρώμεθα καὶ οὐχ ἥκιστά γε τῷ διὰ τῆς χαλκίτεως. ἐπιτιθέναι δὲ κατ' αὐτῶν ἔξωθεν σπόγγον ἢ ἔριον οἴνῳ βρέχοντας στρυφνῷ. μὴ παρόντος δὲ τοῦ στρυφνοῦ, τῷ ὕδατι μίξαντας ὄξους τοσοῦτον, ὡς πίνειν δύνασθαι, τούτῳ βρέχειν. ἐπιτήδειοι δ' εἰς ταῦτα καὶ ὅσοι θαλάττης ἔχουσιν οἶνοι. καὶ αὐτὸς δ' ἂν ἐπὶ τοῦ καιροῦ τεχνήσαιο, μιγνύων ἁλῶν τῷ παρόντι. τῷ δὲ τραύματι μηδὲν τῶν λιπαινόντων φαρμάκων προσ-

ubi in parte ipfa pus apparuerit, femel aut bis cataplafma ex neceffitate imponi debet. Ad praefens vero quod ex polenta conftat utilius admovetur. Similiter autem his aceti quippiam aut vini admifcendum eft. Poftmodum vero fecta parte ac pure vacuato cavebis a caeteris, oleum vero five aquam exhibebis. Quod fi vulnus forte abluere conveniat, mulfa vel pofca, vino et vino mulfo utendum eft. Si vero partem adhuc inflammatio occupet, cataplafma ex lenticula imponendum eft. Sin ab hac fit libera, aliquod ex aliis medicamentis quae emplaftra dicuntur et quibus in ejusmodi fectionibus utimur, eoque potiffimum quod ex chalcite conftat. Quibus extrinfecus fpongia aut lana vino acerbo imbuta fuperponenda eft. At fi acerbi vini copia non fit, aqua cui tantum aceti admiftum fit, ut bibi poffit perfundenda fpongia eft. Ad hoc autem faciunt etiam vina marina. Tu vero fi occafio efflagitet, vinum arte conficere poteris, fale *vino*, quod in promptu habueris admifto. Vulneri autem nullum pingue medicamentum admovendum eft, quale eft

φέρειν, οἷον τό τε Μακεδονικόν ἐστι καὶ τὸ τετραφάρμακον καλούμενον· ἀκριβῶς γὰρ δεῖται ξηραίνεσθαι. οὕτω μὲν ἰᾶσθαι δεῖ τὰς ἐπὶ ῥεύματι φλεγμονάς.

Κεφ. γ΄. Τὰς δ' ἐπί τινι τῶν ἄλλων αἰτίων ὑγραίνειν τε καὶ θερμαίνειν οὐδὲν κωλύει. καὶ εἰ ἐκπυῆσαι βουληθείης αὐτὰς, καταπλάττειν ἀλεύρῳ πυρίνῳ δι' ἐλαίου τε καὶ ὕδατος ἡψημένῳ. καὶ εἴποτε καὶ ἀποσχάζειν δεήσειεν, οὐδὲ τοῦτο χρὴ δεδιέναι. τὰς δ' ἐπὶ τοῖς ῥεύμασιν εἰ ἀποσχάσαις, μέγα τι κακὸν ἐργάσῃ καὶ μάλιστ' εἰ κατ' ἀρχάς. ὅσαι γὰρ αὐτῶν χρόνου πλείονος οὖσαι μετά τε τὴν τοῦ παντὸς σώματος κένωσιν καὶ τὴν ἄλλην τὴν προσήκουσαν ἴασιν σκληρότητάς τινας ἢ μελανότητας ἐν [372] τοῖς μέρεσιν ὑπολειπομένας ἔχουσι, τούτων ἀπάγειν τοῦ αἵματος οὐδὲν ἄτοπον· οὔτε γὰρ φλεγμονὰς τάς γε τοιαύτας ἔτι νομιστέον· ὥσπερ οὐδὲ ἐρυσίπελας ἔτι τὸ ἤδη πελιδνόν. καὶ γὰρ οὖν καὶ τοῦτο κατὰ τὰς ἀρχὰς μὲν ψύχειν χρὴ καὶ μάλισθ' ὅταν ἄνευ φανερᾶς γένηται προφάσεως. ἡνίκα δ' ἤδη τὸ ζέον ἀπέστιν αὐτοῦ, καὶ σχάσαι συμφέρει καὶ καταπλάσαι θερμῷ τῷ κριθίνῳ καὶ

Macedonicum et quod tetrapharmacum vocant, diligenter enim exficcandum eft. Ad hunc quidem modum inflammatio quae ex defluxione eft curari debet.

Cap. III. Quae vero ab aliis caufis fiunt, humectare ac calefacere nihil vetat. Et fi ad fuppurationem has ducere velis, cataplafma ex triticea farina in oleo et aqua decocta inducendum eft. Neque timenda fcarificatio eft, fi quando ea opus fit. Quae vero ex humorum defluxu fiunt inflammationes, non fine magno malo fcarificantur, maxime per initia. Veterafcentibus autem quae poft totius corporis vacuationem aliamque idoneam curationem duritiem quandam ac nigrorem in partibus reliquerunt auferre fanguinem non eft abfurdum, nam inflammationes amplius exiftimandae non funt, quemadmodum neque eryfipelas, fi jam livorem contraxit. Hoc enim per initia refrigerari defiderat, ac potiffimum quum fine manifefta fit caufa. Quando vero jam fervor abeft, confert fcarificare et cataplafma ex hordea-

κηρωτὴν καὶ ἄλλο τι φάρμακον ἐντιθέναι τῶν διαφορούντων. οὐ μὴν ἀπό γε φλεβὸς αἷμα τῶν γε τοιούτων κενοῦν ἀναγκαῖον, ἀλλ᾽ αἱ διὰ τῆς κοιλίας ὑποκαθάρσεις ἀρκοῦσι. διδόναι δὲ φάρμακον, ὃ χολὴν ξανθὴν ἄγει. μικροῦ δ᾽ ὄντος τοῦ παθήματος οὐδὲ τοῦτ᾽ ἀναγκαῖον, ἀλλ᾽ ἀρκεῖ κλύσαι δριμεῖ. τὰ δ᾽ ἐφ᾽ ἕλκεσιν ἐρυσιπέλατα καὶ ὅσα οὕτω φανερὰς ἔχει τὰς αἰτίας, οὐδ᾽ εἰ παραχρῆμα βούλοιο καταπλάττειν ἀλεύρῳ κριθίνῳ καὶ μάλιστα καὶ προαποσχάσας, οὐδὲν βλάψεις. τὰς δὲ φλεγμονὰς τὰς ἐρυσιπελατώδεις καὶ τὰ φλεγμονώδη τῶν ἐρυσιπελάτων ἰᾶσθαι, μικτὴν μὲν ὡς οἷόν τε ποιούμενον τὴν ἐπιμέλειαν, ἐναντιούμενον δ᾽ ἀεὶ τῷ μᾶλλον κρατοῦντι. καὶ βουβώνων δὲ καὶ φυμάτων καὶ φυγέθλων παραπλησίαν ταῖς ἐν τοῖς ἄλλοις μέρεσι γιγνομέναις ὁμοίαις διαθέσεσι τὴν ἐπιμέλειαν ποιεῖσθαι, πλὴν ὅσα δριμυτέρων φαρμάκων ἐπὶ τοῖς αὐτοῖς παθήμασιν ἀνέχεσθαι πεφύκασιν, ὡς ἀδένες. τοὺς δ᾽ ἕρπητας τὰ μὲν περὶ τὴν τοῦ σώματος ὅλου κένωσιν ὁμοίως τοῖς ἐρυσιπέλασιν ἰᾶσθαι προσήκει· τὰ

cea farina calidum imponere et ceratum aliudque medicamentum, quod discutiendi vim obtineat. Non tamen ex vena sanguis in hisce necessario mittitur, sed ventrem per inferiora purgare sufficit, adhibito medicamento quod flavam bilem ducat. Quod si exigua sit affectio, ne hoc quidem necessarium est, sed abunde erit acri uti clystere. Quae vero ex ulceribus fiunt erysipelata, quaeque similiter manifestas habent causas, neque si statim cataplasma ex hordeacea farina praesertim loco antea scarificato imposueris, laedes. Inflammationi vero erysipelatodi et erysipelati phlegmonodi mista, quoad fieri potest, curatio est adhibenda atque ei quod magis vincit semper reluctandum. Bubo vero et phyma et phygethlon eadem ratione qua et aliarum partium similes affectus curari debent, praeterquam in partibus, quae iisdem affectibus laborantes acriora medicamenta ferre possunt, cujusmodi sunt glandulae. Herpetes autem quatenus ad universi corporis vacuationem attinet ut erysipelata curari debent, quatenus vero ad affectam partem,

δὲ περὶ τὴν αὐτοῦ τοῦ πεπονθότος μέρους οὐκ ἔθ' ὁμοίως. ἅπαντες γὰρ οἱ ἀναβιβρωσκόμενοι ψύχεσθαι μὲν ἐθέλουσιν, ὡσαύτως τοῖς ἄλλοις ἕρπησί τε καὶ ἐρυσιπέλασιν· οὐ μὴν ὅσα γε σὺν τῷ ψύχειν καὶ ὑγραίνειν φάρμακα πέφυκε, ταῦτά γ' ἔτι φέρουσιν, ἀλλὰ μόνον τῶν ψυχόντων προσίενται τὰ ξηραίνειν μάλιστα δυνάμενα. μὴ τοίνυν μήτε θριδακίνην αὐτοῖς μήτε πολύγονον μήτε τὸν ἀπὸ τῶν τελμάτων φακὸν ἢ τὸν ἕλειον λωτὸν ἢ ἀνθύλλιον ἢ ψύλλιον ἢ ἀνδράχνην ἢ σέριν ἢ ἀείζωον ἢ τι τῶν οὕτως ὑγραίνειν τε καὶ ψύχειν δυναμένων προσφέρειν, ἃ τοῖς ἐρυσιπέλασιν ἦν οἰκεῖα. ἀλλὰ μήτε σπόγγῳ ποτὲ θαῤῥήσῃς ὕδατι ψυχρῷ βεβρεγμένῳ μήτε στρύχνῳ, καί τοι καὶ τοῦτο ξηραίνειν τε καὶ ψύχειν πέφυκεν, ἀλλὰ μετρίως. οἱ δ' ἄρα σφοδροτέρας ἢ κατὰ τὸν στρύχνον δέονται ξηρότητος. ἐπιπλάττειν οὖν αὐτοῖς χρὴ κατ' ἀρχὰς μὲν ἕλικας ἀμπέλου καὶ βάτου καὶ κυνοσβάτου καὶ ἀρνογλώσσου. μετὰ δὲ ταῦτα τήν τε φακῆν μιγνύειν δεῖ καὶ μέλιτός ποτε καὶ ἀλφίτων καὶ τὸ προγεγραμμένον πρὸς τὰς ἐκ ῥεύματος φλεγμονὰς κατάπλασμα, περιελὼν αὐτοῦ τὸ

non eadem omnibus cura adhibenda eſt. Exedentes enim omnes refrigerari volunt, quemadmodum et alii herpetes et eryſipelata, non tamen medicamenta ferunt, quae praeterquam quod refrigerant etiam humectare idonea ſunt, ſed ſolum refrigerantia admittunt, praeſertim quae exſiccare poſſint. Quocirca neque lactuca neque polygonum neque lenticula quae in paludibus naſcitur neque paluſtris lotus aut anthyllium aut pſyllium aut portulaca aut ſeris aut ſempervivum aut aliud id genus quod refrigerare ac humectare poſſit eſt adhibendum, quae quidem eryſipelatibus ſunt familiaria. Sed nec ſpongiae frigida imbutae aliquando nec ſolano ſidendum eſt, tametſi refrigerare ac exſiccare poſſint, ſed modice. Herpetes vero vehementiorem quam ſolani ſiccitatem expetunt. Igitur per initia imponendi vitium capreoli ſunt ac rubi et canini rubi germina et arnogloſſum. Deinde lenticula admiſcenda eſt, nonnunquam et mel et polenta, quod praeſcriptum eſt ad inflammationes ex deſluxione cataplaſma, ſi ab eo ſempervivum detraxeris. Exul-

αὐξῶον. αὐτὰ δὲ τὰ ἡλκωμένα κατάχριε φαρμάκοις τοῖς πρὸς ἕρπητας ἐπιγεγραμμένοις ἐν ταῖς φαρμακίτισι βίβλοις. πολλὰ δ᾽ ἐστὶ ταῦτα παρὰ πᾶσι καὶ εἰς κυκλίσκους ἀναπλάττεται τὰ πλεῖστα καὶ δεῖται χρωμένους ἀνίεσθαι γλυκεῖ. μὴ παρόντος δὲ γλυκέος, οἴνῳ λεπτῷ τε καὶ λευκῷ καὶ ὑποστύφοντι, οἷος ὅ τε Φαλερῖνος καὶ ὁ Μασσαλιώτης καὶ ὁ Σαβῖνος καὶ Ἀδριανὸς καὶ Ἀρσύϊνος, μηδέπω μηδὲν ἐν τῇ γεύσει δριμὺ διὰ παλαιότητα κεκτημένοι. καὶ ὀξυκράτῳ δ᾽ ὑδαρεῖ ποτε χρησάμενος ἀντὶ τούτων οὐδὲν ἧττον ἂν ἔχοις. ἤδη δὲ καὶ χρονιζομένων τῶν ἑλκῶν μήτε γλυκεῖ λύειν τοὺς κυκλίσκους μήτε ὑδαρὲς ἔτι τὸ ὀξύκρατον ἔστω. καὶ τῶν οἴνων δ᾽ ὅσοι στύφουσιν ἱκανῶς ἀγαθοί· μάλιστα μὲν οἱ μέλανες, εἰ δ᾽ ἀποροῦμεν αὐτῶν, λευκοί. φάρμακα δ᾽ ἐν τῷδε τῷ καιρῷ μάλιστα μὲν ἁρμόσει αὐτοῖς, τό τε τοῦ [373] Πολυείδου καὶ Πασίωνος καὶ τὸ Μοῦσα καὶ τὸ Ἄνδρωνος, ὅσα τ᾽ ἄλλα τούτοις ἔοικε. τοὺς δὲ τὰ ἐπιπολῆς μόνον ἑλκοῦντας ἕρπητας, εἰ μὴ πάνυ τι κεχρονικότες εἶεν, οὐδὲν χρὴ καταχρίειν τούτων, καίει γὰρ ἰσχυρῶς καὶ ξηραίνει σφοδρῶς, ἀλλ᾽ ἀρκεῖ τοῖς

cerata autem loca medicamentis ad herpetas in libris pharmaceuticis, *i. de compofitione medicamentorum* infcriptis, inungere oportet. Ejusmodi enim multa pafiim habentur in orbiculos digefta, qui dum ufus efflagitat paffo diluuntur. Quod fi in promptu paffum non fit, vino tenui et albo et leviter aftringente utendum eft, quale Falernum eft Maffilienfe, Sabinum, Adriaticum et Arfyinum, quae nondum guftus acrimoniam vetuftate contraxerint. Et fi in horum vicem interdum pofca aquofa utaris, nihil minus confequeris. Jam vero inveteratis ulceribus neque paffo diluendi paftilli funt, neque amplius aquofa pofca effe debet. At vina quae aftringendi vim poffident plurimum juvant, maxime quidem nigra aut fi ea defideremus alba. Ex medicamentis vero quae hoc tempore accommoda funt optimum eft, quod Polyidae afcribitur, Pafioni, Mufae, Androni et alia his fimilia. Herpetes vero qui tantum fummam cutem exulcerant, nifi admodum veteraverint, nullo horum inungere oportet, urunt enim vehementer ac valide exficcant, fed ejusmodi

τοιούτοις ἕρπησιν, ὅσα κατὰ γλαυκίου δύναμίν ἐστι φάρμακα, λύεσθαι δὲ μάλιστα μὲν ὕδατι. μηδὲν δ' ἀνύοντος αὐτοῦ καὶ ὄξους παραπλέκειν· εἰ δὲ καὶ στρύχνου δεύσειας χυλῷ ἢ ἀρνογλώσσου, μειζόνως ὠφελήσεις. ἐν δὲ τῷ καθόλου τοῦτό σε γιγνώσκειν χρὴ ἐπὶ παντὸς ἕλκους εἴτ' αὐτομάτως εἴτ' ἀπὸ συμπτώματος εἴτε καὶ τρωθεῖσιν εἴη γεγενημένον, ὡς ξηραίνεσθαι μὲν ἀεὶ βούλεται, φαρμάκῳ δ' ὡς Ἱπποκράτης φησὶ μὴ περισκελεῖ τουτέστι μὴ δάκνοντι, μηδ' ἐρεθίζοντι σφοδρῶς, πλὴν εἰ μὴ κακόηθές τε καὶ μετὰ σήψεως εἴη. τὰ γὰρ τοιαῦτα δριμυτάτων δεῖται φαρμάκων καὶ πυρὶ τὴν δύναμιν ἐοικότων, (211) οἷόν ἐστι τό τε μίσυ καὶ ἡ χαλκῖτις καὶ ἀρσενικὸν καὶ τίτανος καὶ σανδαράχη· καὶ γὰρ οὖν καὶ καίει παραπλησίως τῷ πυρὶ τὰ τοιαῦτα φάρμακα· πολλάκις δὲ καὶ τούτων νικωμένων αὐτῷ τῷ πυρὶ χρώμεθα. ταῦτ' ἄρα καὶ τοῖς καλουμένοις ἄνθραξι κατ' αὐτῆς τῆς ἐσχάρας, ἔνθα μάλιστα σήπεται τὸ μορίον, ἡ τῶν τοιούτων φαρμάκων ἰδέα πρόσφορος, οὐ μὴν τῷ πέριξ χωρίῳ, λήσεις γὰρ αὐτὸς ἑλκώσας αὐτὰ εἰς μηδὲν δέον, ἀλλὰ τοῖς προειρημένοις κυκλίσκοις χρηστέον, οἷος ὁ

herpetibus ſufficiunt, quae glaucii vim habent, maxime aqua reſoluta. Quod ſi haec nihil profecerint, acetum miſcendum eſt, utilius autem ſuccus ſolani et arnogloſſi additur. Hoc porro in ſumma in omni ulcere cognoſcendum eſt, ſive id ſponte ſive ex caſu ſive ex vulnere acciderit, nimirum quod ſemper exſiccari deſiderat medicamento, ut inquit Hippocrates, non moleſto, hoc eſt neque mordente neque irritante vehementer, niſi malignum ac putre ſit. Nam id genus ulcera acerrima medicamenta eſſlagitant et quae igni vires proximas habent, quale eſt miſy, chalcitis, arſenicum, calx et ſandarache, ignis enim modo deurunt ejusmodi medicamenta, quae ſi malo cedunt, ſaepe ipſo igne utendum eſt. Quocirca et carbunculis, ut vocant, ſuper ipſam cruſtam ubi pars maxime putreſcit commode hoc medicamentorum genus adhibebis, intactis tamen vicinis partibus, ne imprudens ea ſine ulla neceſſitate exulceres, ſed paſtillis ante commemoratis utendum eſt, qualis eſt Andronius. Quod ſi rubor

Ἀνδρώνιος. εἰ δέ ποτε ἔρευθος ἐπικρατοίη καὶ πολλὴ φλόγωσις, ἀνιέναι χρὴ γλυκεῖ τὸ φάρμακον ἢ ἀρνογλώσσου χυλῷ. εἰ δ᾽ ὄγκου μέγεθος ὑπάρχει, οἴνῳ μὲν στρυφνῷ τὸ πρῶτον, ἔπειτα δὲ καὶ ὄξει. καταπλάττειν δὲ τῷ τῶν ὀρόβων ἀλεύρῳ δι᾽ ὀξυμέλιτος· καὶ πρὸ τούτων ἁπάντων εὐθὺς κατ᾽ ἀρχὰς ἀφαιρεῖν αἵματος ἱκανὸν, ἤν γε μηδὲν κωλύῃ.

Κεφ. δ'. Τοιαῦται μέν τινες αἱ τῶν τοιούτων παθῶν ἰάσεις κατὰ γένος· ἐξαλλάττονται δὲ παρὰ τὰς τῶν πεπονθότων ὀργάνων φύσεις. τέτταρες δὲ ἀπὸ τούτων ἐνδείξεις εἰσὶν, ἐκ τῆς κράσεως αὐτῶν, ἐκ τῆς διαπλάσεως, ἐκ τῆς θέσεως, ἐκ τῆς δυνάμεως. ἐκ μὲν τῆς κράσεως, εἰ τὰ μὲν αὐτῶν ξηρότερα φύσει, τὰ δ᾽ ὑγρότερα, τὰ δὲ ψυχρότερα, τὰ δὲ θερμότερα γέγονε· καὶ κατὰ συζυγίαν ἢ ὑγρότερα καὶ θερμότερα ἢ ὑγρότερα καὶ ψυχρότερα ἢ ξηρότερα καὶ θερμότερα ἢ ξηρότερα καὶ ψυχρότερα ἢ κατὰ πᾶν εὔκρατα. καὶ χρὴ σκοπὸν εἶναί σοι ἐν ταῖς θεραπείαις τὴν φύσιν τοῦ μορίου. τὸ γὰρ μέχρι πόσου ψυκτέον ἢ ξηραντέον αὕτη διδάσκει. τὰ γὰρ

aliquando locum occupet aut ingens ardor, medicamentum paſſo diluendum eſt vel arnogloſſi ſucco. Sin tumor magnus ſit, primum vino acerbo, deinde adjecto aceto diſſolvitur. Cataplaſma autem ex ervina farina et mulſo aceto imponendum eſt, atque in primis initio ſtatim tantum ſanguinis quantum ſatis eſſe videbitur, niſi quid vetet, detrahendum eſt.

Cap. IV. Haec quidem generatim ſunt ejusmodi affectuum remedia, quae pro affectorum inſtrumentorum natura mutantur. Quatuor autem ab his ſumuntur indicationes, ex eorum temperamento, conformatione, ſitu et facultate. Temperamento quidem, ex iis quaedam ſunt natura ſicciora, quaedam humidiora, alia autem frigidiora, alia vero calidiora, et ex copulatis ſimplicibus aut humidiora et calidiora aut humidiora et frigidiora aut ſicciora et calidiora aut ſicciora et frigidiora aut omnino temperata. Sitque tibi in curando ſcopus partis natura. Haec enim docet, quatenus ſit refrigerandum aut exſiccandum. Carnoſae enim partes

σαρκώδη φλεγμαίνοντα βραχέως δεῖται ξηραίνεσθαι· καὶ μὲν δὴ καὶ ὅσα φλεβώδη, κἂν ᾖ μᾶλλον τῶν σαρκωδῶν ξηρότερα, ἀλλ' οὐδ' αὐτά γε ἱκανῶς. ὅσα δ' ἀρτηριώδη τὴν φύσιν ἐστὶ μόρια, μᾶλλον ἔτι τῶν φλεβωδῶν καὶ τούτων ἔτι μᾶλλον τὰ νευρώδη, καὶ πολὺ δὴ μᾶλλον τούτων ὅσα χονδρώδη καὶ ὀστώδη. πρὶν γὰρ εἰς τὴν οἰκείαν ἐπανέλθοι φύσιν τὸ μέρος, οὐδέπω τέλος ἡγητέον ἔχειν τὴν ἴασιν. ἐπανάγει δ' εἰς τὴν ξηροτέραν μὲν κρᾶσιν, ὅσα φύσει ξηρότατα· εἰς δὲ τὴν ψυχροτέραν ὅσα ψυχρότατα. καὶ κατὰ τὰς ἄλλας δὲ δύο ποιότητας ὁμοίως· εἰς δὲ τὸ μέτριον ἐν ἑκάστῃ τὰ μέτρια. οὕτω μὲν αἱ κράσεις τῶν μορίων ποικίλλουσι τὰς τῶν παθῶν θεραπείας. αἱ δὲ διαπλάσεις ὧδε· τὰ μὲν γὰρ ἔνδον αὐτῶν εὐρύτητας ἔχει, τὰ δ' ἔξωθεν, τὰ δ' ἑκατέρωθεν, τὰ δ' οὐδετέρωθεν· [374] οἷον τῶν μὲν ἁπλῶν αἱ ἀρτηρίαι καὶ αἱ φλέβες καὶ νεῦρα· αἱ μὲν ἐν τοῖς κώλοις ἔνδον αὐτῶν· αἱ δ' ἐντὸς περιτοναίου καθ' ἑκάτερα· νεῦρα δὲ τὰ μὲν ἐν τοῖς κώλοις, κατ' οὐδέτερον· ὅσα δ' ἐντὸς περιτοναίου, κατὰ θάτερον. τοῖς δὲ σπλάγχνοις σχεδὸν ἅπασιν ἔνδοθέν τε καὶ ἔξωθέν εἰσιν

inflammatione obfeffae leviter funt exficcandae, et venofae quidem licet fint carnofis ficciores, non tamen multum funt exficcandae. Arteriofae vero natura partes funt magis quam venofae, atque his magis nervofae, multo vero amplius cartilaginofae et offeae. Non enim ante quam ad propriam naturam pars reducta fit, finem curationi impofitum effe exiftimandum eft. Ad ficciorem autem temperaturam reducunt medicamenta natura ficciora, ad frigidiorem vero frigidiora. Ad eundem quoque modum in reliquis duabus qualitatibus, ad mediocrem vero, quae in fingulis funt mediocria. Sic equidem partium temperamenta affectuum variant curationes. Conformationes vero ad hunc modum: *partes* quaedam intra fe, quaedam extra, quaedam autem utraque, quaedam neutra parte habent fpatia, ut ex fimplicibus arteriae, venae et nervi, illae in artubus quidem intra fe, in peritonaeo vero utraque parte, nervi autem in artubus neutra, in peritonaeo vero altera parte. Fere autem vifcera omnia tam intra fe, quam extra ampla fpatia obtinent. Ad

εὐρυχωρίαι μεγάλαι. καὶ προσέτι καὶ ἡ σὰρξ αὐτὴ ἡ μὲν τοῦ πνεύμονος μανή· ἔμπαλιν δ᾽ ἡ τῶν νεφρῶν πυκνοτάτη· καὶ μετὰ ταύτην ἡ τοῦ ἥπατος. ἡ δὲ τοῦ σπληνὸς εἰς ὅσον πυκνοτέρα τῆς τοῦ πνεύμονος, εἰς τοσοῦτον μανωτέρα τῆς τοῦ ἥπατος. ἐν ἅπασιν οὖν τούτοις ὅσα μὲν οὐδετέρωθεν [ἔχει] κοιλότητας ἐκδεχομένας τὸ περιττὸν τοῦ ῥεύματος, ἰσχυρῶς δεῖται ξηραίνεσθαι, κἂν μὴ πάνυ ξηρὰ τὴν φύσιν ᾖ, καθάπερ τὰ νεῦρα καὶ μάλιστα τὰ ἐν τοῖς κώλοις. ὅσα δ᾽ ἔξω τε καὶ εἴσω δύναται χαλάσαι τι τῆς φλεγμονῆς, οὐδὲν δεῖται τά γε τοιαῦτα τῶν ἱκανῶς ξηραινόντων καὶ μάλιστ᾽ εἰ χαύνην ἔχοι τὴν σάρκα, καθάπερ ὁ πνεύμων. ἡ δ᾽ ἀπὸ τῆς θέσεως ἔνδειξις οὐδ᾽ αὐτὴ παροπτέα· δι᾽ ὧν τε γὰρ χρὴ κενοῦν καὶ ὅπως καὶ ὅθεν, αὐτὴ μάλιστα διδάσκει. τῶν μὲν οὖν ἔτι ἐπιῤῥεόντων ἡ ἀντίσπασις, οὕτω γὰρ ὁ Ἱπποκράτης ὀνομάζει, τῶν δ᾽ ἤδη κατειληφότων τὸ μόριον ῥευμάτων, ἡ παροχέτευσις ἴαμα. ἄμφω δὲ τὰ εἴδη τῆς κενώσεως διὰ τῶν κοινῶν ποιεῖσθαι κελεύει φλεβῶν. οἷον τὰς ἐπὶ μητρῶν ἀντισπάσεις, εἰ τὴν ἐν ἀγκῶνι τέμνοις φλέβα ἢ παρὰ τοὺς τιτθοὺς σικύας προσβάλ-

haec caro ipfa pulmonis quidem rara, contra vero renum denfiffima eft poft hanc jecoris. Lienis vero fubftantia tanto denfior eft quam pulmonis, quanto quam jecoris eft rarior. Itaque in omnibus his quaecunque neutra ex parte cavitates habent, quae fluxionem fupervacuam excipiant fortiter funt ficcandae, tametfi natura admodum ficcae non funt, cujusmodi funt nervi et qui in artubus potiffimum. Quae vero tam extra quam intra nonnihil inflammationis laxare poffunt, vehementer exficcantibus non egent, praefertim fi fungofa earum caro fit, qualis eft pulmo. Neque vero praetermittenda eft ea, quae a partis fitu fumitur indicatio, utpote quae maxime doceat, per quae et quomodo et unde fieri debeat vacuatio. Confluentium igitur adhuc *humorum* revulfio, quam antifpafin Hippocrates vocat, obfidentium vero jam partem derivatio eft remedium. Utrumque enim vacuationis genus per communes venas fieri jubet. Ex utero verbi gratia revelles, fi cubiti venam fecueris aut fub mammis cu-

Ed. Chart. X. [374.] Ed. Baf. IV. (211.)

λοις ἢ εἰ τὰς χεῖρας θερμαίνοις τε καὶ ἀνατρίψαις καὶ διαδήσαις. παροχετεύσεις δὲ τὰς ἐν ἰγνύαις ἢ σφυροῖς διαιρῶν καὶ σικύας μηροῖς προσβάλλων καὶ θερμαίνων καὶ ἀνατρίβων καὶ διαδῶν τὰ σκέλη. καὶ εἰ μὲν ἡ δεξιὰ μήτρα πεπόνθοι, ἐκ δεξιᾶς χειρὸς καὶ σκέλους ἀπάγων τὸ αἷμα. τῆς δ' ἀριστερᾶς πεπονθυίας ἐκ τῶν ἐν ἐκείνῃ κατ' εὐθὺ κώλων. τὸ γὰρ καθ' ἴξιν ὑπ' αὐτοῦ λεγόμενον αὐτὸ τοῦτ' ἔστι τὸ κατ' ἰσότητα. τέμνειν δὲ τὰς ἔνδον φλέβας τοῦ Ἱπποκράτους· αὗται γὰρ ἐγγυτέρω τε τῶν πεπονθότων μορίων καὶ μᾶλλον κατ' εὐθύ. καὶ γὰρ εἰ σπληνὸς φλεγμαίνοντος κενοῦν αἵματος ἐθέλοις, τῆς ἀριστερᾶς χειρὸς τὰς ἔνδον φλέβας τέμνειν, καὶ εἰ ἥπατος, τῆς δεξιᾶς ὡσαύτως. εἰ δέ τι τῶν ἄνωθεν εἴη φλεγμαῖνον, ὡς ἐν συνάγχαις τε καὶ ὀφθαλμίαις καὶ ὅσα περὶ κεφαλὴν, τὰς ἔξωθέν τε καὶ κατ' εὐθύ· τῶν κώλων δ' αὐτῶν πεπονθότων ἀπὸ τῶν ὁμοζύγων ἡ κένωσις, εἴτε ἀντισπᾷν εἴτε παροχετεύειν ἐθέλοις, πλὴν εἰ μὴ χρόνιον εἴη τὸ πάθημα. τηνικαῦτα γὰρ ἀπ' αὐτοῦ τοῦ πεπονθότος. οὕτως οὖν κἀπὶ τῶν συναγχι-

curbitulas admoveris aut manus calefeceris, fricueris ac ligaveris. Derivabis autem fi quae in poplite funt aut malleolis venas divileris, cucurbitulas femori admoveris, crura calefeceris, fricueris et ligaveris. Atque fi dextra uteri pars laboret, fanguis ex dextra manu et crure ducendus eft. Sin laeva affecta fit, ex membris illi e directo refpondentibus. Quod enim καθ' ἴξιν Hippocrates vocat, hoc ipfum eft fecundum aequalitatem. Secare autem internas venas Hippocratis etiam eft, quod hae et viciniores funt et e directo magis refpondent affectis partibus. Etenim fi phlegmone affecto liene ducere fanguinem velis, manus finiftrae fin jecore, dextrae vena interna eodem modo fecanda eft. Si vero aliqua ex fuperioribus partibus inflammatione tentata fit, ut in angina et ophthalmia et alia in quacunque capitis parte extiterit, externas et quae e directo refpondent *venas fecabis*, membris vero ipfis affectis a conjugibus venis vacuabis, five revellere five derivare velis, nifi inveteratus affectus fit. Nam tunc ab affecta parte *fanguinem duces.*

κῶν τὰς ὑπὸ τὴν γλῶσσαν φλέβας τέμνομεν, ὅταν ἡμῖν τὸ μὲν ὅλον ἤδη σῶμα κενὸν ᾖ, χρονίζῃ δὲ τὸ πάθος. οὕτω δὲ καὶ σπληνὶ καὶ ἥπατι σικύας προσβάλλομεν. οὕτω δὲ καὶ ἄλλο τι καὶ ἄλλο μέρος πεπονθὸς ἀποσχάζομεν, οὐκ ἐπιῤῥεόντων ἔτι τῶν χυμῶν· ἐρεθιεῖς γὰρ αὐτοὺς ἐν τῷδε μᾶλλον καὶ διπλάσιον ἐργάσῃ τὸ κακόν· ἀλλ᾽ ὅταν ἤδη τὸ μὲν ὅλον ἀπέριττον ᾖ σῶμα, μηδὲν δ᾽ ἐπιῤῥέῃ νῦν, ἴσχηται δέ τι τοῦ παλαιοῦ ῥεύματος ἐν τῷ μορίῳ. καὶ μὴν καὶ ὅτι τὰ μὲν ἐν τοῖς κυρτοῖς τοῦ ἥπατος ἐπ᾽ οὖρα χρὴ προτρέπειν, τὰ δ᾽ ἐν τοῖς σιμοῖς ἐπὶ τὴν κάτω διαχώρησιν, ἡ θέσις ἐδίδαξε τοῦ σπλάγχνου. καὶ ὅτι θώρακα μὲν καὶ πνεύμονα διὰ βηχῶν ἐκκαθαίρειν· γαστέρα δὲ καὶ στόμαχον δι᾽ ἐμέτων· ἔντερα δὲ ταῖς κάτω διαχωρήσεσιν· ὥσπερ οὖν καὶ σπλῆνα καὶ νεφροὺς μὲν ταῖς δι᾽ οὔρων· μήτραν δὲ ταῖς διὰ τῶν καταμηνίων· ἐγκέφαλον δὲ καὶ μήνιγγας ταῖς δι᾽ ὑπερώας καὶ γαργαρεῶνος καὶ ῥινῶν καὶ ὤτων. ἀλλὰ καὶ ὅτι τοῖς μὲν ἐπιπολῆς μορίοις τοιοῦτον εἶδος χρὴ φαρμάκων προσφέρειν, οἷον δεῖται τὸ πάθος· [375] τοῖς δ᾽ ἐν τῷ βάθει καὶ διὰ πολλῶν τῶν μεταξὺ μέλλου-

Itaque in angina venae fub lingua incidendae funt, ubi corpus univerfum vacuaverimus et inveteratus fuerit affectus. Ad hunc modum et lieni et jecori cucurbitulas admovemus. Eadem ratione aliam quamcunque partem affectam fcarificabis, quum humorum fluxio refliterit, alioquin enim hos magis irritaveris et malum geminaveris. Sed quum jam univerfum ab humore fupervacuo corpus liberum eft, neque jam aliquid affluit, fed ex vetere defluxione impacta loco affecto portio aliqua eft. Quod vero in gibbis jecoris per urinas, fimis vero partibus per alvi excrementa ducere oporteat, vifceris ipfius fitus indicat. Quodque thoracem ac pulmonem tuffi repurgare conveniat, ventremque ac ftomachum vomitu, interanea alvi dejectione, quemadmodum lienem et renes per urinas, uterum per menfes, cerebrum vero ac ejus membranas per palatum, gurgulionem, nares et aures, *ex eorum fedibus palam eft.* Sed et quod partibus in fuperficie *conftitutis* tale fit adhibendum medicamentum, quale affectus efflagitat; quae vero in alto corpore demerfae

σιν ὁμιλήσειν ταῖς δυνάμεσιν αὐτῶν, οὐχ οἷον νῦν ἐστιν, ἀλλ᾽ οἷον ἔσεσθαι μέλλει παρὰ τῆς θέσεως τῶν μορίων ἐμάθομεν. ὥστ᾽ εἴ τι τῶν ἔξωθεν ἐπιτιθεμένων εἴτε τῶν ἐσθιομένων ἢ πινομένων εἴη τὸ φάρμακον, οὐ τὴν παροῦσαν αὐτοῦ δύναμιν ἐπισκεπτέον, ἀλλ᾽ οἵαν ἕξει πλησιάζον τῷ πεπονθότι μορίῳ. ταῦτ᾽ ἄρα ταῖς τοῦ πνεύμονος φλεγμοναῖς, ὅσα προσφέρουσιν ἔξωθεν ἐπιπλάσματα, τῷ θώρακι περιβάλλοντες ἰσχυρότερα πολὺ καὶ δριμύτερα τὴν φύσιν ἐστὶν ἢ εἰ αὐτῷ τῷ σπλάγχνῳ προσεφέρετο. διὰ πολλῶν γὰρ τῶν μεταξὺ σωμάτων τὸ ἐντυγχάνειν μέλλον τῷ πεπονθότι μορίῳ παροδεῦον πάντως ἂν ἐξελύθη τε καὶ ἠμαυρώθη τὴν δύναμιν, εἰ ἐξ ἀρχῆς ἦν ἀσθενές. τοσοῦτον οὖν αὐτοῖς ἐπικτήτου ἰσχύος διδόναι προσῆκεν, ὁπόσον ἡ ὁδὸς ἀφαιρεῖται· ὥστε ἴσον καθίστασθαι τὸ λειπόμενον τῷ διὰ τοῦ ψαύειν ὠφε(212)λοῦντι. ταῦτ᾽ ἄρα καὶ αὐτοῦ τοῦ θώρακος τοῖς μὲν ἐπιπολῆς φλεγμαίνουσιν ἱκανὰ, τὰ χαλᾷν μόνον δυνάμενα· τοῖς δ᾽ ἔνδον, ὥσπερ καὶ τῷ ὑμένι τῷ ὑπεζωκότι, δριμυτέρων δεῖ. καὶ περὶ σπληνὸς δὲ καὶ ἥπατος καὶ πάντων τῶν ἔνδον τοῦ περι-

latent, quaeque ex longo intervallo medicamenti virtutem experturae funt, his non quale nunc eft, fed quale cum eo pervenerit, tum futurum eft, ex fitu partium dandum didicimus. Quocirca medicamenti five id foris adhiberi five devorari aut hauriri debeat vires non praefentes, fed quales dum ad affectum locum pervenerint futurae fint, confiderandae funt. Igitur quae in pulmonis inflammationibus pectori forinfecus imponuntur medicamenta, longe vehementiora et acriora natura, quam fi ipfi vifceri admoverentur effe debent. Ejus enim quod per multa corporis membra intermedia tranfiens ad locum affectum perventurum eft, vires fi quidem per initia effent imbecillae, omnino fatifcerent atque evanefcerent. Tantum igitur adventitii roboris adjiciendum eft, quantum tranfeundo amittunt, ut quod fupereft aequale exiftat ei quod tactu juvat. Itaque externis pectoris inflammationibus abunde faciunt, quae folum laxare poffunt, internae vero, qualis eft membrana coftas fuccingens, acriora defiderant. Lienis vero et jecoris omniumque peritonaei

τοναίου μορίων ὁ αὐτὸς λόγος. ἑλκοῦται γὰρ πολλάκις ὑπὸ τῶν ἐπιτιθεμένων φαρμάκων τὸ δέρμα, καί τοι πολὺ σκληρότερόν τε καὶ δυσπαθέστερον ὑπάρχον τῶν σπλάγχνων. καὶ εἰ δυνατὸν ἦν αὐτοῖς τοῖς σπλάγχνοις ἐπιβάλλειν, ὧν ἑκάστοτε δέονται, τοσούτῳ μαλακωτέρων φαρμάκων ἂν ἐδεήθησαν, ὅσῳ καὶ ἡ φύσις αὐτῶν ἐστιν εὐπαθεστέρα. καὶ μὲν δὴ καὶ ὅσα κελεύουσί τε ἐσθίειν καὶ πίνειν φάρμακα τοῖς τῶν σπλάγχνων παθήμασιν ἀρωγὰ, καὶ ταῦτα πολὺ δριμύτερά τε καὶ ἰσχυρότερά ἐστι ταῖς δυνάμεσιν ἢ οἵων δεῖται τὰ πάσχοντα μόρια, πλὴν τῶν γαστρὶ καὶ στομάχῳ συμφερόντων· ταῦτα γὰρ μόνα τοιαῦτα διδόασιν, οἵων χρῄζει τὰ πάθη· τὰ δ' ἄλλα πάντα δριμύτερα καὶ ἰσχυρότερα ταῖς δυνάμεσίν ἐστι· καὶ μάλισθ' ὅσα νεφρῶν ἢ πνεύμονος ἕνεκα δίδονται. σκοπεῖν οὖν ὅσον ἀριθμὸν μορίων διεξέρχεται, τὸ μέλλον εἰς πνεύμονα φέρεσθαι. πρῶτον μὲν στόμα καὶ φάρυγγα καὶ στόμαχον· ἔπειτα δ' αὐτὴν τὴν γαστέρα καί τινα τῶν λεπτῶν ἐντέρων· εἶτα τὰς ἐν τῷ μεσεντερίῳ φλέβας· εἶτα τὰς ἐν τοῖς σιμοῖς τοῦ ἥπατος· ἐξ ὧν εἰς τὰς ἐν τοῖς κυρτοῖς μεταληφθὲν, ἐντεῦθεν

partium inflammationes eadem ratione curantur. Saepe enim cutis ab admotis medicamentis ulceratur, etsi visceribus longe durior sit, potentiusque resistat. Quod si ipsis visceribus medicamenta, quibus assidue egent, admoveri possent, eo mitiora essent imponenda, quo eorum natura facilius afficitur. Quae vero et vorare et haurire medicamenta jubent curandis viscerum affectibus idonea, longe acriora et vehementiora esse debent, quam quae affectae partes efflagitant, exceptis his quae ventri et stomacho conferunt; sola enim haec talia adhibentur, qualia morbus poscit, reliqua vero omnia acriora et valentiora viribus esse oportet, ac ea maxime quae ad renum et pulmonum vitia adhibentur. Considerare itaque oportet, quot numero partes permeat medicamentum, quod ad pulmones fertur. Primum quidem per os transit, deinde fauces et stomachum, postea ventriculum ipsum et quaedam ex gracilioribus intestinis, deinde ad mesenterii venas, post ad jecoris partium simarum, ex

Ed. Chart. X. [375.] Ed. Baf. IV. (212.)

εἰς τὴν κοίλην φλέβα ἔρχεται, μεθ᾽ ἣν εἰς καρδίαν· ἔπειθ᾽ οὕτως εἰς πνεύμονα. καὶ οὐκ ἔστιν εἰπεῖν, ὡς οὐ καθ᾽ ἕκαστον τούτων τῶν μορίων, χυμοῖς τέ τισιν ἀναμίγνυται καί τινα μεταβολὴν καὶ ἀλλοίωσιν οἰκείαν τῇ φύσει τοῦ σπλάγχνου δέχεται. ὥστε τὸ καταλειπόμενον αὐτοῦ τῆς δυνάμεως παντελῶς ἐστι μικρὸν καὶ ἀμυδρὸν ἢ ὅσον αὔταρκες εἰς τὴν ὠφέλειαν τοῦ πεπονθότος. ἡ μὲν οὖν παρὰ τῆς θέσεως τῶν μορίων ἔνδειξις εἰς τοσοῦτον ἄρα τὴν θεραπείαν ὑπαλλάττει· ἡ δὲ παρὰ τῆς δυνάμεως εἰς ὅσον νῦν ἐρῶ. ἐπειδὴ τῶν μορίων τοῦ σώματος τὰ μὲν ἐπιῤῥύτοις διοικεῖται δυνάμεσι, τὰ δὲ καὶ συμφύτοις· τούτων δ᾽ αὐτῶν τὰ μὲν ἑαυτοῖς μόνοις, τὰ δὲ καὶ ἄλλοις ἀρχαὶ δυνάμεών εἰσι· καὶ τῶν μὲν ἴδιον τοὔργον ἐστι, τῶν δὲ κοινὸν, ἀναγκαῖον ὑπαλλάττεσθαι τὸ τῆς θεραπείας εἶδος ἐν ἑκάστῃ τῶν εἰρημένων διαφορῶν. πολλὰ γὰρ τῶν προειρημένων βοηθημάτων λύει μὲν τὰ πάθη, βλάπτει δὲ τὰς συμφύτους τῶν μορίων δυνάμεις, ὧν δὲ ἡ βλάβη παντὶ τῷ σώματι διαφέρει, διττῶς τούτου γιγνομένου, παρ᾽ ὅσον ἤτοι δυνά-

quibus ad gibberarum venas pervenit, ex his vero ad cavum, poſt quam ad cor, tandem ad pulmonem. Neque negare poſſumus, quin in ſingulis hiſce partibus humoribus quibusdam id miſceatur et mutationem quandam alterationemque naturae viſceris familiarem recipiat. Quapropter quod de ejus facultate ſupereſt minus omnino ac hebetius eſt quam ut laeſam partem juvare poſſit. Quae igitur a ſitu partis ſumitur indicatio, his modis curationem variat, quatenus autem quae a facultate ducitur, nunc exponemus. Quoniam autem ex corporis partibus alias quidem influentes, alias vero congenitae facultates moderantur, atque harum ipſarum aliae ſibi ſolis, aliae aliis facultatum ſunt origo, et ex his quidem aliae proprium, aliae publicum habent officium, neceſſario curationis forma in unaquaque harum differentiarum mutanda eſt. Siquidem multa ex commemoratis remediis affectum quidem curant, caeterum nativas partium facultates offendunt, quarum noxa in univerſum corpus transfertur, quod bifariam fit, nimirum quatenus viſcus eſt

μεώς ἐστιν ἀρχὴ τὸ σπλάγχνον, ἅπασι τοῖς μέρεσι κοινὴ ἢ τοὔργον αὐτοῦ παντὶ τῷ σώματι χρήσιμον. ἧπαρ μὲν γὰρ καὶ καρδία καὶ ἐγκέφαλος καὶ ὄρχεις ἀρχαὶ δυνάμεών εἰσι κοιναὶ ὅλῳ [376] τῷ σώματι. γαστρὶ δὲ καὶ μήτρᾳ ἔμφυτοι μὲν αἱ δυνάμεις καὶ οὐδενὸς ἄλλου κοιναί. τό γε μὴν ἔργον τὸ μὲν τῆς γαστρὸς ἅπαντι τῷ σώματι χρήσιμον· τὸ δὲ τῶν μητρῶν οὐκέτι. βλάπτει δὲ πολλάκις ἡ τοῦ πάθους ἴασις τὴν δύναμιν τοῦ μέρους· τά τε γὰρ ἀμέτρως χαλῶντα λύει τὸν τόνον, ὥστε καὶ τὴν δύναμιν τοῦ μέρους· τὰ δ' ὑπερβαλλόντως ψύχοντα σβέννυσι τὸ ἔμφυτον θερμὸν, ὃ τάχα μὲν, ὥς τισιν ἔδοξε τῶν ἀρίστων ἰατρῶν τε καὶ φιλοσόφων, ἡ οὐσία τῶν δυνάμεών ἐστιν, εἰ δὲ μὴ, ἀλλὰ τό γε πρῶτόν τε καὶ ἀναγκαιότατον αὐτῶν ὄργανον. ἤδη δὲ καὶ ποιότητές τινες ἄτοποι καταλυτικαὶ τῶν δυνάμεών εἰσιν. οὐδὲν οὖν τούτων χρὴ παρέρχεσθαι κατὰ τὰς ἰάσεις, ἵνα μή ποτε λάθωμεν ἡμᾶς αὐτοὺς εἰπόντας τὸ μὲν πάθος ἐθεραπεύθη, ὁ δὲ ἄνθρωπος ἀπέθανεν· ὅπερ ὁσημέραι γιγνόμενον ὁρᾷς ὑπὸ τῶν πλείστων, ὅσοι τήν τε ἄλογον τριβὴν πρεσβεύουσι καὶ τὴν ἅπασι τοῖς τῆς τέχνης καλοῖς

facultatis origo totius corporis partibus communis, aut ejus munus univerfo corpori utile eft. Jecur enim, cor, cerebrum et tefles principia funt facultatum univerfo corpori communia. Venter autem et uterus nativas facultates et nulli alteri corporis parti communes habent. Caeterum ventris munus toti corpori utile eft, uteri vero non item. Plerumque autem affectionis remedium partis facultatem laedit, aliud quidem immodice laxando robur folvit proindeque et partis facultatem, aliud vero immodice refrigerando infitum calorem exftinguit, qui fortaffis, ut quibusdam tum medicis tum philofophis celeberrimis vifum eft, fubftantia eft facultatum aut certe primarium ac neceffarium ipfarum inftrumentum. Jam vero et alienae quaedam qualitates vires diffipare poffunt. Nihil igitur horum curando praetermittendum eft, ne forte imprudentes dicamus, morbus quidem curatus eft, homo vero periit, quod accidere plurimis quotidie videmus, qui irrationalem experientiam colunt metho-

λελυμασμένην αἵρεσιν μεθοδικὴν, ἢ τινας λόγους μεταδιώκει δογματικοὺς μὲν, ἀλλὰ καὶ πολλῶν ἁμαρτημάτων ἀνάπλεως. ἐν τῇ παρὰ τῆς δυνάμεως ἐνδείξει τῶν μορίων εἴη δ' ἂν καὶ τὸ δυσαίσθητον ἢ εὐαίσθητον ὑπάρχειν αὐτό. τὰ γὰρ εὐαίσθητα δριμέων οὐκ ἀνέχεται φαρμάκων, ὥσπερ οὐδὲ χυμῶν. ἐν γοῦν τῷ στόματι τῆς κοιλίας δριμέος τινὸς χυμοῦ περιεχομένου συγκόπτονται πολλάκις· εἰ δὲ τὰ μετριώτατα πάσχοιεν, ἀλύουσί τε καὶ ναυτιῶσι, ποτὲ μὲν ἐμοῦντες τὸν λυποῦντα χυμὸν, ἔσθ' ὅτε δὲ μάτην σπαραττόμενοι· καὶ γίνεται τοῦτο κατ' ἐκείνας μάλιστα τὰς διαθέσεις, ἐν αἷς εἰς τὸ στόμα τῆς γαστρὸς ὁ μοχθηρὸς ἀναπίνεται χυμός. ὁμοίως δὲ καὶ τοῖς ὀφθαλμοῖς ἐπιῤῥέων ὁ τοιοῦτος χυμὸς ὀδυνηρότατός ἐστι καὶ φλυκταίνας ἑλκώδεις τε καὶ δυσιάτους ἐργάζεται. ὡσαύτως οὖν οὐδὲ τῆς τῶν δριμέων φαρμάκων ὁμιλίας ὀφθαλμὸς ἀνέχεται διὰ τὴν εὐαισθησίαν, ὥσπερ οὐδὲ τὸ στόμα τῆς γαστρός. οὐ μὴν οὐδ' ἐπικειμένου τινὸς ἔξωθεν βαρύνοντος, ἀνέχεται ταῦτα τὰ μόρια· καὶ μᾶλλόν γε τῆς γαστρὸς ὁ ὀφθαλμός· ὅπου γ' ἐνίοτε καὶ πρὸς τῶν ἐπιχριομένων φαρμάκων βαρύ-

dicamque fectam omnia ipfius artis bona pervertentem, quae rationes quasdam dogmaticas quidem, fed multis erroribus plenas fectatur. Sub indicatione autem quae a viribus partium petitur, fenfus hebes acutusque continetur. Nam quae infigniter fentiunt acria medicamenta non ferunt, quemadmodum nec humores. Si enim acer quidam humor os ventris occupet, in fyncopen aegri faepe labuntur, quod fi permodice afficiantur, anxietate et naufea premuntur, aliquando infeftum quidem humorem vomentes, aliquando vero fruftra enitentes, quod in his potiffimum affectibus accidit, quibus os ventris vitiofo humore imbuitur. Itidemque quum in oculos ejusmodi humor alluit, maximum dolorem invehit, ulcerofasque puftulas curatuque difficiles excitat. Eadem ratione neque oculi acrium medicamentorum contactum ob fentiendi praeftantiam fuftinent, quemadmodum nec os ventris. Neque vero quod degravet, fi foris imponas, ejusmodi partes patiuntur, minusque ventre oculus, utpote qui nonnunquam ab iis quae illinuntur medicamentis gravatur.

νεται. τὰ δ᾽ ἀναισθητότερα μόρια καὶ καταπλασμάτων ἀνέχεται βαρέων καὶ φαρμάκων δακνόντων. εἰ γοῦν πέμπτην τις ἐθέλοι πρὸς ταῖς εἰρημέναις τέτταρσι τὴν ἀπὸ τῆς εὐαισθησίας ἔνδειξιν ἀριθμεῖν, εἴτ᾽ οὖν περιλαβεῖν τὴν κατὰ δύναμιν, οὐδὲν ὡς πρὸς τὸ καλῶς ἰᾶσθαι διαφέρει. τούτων οὖν ἀεὶ χρὴ μεμνῆσθαι τῶν ἐνδείξεων ἐπὶ παντὸς μορίου πάσχοντος ὁτιοῦν πάθος. ἥ τε γὰρ κρᾶσις αὐτοῦ καὶ ἡ διάπλασις ἥ τε θέσις καὶ ἡ δύναμις ὑπαλλάξει τὰς κατὰ μέρος ἡμῶν ἐνεργείας φυλαττομένου τοῦ κοινοῦ σκοποῦ· τοῦτον γὰρ ἔφαμεν ἐκ τοῦ πάθους ἀεὶ δεῖν λαμβάνεσθαι. τὰ μὲν οὖν κατὰ ψιλὴν καὶ μόνην δυσκρασίαν γιγνόμενα νοσήματα διὰ τῶν ἐναντίων ποιοτήτων θεραπεύεται· θερμὴ μὲν δυσκρασία διὰ τῶν ψυχόντων, εἴτ᾽ οὖν πρώτως εἴτε καὶ κατὰ συμβεβηκὸς εἴη ταῦτα ψύχοντα· ψυχρὰ δὲ διὰ τῶν θερμαινόντων. οὕτω δὲ καὶ ξηρὰ μὲν διὰ τῶν ὑγραινόντων· ὑγρὰ δὲ διὰ τῶν ξηραινόντων. περὶ δὲ τοῦ πρώτως θερμαίνοντος ἢ κατὰ συμβεβηκὸς ἐπὶ πλεῖστον, ὡς οἶσθα, ἐν τῇ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἐπεσκεψάμεθα πραγματείᾳ, ἐπιδεικνύντες ἐνίοτε καὶ τὸ πρώτως

Partes vero quae hebetioris funt fenfus tum gravia cataplafmata tum mordentia medicamenta ferunt. Sive igitur quis cum quatuor commemoratis indicationibus eam, quae a fentiendi facilitate fumitur, quintam numerare velit, five in ea comprehendere quae a facultate fumitur, nihil ad rectam curationem refert. Hae igitur indicationes femper memoria tenendae funt in omni parte, quocunque affectu laboret. Nam ejus temperamentum, conformatio, fitus et facultas particulares noftras actiones immutabunt, fervato communi fcopo, quem perpetuo ex affectu fumendum effe docuimus. Qui igitur ex nuda folaque intemperie nafcuntur morbi, contraria qualitate curantur, calida quidem intemperies frigidis feu primario loco feu ex accidente ea refrigerent, frigida vero calidis. Ad eundem modum ficca humidis, humida ficcis. De eo autem quod primum aut ex accidente calefacit, fufiffime, ut nofti, in opere de fimplicium medicamentorum facultate differuimus, oftendentes nonnunquam id ex acci-

ψῦχον θερμαίνειν κατά τι συμβεβηκὸς, ὥσπερ καὶ τὴν τοῦ ψυχροῦ κατάχυσιν ὕδατος, ὅταν ἐπανάκλησιν θέρμης ποιῆται· καὶ τὴν τοῦ θερμοῦ ψύξιν, ὅταν ἀραιώσαν τὸ σῶμα διαφορήσῃ τὴν ἐν αὐτῷ θερμασίαν. αἱ μὲν οὖν κατὰ μόνας τὰς δραστικὰς ποιότητας ἀλλοιώσεις τῶν σωμάτων ὑπὸ μόνης τῆς διὰ τῶν θερμαινόντων τε καὶ ψυχόντων ὑγραινόντων τε καὶ ξηραινόντων δυνάμεως εἰς τὸ κατὰ φύσιν ἄγονται, μὴ δεόμεναι [377] κενώσεως αἰσθητῆς. αἱ δὲ δι' ἐπιῤῥοὴν ὕλης, εὐκράτου μὲν οὔσης αὐτῆς, κενώσεως χρήζουσι μόνης, δυσκράτου δὲ, κενώσεώς τε ἅμα καὶ τῆς διὰ τῶν ἐναντίων ποιοτήτων ἀλλοιώσεως· κενώσεως μὲν, ὥσπερ αἱ ῥευματικαὶ καλούμεναι, περὶ ὧν ἐν ἡμῖν, ὡς οἶσθα, γέγραπται βιβλίον· ἐν ᾧ καὶ τοῦτο εὐθέως κατ' ἀρχὰς ἐδείχθη, τὸ τῆς θρεπτικῆς δυνάμεως ὅλου τοῦ σώματος ἀῤῥωστούσης, γίγνεσθαι τὰς διαθέσεις ταύτας, ῥεούσης τῆς ἀθροιζομένης περιουσίας (213) εἰς τὰ πάντων ἀτονώτατα μόρια. τοῦ μέν τοι ῥέοντος αἵματος εἰς τὰ τοιαῦτα μόρια κατὰ τὰς ῥευματικὰς διαθέσεις ἔχοντός τινα κακοχυμίαν ἡ διάθεσις γίνεται μικτὴ· καὶ γίγνοιτ'

dente calefacere, quod primario loco refrigerat, ut in frigidae afperfione, qua intro calor repellitur, et quod calefacit refrigerare, quum calor calidae afperfione rarefacto corpore difcutitur. Itaque corpus cum a folis agentibus qualitatibus alteratur, fola calefaciendi et refrigerandi, humectandi ac exficcandi facultate ad naturalem habitum citra ullam fenfilem vacuationem reducitur. Quum vero folo materiae ejusque temperatae influxu laborat, fola vacuatione eft opus. Sin intemperata materia fit, vacuationem fimul et alterationem per contrarias qualitates defiderat, vacuationem quidem ut affectus, qui rheumatici dicuntur, de quibus librum unum, ut nofti, confcripfimus, in quo ab initio ftatim monftratum eft, ejusmodi affectiones fieri facultate quae corpus univerfum alit, imbecillitate laborante, quum collecta multitudo in omnium partium infirmiffimas diffluit. Quinetiam fluente quidem fanguine quadantenus vitiato in ejusmodi partes, in rheumaticis affectionibus promifcuus

ἂν ἴσως τοῦτο σπανιώτατα. διὰ παντὸς γάρ ὤφθη μοι, χωρὶς φλέγματος ἢ ξανθῆς χολῆς ἢ μελαίνης αἷμα τῇ συστάσει λεπτὸν ἐπιῤῥέον. ἐξ ἄλλης δέ τινος αἰτίας εἰς ὄγκον ἀρθέντος τοῦ μορίου σκοπεῖν εἴτε φλεγμονὴ τὸ πάθος ἐστὶν εἴτε σκίῤῥος εἴτε οἴδημα, φλεγμονὴν ὀνομαζόντων ἡμῶν ἅπασαν τὴν θερμὴν καὶ οἷον φλογώδη διάθεσιν, ἧς τὰς διαφορὰς ὀλίγον ἔμπροσθεν εἴπομεν. ὥρα τοίνυν ἤδη περὶ τῶν οἰδημάτων ὑποθέσθαι σοι διὰ βραχέων, ἀναμνήσεως ἕνεκεν ὧν κατὰ διέξοδον ἤκουσας ἡμῶν λεγόντων.

Κεφ. έ. Ὀνομάζομεν οὖν οἴδημα τὸν ἀνώδυνον μὲν καὶ χαῦνον ὄγκον. ἐπιδέδεικται δ' οὗτος ἐκ φλεγματώδους οὐσίας γιγνόμενος ἢ πνεύματος ἀτμώδους, ὁποῖόν τι καὶ κατὰ τὰ νεκρὰ γίνεται σώματα καὶ κατὰ τοὺς πόδας τε καὶ σκέλη πολλάκις, ἐν ὑδερικαῖς διαθέσεσι καὶ φθόαις καὶ καχεξίαις ἑτέραις. ἀλλ' ἐπ' ἐκείνων μὲν σύμπτωμά ἐστι τὸ τοιοῦτον οἴδημα διαθέσεων ἐπισφαλῶν, οὐδεμιᾶς ἰδίας ἐξαιρέτου θεραπείας δεόμενον αὐτό. καὶ γὰρ ἀνάτριψις μόνη δι' ὀξυῤῥοδίνου καί ποτε δι' ἁλῶν καὶ ἐλαίου ἢ καὶ τῶν ἁλῶν ἐμβληθέν-

oritur affectus, quod perraro fortassis evenit. Semper enim mihi fanguis fine pituita aut bile vel flava vel atra tenuis fluere visus eft. Quod fi alia quapiam caufa pars intumefcat, videndum eft, an inflammatio, an fcirrhus, an oedema ejusmodi affectus fit. Inflammationem dicimus omnem calidam ac quafi flammeam affectionem, cujus differentias paulo ante retulimus. Itaque jam tempus eft, ut de oedematis pauca tibi tradamus, quo in memoriam revoces, quae fufius me explicante didicifti.

Cap. V. Oedema igitur nominemus tumorem mollem doloris expertem, quem ex pituitofo humore conftare monftravimus, aut vaporofo fpiritu, qualis in cadaveribus evenit et in pedibus faepe ac cruribus eorum qui hydero, tabe et alio vitiato corporis habitu laborant. Verum in illis periculofis affectibus ejusmodi oedema fymptoma eft, nullam propriam praecipuamque curationem requirens. Sola enim frictio alias ex oxyrrhodino, alias ex oleo cum fale aut

των τῷ ὀξυῤῥοδίνῳ κατέστησεν αὐτὸ καὶ ἄλλα πολλὰ τοιαῦτα. διὰ δὲ τὸν φλεγματικὸν χυμὸν ἐπιῤῥυέντα μορίῳ, ἐπιγενομένου τοῦ πάθους, ἐνίοτε μὲν σπόγγος ὕδατι βεβρεγμένος ὀλίγον ὄξους ἔχων κατέστησε τὸ πάθος· εἰ δὲ μὴ καταστήσειε, βραχὺ πλεῖον ἐπιβλητέον τοῦ ὄξους, ὥστε τὸ μὲν σύμμετρον τοιοῦτον εἶναι κατὰ τὴν κρᾶσιν, ὡς δύνασθαί τινα καὶ πίνειν αὐτοῦ. τούτου δὲ τὸ μὲν ὑδαρέστερον ἐν ἀρχῇ παραληπτέον ἐπὶ μαλακῶν μάλιστα σωμάτων· τὸ δ' ἰσχυρότερον ἐπί τε γενναίων καὶ σκληρὸν ἐχόντων δέρμα καὶ πρὸς τὰς πρώτας ἐπιθέσεις τοῦ σπόγγου μηδὲν ὠφεληθέντων. εἶναι δὲ χρὴ τὸν σπόγγον πάντως καινόν· εἰ δὲ μὴ παρείη τοιοῦτος, ἔστω ἀκριβῶς ἐκπεπλυμένος ἀφρονίτρῳ τε καὶ νίτρῳ καὶ τῇ καλουμένῃ κονίᾳ στακτῇ. μὴ παυσαμένου δὲ μηδ' ἐπὶ τούτοις τοῦ οἰδήματος, ἐπεμβάλλειν χρὴ βραχὺ στυπτηρίας καὶ τὸν σπόγγον πάντως ἐπιτιθέναι καινόν. εἰ δὲ καὶ κατά τι τῶν κώλων τὸ τοιοῦτον οἴδημα γένοιτο, τῆς ἐπιδέσεως ἐκ τῶν κάτω μερῶν ἀρχόμενον ἄνω τελευτᾷν τὴν ἐπιβολὴν καὶ τὴν πίεσιν καὶ τὴν σύμπασαν νομὴν ὡς ἐπὶ καταγμάτων ποιούμενον. ὁ γάρ τοι σκοπὸς τῆς θεραπείας ἐπὶ τῶν τοιούτων παθῶν

etiam oxyrrhodino falem habente ipfum fedat, atque id genus alia multa. At fi ex pituitofo humore in partem affluente oedema factum fit, fpongia aqua, quae aceti aliquid acceperit, madefacta aliquando affectum mitigat, qui fi non quiefcat, paulo plus aceti mifcebis ita attemperans, ut bibi poffit. Hoc autem aquofius initio adhibendum eft potiffimum mollibus corporibus, valentius vero robuftis ac cutem duram habentibus et quae primo fpongiae impofitu minime juventur. Efto autem fpongia prorfus nova, cujus fi copia non adfit, curiofe abluatur aphronitro, nitro et lixivia dicta ftillatitia. Non cedente autem his remediis oedemate, aluminis momentum adjiciendum eft ac fpongia omnino nova imponenda. Si vero aliquos ex artubus oedema occupet, *fpongiam* deligabimus ab inferiore parte incipientes ac fuperiori finientes, injectionem, compreffionem et arctationem et omnem diftributionem ut in fracturis facientes. Curationis autem fcopus in hifce affectibus miffus eft,

μικτός ἐστι· τὸ μέν τι διαφορεῖν τῆς οὐσίας αὐτῶν, τὸ δέ τι συνάγειν καὶ σφίγγειν. εἰ τοίνυν ἐπὶ τοῖς προειρημένοις μὴ καθίσταιτο, τότε τῶν ἰσχυροτέρων φαρμάκων ἃ μικτὴν ἔχει τὴν κρᾶσιν ἐκ τῶν εἰρημένων δυνάμεων ἐπιβάλλειν. [378] ἐγὼ δὲ ἐπὶ κεχρονικότος οἰδηματώδους ὄγκου προϋπαλείψας ἐλαίῳ τὸ μόριον εἶτ᾽ ἐπιθεὶς σπόγγον ἐκ κονίας καὶ σφίγξας βιαιότερον, οἶδα τελέως ἐκθεραπευθὲν τὸ πάθος, οὐκέτι δηλονότι τῆς τοιαύτης ἀγωγῆς σκοπὸν ἐχούσης, τὸ μικτὸν τῶν δυνάμεων, ἀλλ᾽ ἐπὶ τὸ διαφορητικόν τε καὶ τμητικὸν ἀποκλινάσης, ὅπερ ἐπὶ τῶν χρονιζόντων σχεδὸν ἁπάντων ἴσμεν εὐδοκιμοῦν. ἐπεὶ δὲ καὶ περὶ τῶν οἰδημάτων αὐτάρκως εἴρηται πρός γε σὲ, περὶ τῶν σκιῤῥωδῶν ὄγκων ἐφεξῆς ἂν εἴη ῥητέον.

Κεφ. στ´. Ὁ μὲν οὖν ἀκριβὴς σκίῤῥος ὄγκος ἐστὶ παρὰ φύσιν ἀναίσθητός τε καὶ σκληρός. ὁ δ᾽ οὐκ ἀκριβὴς οὐκ ἀναίσθητος μὲν παντάπασι, δυσαίσθητός γε μήν ἐστι πάντως. ὁ μὲν οὖν ἀναίσθητος σκίῤῥος ἀνίατος. ὁ δὲ δυσαίσθητος οὐκ ἀνίατος μὲν, οὐ μὴν εὐίατος. γίνεται γὰρ ἐκ γλίσχρου καὶ παχέος χυμοῦ δυσλύτως ἐμπλαττομένου τοῖς

alter quidem, ut horum ſubſtantiae aliquid diſcutiatur, alter ut cogatur ſtringaturque. Si igitur jam dictis remediis morbus non ſedetur, tunc vehementiora miſtam temperaturam habentia ex genere ſupra relatarum facultatum adhibenda ſunt. Ego vero in inveterato oedematode tumore illitae prius oleo parti ſpongiam dein ex lixivio admovi, eaque arctius deligata malum vidi percuratum, non amplius ſcilicet hac curandi ratione miſtam facultatem quaſi ſcopum habente, ſed ad diſcutiendam incidendamque materiam declinante, quod in omnibus fere diuturnis affectibus probari non ignoramus. Poſtquam vero abunde ad te quidem de oedematis ſcripſimus, de ſcirrhoſis tumoribus deinceps diſſerendum eſt.

Cap. VI. Exquiſitus igitur ſcirrhus tumor eſt praeter naturam ſenſu carens ac durus. Non exquiſitus autem non ſine ſenſu quidem omnino eſt, ſed aegre tamen admodum ſentit. Qui igitur ſine ſenſu eſt, curationem non admittit. Qui vero hebetis ſenſus eſt, ut inſanabilis non eſt, ſic

σκιῤῥουμένοις μορίοις· ἐνίοτε μὲν οὖν εὐθὺς ἐξ ἀρχῆς κατὰ βραχὺ συνίσταταί τε καὶ αὐξάνεται. τὰ πολλὰ δ᾽ ὑπὸ τῶν ἰατρῶν κατασκευάζεται, στυψάντων καὶ ψυξάντων σφοδρῶς ἐρυσιπέλατά τε καὶ φλεγμονάς. ἐὰν μὲν οὖν τις τὰ ἰσχυρῶς διαφοροῦντα τοῖς σκιῤῥουμένοις σώμασι προσφέρῃ φάρμακα καὶ σαφῆ μείωσιν ἐργασάμενος τοῦ σκίῤῥου, χρόνῳ βραχεῖ θαῤῥήσει περὶ τῆς παντελοῦς θεραπείας οὐκ ἀληθῶς, ἀγνοῶν ὅτι τῷ τοιούτῳ τρόπῳ τῆς θεραπείας τὸ λείψανον τοῦ πάθους ἀνίατον γίνεται. διαφορηθείσης γὰρ ἐξ αὐτοῦ τῆς λεπτομεροῦς ὑγρότητος ἡ λοιπὴ ξηρανθεῖσα λιθώδης ἀποτελεῖται. οὔκουν χρὴ σφοδρῶς ξηραίνοντι τὰ σκιῤῥούμενα μόρια θεραπεύειν φαρμάκῳ, ἀλλὰ θερμασίαν μὲν ἔχειν χλιαράν, ὑγρότητα δ᾽ οὔτε πολλὴν οὔτε παντάπασιν ἐλαχίστην. τὸ μὲν γὰρ ὑπερβαλλόντως ὑγρὸν οὐδ᾽ ὅλως διαφορεῖ· τὸ δ᾽ ὀλιγοστὴν ἔχον ἰκμάδα ξηραίνει σφοδρότερον ἢ προσήκει. χρὴ τοίνυν ὑπὸ τοῦ μέλλοντος ὀνήσειν φαρμάκου, τὸ σκιῤῥούμενον σῶμα τοῖς ἐν ἡλίῳ χεομένοις ὅμοιόν τι πάσχειν. ὀνομάζεται δὲ τὰ τοιαῦτα φάρμακα μαλακτικά· καὶ λέλεκται περὶ

nec curatu facilis. Fit autem fcirrhus ex glutinofo et craffo humore fcirrhofis partibus ita infartus, ut facile folvi non poffit; qui aliquando ftatim ab initio paulatim concrefcit ac augetur. Saepe vero a medicis vehementer eryfipelata ac inflammationes adftringentibus et refrigerantibus conflatur. Si quis igitur medicamenta vehementer difcutientia partibus fcirrhofis admoverit et fcirrhum manifefte minuerit, hic brevi fe perfanaturum eum falfo fperabit, ignorans quod haec curandi ratio affectum relinquit incurabilem. Refoluta enim ex ipfo fubtiliori humiditate, quod reliquum eft exficcatum lapidofum efficitur. Non funt igitur fcirrhofae partes medicamento vehementer exficcante curandae, fed tepidum calorem habente, humorem vero neque multum neque omnino paucum. Quod enim fupra modum humidum eft, nihil prorfus difcutit, quod vero minimum, plus quam par eft exficcat. Oportet igitur corpus fcirrho obfeffum a medicamento profuturo fimiliter atque haec quae in fole liquantur affici. Vocantur autem hujusmodi medicamenta emol-

αὐτῶν ἐπὶ πλέον ἐν τῷ πέμπτῳ τῆς περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείας. καὶ τὰ παραδείγματα αὐτῶν εἴρηται, τά γε ἁπλᾶ μυελοί τε σύμπαντες καὶ στέατα. πρωτεύει δὲ τῶν μὲν μυελῶν πάντων ὁ ἐλάφειος· εἶτα ὁ μόσχειος. στεάτων δὲ ἐν μὲν τοῖς πτηνοῖς ζώοις τὸ χήνειον· ἐν δὲ τοῖς πεζοῖς τὸ λεόντειον. ἐφεξῆς δὲ χηνείῳ μὲν τὸ τῆς ἀλεκτορίδος· λεοντείῳ δὲ τὸ τῶν παρδάλεων καὶ τὸ τῶν ἄρκτων· εἶτα τὸ τῶν ταύρων. τὸ δὲ τῶν αἰγῶν παχύτερόν τε τούτων ἐστὶ καὶ ξηρότερον· ἔτι δὲ μᾶλλον αὐτοῦ τὸ τῶν τράγων. ὅτι δ' οὐ δεῖται τῶν ἰσχυρῶς ξηραινόντων φαρμάκων τὸ πάθος τοῦτο, προείρηται. περὶ δὲ τῆς κατὰ λεπτομέρειάν τε καὶ παχυμέρειαν αὐτῶν διαφορᾶς ἐνδεικτικῶς μὲν εἴρηται, σαφῶς δ' οὐδέπω. διὸ νῦν ἀναμνῆσαί σε προσήκει τῶν ῥηθέντων ἡμῖν πρὸς ἀλλήλους, ὅτε τὸ τοῦ Κερκυλλίου παιδάριον ἐθεράπευον, ἐξ ἐρυσιπέλατος σφοδρῶς στυφθέντος τε καὶ ψυχθέντος ὄγκον σκιῤῥώδη ἔχοντος ἐν ὅλῳ τῷ μηρῷ. λεπτομερῆ γὰρ ἡμῖν ἐφαίνετο δεῖν εἶναι τὰ μέλλοντα θεραπεύειν αὐτὸ φάρμακα, διὸ κατήντλουν ἐλαίῳ τὸν μηρὸν, ἐν σκάφῃ καθίζον βαθείᾳ

lientia, de quibus copiofius in quinto operis de fimplicibus medicamentis proditum eft. Exempla quoque eorum tradita funt, fimplicia quidem medullae omnes ac adipes. Ex medullis vero primas tenet cervina, deinde vitulina. Ex adipibus volucrum quidem animalium anferinus, terreftrium vero leoninus. Gallinaceum autem anferinus, pardalium vero ac urfinum leoninus *antecedit*, poft quos eft taurinus. His autem craffior eft ac ficcior caprinus, atque hoc magis hircinus. Quod autem ejusmodi affectus vehementer ficcantibus non egeat, dictum eft ante. De differentia autem quae ex eorum tenuitate ac craffitudine fumitur, docuimus quidem, fed non perfpicue. Idcirco in memoriam tibi revocanda funt quae inter nos commentabamur dum Cercyllii puerum curabam, cui ex eryfipelate vehementer adftricto et refrigerato tumor fcirrhofus in toto femore relictus erat, cui curandae tenuium partium medicamenta adhibenda effe exiftimabamus, proinde pueri femur oleo fovebam in pro-

τὸ παιδάριον, ἐχούσῃ πλῆθος ἐλαίου τοῦ Σαβίνου, [379] διότι λεπτομερέστατον ἔλαιον ἴσμεν ἁπάντων αὐτό. λουτροῦ δ' ἀπεῖχον ὅτι μὴ διὰ πλειόνων ἡμερῶν ἕνεκα τῆς τοῦ παντὸς ἐπιμελείας σώματος. μετὰ δὲ τὴν εἰρημένην κατάντλησιν τὰ διὰ τῶν εἰρημένων μυελῶν τε καὶ στεάτων φάρμακα προσέφερον, ἐνίοτε δὲ καὶ βδελλίου τοῦ Σκυθικοῦ μιγνὺς καὶ μαστίχης Αἰγυπτίας καὶ ἀμμωνιακοῦ θυμιάματος, τοῦ λιπαροῦ τε καὶ μὴ παλαιοῦ καὶ χαλβάνης ὡσαύτως. καὶ ἐπειδὴ διὰ τούτων προπαρεσκεύαστο, λύσας ἀμμωνιακὸν τὸ λιπαρώτατον ὄξει δριμυτάτῳ κατέχρισα τὸν μηρὸν ὅλον ἐν κύκλῳ. κἄπειτα δι' ἡμερῶν αὖθις ὀποπάνακος ἔμιξα τὸ λιπαρώτατον, ὄξει δριμυτάτῳ ἐκλύων καὶ τούτου δηλονότι τὸν πρόσφατον, οὐ γὰρ ἂν ἄλλως ἔτι διαμένοι λιπαρός· ὥσπερ οὐδὲ τὸ βδέλλιον οὐδὲ τὸ ἀμμωνιακὸν οὐδὲ ἡ χαλβάνη. καὶ ἀσκωλιάζειν δὲ κατὰ θατέρου σκέλους ἐποίουν τὸ παιδάριον, (214) ὅπως ἐπ' ἐκεῖνο φέροιτο τὸ πλέον τῆς τροφῆς. ὕστερον δ' ὡς ἤδη προσέσταλτο μὲν ὁ σκιῤῥώδης ὄγκος, ἐδεδίειν δὲ μή τι λείψανον αὐτῷ μένοι, τοὐναντίον ἅπαν εἰργαζόμην, ἐπιχρίων τινὶ τῶν πιττωτῶν

fundo labro fedentis largum oleum Sabinum continentes, quod non ignorarem, majore id partium tenuitate quam caetera praepollere. Balneo vero nifi pluribus interjectis diebus curandi totius corporis caufa prohibebam. Poft vero dictum fotum medicamenta ex commemoratis medullis et adipibus affecto loco imponebam, admiftis nonnunquam bdellio Scythico, maftiche Aegyptia et ammoniaco thymiamate pingui, non vetere nec non et galbano, quibus praemunitum totum femur pinguiffimo ammoniaco, aceto acerrimo refoluto circumlevi, deinde per aliquot dies rurfum panacis liquorem pinguiffimum aceto acerrimo diffolutum adieci, cumque recentem, alioqui pinguis non perduraret, quemadmodum neque bdellium neque ammoniacum neque galbanum. Puerum vero alteri cruri innixum faltare juffi, quo plus in id alimenti ferretur. Poftea vero redacto jam ad aequalitatem fcirrhofo tumore veritus ne reliquiae fuperelfent contraria omnia feci, femur aliquo ex refinofis

φαρμάκων τὸν μηρόν. ἐφαίνετο δὲ σαφῶς ἐπὶ μὲν τοῖς δι᾽ ὄξους ἐπιχρίμασιν ἀξιολόγως καθαιρούμενος ὁ σκιῤῥώδης ὄγκος· ἐπὶ δὲ τοῖς χαλαστικοῖς μαλακυνόμενος μὲν, ἐλάττων δ᾽ οὐ γινόμενος. ἀλλ᾽ ἡ μετὰ μέτρου τοῦ προσήκοντος ἐναλλὰξ αὐτῶν χρῆσις ἐθεράπευσε τὸ παιδάριον. ὡς εἴγε διὰ θατέρου γένους μόνου τῶν φαρμάκων ἐποιεῖτό τις τὴν θεραπείαν αὐτῶν, οὐκ ἂν ἔλυσε τὸν σκίῤῥον. ἐπὶ δὲ τῶν τενόντων, ὀνομάζω δ᾽ οὕτω δηλονότι τὰς ἀπονευρώσεις τῶν μυῶν, ἐπὶ τῇ λεγομένῃ χρήσει τῶν φαρμάκων ἐναργεστάτην ὠφέλειάν ἐστιν ἰδεῖν, εἴ τις καλῶς χρήσαιτο τῇ διὰ τοῦ πυρίτου λίθου θεραπείᾳ· χρὴ δὲ διάπυρον αὐτὸν ἐργασάμενον ὄξει δριμυτάτῳ καταῤῥαίνειν, εἶτα διακινεῖν τὸ πεπονθὸς μόριον ὑπὲρ τὸν λίθον, ὡς ἂν ὑπὸ τῆς ἀναφερομένης ἀτμίδος ὁ σκίῤῥος λύοιτο. πολλὰ γὰρ ἤδη τελέως ἠγκυλωμένα τε καὶ κεκυλλωμένα διὰ τούτου τοῦ τρόπου τῆς θεραπείας, ἐν αὐτῷ τῷ διακινεῖν ἐθεραπεύθη τελέως, ὡς τὸ πρᾶγμα παραπλήσιον εἶναι μαγείᾳ. χρὴ δὲ προπαρεσκευάσθαι μεμαλαγμένον τὸ σκιῤῥῶδες μόριον ὑφ᾽ ὧν εἴρηκα βοηθημάτων. ἀλλὰ καὶ κατὰ ταύτην τὴν διὰ τοῦ πυρίτου λίθου θεραπείαν προκα-

medicamentis illinens. Perfpicue enim videbatur fcirrhofa moles infigniter quidem concidiffe medicamentorum, quae ex aceto conftant litu, laxantium vero mollefcere, fed non decrefcere. Verum alternatus eorum ufus moderatus puerum curavit. Nam fi altero tantum genere medicamentorum fcirrhum curare tentaffes, hunc nequaquam fanaffes. Tendones vero, fic enim nervofas mufculorum propagines voco, ex commemorato medicamentorum ufu evidentiffime juvari videmus, fi quae pyrite lapide initur, curandi ratione probe utamur, hunc autem oportet igni candentem acerrimo aceto infpergere, deinde affectam partem fuper hunc dimovere, ut a vapore furfum exhalante fcirrhus folvatur. Multae enim partes jam planae repandae curvataeque hac curandi via quae fic verfando fit integre fanatae funt, ita ut incantamentis fimilis res effe crederetur. Scirrhofam autem partem remediis ante dictis emollitam praemunire oportet. Quinetiam in hac quae pyrite fit curatione largo oleo Sabino per-

ταντλεῖσθαι πολλάκις ἐλαίῳ δαψιλῶς θερμῷ Σαβίνῳ ἢ ἄλλῳ τινὶ τῶν λεπτομερῶν· οὐ χεῖρον δὲ καὶ ἀνήθου τὴν κόμην ἐναφεψήσασθαι καὶ μᾶλλον, εἰ χλωρὸν εἴη καὶ πρόσφατον. εἰ δὲ μὴ παρείη πυρίτης, τῷ μυλίτῃ χρηστέον· ὀνομάζουσι δ' οὕτως ἐκεῖνον τὸν λίθον, ἐξ οὗ τὰς μύλας κατασκευάζουσιν, ἐφ' ὧν ἀλήθουσι τὸν σῖτον.

Κεφ. ζ. Σπλῆνα μέντοι σκιῤῥούμενον οὐ μόνον ἔξωθεν ἰσχυροῖς φαρμάκοις θεραπεύειν προσήκει, ἀλλὰ καὶ διὰ πομάτων ἰσχυροτάτων. ἀνέχεται γὰρ καὶ τούτων ἀλύπως. ἄριστα δ' ἐξ αὐτῶν καππαρέως ῥίζης φλοιὸς καὶ σκολοπενδρίου καὶ μυρίκης αἵ τε ῥίζαι καὶ οἱ ἀκρέμονες. ἕψειν δὲ τὰ τοιαῦτα πάντα προσήκει ἐν ὄξει τε καὶ ὀξυμέλιτι. πολλάκις δ' ἁπτομένῳ φαίνεται μὲν ἀντίτυπος ὁ σπλὴν, οὐ μὴν σκιῤῥώδης ἐστὶν ὁ ὄγκος, ἀλλὰ πνευματώδης μᾶλλον. ἐφ' οὗ προαποβρέξαντα δι' ἀψινθίου φάρμακον ἔμπλαστρον ἐπιτιθέναι χρὴ μικτῆς δυνάμεως, ὁποῖόν ἐστι τὸ διὰ θείου τε καὶ στυπτηρίας. ἔστι δ' ἀμέλει τὰ πλεῖστα τῶν ἐν ταῖς φαρμακίτισι βιβλίοις γεγραμμένων φαρμάκων τοιαῦτα. πρόσεχε δὲ

quam calido faepe fovendus affectus eft, aut aliquo alio ex fubtilium genere. Nec vero minus proderit anethi potiffimum viridis ac recentis comam oleo incoquere. Quod fi pyrites in promptu non fit, molari eft utendum, fic enim lapidem ex quo molas parant, quibus frumentum molimus, vocant.

Cap. VII. Lienem autem fcirrhofum non folum foris adhibitis vehementibus medicamentis curare oportet, fed et validiffimis potionibus. Nam et has citra moleftiam perfert. Ex his autem optima funt radicis capparis cortex et fcolopendrii et myricae tum radices tum ramuli. Haec autem omnia in aceto et mulfo aceto incoquenda funt. Saepe vero lien tangenti reniti videtur, tametfi fcirrhofus non fit, fed potius flatulentus. In quo affectu ubi abfinthio prius locum perfuderis, imponendum eft emplaftrum miftae facultatis, quale eft quod ex fulphure et alumine conftat. Plurima profecto id genus remedia in medicamentorum libris

οὐχ ἁπλῶς τῇ δυνάμει τῶν μεμιγμένων φαρμάκων, ἀλλὰ καὶ τῷ πόσῳ τῆς μίξεως. [380] ἐπὶ γὰρ τῶν πνευματώδη τὸν ὄγκον ἐχόντων σπληνῶν καὶ μᾶλλον ἐπὶ τῶν οἰδημάτων, κἂν πολὺ τῶν στυπτηριῶν ἐμβάλλῃς, οὐδὲν βλάψεις. ἐπὶ δὲ τῶν σκιῤῥωδῶν προσήκει ἐπικρατεῖν τὴν διαφορητικὴν δύναμιν, ὀλίγον δ' αὐτῇ μεμίχθαι τῆς στυφούσης. ἓν γοῦν τῶν ἁπλῶν τε καὶ αὐτοφυῶν φαρμάκων τοιοῦτον ὑπάρχον ἁλὸς ἄνθος ἰᾶται σκιῤῥουμένους σπλῆνας, ἐπιτεθὲν ἔξωθεν αὐτοῖς ἐν κύστει. ἥπατος δὲ σκίῤῥον ἀρχόμενον μὲν ἰασάμεθα πολλάκις· ἐκταθέντα δ' εἰς πλείους ἡμέρας οὔτ' αὐτὸς ἠδυνήθην ἰάσασθαι, οὔτ' ἄλλον τινὰ εἶδον ἰάσασθαι δυνηθέντα. πᾶσι μὲν οὖν τοῖς οὕτω παθοῦσιν ἐξ ἅπαντος ὕδερος ἕπεται. διαφθείρονται δ' οἱ πλεῖστοι ἐν χρόνῳ μακροτέρῳ. τινὰς δ' ἱστόρησα καὶ διὰ ταχέων ἀπολομένους, οἷς ἡ γαστὴρ διεχώρει πολλά. πρόδηλον οὖν ὅτι τούτοις ἱκανῶς ἐστέγνωτο τὰ στόματα τῶν μεταλαμβανόντων τὴν τροφὴν ἀγγείων, ἐκ τῶν σιμῶν τοῦ ἥπατος εἰς τὰ κυρτά. τοὺς δ' οὖν θεραπευθέντας ἐξ αὐτῶν ἡ προειρημένη τῶν ἐν τοῖς μυώδεσι σκίῤῥων ἀγωγὴ διέσωσεν.

fcripta funt. Non fimpliciter autem miftorum medicamentorum viribus animum intendere oportet, fed et quantum mifceatur. Quum enim flatu lien aut potius oedemate intumuit, etiamfi aluminis multum injeceris, nihil offenderis. At fi fcirrho occupetur, difcutiendi facultas praepollere debet, adftringendi vero exigua portio admifceri. Quum vero unus ex fimplicibus fponteque nafcentibus medicamentis falis flos hac vi fit praeditus, fcirrhofum lienem fanat foris in vefica impofitus. Jecoris vero fcirrhum recentem faepe curavimus, inveteratum vero neque ipfe fanare potui neque alium qui poffet novi. Omnes enim ita affectos omnino fequitur hyderus. Plurimi autem longiore temporis fpatio intereunt. Nonnullos vero brevi perire vidi, quibus alvus multa dejiciebat. Palam igitur eft his ftipata effe vaforum ora, per quae cibus ex fimis jecoris partibus in convexas tranfmittitur. Quod fi qui ex his curati funt, non alia ratione quam quae in mufculofarum partium fcirrhis monftrata eft, fanitatem funt adepti. Non enim hoc vifus ve-

οὐ γὰρ φέρει τὸ σπλάγχνον τοῦτο τὰ σφοδρὰ φάρμακα, καθάπερ ὁ σπλήν. ἐπιτείνειν οὖν χρὴ τὰ διὰ φλεγμονὴν αὐτῷ προσαγόμενα τῇ μίξει τῶν μαλακτικῶν. ἦν δ᾽ ἐκεῖνα τὰ δι᾽ ἀψινθίου κόμης καὶ μυροβαλάνου πιέσματος καὶ νάρδων ἀμφοτέρων Ἰνδικῆς τε καὶ Κελτικῆς, ἔτι δὲ κρόκου καὶ οἰνάνθης καὶ μαστίχης Χίας καὶ μύρων τῶν διὰ ναρδοστάχυος σκευαζομένων, ἔτι δὲ μαστιχίνου καὶ σχινίνου καὶ μηλίνου καὶ οἰνανθίνου. τούτοις οὖν ἀμμωνιακόν τε θυμίαμα καὶ βδέλλιον, οἵ τ᾽ εἰρημένοι μυελοὶ καὶ τὰ στέατα μιγνύμενα καὶ τὰ τέμνειν δυνάμενα, τὸν γιγνόμενον ἐν ἥπατι σκίῤῥον ἰῷντο μετὰ τῆς προσηκούσης δηλονότι διαίτης καὶ τῶν ἅμα αὐτῇ πινομένων φαρμάκων, σκοπὸν ἐχόντων ἐκφράξαι τε καὶ διαῤῥύψαι τὸν χυμὸν τὸν ἐν τῷ σπλάγχνῳ. ἔστι δὲ ταῦτα πάντα καὶ τῶν ἐν νεφροῖς λίθων θρυπτικά· καὶ γέγραπται πολλοῖς ἰατροῖς περὶ τῆς ὕλης αὐτῶν. ἐπιμιγνύναι δὲ χρὴ τοῖς τοιούτοις καὶ τῶν οὐρητικῶν τι· παμπόλλη δ᾽ ἐστὶ καὶ τούτων ἡ ὕλη, γεγραμμένη μὲν ὑπὸ πολλῶν, εἰρημένη δὲ καὶ πρὸς ἡμῶν ἐν ταῖς περὶ τῶν φαρμάκων πραγματείαις. διὸ καὶ νῦν ἀρκείτω καὶ πρὸς σὲ τὰ εἰρημένα.

hementia medicamenta, uti lien fuftinet. Remollientium igitur miftura quae inflammationis ratione vifceri admoventur medicamenta augenda funt. Erant autem illa ex abfinthii coma et expreffo ex unguentaria glande oleo, *myrobalanu piesma vocatur,* et utraque nardo, Indica et Celtica, praeterea croco et oenanthe, maftiche Chia et unguentis ex nardi fpica temperatis, item maftichino, lentifcino, melino et oenanthino. His igitur fi ammoniacum thymiama et bdellium et commemoratae medullae ac adipes, quaeque incidere idonea funt, adjiciantur, jecoris fcirrhum fanat commoda victus ratione obfervata una cum medicamentorum potione, quae obftructionem delent et humorem qui in vifcere retinetur abfumunt. Haec autem omnia vim habent comminuendi etiam renum calculi, quorum materiam multi medici tractarunt. His autem quodpiam admifcendum eft ex illis, quae urinam movere poffunt, quorum materia plurima tum a multis aliis, tum a nobis in opere de medicamentis fcripta eft. Quocirca quae nunc dicta funt tibi fufficiant.

Κεφ. η'. Μεταβῆναι γὰρ ἤδη καιρὸς ἐφ' ἕτερον ὄγκου γένος, ᾧ τῆς γενέσεως ἡ ὕλη πνεῦμα φυσῶδές ἐστι. ὀνομάζεται δ' οὐ μόνον φυσῶδες, ἀλλὰ καὶ φῦσα τὸ τοιοῦτον πνεῦμα, παχὺ καὶ ἀτμῶδες ὑπάρχον, οὐκ αἰθερῶδες τὴν οὐσίαν οὐδὲ λεπτόν· ἐννόησον δ' αὐτοῦ τὴν φύσιν ἐκ τοῦ περιέχοντος ἡμᾶς ἀέρος ἀναμνησθεὶς, ὁποῖος μὲν ἐν νοτίοις καταστάσεσιν, ὁποῖος δ' ἐν βορείοις γίνεται. τῷ μὲν γὰρ ἐν νοτίοις καταστάσεσιν ἔοικε τὸ φυσῶδες· τῷ δ' ἐν βορείοις τὸ κατὰ φύσιν ἐν ἡμῖν πνεῦμα· συμβάλλεται δ' εἰς τὸ μὴ διαπνεῖσθαι τὸ τοιοῦτον πνεῦμα καὶ ἡ τῶν σωμάτων πύκνωσις. ὥστε καὶ ἡ ἴασις τοῦ πάθους τούτου τὸν σκοπὸν ἕνα καὶ κοινὸν ἀμφοῖν ἕξει τὴν τῶν πεπυκνωμένων σωμάτων ἀραίωσιν καὶ τὴν τῶν πεπαχυσμένων πνευμάτων λέπτυνσιν. θερμαίνων γὰρ ἱκανῶς ἄμφω δι' οὐσίας λεπτομεροῦς ἀραιώσεις μὲν τὸ πεπυκνωμένον, λεπτυνεῖς δὲ τὸ πεπαχυσμένον. ἡ δὲ τῶν πασχόντων μορίων φύσις συνενδείξεταί σοι τήν τ' ἐπιτήδειον ὕλην τῶν βοηθημάτων καὶ τὸ μᾶλλόν τε καὶ ἧττον ἐν αὐτῇ. τὸ γάρ τοι πνεῦμα τοῦτο

Cap. VIII. Ad aliud enim tumoris genus jam transire tempus eft, cui gignendo flatulentus fpiritus materiam fuggerit. Dicitur autem non folum flatulentus, fed et flatus ejusmodi fpiritus craffus ac vaporofus neque aethereus fubftantia neque tenuis, ejus vero naturam intelliges, fi qualis in auftrina qualisque in aquilonia conftitutione fit ambiens aër in memoriam revocaris. Siquidem auftrino flatulentus, aquilonio vero naturalis in nobis fpiritus eft fimilis, ejusmodi autem fpiritus difflationem corporis etiam denfitas impedit. Quocirca ejus affectus curatio unum ac communem utrique fcopum habebit, nempe denfi corporis rarefactioni et craffi fpiritus attenuationi. Nam fi medicamentis tenuitate partium pollentibus utrumque fufficienter calefeceris, denfum quidem rarefacies, craffum vero attenuabis. Affectarum autem partium natura ad idoneam remediorum materiam indicandam conferet, ejusque adhibendae majorem minoremve modum. Nam id genus fpiritus craffus ac vapo-

τὸ παχὺ καὶ ἀτμῶδες ἔσθ᾽ ὅτε μὲν ὑπὸ τοῖς περιοστείοις ὑμέσιν [381] ἀθροιζόμενον ἴσχεται· ποτὲ δ᾽ ὑπὸ τῷ περιτοναίῳ· ποτὲ δ᾽ ἐντὸς τῶν ἐντέρων ἢ τῆς γαστρός. ἴσχεται δέ ποτε καὶ ὑπὸ τῶν τοὺς μῦς περιεχόντων ὑμένων ἔνδον, ὥσπερ γε καὶ ὑπὸ τῶν ὑμενωδῶν τενόντων. ἴσχεται δὲ καὶ κατὰ τὰς λόγῳ θεωρητὰς χώρας ἔν τε τοῖς μυσὶ καὶ τοῖς ἄλλοις σώμασιν· ὧν χωρίων τὴν φύσιν ἐν ταῖς ἀνατομικαῖς ἔμαθες ἐγχειρήσεσιν. οὕτω γοῦν καὶ αὐτὸς ὁ μῦς ἐμφυσᾶται. καὶ κατὰ τὸ τῆς γαστρὸς ἢ τὸ τῶν ἐντέρων σῶμα κατακλείεται πνεῦμα φυσῶδες· ὅταν δὲ καὶ ψυχρὸν ἱκανῶς ᾖ τοῦτο, μεγίστην ὀδύνην παρέχει. θεραπεία δὲ κοινὴ μὲν ἁπάντων, ὡς εἴρηται, διὰ λεπτομεροῦς οὐσίας· καὶ ὅταν γε μετ᾽ ὀδύνης ᾖ τὸ πάθημα, τοιαύτης τὴν φύσιν ὡς πραΰνειν τὰ ἀλγήματα δύνασθαι. κατὰ δὲ τὴν τῶν πασχόντων μορίων διαφορὰν ἥ θ᾽ ὕλη τῆς θεραπείας ὑπαλλάττεται καὶ ἡ δύναμις ἐπιτείνεται καὶ ἀμβλύνεται. διὰ τοιοῦτον οὖν πνεῦμα τῆς ὀδύνης γιγνομένης ἐν τῇ κάτω γα(215)στρὶ, τὸ λεπτομερὲς ἔλαιον ἐνιεὶς ἅμα τοῖς ἐναφηψημένοις αὐτῷ φαρμάκοις, αὐτίκα παύ-

rosus nonnunquam quidem sub membranis ossa tegentibus collectus continetur, nonnunquam sub peritonaeo, aliquando vero in intestinis et ventre. Interdum et sub membranis musculos circumdantibus, quemadmodum et sub membranosis tendonibus. Nonnunquam autem et in spatiis quae cogitatione percipiuntur tum musculorum tum aliarum corporis partium, quarum naturam ex anatomicis administrationibus didicisti. Ad hunc quidem modum et musculus ipse spiritu impletur. In ventre quoque aut intestinis flatulentus spiritus concluditur, qui si vehementer frigidus sit, maximum excitat dolorem. Haec autem omnia curationem quidem, ut diximus, habent communem ex tenuium partium materia, quaeque si doloris particeps sit affectus eam habeat naturam, ut dolorem mitigare possit. Pro differentia vero affectarum partium tum curationis materia mutatur tum facultas intenditur ac remittitur. Quum igitur ejusmodi flatus dolorem in inferiore ventre peperit, oleo tenui una cum medicamen-

σεις αὐτήν. τὰ δ᾽ ἐναφηψημένα τῷ ἐλαίῳ φάρμακα θερμαίνοντα μετὰ λεπτομερείας ἔστω κύμινόν τε τὸ παρ᾽ ἡμῖν καὶ μᾶλλον αὐτοῦ τὸ καλούμενον Αἰθιοπικὸν καὶ σελίνου καὶ πετροσελίνου σπέρμα καὶ μαράθρου καὶ σίνωνος καὶ ἀνίσου τε καὶ λιβυστικοῦ καὶ σεσέλεως καὶ δαύκου καὶ σπονδυλίου. καὶ εἰ τεκμαίροιο ψυχρὰν εἶναι τὴν διάθεσιν τῶν ὀδυνωμένων μορίων, καὶ πήγανον καὶ μάραθρον καὶ δαφνίδας ἐναφεψήσεις καὶ μίξεις ἄσφαλτόν τε καὶ αὐτὸ τὸ δάφνινον, ὅσα τ᾽ ἄλλα τῶν οὕτω θερμαινόντων ἐστίν. εἰ δὲ καὶ φλεγμονὴν μεμίχθαι ταῖς τοιαύταις ὀδύναις ὑπολάβοις, ἀφαιρήσεις μὲν τὰ δριμέα πάνυ καὶ θερμαίνοντα σφοδρῶς. ἐπὶ δὲ τὰ μετρίως τοιαῦτα μεταβήσῃ χαλαστικὴν ἔχοντα δύναμιν. ἐναφεψήσεις οὖν τῷ ἐλαίῳ τὸ ἄνηθον, οὐ τὸ πήγανον, καὶ μίξεις στέαρ χήνειον ἢ ἀλεκτορίδος. ἀλλὰ ταῦτα μὲν ἐπὶ μεγάλοις ἀλγήμασι. τὰ δὲ μέτρια καὶ ἡ ἔξωθεν ὤνησε πυρία, μάλιστα μὲν διὰ κέγχρων, ἡ γὰρ κουφότης αὐτῶν ἀλυποτάτη τοῖς ὀδυνωμένοις ἐστί. τούτων δὲ μὴ παρουσῶν ἢ δι᾽ ἁλῶν θερμανθέντων ἢ δι᾽ ὠμόλινον ἢ ὁπωσοῦν ἄλλως.

tis quae in eo cocta fuerint infufo, ftatim eum fedabis. Incocta autem in oleo medicamenta cum partium tenuitate calefaciunt, quale eft cuminum quod apud nos nafcitur et eo amplius quod Aethiopicum dicitur et apii petrofelinique femen, foeniculi, finonis, anifi, libyftici, fefelis, dauci et fpondylii. Quod fi dolentium partium affectum frigidum effe conjeceris, in eo rutam, foeniculum et lauri baccas incoques admifcebisque bitumen atque ipfum oleum laurinum, quaeque fimili calefaciendi facultate funt praedita. At fi inflammationem cum doloribus junctam effe fufpiceris, omnia acria et vehementer calida demes. Ad ea vero, quae cum his facultatibus mediocribus laxare poffunt, tranfibis. Itaque in oleo incoquendum anethum eft, non ruta, mifcendusque adeps anferinus aut gallinaceus. Sed haec quidem in magnis doloribus. Mediocres vero foris adhibito fotu juvantur maximeque ex milio, ut cujus levitas nullam omnino partibus dolentibus moleftiam adferat. Aut fi ejus copia non fit excalefacto fale aut lino crudo aut alio quovis modo. At-

καὶ σικύα δὲ μεγάλη μετὰ φλογὸς δαψιλοῦς ἄνευ τοῦ σχάσαι τὸ δέρμα πολλάκις ἀνωδύνους διὰ ταχέων εἰργάσατο. χρὴ δὲ περιλαμβάνειν αὐτὴν τὸν ὀμφαλόν. εἰ δ' ἐπὶ τούτοις ἐπιμένοιεν αἱ ὀδύναι, τολμήσεις χρήσασθαι τοῖς δι' ὀπίου φαρμάκοις, ὁποῖόν ἐστι καὶ τὸ τοῦ Ταρσέως Φίλωνος ἅπασι τοῖς ἰατροῖς γινωσκόμενον, εἰδὼς μὲν ἐξ ἀνάγκης τινὰ βλάβην τοῖς πεπονθόσι μορίοις ἐκ τῶν τοιούτων φαρμάκων ἐσομένην, ἀλλὰ πρὸς τὸ κατεπεῖγον ἐνιστάμενος αἱρήσῃ μετὰ μικρᾶς βλάβης σῶσαι τὸν ἄνθρωπον ὑπὸ τοῦ τῆς ὀδύνης μεγέθους συγκοπτόμενον. ἐξέσται γάρ σοι ταῖς ἑξῆς ἡμέραις ἐπανορθώσασθαι τὴν γεγενημένην βλάβην ὑπὸ τοῦ φαρμάκου. καλεῖται μὲν οὖν ἀνώδυνα φάρμακα τὰ τοιαῦτα τῷ παύειν τὰς ὀδύνας. ἐργάζεται δὲ τὴν ἀνάπαυλαν αὐτῶν οὐ τὰς διαθέσεις θεραπεύοντα τελέως, ἀλλὰ τὴν αἰσθητικὴν δύναμιν ναρκοῦντα. χρῆσθαι δὲ προσήκει τῷ Φιλωνείῳ φαρμάκῳ καὶ πᾶσι τοῖς δι' ὀπίου σκευαζομένοις οὐκ εὐθέως, ἀλλὰ μετὰ χρόνον τῆς συνθέσεως ἐνιαύσιον ἢ πάντως γε μῆνας ἕξ. μάλιστα μὲν οὖν καὶ τάχιστα διὰ τῶν πινομένων φαρμάκων

que magna cucurbita cum larga flamma fine cutis fcarificatione praefens dolori faepe remedium attulit. Hac autem cingendus eft umbilicus. Quod fi poft haec dolor perfeveret, medicamentis ex opio, quale eft Philonis Tarfenfis omnibus medicis cognitum, uti non formidabis, etiamfi neceffario noxam aliquam afflictis partibus ex his medicamentis accefsuram non ignores. Sed certe ei quod magis urget obfiftendo, hominem doloris vehementia animo delinquentem cum parva noxa fervare fatius erit. Nam fequentibus deinceps diebus noxam medicamento contractam emendare poteris. Ejusmodi autem medicamenta, quod dolores fedent, anodyna vocantur. At ipforum ferias conciliant, non affectus integre curant, fed fentiendi facultatem confopiunt. Utendum autem eft Philonio et omnibus ex opio confectis medicamentis non recentibus, fed annotinis aut omnino femeftribus. Maxime igitur ac celerrime gracilium inteftinorum dolores epotis medicamentis fedantur, quemadmodum iisdem in fe-

οἱ κάμνοντες ἀνώδυνοι γίγνονται, πεπονθότων αὐτοῖς τῶν λεπτῶν ἐντέρων, ὥσπερ γε καὶ διὰ τῶν ἐντιθεμένων τῇ ἕδρᾳ ταχέως ὠφελοῦνται τὰ τῶν παχέων ἐντέρων παθήματα. γίνεται δὲ οὐ σμικρὰ τῆς δυνάμεως διάδοσις κἀκ τῶν πινομένων τοῖς κάτω πεπονθόσι, κἀκ τῶν ἐντιθεμένων τῇ ἕδρᾳ τοῖς τὰ ἄνω πάσχουσιν. ἥ γε μὴν ἐν τοῖς σαρκώδεσι μέρεσι τοῦ φυσώδους [382] πνεύματος ἄθροισις ἔστιν ὅτε παντάπασιν ἀνώδυνος γίνεται καὶ χρόνῳ παραμένει πλείονι καὶ μάλισθ᾽ ὅταν ἐγγὺς ᾖ διαρθρώσεως. ἐνταῦθα γάρ τοι καὶ οἱ μύες αὐτοὶ νευρωδέστεροί τε καὶ πυκνότεροι καὶ σαρκωδέστεροί τε καὶ ἀραιότεροι κατὰ τὰ μέσα σφῶν αὐτῶν. ἐθεράπευσα δὲ, ὡς οἶσθα, τὰς τοιαύτας διαθέσεις τοῖς διὰ πίττης καὶ ῥητίνης καὶ τερεβινθίνης καὶ στέατος λεοντείου καὶ ταυρείου φαρμάκοις. ἁρμόζει δ᾽ ἐπ᾽ αὐτῶν καὶ τὸ διὰ γλοιοῦ καὶ τιτάνου καὶ τὸ διὰ τοῦ συκομόρου, καὶ συνελόντι φάναι τὰ λεπτομερῆ γενναίως, ἐπιμιγνυμένων αὐτοῖς τῶν μαλακτικῶν.

Κεφ. θ'. Ἐπειδὴ δὲ καὶ περὶ τούτων ἱκανῶς εἴρηται, μεταβαίνειν καιρὸς ἐπὶ τὸν περὶ τῶν ἀποστημάτων λόγον. ὀνομάζουσι δ᾽ οὕτω τὰς διαθέσεις ἐκείνας, ἐν αἷς ἀλλήλων

dem immiffis, crafforum affectus protinus juvantur. Caeterum non exiguam facultatis portionem epota medicamenta infernis affectis partibus et in fedem indita fupernis difpenfant. Quin etiam in carnofas partes fpiritus flatulentus colligitur aliquando omnino fine dolore et diutius durat, praecipue juxta articulos, ubi mufculi ipfi tum nervofiores tum compactiores funt, in medio vero carnofiores ac rariores. Tales autem affectus, ut nofti, medicamentis ex pice, refina, terebinthina et adipe leonino et fevo taurino curavi. Prodeft autem et ipfis medicamentum, quod ex ftrigmento et calce paratur et quod ex fycomoro conftat, atque ut femel dicam infigniter tenuia, quibus remollientia fint permifta.

Cap. IX. Quoniam et de his abunde diximus, tempus eft, ut de abfceffibus difputemus. Sic autem has vocant affectiones, in quibus ab invicem partium corpora, quae

ἀφίσταται τὰ πρότερον ἀλλήλων ψαύοντα σώματα. χώραν οὖν ἀναγκαῖον ἐν τῷ μεταξὺ γενέσθαι κενὴν, ἥτις ἤτοι πνευματώδη τινὰ οὐσίαν ὑγρὰν ἢ ἐξ ἀμφοῖν σύνθετον περιέξει. μεθίστανται δ' εἰς τοῦτο καὶ τῶν φλεγμονῶν ἔνιαι, καὶ τῶν ἐρυσιπελατωδῶν δὲ καὶ φλεγμονωδῶν οὐκ ὀλίγαι. συνίσταται δὲ καὶ χωρὶς τούτων ἡ τῶν ἀποστημάτων διάθεσις ἐκ περιουσίας μέν τινων ὑγρῶν ἢ πνευμάτων ἀτμωδῶν, ἤτοι δ' ἐν αὐτοῖς τοῖς πάσχουσι σώμασιν ἐν μέσῳ γεννωμένων ἢ ἐξ ἑτέρων ἐπιῤῥεόντων, λόγῳ τῶν καλουμένων ἀποσκημμάτων. ὀνομάζουσι δ' οὕτω τὰς διαθέσεις ἐκείνας, ὅταν χυμοί τινες ἐνοχλοῦντες πρότερον ἑτέρῳ μορίῳ καταλιπόντες ἐκεῖνο εἰς ἕτερον μεταστῶσιν. ὅτῳ δ' ἂν τρόπῳ γένηται διάθεσις ἀποστήματος, ἡ μεταξὺ χώρα τῶν ἀφισταμένων σωμάτων πληροῦται τῶν ἐργαζομένων αὐτὴν ὑγρῶν. ἅπερ ἐνίοτε χρονίζοντα πολυειδῶς ἀλλοιώσεις ἴσχει. καὶ γὰρ λίθοις καὶ ψάμμοις καὶ ὀστράκοις τε καὶ ξύλοις, ἄνθραξί τε καὶ πηλῷ καὶ γλοιῷ καὶ ἀμόργῃ καὶ τρυγὶ καὶ πολλοῖς ἄλλοις τοιούτοις εὕρηται πολλάκις, ἐν ἀποστήμασιν ὅμοια περιεχόμενα σώματα.

prius mutuo ſeſe tangebant abſcedunt. Spatium igitur in medio vacuum ſieri neceſſe eſt, quod materiam aliquam aut ſlatuoſam aut humidam aut ex utraque miſtam continebit. Mutantur autem in abſceſſum et inflammationes quaedam et eryſipelatoſi phlegmonoſique tumores non pauci. Praeter haec autem et abſceſſus ex quorundam humorum aut ſpirituum vaporoſorum abundantia ſiunt, ſive in affectarum partium medio gignantur ſive aliunde, eorum modo quae apoſcemmata dicuntur. Sic enim eas affectiones vocant, quum humores loco quem prius infeſtabant relicto in alterum confluunt. Quocunque autem modo ſiat abſceſſus, id ſpatium quod abſcedentes partes interiacet, humoribus illum afficientibus impletur. Qui ſi diutius aliquando maneant, in varias formas mutantur. Etenim lapidibus, arenis, teſtis, lignis, carbonibus, luto, ſtrigmento, amurcae, feci, multisque id genus aliis ſimilia corpora ſaepe in abſceſſibus contenta deprehenduntur. Qui igitur ſub cute ſumma conſi-

τῶν μὲν οὖν ἐπιπολῆς ὑπὸ τῷ δέρματι συνισταμένων ἥ τε διάγνωσις ῥάστη καὶ ἡ ἴασις οὐ χαλεπή. διαγιγνώσκεται μὲν γὰρ ἑτοίμως τῇ τῆς ἁφῆς ἰδιότητι. θεραπεύεται δὲ διὰ τῶν ἔξωθεν ἐπιτιθεμένων φαρμάκων, διὸ οὐ δεόμεθα τῶν πινομένων, ὥσπερ ὅσα διὰ βάθους καὶ μάλιστα κατὰ σπλάγχνα συνίσταται. κατὰ μὲν οὖν τὰς διαγνώσεις εἴκει τοῖς ἐπερειδομένοις δακτύλοις τὰ ἐκπυΐσκοντα, τὴν ἀντιτυπίαν οὐκ ἔχοντα τῶν φλεγμαινόντων μορίων. τὴν διάγνωσιν οὖν παρέχει σαφῆ. ἰδιότης δὲ τῆς εἴξεως ἑτέρα μέν ἐστιν ἐπὶ λεπτοῖς ὑγροῖς, ἑτέρα δ᾽ ἐπὶ παχέσι, καθάπερ γε καὶ ἐπὶ γλίσχρῳ καὶ μυξώδει χυμῷ. πολλάκις δ᾽ ἡμῖν ὑποπίπτει μετὰ τάσεως πνευματώδους ἀφεστός τι μόριον, οὗ διαιρεθέντος εὑρέθη θρόμβος αἵματος, ὥστε καὶ ὅστις ἐθεάσατο δὶς ἢ τρίς που τοιαύτην διάθεσιν, ἐὰν φιλόπονος ᾖ καὶ μνήμων, ἱκανὸς ἔσται διαγινώσκειν ἐν τοῖς τοιούτοις ὄγκοις περιεχόμενον θρόμβον ἐκ τοῦ παραθέσθαι τῇ μνήμῃ τὴν ἰδιότητα τῆς τάσεως καὶ τῆς εἴξεως. ἴσως δ᾽ ἄμεινόν ἐστιν οὐκ ἰδιότητα λέγειν, ἀλλὰ ποσότητα τάσεώς τε καὶ εἴξεως. ἡ θεραπεία δὲ τῶν ἐπιπολῆς φλεγμονῶν ἀφι-

ſtunt, facillime dignoſcuntur nec aegre curantur. Nam tactus proprietate prompte innoteſcunt. Curantur vero medicamentis foris impoſitis, non quemadmodum qui in imo corpore maximeque in viſceribus conſiſtunt ea quae potantur deſiderantes. Quod igitur ad dignotiones attinet, prementibus digitis abſceſſus ſuppurantes, more obſeſſarum inflammatione partium non renituntur. Itaque manifeſtum ſui indicium praebent. Habitus autem proprietas alia quidem in tenuibus, alia vero in craſſis humoribus eſt, quemadmodum in glutinoſo et mucoſo humore. Saepe vero quae abſceſſit pars ſpiritu diſtenta nobis ſubjicitur, qua diviſa ſanguinis grumus invenitur. Itaque quisquis bis aut ter ejusmodi affectum viderit, ſi diligens ſit ac memor an grumus in hisce tumoribus contineatur, cognoſcere poterit revocando in memoriam tenſionis et ceſſionis proprietatem. At forte praeſtat non proprietatem, ſed quantitatem tenſionis et ceſſionis dicere. Curantur autem quae per ſumma ſunt inflammatio-

σταμένων ἀρχομένης μὲν ἔτι τῆς ἀποστάσεως διὰ τῆς ἀνωδύνου τε καὶ χαλαστικῆς ἀγωγῆς, ἤδη δὲ προηκούσης ἐπὶ τὴν πεπτικήν τε καὶ διαπυητικὴν ἰδίως ὀνομαζομένην μεταβαινόντων γίνεται· λέλεκται δὲ περὶ αὐτῆς, ὥσπερ οὖν καὶ περὶ τῶν ἄλλων τοιούτων, ἐν τῷ πέμπτῳ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως συντάγματι. ὕδατί τε οὖν ἐπὶ πλεῖον καταντλεῖν προσήκει, καταχέοντας ἔλαιον θερ[383]μὸν τοῦ φλεγμαίνοντος μορίου καὶ καταπλάττειν τῷ τῶν πυρῶν ἀλεύρῳ δι' ὕδατος καὶ ἐλαίου συμμέτρως ἑψοντας· θᾶττον γὰρ ἄγει πρὸς διαπύησιν τοῦτο τοῦ δι' ἄρτου καταπλάσματος. ἐκεῖνο μὲν γὰρ διαφορητικώτατόν ἐστιν, ὡς ἂν ἁλῶν τε καὶ ζύμης ἔχον, ὠπτημένον τε καλῶς. οὐδὲν δ' ὑπάρχει τούτων τῷ δι' ἀλεύρου πυρίνου. καὶ ὅταν γε τὴν ἀρχομένην ἐκπυΐσκεσθαι φλεγμονὴν θεραπεύων ἐλπίσῃς κωλῦσαι τὴν ἐκπύησιν, ἐπὶ πλεῖστον ἕψε τὸν ἄρτον, ἐλαίῳ δηλονότι καὶ ὕδατι φυράσας· πολλαπλάσιον δ' ἔστω τὸ ὕδωρ τοῦ ἐλαίου. μᾶλλον δ' ἔτι τούτου κωλύει τὴν ἐκπύησιν τὸ τῶν (216) κριθῶν ἄλευρον ὁμοίως σκευαζόμενον. τὸ δ' ἐν τῇ θεραπείᾳ ταύτῃ καταν-

nes, dum in abfceffum vertuntur, initio quidem abfceffionis dolorem fedando ac laxando, ea vero jam procedente ad maturandi et fuppurandi, fic enim proprie appellant, rationem tranfire oportet, de qua aliisque id genus in quinto de fimplicium medicamentorum facultatibus libro differuimus. Aqua igitur liberalius fovenda ac calente oleo perfundenda eft pars inflammata imponendumve cataplafma ex triticea farina in aqua et oleo temperate cocta, celerius enim ad fuppurationem ducit, quam quod ex pane cataplafma conficitur. Illud enim maxime difcutit, nimirum quod falem et fermentum recipiat, exacteque fit coctum. Nihil vero horum obtinet, quod ex triticea farina fit. Et quum initio fuppurationis inflammationis curationem moliris, fi fperes fuppurationem prohibere poffe, panem cum oleo et aqua permiftum plurimum incoques, aquae autem quam olei major fit portio. Farina autem hordeacea eodem modo parata fuppurationem magis impedit. In hac autem curatione conco-

τλούμενον ὕδωρ ἡψημένην ἐχέτω μετ᾽ αὐτοῦ ῥίζαν ἀλθαίας. εἰ δὲ τάσις εἴη τοῦ περὶ τὸ φλεγμαῖνον μόριον δέρματος ἰσχυρὰ, σχάζειν αὐτοῦ δεῖ πολλάκις ἐπιπολαίαις ἀμυχαῖς· καὶ μετὰ ταῦτα τὸ κρίθινον ἄλευρον ἕψοντας, ὡς εἴρηται, καταπλάττειν. ἐπειράθην δὲ πολλάκις ἐπιπολῆς τε καὶ πάνυ λεπτῶν ἀμυχῶν· ἔμπαλιν δὲ ταύταις διὰ βάθους ἑτέρων μεγάλων· καὶ τρίτων ἄλλων μεταξὺ τῶν εἰρημένων ἐν μήκει τε καὶ βάθει. αἱ μὲν οὖν ἐπιπολῆς ἀσθενῆ τὴν βοήθειαν εἶχον. αἱ δὲ βαθεῖαί τε καὶ μακραὶ πλεῖστον μὲν ἐκένουν τοῦ αἵματος, ὡς ἐγγὺς ἀφικνεῖσθαι λειποθυμίας· αὗται δὲ πάλιν ἰδίας ἐδέοντο θεραπείας, ὥσπερ τραύματα. τὰς διὰ μέσου δ᾽ αὐτῶν ἀμφοτέρων ἔξω τῶν εἰρημένων ἀτόπων καθεστηκυίας εὗρον ἀεί· καὶ διὰ τοῦτο χρῆσθαι μᾶλλον εἱλόμην αὐταῖς πρὸ τῶν ἄλλων. ἐφ᾽ ὧν μέν τοι δυσεκπύητός τε καὶ δυσδιαφόρητος ὁ ὄγκος ἐστὶ, τοὺς ἐσφηνωμένους χυμοὺς ἡγητέον εἶναι παχυτέρους τε καὶ γλισχροτέρους. ἐν δὲ ταῖς τοιαύταις διαθέσεσι μόναις ἐπιτήδειός ἐστιν ἡ διὰ τῶν βαθέων ἀμυχῶν ἴασις, ἐπιτήδειον δὲ καὶ τὸ διὰ τῶν ἡψημένων ἰσχάδων κατάπλασμα.

cta fit in aqua, qua locus fovetur althaeae radix. Si vero cutis partis inflammatae vehementer diftendatur, hanc frequentibus incifuris per fumma fcarificare oportebit, poftea hordeaceam farinam modo declarato coctam imponere. Tentavi autem faepe in fuperficie leves omnino incifuras facere, alias vero his contrarias altas magnasque et alias tertias inter has longitudine et altitudine medias. Quae igitur in fumma cute fiebant, exiguam opem ferebant. Altae vero ac longae plurimum fanguinis fundebant, adeo ut animi fere deliquium adferrent, atque hae rurfus propriam curationem uti vulnera defiderabant. Intermedias autem a dictis incommodis femper liberas effe deprehendi, quocirca his potius quam aliis utendum effe duxi. In quibus vero tumor aegre ad fuppurationem ducitur, aegreque difcutitur infartos humores craffiores effe ac tenaciores credendum eft. Ejusmodi autem affectus foli altis fcarificationibus recte curari poffunt, quibus et cataplafma quod ex decoctis caricis conftat conve-

χρὴ δ᾽ οὐκ αὐτὰς ἰσχάδας λαμβάνειν, ἀλλὰ τὸ ὕδωρ ἐν ᾧ διατάκησαν ἡψημέναι. προσήκει δὲ δηλονότι γλυκείας τε καὶ λιπαρὰς τὰς ἰσχάδας εἶναι, ὡς ἐν αὐταῖς ἔχειν ὑγρότητα παραπλησίαν μέλιτι· καὶ εἰ τοιαύτας λαβὼν ἑψήσειας ἄχρι πλείστου, τὸ ἀφέψημα μέλιτι λεπτῷ κατὰ τὴν σύστασιν ἔσται παραπλήσιον. τούτῳ τοιγαροῦν τῷ ὕδατι ποτὲ μὲν κρίθινον ἄλευρον ἀναδεύειν προσήκει, ποτὲ δ᾽ ἄρτον συγκόμιστον· ὀνομάζουσι δ᾽ οὕτω τὸν μέσον τοῦ τε ἀκριβῶς καθαροῦ καὶ τοῦ πιτυρίτου καλουμένου. προσαγορεύουσι δ᾽ ἔνιοι τὸν τοιοῦτον ἄρτον αὐτόπυρον· ἐπειδὴ τοῦ μὲν καθαροῦ τὸ ἄλευρον, οὐχ οἷόν πέρ ἐστι τῇ φύσει, τοιοῦτον εἰς τὴν ἀρτοποιΐαν λαμβάνουσιν, ἀλλὰ προδιαττῶντες ἀποκρίνουσι τὸ πίτυρον. ἔμπαλιν δὲ τοῦ πιτυρίτου προαφαιροῦσι τὸ καθαρώτατον. ὁ δ᾽ αὐτόπυρος ἄρτος, οἷον περιέχει τὸ ἄλευρον, ὁ πυρὸς αὐτοφυῶς τοιοῦτον φυλάττει. χρὴ δὲ καὶ τὸν πυρὸν αὐτὸν, ἐξ οὗπερ τὸ ἄλευρον λαμβάνεται, τῶν εὐγενῶν ὀνομαζομένων εἶναι. τινὲς μὲν γὰρ πυροὶ πλεῖστον ἐν ἑαυτοῖς ἔχουσι τὸ πίτυρον, οὓς δὴ καὶ ἀγενεῖς ὀνομάζουσιν· ἔνιοι δὲ τὴν σεμίδαλιν, οὓς, ὡς ἔφην, εὐγενεῖς προσαγορεύουσιν. οὔκουν χρὴ

nit. Non autem ipfae caricae, fed aqua in qua coquendo contabuerint fumenda eft. Dulces autem ac pingues fint caricae, ut earum humor melli fit fimilis, quod fi plurimum has concoxeris, tenuis mellis craffitudinem decoctum repraefentabit. Huic igitur aquae mifcenda eft interdum hordeacea farina, interdum vero panis fyncomiftus, fic enim dicitur medius inter exquifite purum et quem furfuraceum appellant, fyncomiftum nonnulli hunc panem autopyrum dicunt, quoniam in puro quidem farinam non qualis natura eft, fed repurgatam furfure in panificium affumunt. Contra in furfuraceo puriffima farina eximitur. Cibarius autem panis qualem triticum natura farinam habet, talem fervat. Oportet autem triticum ex quo farina fumitur ex iis effe, quae generofa dicuntur. Quoddam enim plurimum in fe furfuris obtinet, idque ignobile dicitur: aliud vero fimilaginis, quod ut dixi generofum vocant. Triticum igitur, ex quo utilis ad

πιτυρίαν εἶναι τὸν πυρὸν, ἐξ οὗπερ χρήσιμον εἰς τὸ κατάπλασμα λαμβάνομεν ἄλευρον, ἀλλ' ὡς εἴρηται τῶν πολλὴν ἐχόντων σεμίδαλιν. εἰ δ' ἐξ ἀγενοῦς σίτου λαμβάνοις τὸ ἄλευρον, ἀποκρίνειν αὐτοῦ χρὴ μέρος τι τοῦ πιτύρου καὶ οὕτω τὸν μέσον ἄρτον ἐργάζεσθαι· τοῦ τοιούτου τοίνυν ἄρτου τὸ μέσον καὶ ἁπαλὸν εἰς τὰ καταπλάσματα μιγνύναι, ὅταν ὡς ἔφην ἐν τῷ μέσῳ κατὰ δύναμιν ἀλεύρου κριθίνου τε καὶ πυρίνου βουληθῇς ποιῆσαι τὸ κατάπλασμα. τὸ μὲν γὰρ πύρινον ἄλευρον ἐκπυητικώτατόν ἐστι καὶ πεπτικώτατον· τὸ δὲ κρίθινον διαφορητικώτατον. ὁ δ' εἰρημένος ἄρτος ἐν τῷ μεταξὺ τούτων, ὥσπερ γε καὶ τὸ ἄλευρον αὐτοῦ τῶν εἰρημένων ἀλεύρων πυρίνων μεταξύ. πρὸς ταῦτ' οὖν ἀποβλέπων καὶ τῷ τῶν ἰσχάδων ἀφεψήματι μίγνυε, ὅ τι [384] περ ἂν ἁρμόττειν σοι δοκῇ τῶν ἀλεύρων ἢ τῶν ἄρτων. εἰ δὲ διαφοροῖτο μὲν ὁ ὄγκος, ἐλλιπέστερον δ' ἢ προσῆκε, συνέψειν χρὴ ταῖς ἰσχάσιν ὕσσωπον ἢ ὀρίγανον. εἰ δὲ ἰσχυρότερόν ποτε ξηρᾶναι βουληθείης τὸν ὄγκον, ἅλας ἐπιβάλλειν τῷ ἀφεψήματι· κᾄπειθ' οὕτως ἀναδεύσαντας αὐτῷ τὸ τῶν κριθῶν ἄλευρον, ἀφαιρήσαντας δὲ καὶ τούτων τὸ πιτυρῶδες πᾶν,

cataplafma farina fumenda eft, furfuraceum non fit, fed ut diximus fimilaginofum. Quod fi ex ignobili tritico farina defumatur, nonnihil furfuris detrahendum erit, atque ita panis medius conficietur, cujus pars media ac tenera ad cataplafma mifcetur, quando ut dixi facultate medium inter hordeaceam et triticeam farinam cataplafma temperare in animo fuerit. Nam triticea farina pus maxime movet ac concoctionem juvat, hordeacea maxime difcutit. Commemoratus vero panis mediam fortitur facultatem, quemadmodum ejus farina inter antedictas farinas triticeas eft media. Ad hoc igitur refpiciens caricatum decocto mifceas, quod commodius tibi videbitur five ex farinis five ex panibus. Quod fi tumor difcutiatur quidem, fed minus quam par fit, cum caricis incoquendum hyffopum eft aut origanum. Quando autem valentius tumorem exficcare voles decocto fal adjiciendus eft, deinde hordeacea farina ei infpergenda, ex qua ubi quod furfuraceum eft totum excufferis, diutius coctum cataplafma

οὕτω καταπλάττειν ἐπὶ πλέον ἕψοντας. ἐπί γε μὴν τῶν δυσδιαφορήτων ὄγκων εὐλαβητέον ἐστὶ τὸ λείψανον αὐτῶν γενέσθαι σκιῤῥῶδες. ὥστε καὶ προσέχειν χρὴ τὸν νοῦν ἀκριβῶς ἐφ' ἑκάστης λύσεως, ἐφ' ὅ τι μεθίσταται τῶν θεραπευομένων ὄγκων ἕκαστος· ἡ γὰρ διὰ τῶν ξηραινόντων ἰσχυρῶς ἀγωγὴ σκιῤῥῶδες αὐτῶν τὸ κατάλοιπον ἐργάζεται· γνώσῃ δὲ τοῦτο καθ' ἑκάστην λύσιν, ἁπτόμενος τοῦ πεπονθότος μορίου καὶ παραβάλλων τῷ πρόσθεν ὄντι τὸ νῦν φαινόμενον. ἐὰν οὖν ποτε τοιαύτην ὑποψίαν ἔχῃς, ἐναφεψεῖν τῷ ὕδατι σικύου ἀγρίου ῥίζαν ἢ βρυωνίας ἢ ἀσάρου, πολλάκις μὲν καὶ αὐτῶν μόνων, ἐνίοτε δὲ καὶ τῶν λιπαρῶν ἰσχάδων ἐπεμβάλλων· εἶτα τῷ ὕδατι μιγνύειν τὸ ἄλευρον, ἀναμιγνύντα τι καὶ στέατος αὐτῷ χηνὸς μάλιστα ἢ ἀλεκτορίδος· εἰ δ' οὐκ ἔχεις ταῦτα, τοῦ γε τῶν συῶν. καὶ αὗται δ' αἱ ῥίζαι τῶν προειρημένων βοτανῶν καὶ πρὸς αὐταῖς τῆς ἀλθαίας μετὰ τὴν σύμμετρον ἀφέψησιν λειούμεναι σὺν ἄρτῳ τε καὶ στέατι τοὺς τοιούτους ὄγκους διαφοροῦσιν. ἰσχυροτέρα δὲ τούτων ἐστὶν ἡ τοῦ δρακοντίου· καὶ εἴποτε βουληθείης χρῆσθαι αὐτῇ λιπιομεριστέρᾳ

Impones. At in tumoribus qui facile non discutiuntur timendum est, ne reliquiae in scirrhum mutentur. Quocirca diligenter animadvertendum est, quoties solvitur cataplasma, in quod omnis qui curatur tumor transeat, curandi enim ratio quae vehementer exsiccantibus obitur, scirrhosum affectum relinquit, id autem in quaque solutione deprehendes, si affectam partem tractando praesentem ejus statum cum praecedente comparaveris. Si igitur aliquando hanc conjecturam habueris, in aqua cucumeris agrestis radicem aut bryoniae aut asari incoques, saepe quidem has solas, nonnunquam vero et adjectis pinguibus caricis, deinde farina cum aqua miscenda est, cui et adipis maxime anserini aut gallinacei nonnihil adjicies, quorum si copia non sit, suillus est addendus. Dictarum autem herbarum et cum his althaeae radices post mediocrem coctionem cum pane et adipe contritae ejusmodi tumores discutiunt. His vero valentior est dracunculi radix, cum qua si quando uti voles, quum

τε πολὺ τῶν εἰρημένων οὖσῃ καὶ διαφορητικωτέρᾳ, μίγνυε πάντως τὸ στέαρ· εἰ μὴ γὰρ ὑγραίνοις τε καὶ μαλάττοις τοὺς σκιῤῥουμένους ὄγκους, ἀλλὰ διαφοροίης μόνον ἰσχυροτέροις φαρμάκοις, ἐν μὲν ταῖς πρώταις ἡμέραις ἀξιολόγως αὐτοὺς καθαιρήσεις, ἅμα τῷ σκληρύνειν τὸ καταλειπόμενον· αὐτὸ δὲ τοῦτο σκληρυνθὲν ἔσται δύσλυτον. ἄμεινον οὖν, ὡς ἔφην, τοῖς διαφοροῦσιν ἰσχυρῶς φαρμάκοις ἀναμιγνύναι τὰ μαλάττοντα, τὴν εἰς σκίῤῥον μετάπτωσιν αὐτῶν εὐλαβούμενον· καὶ αὐτῶν δὲ τῶν σκιῤῥουμένων ἤδη τῆς θεραπείας τὸν τρόπον ἔμπροσθεν ἤκουσας. αὖθις οὖν ἐπὶ τοὺς ἐκπυϊσκομένους ὄγκους ἴωμεν· οὓς ὅταν ἀπογνῷς διαφορῆσαι, τοῖς διὰ τοῦ πυρίνου ἀλεύρου καταπλάσμασι χρῶ. συλλαμβάνουσι γὰρ ἱκανῶς τῷ τάχει τῆς ἐκπυήσεως. ἔπειτα στομώσας ἐὰν μὲν ἀκριβῶς ᾖ τὰ πέριξ τῆς τομῆς ἀφλέγμαντα, τοῖς ἐμπλάστοις φαρμάκοις θεράπευε. ξηραντικὴ δ᾽ αὐτῶν ἡ δύναμις καὶ ἄδηκτος ἔστω, μὴ διὰ τῶν στυφόντων συγκειμένη φαρμάκων, ἀλλ᾽ ἤτοι τῶν ἀλύπως διαφορούντων μόνον ἢ καί τι βραχὺ στύψεως ἐχόντων. ἐχρησάμην δ᾽ ἐγὼ πολλάκις ἐπὶ τῶν τοιούτων τῷ διὰ

majore partium tenuitate et difcutiendi facultate, quam quas modo commemoravimus polleat, admifcendus omnino adeps eft, nifi enim humectaveris ac emollieris, fed tantum vehementioribus medicamentis fcirrhofos tumores difcutere ftatueris, primis quidem diebus hos infigniter minues, fimul id quod relinquitur indurans, quod ubi in duritiem coactum fuerit, aegre difcutietur. Itaque commodius, ut diximus, valenter difcutientibus emollientia mifcebimus, quum in fcirrhum tumores mutari metuimus, cujus curandi ratio fupra audita eft. Rurfus igitur ad fuppurantes tumores veniamus, quos ubi difcutere poffe parum fperaveris, cataplafmatis ex triticea farina utere. Nam ad celeritatem fuppurationis plurimum confert. Deinde plaga facta, fi liberae omnino fint ab inflammatione partes plagae vicinae, medicamentis emplaftis obeunda curatio eft. Ea autem citra morfum exficcantis fint facultatis ex hisque temperentur quae minime adftringant, fed aut folum blande difcutiant aut leviter ad-

τῆς ζύμης καὶ τῶν κεκαυμένων ὀστρέων. εἰ δέ τι τῶν πέριξ τῆς τομῆς φλεγμαίνοι, τῷ διὰ τῆς χαλκίτεως ἐλαίῳ τήξας, ὅταν ἀτρέμα ψυχθῇ, κατακεράσας εἰς θυείαν, μαλάττων τε ταῖς χερσὶ καὶ οἶνον παραχέων, ὡς οἶσθα. πολυχρηστότατον δ' ἐστὶ τοῦτό μοι τὸ φάρμακον, ὡς ἐν τοῖς περὶ συνθέσεως φαρμάκων ὑπομνήμασι λέλεκται. γενήσεται δ' ἂν θεὸς ἐθέλῃ καὶ περὶ τῶν κατὰ τὰ μόρια παθῶν πραγματεία· καθ' ἣν τάς τε δυνάμεις ἁπάντων τῶν συνήθων μοι φαρμάκων ἀκριβῶς ἐξηγήσασθαι πειράσομαι καὶ τὴν ἐπιτήδειον ὑφηγήσασθαι χρῆσιν. ἀλλὰ σύ γε τούτων ἤδη τῶν φαρμάκων, ὧν ἐμνημόνευσα κατὰ τὸ βιβλίον τοῦτο, τὰς συμμετρίας τε καὶ σκευασίας ἔχεις παρ' ἡμῶν λαβών. ὅταν γε μὴν ἐπὶ πλέον ἐκτακῇ τὸ δέρμα κατὰ τὰς ἐκπυήσεις, ὡς ῥακῶδες γενέσθαι, δυσκόλλητον ἀποτελεῖται τοῖς ὑποκειμένοις σώμασιν· [385] ὥστ' ἀναγκαῖον εἶναι, τῇ καλουμένῃ κατὰ πλάτος ἀγωγῇ θεραπεύεσθαι τὸ ἕλκος.

ſtringant. In ejusmodi autem affectibus medicamento quod ex fermento et crematis conchis temperatur ego perſaepe uſus ſum. Quod ſi pars aliqua circa plagam inflammatione ſit obſeſſa, *medicamentum* quod ex chalcite conſtat oleo liquatum, ubi ſenſim refrixerit, et in pila contemperatum manibusque ſubactum et vino, ut noſti, perfuſum commode imponitur. Hoc autem in plurimis affectibus utor, ut in libris de Compoſitione medicamentorum proditum eſt. Opus autem de affectibus partium corporis ſi deo placet conſcribemus, in quo medicamentorum omnium quibus uti ſolemus facultates diligenter exponere atque idoneum uſum explicare conabimur. Sed tu jam horum medicamentorum de quibus in hoc opere memini miſcendorum ac temperandorum rationem ex me didiciſti. Quum vero cutis in ſuppurationibus amplius extabuerit, ita ut attritis veſtium fragmentis ſimilis reddatur, haud facile ſubjectis corporibus coaleſcit, itaque emiſſario largiore facto ulcus neceſſario curandum eſt.

Κεφ. ι'. Ὅταν δ' ἐπὶ πλέον ἀκόλ(217)λητον ᾖ τὸ δέρμα τοῖς ὑποκειμένοις σώμασι, κόλπον ὀνομάζουσι τὸ τοιοῦτον πάθος· ἐφεξῆς δ' ἀναμνήσω σε καὶ τῆς τούτου θεραπείας, ἥν ἐθεάσω με πολλάκις ἐπὶ πολλῶν ποιησάμενον. οὔσης οὖν τοιαύτης διαθέσεως, βέλτιον μὲν αὐλίσκον εὐθύτρητον ἢ ἐκ χαλκοῦ πεποιημένον ἢ ἐκ κέρατος ἡτοιμάσθαι σοι· μὴ παρόντος δ' ἐκείνου, τῶν καλουμένων πυουλκῶν ὅστις ἂν εὐρύτατον ἔχοι τρῆμα· καὶ τό γε διὰ χάρτου κεκαυμένου συντιθέμενον ἡμέτερον φάρμακον, οἶδάς με πολλάκις ὀλίγον πολλῷ ῥοδίνῳ μιγνύντα, καὶ διὰ τοῦ τοιούτου πυουλκοῦ τοῖς κόλποις ἐνιέντα· κἄπειτα μοτῷ τιλτῷ μύοντα τὸ στόμιον. ὅσα δ' ἐμπλαστὰ φάρμακα τήκοντες ῥοδίνῳ τοῖς τοιούτοις ἐνίεμεν, οὐ διεξέρχεται τὸν πυουλκόν· ἀλλ' ἐπὶ τούτων κύστιν προσήκει λαβόντα χοιρείαν, προστιθέναι τὸν εὐθύτρητον αὐλίσκον. εἶναι δὲ χρὴ τὰ τηκόμενα φάρμακα δριμύτερα τῶν ἐμμότων ὀνομαζομένων· ὁποῖα ταῦτ' ἐστὶ τὰ συνήθη πᾶσι, χλωρὰ τῇ χροιᾷ. προσήκει μὲν γὰρ αὐτὰ τοῦ ῥοδίνου κατὰ τὴν τῆξιν οὐκ ὀλίγον ἔχειν, ὥστ' ἐνίεσθαι τῷ κόλπῳ δύνασθαι. καταλύεται δὲ τῶν ἐμμότων ἡ δύναμις ἐν ταῖς τοιαύ-

Cap. X. At quum amplius fubjectis corporibus coalefcere cutis non poteft, ejusmodi affectus finus appellatur, cujus curandi rationem, qua me faepe in multis uti vidifti, deinceps memoriae tuae fubjiciam. In hoc igitur affectu fatius eft fiftulam aut aeneam aut corneam recto ductu foratam ad manum effe, aut fi hujus facultas non fit, aliquem pyulcum vocatum, qui latiffimum habeat foramen, per quod medicamenti noftri ex combufta charta temperati exiguam portionem cum largo rofaceo miftam in finus immittere faepe me vidifti, deinde eorum os concerpto linamento claudere. Emplaftra vero rofaceo liquata fi in hos injicere tentes, pyulcum non permeant, fed in his fuillae veficae lati foraminis fiftula adjungenda eft. Quae vero liquantur medicamenta his quae emmota dicuntur acriora effe debent, qualia funt apud omnes in ufu colore viridia. Haec autem cum largo oleo liquare oportet, ut indi in finum poffint. In hifce

Ed. Chart. X. [385.] Ed. Baf. IV. (217.)

ταις μίξεσιν. ὅσα τοίνυν ἐμπλαστὰ φάρμακα τελέως ὄντα, καθάπερ τό τε τοῦ Μαχαιρίωνος καὶ τὸ τοῦ Ἐπιγόνου καὶ τὸ προσαγορευόμενον Ἶσις εἰς τὴν τῶν ἐμμότων χρῆσιν ἀγόμενα κηρωτῆς μιγνυμένης δεῖται, ταῦτα γὰρ ἐπιτήδεια τοῖς κόλποις ἐστί. δι' ὃ γὰρ αὐτοῖς ἡ κηρωτὴ μίγνυται, διὰ τοῦτο καὶ νῦν ἐστιν ἐπιτηδεία. μίγνυται δὲ διότι δακνώδη ταῖς δυνάμεσίν ἐστιν, εἰ τακείη μόνα αὐτὰ καθ' αὑτὰ μὴ μιχθείσης αὐτοῖς τῆς κηρωτῆς. ἀλλ' ὅταν γε τὸ μὲν ἔλαιον ἢ ῥόδινον πολὺ, τὸ δ' ἐν αὐτῷ τηκόμενον φάρμακον ὀλίγον οὐκ ἔτι μένει δριμέα. συμμέτρως δ' ὑποσαρκωθέντος τοῦ κόλπου, τῶν κολλητικῶν τι φαρμάκων ἐπιθήσεις, ὡς εἰ καὶ πρόσφατον ἔναιμον ἐθεράπευες τραῦμα. πολλὰ δὲ τοιαῦτά ἐστι· τὰ μὲν δι' ἀσφάλτου σκευαζόμενα, καὶ καλοῦσιν οὐκ οἶδ' ὅπως αὐτὰ βαρβάρους ἐμπλάστρους· ἕτερα δὲ φάρμακα κιῤῥὰ ἢ φαιὰ τὰ διὰ λιθαργύρου τε καὶ ἰοῦ μέχρι πλείονος ἑψηθέντα. γίνεται γὰρ οὕτως ὁ ἰὸς κιῤῥὸς, ὁ δ' ἐπ' ὀλίγον ἑψηθεὶς τὰς μηλίνας ὀνομαζομένας ἐμπλάστρους ἐργάζεται. γινώσκεις δ'

autem misturis emmotorum vis resolvitur. Medicamenta igitur exquisite emplastia, quale est Machaerionis et Epigoni et quod Isis nuncupatur, quum in usum emmotorum afferuntur, cerati admistione egent. Haec enim in sinubus opportuna sunt. Nam ideo nunc sunt commoda, quod admistum habeant ceratum. Miscentur autem quoniam si per se sola sine cerato liquarentur viribus mordacia essent. Quum autem rosaceum oleum multum sit et quod in oleo liquatur medicamentum paucum, nullam amplius acrimoniam retinet. Ubi vero sinus mediocriter carne repletus est, aliquod ex glutinantibus medicamentis adhibere oportet, perinde ac si recens vulnus et cruentum curares. Multa autem ejusmodi medicamenta inveniuntur, alia quidem ex bitumine confecta vocanturque nescio qua ratione emplastra barbara, alia vero quia fulvi et fusci sunt coloris cirrha et phaca nominantur et ex argenti spuma et aerugine liberalius decocta. Ad hunc enim modum aerugo fulvescit, quae si pauxillum concoquatur, lutea, ut vocant, reddit emplastra. Minime

ὅτι πάντα τὰ μεταλλικὰ φάρμακα λεπτομερέστερά τε καὶ ξηραντικώτερα γίνεται μέχρι πλείονος ἑψόμενα. τοῖς γε μὴν ἐν τῷ παραυτίκα κιῤῥοῖς φαρμάκοις ἀποτεθεῖσιν ἐπίπαγός τις ἔξωθεν ἐπιπήγνυται φαιὸς, ὑφ᾽ ᾧ τὸ βάθος τοῦ φαρμάκου κιῤῥότερον ἢ ἐξ ἀρχῆς φαίνεται. καὶ διὰ τοῦτο τινὲς μὲν διχρώμους ὀνομάζουσι τὰς τοιαύτας ἐμπλάστρους, τινὲς δὲ διπροσώπους. ὅσῳ δ᾽ ἂν ὦσι λεπτομερέστεραί τε καὶ ξηραντικώτεραι, τοσούτῳ μᾶλλον ἐνεργήσουσιν ἐπὶ τὸν κόλπον. εἰς βάθος γὰρ αὐτῶν χρὴ διϊκνεῖσθαι τὴν δύναμιν, εἰ τοῦ προκειμένου σκοποῦ τυγχάνειν μέλλοιεν. αἱ δὲ τὰ πρόσφατα καὶ ἔναιμα τραύματα κολλῶσαι, κἂν ἧττον τούτων ξηραίνωσι, κολλῶσι τὰ χείλη τῶν τραυμάτων. ἐὰν μὲν γὰρ εἴη βραχέα τε καὶ ἀβαθῆ, δι᾽ αὐτὸ τοῦτο ῥᾷόν τε καὶ θᾶττον ἀνύουσι τὸ δέον, ἐὰν δὲ εἰς βάθος διήκῃ τὸ τραῦμα τὸ πρόσφατον, καὶ ῥαφαῖς καὶ ἀγκτῆρσιν εἰώθαμεν αὐτὰ συνάγειν. οἱ μὲν οὖν κόλποι πάντες οὐχ ἁπλαῖ διαιρέσεις εἰσὶν, ἀλλ᾽ ἀναδέδαρται συχνὸν ἐν αὐτοῖς ἄλλο[386]τε κατ᾽ ἄλλο μέρος, ὅπερ οὐδ᾽ αὐτὸ χρὴ λανθάνειν σε. πρὸς μὲν γὰρ τὴν ἄνω χώραν ἀνατε-

vero te latet metallica omnia medicamenta majori partium tenuitate ac ficcandi vi pollere, fi plufculum incoquantur. Fulva vero medicamenta fimul atque repofita fuerint et recondita, fufcam quandam cruftam foris contrahunt, fub qua in profundo medicamentum fulvius quam ab initio effet confpicitur. Proinde nonnulli dichroma, alii diprofopa, *quafi bicolora ac biformia* ejusmodi emplaftra vocant. Quo autem majori partium tenuitate et ficcandi facultate praedita fuerint, eo efficacius in finus injiciuntur. Horum enim vis in altum ferri debet, fi propofitum fcopum affequi velimus. Quae vero recentia et cruenta vulnera glutinant, tametfi his minus deficcant, labra tamen vulnerum, fi quidem parva funt minimeque profunda, glutinant. Quocirca facilius ac celerius quod agendum eft perficiunt. Quod fi recens vulnus profundum fit, futuris ac fibulis ipfius oras committere folemus. Itaque non omnis finus fimplex divifio eft, fed frequenter alia atque alia parte laceratus eft, quod te latere

Ed. Chart. X. [386.] Ed. Baf. IV. (217.)

ταμείου τοῦ κόλπου, ῥᾳδίως ἐκρεῖ διὰ τοῦ στόματος ὁ ἰχώρ. κατάντους δ' ὄντος αὐτοῦ, μένων ἔνδον ἀναβιβρώσκει τι τῶν συνεχῶν. ἐπὶ μὲν δὴ τῶν τοιούτων κόλπων, εἰ μὴ πρότερον εἰς ὑπόῤῥυσίν τινα ποιήσῃς τομὴν, οὐδὲν ἀνύσεις οὔτ' ἐν τῷ σαρκοῦν αὐτοὺς οὔτ' ἐν τῷ κολλᾷν. ἐπὶ δὲ τῶν ἄλλων οὐ δεήσει διαιρέσεως, ἐάν γε μόνον φυλάττῃς τὸ προσῆκον σχῆμα τῷ πεπονθότι μορίῳ, δι' ὃ σχῆμα δυνήσῃ ποτὲ καὶ τὸν ἀνάῤῥοπον κόλπον ἐργάσασθαι κατάῤῥοπον καὶ τὸν κατάῤῥοπον ἀνάῤῥοπον. εἶδες γοῦν ἐμέ ποτε τὸν ἐν τῷ πήχει κόλπον, οὗ τὸ στόμιον ἦν ἐγγὺς τοῦ ἀγκῶνος, ἀναῤῥόπῳ σχήματι θεραπεύσαντα, χωρὶς ἀντιδιαιρέσεως. καὶ κατὰ μηρὸν δὲ ὁμοίως τοῦ καταῤῥόπου κόλπου, πρὸς μὲν τῷ γόνατι τὸ πέρας ἔχοντος, ὑψηλὸν δὲ τὸ στόμα τῆς μέσης κατὰ τὸν μηρὸν χώρας ἀνωτέρω, χωρὶς ἀντιδιαιρέσεως ἐθεάσω τὴν θεραπείαν γενομένην, ὑποτιθέντος μου κατὰ τὴν ἰγνύαν ὑπαυχένιον μαλακὸν ὡς ταπεινοτέραν ἔχειν τὴν θέσιν τὸν βουβῶνα τοῦ γόνατος. ἤρκεσε δὲ καὶ ἐπὶ τούτου τοῦ κόλπου καὶ ἑτέρων μειζόνων μελίκρατον μόνον ἐνεθὲν, ἐπιτήδειον εἰς κόλλησιν παρασχεῖν

non debet. Quum igitur furfum finus tendit, facile per ejus os fanies effluit. Quum vero deorfum vergit, intus retenta contiguas partes erodit. In quo quidem finu nifi prius facta ad effluxionem fectione nihil profeceris, five carnem generare five glutinare velis. In alio vero incifione nihil erit opus, modo *fitus* commodam affectae parti figuram ferves, qua figura finus qui furfum vergit, ut deorfum declinet, et qui deorfum declinat furfum vergat efficere poffis. Vidifti quidem aliquando me finum in cubito, cujus os prope flexum erat et fitus furfum fpectabat, citra ullam ex adverfo plagam perfanaffe. Et in coxa itidem finum deorfum vergentem et ad genu terminatum, cujus os fublime fupra femoris medium effet, fine ulla ex adverfa parte divifione ad fanitatem perduxiffe, fubftrato popliti molli pulvino, quo demiffius inguen quam genu effet. Hujus porro finus atque aliorum majorum, quamlibet profunditatem ad conglutinationem aptam fola reddere poteft infufa mulfa.

ἅπαν τὸ βάθος αὐτοῦ. τινὲς μὲν δὴ κονίαν στακτὴν προσενίασιν, ἐξελέγχοντες ἑαυτοὺς ἐφ᾽ οἷς ἐνίεσαν ἔμπροσθεν φαρμάκοις ὑποσαρκοῦντες τὸν κόλπον. οὐ γάρ οἷόν τε σάρκα νεωτέραν ἐπιτραφῆναι τῇ πρότερον οὔσῃ ῥύπου περικειμένου. πῶς οὖν αὐτάρκως σεσαρκωμένου τοῦ κόλπου τὸ κολλητικὸν ἐπιφέρουσι φάρμακον, εἴπερ ὡς ἱκανῶς ὄντα ῥυπαρὸν ἐπιχειροῦσι διαῤῥύπτειν τῇ κονίᾳ τῆς καθαρᾶς σαρκὸς, οὐδὲ τὸ δριμὺ μελίκρατον φερούσης; ἐπὶ ταύτης μὲν οὖν ἀρκεῖ τὸ τοιοῦτον ἐνιέμενον, ὡς ἂν καὶ πίνοι τις ἡδέως αὐτό. καὶ μετά γε τὸ μελίκρατον ἐφεξῆς εἴωθα, πρὶν ἐπιθεῖναι τὸ κολλητικὸν φάρμακον, ἐκκλύζειν τὸν κόλπον ποτὲ μὲν οἴνῳ μόνῳ, ποτὲ δὲ οἰνομέλιτι. πρὸς μὲν γὰρ τὸ περιῤῥῦψαί τε καὶ ἀποκαθῆραι τοὺς περὶ αὐτὸν ἰχῶρας ἄμεινον τὸ μελίκρατον· εἰς δὲ τὴν μέλλουσαν κόλλησιν ὁ οἶνος. ἔστω δὲ μέσος γλυκύτητός τε καὶ στύψεως. καὶ μέντοι καὶ μετὰ τὴν ἐπίθεσιν τοῦ κολλήσοντος φαρμάκου σπόγγος καινὸς ἐξ οἰνομέλιτος μόνος περιβαλλέσθω μαλακὸς ὡς ἔνι μάλιστα· καὶ ἡ ἐπίδεσις ἀπὸ μὲν τοῦ πυθμένος ἀρχέσθω τοῦ κόλπου, τελευτάτω δὲ ἐπὶ τὸ στόμιον. αἱ δὲ

Sunt qui etiam lixivium infundant, fuam ipforum infcitiam ex his quae prius ad carnem in finu generandam medicamentis injiciebant prodentes. Nova enim caro priori adnafci non poteft, fi fordes locum obfederit. Quo modo igitur abunde repleto carne finu glutinans adhibent medicamentum, fi tanquam vehementer fordidum lixivio detergere tentent, quum pura caro ne mulfam quidem acrem ferre poffit? Huic enim fatisfacit ea quae bibi jucunde poffit. Poft mulfae ufum finum deinceps nunc quidem puro vino, nunc vero mulfo ante glutinantis medicamenti impofitionem eluere confuevi. Itaque ad detergendam expurgandamque ejus faniem utilior mulfa, ad glutinandum vero praeftantius vinum eft. Id autem medium fit inter dulce et aftringens. Quin etiam poft glutinantis medicamenti impofitionem fola fpongia nova ex mulfo circumponatur quam fieri poteft mollifsima, et colligatio a finus profundo quidem incipiat et ejus ore finiat. Fafciarum vero fpirae finus profundum

περιβολαὶ τῶν ὀθονίων σφιγγέτωσαν μὲν ἀνωδύνως τὸν πυθμένα τοῦ κόλπου, κατὰ βραχὺ δ᾽ ἐκλυέσθω ἄχρι τοῦ στομίου· καὶ τοῦτο δ᾽ αὐτὸ χαλαρὰν ἐπίδεσιν ἐχέτω τοῦ φαρμάκου, τῆς περιβαλλομένης ἔξωθεν ἐμπλάστρου τῷ κόλπῳ διεψαλισμένης κατὰ τὸ τοῦ κόλπου στόμιον, ὡς ἐκρεῖν δύνασθαι εἴ τις ἰχώρ. ἐκκρίνοιτο δὲ διὰ τοῦ κόλπου, μικροῦ τινος ἄλλου κατ᾽ αὐτοῦ ἐπιτιθεμένου ἐμπλάστρου μέχρι τῆς ἐπιλύσεως, ἣν διὰ τρίτης ποιησάμενος ἀφαιρήσεις αὐτὸ τοῦτο τὸ οἷον ἐπίθεμα περικείμενον, ἐάσας τὸ καθόλου τοῦ κόλπου περιβεβλημένον φάρμακον. ἔστω δέ σοι διάγνωσις, εἰ κεκόλληται τὸ βάθος τοῦ κόλπου καλῶς, ἐκ τοῦ ῥέοντος ἰχῶρος, εἰ πολὺς ἢ ὀλίγος ἐστὶν ἢ πεπεμμένος ἢ ἄπεπτος· ἔτι δὲ καὶ κατ᾽ αὐτὸν τὸν κόλπον, εἰ μήτ᾽ ὀδύνη τις αἰσθητικὴ μήτ᾽ ὄγκος· ἀλλὰ προσέσταλται τὸ χωρίον ἅπαν καὶ ξηρὸν καὶ ἀνώδυνόν ἐστιν. ἐὰν δὲ καὶ πῦον εὔπεπτον ἐπὶ τοῦ στόματος ἴδῃς ὀλίγον, ἔτι μᾶλλον τὰς ἐλπίδας ἀγαθὰς ἕξεις περὶ τοῦ κεκολλῆσθαι τὸν κόλπον. ἐπιθείς τε τὸν σπόγγον αὖθις, ἐπιδήσας τε πάλιν, ὡς εἴρηται, λῦε κατὰ τὴν ὑστεραίαν ἢ διὰ τρίτης ὑπαλλάττων ἀεὶ τὸ κατὰ τοῦ κόλπου στομίου ἐπικείμενον

fine dolore arctent, quae paulatim usque ad os laxentur, idque ipfum laxam deligationem habeat medicamenti, circumducto forinfecus emplaftro ad os finus forficibus difciffo, ut fanies aliqua effluere poffit. Effluet autem e finu fuperpofito aliquo alio parvo emplaftro ad folutionem usque, quam tertio quoque die faciens hoc ipfum tanquam operculum circumpofitum auferes, relicto quod totum ambit finum medicamento. An vero altae finus partes coaluerint, ex manente fanie deprehendes, fi ea multa vel pauca, cocta vel cruda fit; praeterea fi neque in ipfo finu dolor fentiatur nec tumor appareat, fed totus locus aequabilis fit, ficcus ac doloris expers. Quod fi puris probe cocti portio exigua in ore confpiciatur, multo magis de glutinando finu fperandum eft. Quumque fpongiam rurfus impofueris rurfusque, ut diximus, adalligaveris, poftero vel tertio die folvito, ut dictum eft, femper linteolum finus ori admotum permu-

Ed. Chart. X. [386. 387.] Ed. Baf. IV. (217. 218.)

ὀθόνιον ἐκ τῆς αὐτῆς ἐμπλάστρου κεχρισμένον, ὃ περιλήψεται σύμπαν ἐν κύκλῳ τὸ στόμι(218)ον· εἶναι δ᾽ αὐτὸ χρὴ μὴ πάνυ προσπεπιεσμένον, ἀλλ᾽ ὥστε δύνασθαι τὸν ἰχῶρα τοῦ κόλπου πάντα κενοῦσθαι δι᾽ αὐτοῦ. κατὰ μὲν οὖν τὴν πρώτην τε καὶ δευτέραν ἡμέραν ἐὰν ἐκκρίνῃ ταύτης ἰχὼρ λεπτὸς ἐκ τοῦ κόλπου, μὴ πάνυ τῆς κολλήσεως ἀπέλπιζε. πολλάκις γὰρ ἡ τοῦ περιβαλλομένου [387] φαρμάκου τῷ πεπονθότι μορίῳ δύναμις ἐκθλίβει σφοδρῶς ἔκ τε τοῦ δέρματος αὐτοῦ καὶ τῆς ὑποκειμένης σαρκὸς αὐτῷ ὑγρότητα λεπτὴν, ὅταν γε οὕτως ἔχῃ διαθέσεως τὸ τοῦ θεραπευομένου σῶμα διὰ φυσικὴν κρᾶσιν ἢ μοχθηρὰν δίαιταν. ἧς ἐκθλιβείσης συμμέτρως ξηρὰ γενόμενα τὰ χωρία κολλᾶται. κατὰ δὲ τὴν τρίτην ἡμέραν ἢ τετάρτην ἀπὸ τῆς ἀρχῆς, ἐὰν ἄπεπτος ἰχὼρ φαίνηται διὰ τοῦ στόματος, γίνωσκε μὴ κεκολλῆσθαι τὸν κόλπον. ἔστω δὲ πρὸ πάντων καὶ τὸ περιβαλλόμενον τῷ πεπονθότι μορίῳ φάρμακον ἰσχυρῶς μὲν ξηραῖνον, οὔτε δὲ δάκνον οὔτε συντεῖνον· οἷόν ἐστι τὸ ἡμέτερον κιῤῥὸν, ὃ χωρὶς κηροῦ σκευάζεται διὰ μεταλλικῶν φαρμάκων ἡψημένων καὶ ἐλαίου κικίνου καὶ ὄξους. ἐναίμων τε τραυμάτων κολλητικὸν ἀλύπως καὶ ξηραντικὸν κόλπων.

tans; quod eodem emplaſtro illitum totum os ambitu cingat; neque vero omnino oppreſſum eſſe debet, ſed ita ut per id tota ſanies vacuari poſſit. Itaque ſi primo vel ſecundo die tenuis quaedam ſanies ex ſinu manet, non eſt omnino de glutinatione deſperandum. Saepe enim vis medicamenti affectae parti admoti ex ipſa cute et ſubjecta carne tenuem humiditatem vehementer exprimit, quoties ejus qui curatur corpus ita affectum eſt ſive ex nativa temperie ſive mala victus ratione. Hac humiditate expreſſa loca mediocriter reſiccata glutinantur. Quod ſi tertio aut quarto ab initio die ſanies cruda in ore apparuerit, ſcito ſinum non eſſe glutinatum. In primis autem medicamentum, quod affectae parti circumponitur vehementer quidem exiccet, ſed nec mordeat, nec contrahat *cutem,* cujusmodi noſtrum eſt, *quod a fulvo colore* cirrhum *dicitur,* ex concoctis metallicis medicamentis et oleo ricinino et aceto ſine cera confectum. Idem et cruenta vulnera citra moleſtiam glutinat

Ed. Chart. X. [387.] Ed. Baſ. IV. (218.)

εἶδες δ' αὐτῷ καὶ σύριγγα θεραπευθεῖσαν, ἐφ' ἧς στενῆς τ' οὔσης ὀπῆς καὶ μακρᾶς καὶ μηδέπω μοι φαινομένης ἔχειν ἔνδον ἐν αὐτῇ τύλον, ἀλλὰ μόνον ῥύπον, ἐν ᾗ καὶ πρότερον ἔκλυσα τὴν κονίαν, εἶτ' ἐπισχὼν ἐν τῇ σύριγγι μεῖναι τοσοῦτον χρόνον, ἐν ὅσῳ τὸν ῥύπον ἤλπισα τελέως ἐκπεσεῖν ἅπαντα, μετὰ ταῦτ' ἐπέθηκα τὸ φάρμακον. οὕτω δὲ καὶ τοὺς ὑπ' αὐτῷ τῷ δέρματι μόνῳ κόλπους σαρκώσεως μὲν οὐ δεομένους, ἀμαθῶς δὲ θεραπευομένους ὑπό τινων, ἅμα τῷ παραλαβεῖν ἐκόλλησα τῷ φαρμάκῳ τῷδε προεκκλύσας τῇ κονίᾳ, διὰ τὸ μηδενὶ τῶν καθαιρόντων ὅλως φαρμάκων χρῆσθαι τοὺς θεραπεύοντας. ὅταν γε μὴν τῶν εἰς ἀπόστασιν ἀφικνουμένων ὄγκων ἡ τομὴ γένηται βραδέως ἢ δι' ἀμαθίαν τῶν θεραπευόντων ἢ διὰ δειλίαν τῶν θεραπευομένων, οὐκ ἐπιτρεπόντων τεμεῖν, ἀλλὰ περιμεινάντων ἐν χρόνῳ πλείονι διαβρωθῆναι τὸ δέρμα πρὸς τοῦ πύου, συμβαίνει πολλάκις ἅπαν τὸ περὶ τῷ κατὰ τὴν ἀπόστασιν ἀθροισθέντι πύῳ δέρμα λεπτὸν ἱκανῶς γενέσθαι, καθάπερ τι ῥάκος· ὅθεν ἡγοῦμαι καὶ τοὔνομα αὐτῷ πρὸς τῶν ἰατρῶν τεθεῖσθαι τὸ ῥακῶδες. ἔστιν οὖν τὰ τοιαῦτα

et ſinus exiccat. Hoc autem medicamento fiſtulam anguſti et longi foraminis, in qua nondum callus intus, ſed ſola ſordes mihi apparuerat, perſanatam vidiſti inſuſo primum lixivio, quod in fiſtula tantisper continui, dum ſordem omnem integre exterſam eſſe conjeciſſem, poſtea medicamentum impoſui. Ad hunc autem modum ſinus, qui ſub ſola cute erant, nec carnis generationem requirerent, inſcite vero a quibusdam curarentur, ſimulatque curandos ſuſcepi, hoc medicamento glutinavi lixivio, prius ablutos, quum qui ulcera curarent nullum ex his quae expurgandi vim habent medicamentum adhiberent. Quum vero tumores qui in abſceſſum vertuntur tarde inciduntur, aut medici imperitia aut eorum qui curantur timiditate, ſectionem non admittentium, ſed diutius protelando cutem ab ejusmodi pure erodi ſuſtinentium, hanc univerſam a congeſto in abſceſſu pure, attriti panniculi in modum, vehementer attenuari ſaepe contingit; unde a medicis rhacodem appellari

δέρματα δυσκόλλητα, καὶ μάλισθ' ὅταν τις αὐτοῖς ἐπιβάλῃ ξηρὸν κατὰ τὴν σύστασιν φάρμακον· ὑπὸ τούτων γὰρ ἔτι μᾶλλον γίνεται ῥακῶδές τε καὶ ξηρὸν τὸ δέρμα, παραπλήσιον ταῖς τριβακαῖς διφθέραις. ἔδοξεν οὖν μοι προσηκόντως ἄν τις χρήσασθαι πρὸς τὴν κόλλησιν αὐτοῦ τῇ συστάσει μὲν ὑγρῷ φαρμάκῳ, τῇ δυνάμει δὲ ξηρῷ. λέλεκται δ' ἐν τοῖς περὶ φαρμάκων ὅτι δυνάμει ξηρὰ φάρμακα καλεῖν ἔθος ἐστὶ τοῖς ἰατροῖς ὅσα ξηραίνειν πέφυκε. κάλλιστον δὲ πάντων τῶν ὑγρῶν μὲν τῇ συστάσει, ξηρῶν δὲ τῇ δυνάμει τὸ συντεθὲν ὑπ' ἐμοῦ φάρμακόν ἐστι, τὸ διὰ λιθαργύρου καὶ στέατος χοιρείου παλαιοῦ καὶ χαλκίτεως, ἐχόντων ἔλαιον παλαιότατον. ἄμεινον δ' ἐνεργοῦντος ἐπειράθην αὐτοῦ κατὰ τὰς τοιαύτας διαθέσεις, ὅταν μὴ πάνυ τι σκληρὸν ᾖ μηδ' ἀκριβῶς ἀμόλυντον. ἀλλὰ κἂν τοιοῦτον σκευασθῇ καὶ τῶν ἐναίμων μέν ἐστι τραυμάτων κολλητικὸν καὶ πάντων δὲ τῶν ἑλκῶν ἐπουλωτικὸν, ἀνιέμενόν τ' ἐλαίῳ, κἄπειτα μετ' οἴνου μετρίως παλαιοῦ φυρώμενον, εἶτ' ἐπιτιθέμενον ἐν κύκλῳ ταῖς τοιαύταις διαθέσεσιν, ἀλύπως αὐτὰς ἐκόλλησε πολλάκις. ἁρμόττει δ', ὡς

exiſtimo. Ejusmodi igitur cutis aegre coalescit, maxime ſi ſubſtantia aridum medicamentum imponatur, ut a quo cutis tenuior ſicciorque in modum attritae veſtis reddatur. Itaque mihi commodum eſſe videtur, ſi quis ad ejus conglutinationem medicamento ſubſtantia humido, facultate vero ſicco utatur. Diximus autem in libris de medicamentis, medicos ſolere medicamenta facultate ſicca appellare, quae exiccare ſuapte natura idonea ſint. Omnium autem quae ſubſtantia ſunt humida, facultate vero ſicca, optimum eſt quod a me ex argenti ſpuma, adipe ſuillo vetere et chalcite contemperatum eſt, quibus vetuſtiſſimum oleum admiſtum ſit. Ejus autem vim in hiſce affectibus efficaciorem eſſe ſum expertus, quum neque omnino durum eſſet, neque plane manus inquinaret. Sed et ſi ad eundem modum temperetur, cruenta quoque vulnera glutinabit, omniaque ulcera ad cicatricem ducet oleo reſolutum, poſtea cum vino mediocriter vetere miſtum atque his affectibus circumpoſitum ſine moleſtia ſaepe

εἴρηται, ἐπὶ τῶν ῥακωδῶν δερμάτων οὐχ ἥκιστα καὶ τὸ μέλι μέχρι συστάσεως ἐμπλαστρώδους ἑψηθέν. ἔστι δ' ἡ συμμετρία τῆς ἑψήσεως αὐτοῦ δυσκατόρθωτος τῷ μὴ τεθεαμένῳ. χρὴ γὰρ αὐτὸ μήθ' οὕτω γενέσθαι σκληρὸν, ὡς δυσπρόπτωτον εἶναι, μήθ' οὕτως ὑγρὸν, ὡς περιῤῥεῖν. τὸ μὲν γὰρ σκληρὸν εἰς τὴν τοιαύτην ἀτοπίαν ἀφικνεῖται ταῖς σκληραῖς ἐμπλάστροις, τὸ δ' ὑγρὸν, ὡσανεὶ ἐπικείμενον θερμῷ σώματι, περιῤῥεῖ κύκλῳ καὶ ξηρὰν ἀπολείπει τὴν ὀθόνην, ἥτις οὐ μόνον οὐδὲν ὀνίνησιν, ἀλλὰ καὶ πρὸς κακοῦ γίνεται τῷ κολληθησομένῳ δέρματι. συμμέτρως γε μὴν ἑψηθὲν τὸ μέλι κάλλιστόν ἐστι φάρμακον ἐπὶ τῶν [388] τοιούτων κόλπων. ἐπεὶ δ' ἡ συμμετρία τῆς ἑψήσεως αὐτοῦ δυστέκμαρτός ἐστιν, ἄμεινον ἔδοξέ μοι καταπάττειν αὐτῷ χνοώδη σμύρναν ἢ ἀλόην ἢ λιβανωτὸν ἤ τινα τούτων ἢ πάντα ὁμοῦ· καὶ μάλισθ' ὅταν ἐπὶ τῆς ὀθόνης ἐγχρισθὲν ὑγρότερον φαίνηται. καταπάττειν δὲ αὐτὰ διὰ κοσκίνου, μετεώρου κρατουμένου κατὰ τοῦ μέλιτος. ἀρκεῖ δ' ἅπαξ ἢ δὶς κροῦσαι αὐτὸ πρὸς τὴν συμμετρίαν τῆς διεκπτώσεως. ἐνίοτε δὲ καὶ κατ' αὐτὴν τὴν ἕψησιν ἐμπάττω τι

glutinavit. Confert autem, ut diximus, ubi cutis pellis attritae modo tenuata eſt, mel maxime, ſi ad emplaſtri craſſamentum coctum ſit. Ejus vero coctionis temperamentum recte aſſequi niſi animadvertas, difficile eſt. Ipſum enim neque adeo durum eſſe debet ut aegre decidat, neque adeo liquidum ut diffluat. Durum enim eadem adfert incommoda quae dura emplaſtra. Liquidum vero tanquam calido corpori admotum undiquaque effluit aridumque linteolum relinquit; quod non ſolum non juvat, ſed et glutinandae cuti officit. Mediocriter autem coctum mel ejusmodi ſinibus commodiſſimum remedium eſt. Quoniam autem ejus concoctionis mediocritas facile conjici non poteſt, ſatius mihi videtur myrrhae pollinem vel aloës vel thuris vel eorum aliquem, vel ſimul omnes inſpergere; ac maxime ſi quod linteolo inductum eſt, liquidius appareat. Hos autem per cribrum inſpergere oportet, quod ſupra mel teneatur ſublime. Satis enim fuerit ſemel aut bis cribrum agitare, ut pollen medio-

τῷ μέλιτι τῶν εἰρημένων φαρμάκων, καὶ μάλισθ᾽ ὅταν ὁ κόλπος ᾖ μείζων τε καὶ βαθύτερος. ἐπειράθην δὲ καὶ τοῦ λεπτοῦ κενταυρίου, θαυμαστοῦ φαρμάκου πρὸς τὴν τοιαύτην χρείαν· ἐφεξῆς δ᾽ αὐτῷ σύμφυτον ἐπιτήδειόν ἐστι καὶ μετ᾽ αὐτὸ τῆς Ἰλλυρίδος ἴρεως ἡ ῥίζα, μεθ᾽ ἣν καὶ τὸ τῶν ὀρόβων ἄλευρον. εὔδηλον ὅτι κεκόφθαι τε καὶ διηθῆσθαι λεπτῷ κοσκίνῳ καὶ μετὰ ταῦτά γε λελειῶσθαι τὰ τοιαῦτα πάντα προσήκει. μιγνύσθω δὲ τῷ μέλιτι κατ᾽ ἐκεῖνον τὸν καιρὸν, ἡνίκ᾽ ἂν ἀπὸ τοῦ πυρὸς ἐξαίρεσθαι μέλλῃ, τοσοῦτον ἡμῶν ἐπιδιατριψάντων, ὡς ἑνωθῆναι καλῶς αὐτὰ τῷ προηψημένῳ μέλιτι. κάλλιον δὲ καὶ καθαιροῦντα τὴν κακάβην ἀπὸ τοῦ πυρὸς, ἐμπάττειν ἅπαντα τὰ τοιαῦτα, κἄπειτα κινεῖν ἐπιμελῶς ἄχρις ἂν οὕτω γένηται τὸ μέλι χλιαρὸν, ὡς ἐπιτιθέναι δύνασθαι τῷ θεραπευσομένῳ σώματι.

Κεφ. ιά. Ἐφεξῆς δ᾽ ἂν εἴη τοῖς εἰρημένοις εἰπεῖν σοί τι καὶ περὶ τῶν γαγγραινουμένων φλεγμονῶν. ὀνομάζουσι δ᾽, ὡς οἶσθα, γαγγραίνας τὰς διὰ μέγεθος φλεγμονῆς νεκρώσεις οὐκ ἤδη γεγενημένας, ἀλλὰ γινομένας ἔτι. τελέως μὲν γὰρ

cris excutiatur. Aliquando vero et inter coquendum aliquod ex ante dictis medicamentis melli infpergo, maxime fi finus et major et altior fit. Tenue autem centaurium in hunc ufum mirabile effe remedium fum expertus, deinde fymphytum, poftea iris Illyricae radicem, ad haec ervinam farinam. Neque vero dubium eft quin haec contundi et tenui cribro excerni, poftea tenuiter conteri debeant. Melli vero, dum ab igne tollendum eft, infpergantur tantisper nobis cunctantibus, dum probe cum illo praecocto uniantur. Satius autem fuerit exempto ab igne cacabo omnia haec infpergere, deinde curiofe movere, dum mel ita tepidum reddatur ut curando corpori imponi poffit.

Cap. XI. Confequens autem eft ut de his quae in gangraenam transeunt inflammationibus differamus. Gangraenas autem, ut nofti, vocant quum pars corporis aliqua ob inflammationis magnitudinem nondum emortua eft, fed

Ed. Chart. X. [388.] Ed. Baf. IV. (218.)

νεκρωθὲν μόριον ὡς νυττόμενον ἢ τεμνόμενον ἢ καιόμενον ἀναίσθητον ὑπάρχειν ὧν πάσχει, τάχιστα χρὴ περικόπτειν καθ' ὃ ψαύει τοῦ πλησιάζοντος ὑγιοῦς. ἀλλὰ τὸ μὲν οὕτω διατεθὲν μέλαν γίνεται, τὸ δ' ἐν τῷ μεταξὺ καθεστηκὸς, ὡς ὁδοιπορεῖν ἐπὶ τὴν νέκρωσιν, γάγγραινα ὀνομάζεται. θεραπεία δ' αὐτῆς γίνεται κενωσάντων ἡμῶν ὅσον οἷόν τε πλεῖστον τοῦ κατὰ τὸ πάσχον μόριον αἵματος ἐσφηνωμένου, δι' ὃ καὶ ἡ νέκρωσις γίνεται, μὴ δυναμένων τῶν ἀρτηριῶν ὑπὸ στενοχωρίας διαστέλλεσθαι, τῷ δ' ὑπολοίπῳ διαπνοὰς παρασχόντων. ἢ τοίνυν ὅλον τὸ δέρμα πολλαῖς βαθείαις τομαῖς διαιρεῖν χρὴ, τέμνοντας ἅμα αὐτῷ τὴν ὑποκειμένην οὐσίαν ἢ πολλαῖς ἀμυχαῖς βαθείαις ἀποσχάζειν, ἐάσαντα δ' ἀποῤῥυῆναι τὸ αἷμα τῶν φαρμάκων ἐπιτιθέναι τι τῶν πρὸς τὰ σηπόμενα χρησίμων. ἔστι δὲ τοιαῦτα δι' ὀξυμέλιτος καὶ ἀλεύρου ὀρόβων ἢ αἰρῶν, ἢ εἰ μὴ ταῦτα παρείη, τὸ τῶν κυάμων· αὐτό τε μόνον τὸ ὀξύμελι. σφοδροτέρῳ δὲ αὐτῷ χρῆσθαι βουλόμενος, ἁλῶν ἐπεμβάλλειν ἢ τῶν κυκλίσκων τινὰ λειοῦν ἀκριβῶς, οἷος ὁ Ἀνδρώνιός ἐστι καὶ

adhuc emoritur. Nam quum pars omnino emortua eſt, ita ut ſi hanc pupugeris vel ſecueris vel exuſſeris, ea non ſentiat quae patitur, ad vivum usque recidenda eſt qua partem ſanam vicinam attingit. At quae ſic quidem affecta eſt nigreſcit. Quae vero in medio conſtituta eſt tenditque ad extinctionem, gangraenoſa vocatur. Curatur autem vacuato quam fieri poteſt plurimo ſanguine, in affecta parte impacto; cujus occaſione ipſa emoritur, arteriis ob loci anguſtiam ſeſe dilatare nequeuntibus, reliquo vero corpori perſpirationem ſuggerere. Cutis igitur univerſa vel multis profundisque ſectionibus una cum ſubjecta ſubſtantia ſecanda eſt, vel frequentibus ac altis ſcariſicationibus incidenda. Ubi vero manare ſanguinem permiſerimus, aliquod ex medicamentis quae ad putria ulcera faciunt imponi debet; cujusmodi eſt quod ex mulſo aceto conſtat et ervina aut loliacea farina; vel ſi harum facultas non ſit, fabacea, atque ipſum per ſe acetum mulſum. Quo ſi vehementiore uti velis, adjiciendus ſal eſt vel aliquis ex paſtillis curioſe tritus, qualis eſt An-

ὁ Πολυείδου καὶ ὁ Πασίωνος. ἀλλὰ καὶ τὸ τοῦ Μοῦσα φάρμακον ἐπιτηδειότατόν ἐστιν εἰς ταῦτα, ὃ κατὰ τὸν Ἥρα γέγραπται τόμον. χρῶ δὲ τούτοις καὶ οἷς προείρηκα, προσέχων τὸν νοῦν τῷ σώματι τοῦ κάμνοντος. ἀγροίκου μὲν γὰρ ὄντος αὐτοῦ καὶ σκληροῦ φύσει, τῶν ἰσχυροτάτων δεῖ(219)ται φαρμάκων τὸ σῶμα· γυναίου δὲ ἁπαλοσάρκου, τῶν ἀσθενεστέρων. οὕτω δὲ καὶ τῶν ἀνδρῶν ὅσοι λευκοί τε καὶ ἁπαλόσαρκοι καὶ φιλόλουτροι καὶ ἀγύμναστοι μαλακῶν δέονται φαρμάκων. δῆλον δ' ὅτι καὶ τὰ παιδία. κἂν ἐκτέμοις δέ ποτε τὸ σεσηπὸς καὶ νενεκρωμένον μέρος ἀσφαλείας ἕνεκα, τοῖς εἰρημένοις ἄρτι χρῶ φαρμάκοις, ἀποβλέπων εἰς τὰς τῶν νοσημάτων [389] φύσεις, ἅμα τῷ καὶ τὴν αὐτοῦ τοῦ πεπονθότος μορίου φύσιν ἐπισκοπεῖν· τινὰ γὰρ τάχιστα σήπεται καὶ βέλτιον ἀσφαλείας ἕνεκα, ὅταν ἐκτέμῃς ἢ περιτέμῃς τὸ σεσηπὸς, τὴν οἷον ῥίζαν αὐτοῦ συνημμένην τοῖς ἀπαθέσι καίειν, ὡς ἐπὶ τῶν αἰδοίων εἰώθαμεν ἐργάζεσθαι πολλάκις, ἐνίοτε μὲν αὐτοῖς τοῖς πεπονθόσι μορίοις τὰ καυτήρια προσφέροντες, ἐνίοτε δὲ καὶ

dronis, Polyidae et Pafionis. Quin etiam Mufae medicamentum, quod in Herae tomo fcriptum eft, his commodiffime imponitur. His autem et aliis quae ante commemorata funt, confiderato aegroti corpore utendum eft. Ruftici enim corpus, quod natura durum eft, vehementiffima remedia efflagitat, mulieris vero molli carne praeditae imbecilliora. Ad eundem modum virile corpus, quod quidem album fit et molle et balneis affuetum et inexercitatum, mollia expofcit medicamenta. Neque vero dubium eft quin et pueris haec conveniant. Si vero aliquando putrem ac emortuam partem excideris fecuritatis gratia, modo dictis medicamentis utere, non neglecta tum corporum tum affectae partis natura; quaedam enim partes promptiffime putrefcunt, easque tutius eft, ubi quod computruit refecueris vel amputaveris tanquam radicem ejus incolumi parti conjunctam adurere, quemadmodum faepe in pudendis partibus facere confuevimus. Aliquando admoto quidem partibus affectis candente ferro,

προϋποβάλλοντες μότον. μετά γε μὴν τὴν καῦσιν εἰώθαμεν, ὡς οἶσθα, χυλῷ πράσου χρῆσθαι, μὴ παρόντος δὲ τούτου, τοῖς προειρημένοις ὀλίγον ἔμπροσθεν. ὅταν δὲ φαίνηταί σοι τούτων γιγνομένων πεπαῦσθαι τὸ σηπόμενον, ὅπως ἀποπέσῃ θᾶττον ἡ ἐσχάρα, τῷ κεφαλικῷ καλουμένῳ φαρμάκῳ μετὰ μέλιτος χρῶ. κάλλιον καὶ καταπλάττειν ἔξωθεν ἢ δι' ὑδρελαίου τὸν ἄρτον ἕψοντας ἢ κρίθινον ἄλευρον οὕτω σκευάζοντας, ἢ μετὰ αὐτοῦ μῖξαι πύρινον. καὶ μὴν καὶ τὸ τετραφάρμακον ὀνομαζόμενον, ἔτι τε τὸ μακεδονικὸν, ἐπιτήδεια πρὸς τὰς διαπυήσεις τε καὶ ἀποπτώσεις τῶν ἐσχαρῶν, ὁμοίως δὲ καὶ πάντα ὅσα διαπυΐσκει. καὶ ἄρτος δὲ μετὰ σελίνου λειωθεὶς ἢ ὠκίμου περιῤῥήσσει καὶ χωρίζει τὰς ἐσχάρας ἀπὸ τῶν ὑγιαινῶν. τῶν δ' ἁπλῶν φαρμάκων μετὰ μέλιτος ἶρις ἢ ῥίζα πάνακος ἢ ἀριστολοχίας ἢ ἀκόρου. ἐπὶ δὲ τῶν μαλακῶν σωμάτων ἀρκεῖ καὶ τὸ τῶν ὀρόβων ἄλευρον μετὰ μέλιτος ἢ λιβανωτοῦ. ὁμοίως δὲ ἀφαιρεῖ τὰς ἐσχάρας καὶ τὸ τοῦ Μαχαιρίωνος φάρμακον καὶ ἡ Ἶσις ἔμμοτα μετὰ μέλιτος. ὅταν

aliquando prius submisso linamento. Post exustionem vero porri succo, ut nosti, aut si is non adsit, medicamentis paulo ante commemoratis uti consuevimus. His autem peractis, quum finem fecisse putredo tibi visa fuerit, ut crusta citius excidat, medicamento quod cephalicum vocant ex melle utendum est. Cataplasma autem quod ex pane in hydrelaeo cocto, aut hordeacea farina eodem modo parata, aut cum ea admista triticea foris commodius imponitur. Quin etiam medicamentum, quod tetrapharmacum dicitur, praeterea et macedonicum tum ad pus movendum tum ad crustas resolvendas idonea sunt, quemadmodum et omnia quae ad suppurationem perducunt. Panis vero cum apio aut ocimo intritus rumpit ac separat crustas a sanis partibus. Ex simplicibus autem medicamentis iris ex melle vel radix panacis aut aristolochiae aut acori. In mollibus autem corporibus abunde facit ervi farina cum melle aut thure. Ad eundem modum crustas elidit Machaerionis medicamentum et Iis

δὲ ἐκπέσωσιν αἱ ἐσχάραι, καὶ διὰ τῶν ἐπιτυχόντων φαρμάκων σαρκοῦνται τὰ τοιαῦτα τῶν ἑλκῶν.

Κεφ. ιβ΄. Ἐπεὶ δὲ καὶ περὶ τούτων εἴρηται μετρίως, περὶ τῶν καρκινωδῶν ἑξῆς ἂν εἴη ὄγκων εἰπεῖν, γινομένων ἐν ἅπασι τοῖς μορίοις, μάλιστα δὲ τοῖς τιτθοῖς τῶν γυναικῶν, ὅσαι μηκέτι καθαίρονται τὴν κατὰ φύσιν κάθαρσιν· ἥτις ὅταν ὡς χρὴ γένηται, τελέως ἄνοσος ἡ γυνὴ διατελεῖ. πάντες οὖν οἱ τοιοῦτοι παρὰ φύσιν ὄγκοι τὴν γένεσιν ἐκ μελαγχολικοῦ περιττώματος ἴσχουσι, ὑπὲρ οὗ λέλεκται καὶ ἐν τοῖς κατὰ φυσικῶν δυνάμεων ὑπομνήμασι, γεννᾶσθαι μὲν ἡμῶν δειξάντων ἐν ἥπατι κατὰ τὴν ἐξαιμάτωσιν ἀνάλογον τῇ κατὰ τὸν οἶνον τρυγὶ, καθαίρεσθαι δὲ διὰ τοῦ σπληνός. ἐκ γὰρ τοῦ τοιούτου χυμοῦ τρέφεσθαι πέφυκεν. ὅταν οὖν ἡ φυσικὴ κρᾶσις τοῦ ζώου τὸν χυμὸν τοῦτον ὀλίγον ᾖ γεννῶσα καὶ ἡ δίαιτα συντελῇ καὶ ὁ σπλὴν ἀξιολόγως ἕλκῃ τὸ γεννώμενον εἰς ἑαυτὸν, οὐδὲν ἀθροίζεται κατὰ τὰς φλέβας τοιούτων περίττωμα. ὅταν δὲ τἀναντία ᾖ, ἀθροίζεται πολὺ κατὰ

emmota. Elapfis vero cruftis ulcera ejusmodi quibuslibet idoneis medicamentis carne replentur.

Cap. XII. Quoniam autem de his fatis diximus, de cancrofis tumoribus deinceps eft differendum, qui cum in omnibus corporis partibus fiunt, tum maxime in mulierum mammis, quaecunque non amplius naturali purgatione purgantur, quae quum opportune fit, integra fanitate mulieres fruuntur. Omnes igitur hujusmodi tumores praeter naturam ex atrae bilis redundantia gignuntur, de qua re in commentariis de facultatibus naturalibus disputatum eft. Ubi docuimus faecis vini fimilem hunc humorem, dum in jecore fanguis conficitur, generari, repurgari vero a liene. Ab hoc enim humore hoc vifcus ali folet. Quum igitur nativa animantis temperies hunc humorem paucum generat, ad idque confert victus ratio, et lien ad fe quod gignitur valenter trahit, nihil ejusmodi recrementi in venis colligitur. Quod fi contraria adfint, multa in venis acervantur, ex quibus

τὰς φλέβας καὶ ἐργάζεται τὰ λεχθησόμενα νοσήματα. λέγω δ' ἐναντία τοῖς εἰρημένοις τὸ μὲν ἧπαρ εἰς γένεσιν ἐπιτήδειον τοῦ τοιούτου περιττώματος, τὴν δίαιταν δὲ διὰ τῶν τοιούτων ἐδεσμάτων γινομένην, ἃ πέφυκε γεννᾷν αἷμα παχὺ καὶ ἰλυῶδες· ἀσθενέστερον δὲ τὸν σπλῆνα φύσει καὶ ἀδυνατώτερον ἕλκειν ἐφ' ἑαυτὸν ἅπαν τὸ γεννώμενον. ἐν δὲ τῷ τοιούτῳ σώματι θολοῦται καὶ παχύνεται τὸ κατὰ τὰς φλέβας αἷμα. καὶ ποτὲ μὲν ὑπ' αὐτῶν τῶν φλεβῶν, ἐχουσῶν γε καὶ αὐτῶν ἀποκριτικὴν τῶν ἀλλοτρίων δύναμιν, ὥσπερ καὶ τἄλλα πάντα δι' αἱμοῤῥοΐδος ἐκκρίνεται· πολλάκις δὲ εἰς κιρσοὺς κατασκήπτει, καὶ ποτὲ εἰς τὸ δέρμα πᾶν ὠθεῖται. [390] καὶ τοῦτό ἐστι γένεσις τοῦ πάθους, ὃ καλοῦσιν ἐλέφαντα. γίνεταί γε μὴν ἐνίοτε καὶ εἰς ἄλλα μόρια τοῦ σώματος, ἅπερ ἂν ᾖ πάντων ἀσθενέστατα, φορὰ τοῦ τοιούτου χυμοῦ, καὶ φαίνονταί γε σαφῶς αἱ κατὰ τὸ μόριον ἐκεῖνο φλέβες μεσταὶ αἵματος μέλανός τε καὶ παχέος. καὶ ὅσον δ' ἂν ᾖ παχύτερόν τε καὶ μελάντερον, τοσοῦτον χεῖρόν ἐστι τὸ πάθος. ἐπὶ δὲ τῶν τιτθῶν εἴδομεν πολλάκις ἀκριβῶς ὄγκον ὅμοιον

quos docebimus morbos iis contrahuntur. Contraria autem his quae diximus intelligo jeçur quidem ad ejusmodi excrementi procreationem pronum, victus autem rationem ex iis alimentis, quae ſanguinem craſſum ac faeculentum generare idonea ſint, lienem vero natura imbecilliorem, ut qui ad ſe horum omnium excrementorum proventum attrahere non poſſit. In tali autem corpore turbulentus craſſusque efficitur, qui in venis continetur ſanguis. Et nonnunquam venae excernendi quod alienum eſt, facultate praeditae, quemadmodum et omnes aliae partes, hunc humorem per haemorrhoidas effundunt, ſaepe vero ad varices demittunt, aliquando autem ad univerſam cutem propellunt. Atque haec quidem eſt affectus origo, quem elephanta vocant. Aliquando vero et in alias corporis partes, quae quidem omnium maxime ſunt imbecillae, ejusmodi ſuccus fertur, atque in ea parte venae luculenter conſpiciuntur atro et craſſo ſanguine plenae. Quo autem is craſſior ac nigrior fuerit, eo affectum parit deteriorem. In mammis vero tumorem ſaepe vidimus

καρκίνῳ ζώῳ. καθάπερ γὰρ ἐπ᾽ ἐκείνου πόδες ἑκατέρωθέν εἰσι τοῦ σώματος, οὕτω καὶ ἐπὶ τοῦδε τοῦ πάθους αἱ φλέβες ἀποτεταμέναι τοῦ παρὰ φύσιν ὄγκου τὸ σχῆμα καρκίνῳ παραπλήσιον ἐργάζονται. τοῦτο τὸ πάθος ἀρχόμενον μὲν ἰασάμεθα πολλάκις, εἰς μέγεθος δὲ ἀξιόλογον ἀρθὲν ἄνευ χειρουργίας οὐδεὶς ἰάσατο. πάσης μὲν οὖν χειρουργίας ἐκκοπτούσης ὄγκον παρὰ φύσιν ὁ σκοπός ἐστιν ἐν κύκλῳ πάντα τὸν ὄγκον περικόψαι, καθ᾽ ἃ τῷ κατὰ φύσιν ἔχοντι πλησιάζει. διὰ δὲ τὸ μέγεθος τῶν ἀγγείων, καὶ μάλισθ᾽ ὅταν ἀρτηρίαι τύχωσιν οὖσαι, παραχρῆμά τε κίνδυνος αἱμοῤῥαγίας γίνεται βρόχοις τε διαλαμβανόντων αὐτὰς συμπάθειαι ἕπονται. ἐὰν δὲ καὶ καῦσαι τὰς ῥίζας αὐτοῦ πάθους προελώμεθα, καὶ κατὰ τοῦτο κίνδυνος οὐ μικρὸς, ὅταν ἐγγὺς καιρίων μορίων ἡ καῦσις γένηται. ἀλλ᾽ ἀρχόμενον γεννᾶσθαι, καθάπερ ἔφην, ἰασάμεθα πολλάκις τὸ πάθος τοῦτο, καὶ μάλισθ᾽ ὅταν ὁ μελαγχολικὸς χυμὸς φαίνηται μὴ πάνυ παχὺς ὑπάρχων. ὑπακούει γὰρ οὗτος τοῖς καθαίρουσι φαρμάκοις ἑτοίμως, δι᾽ ὧν ἡ θεραπεία γίνεται. πρόδηλον δ᾽ ὅτι μελάνων εἶναι χρὴ κενωτικὰ

cancro animanti omnino ſimilem. Nam quemadmodum ille ex utraque corporis parte pedes, ſic et hic affectus venas praeter naturam intumeſcentes exporrigit, effigiemque cancro ſimilem reddit. Hunc affectum incipientem quidem ſaepe ſanavimus. Ubi vero in molem inſignem crevit, citra chirurgiam non curabis. Itaque univerſae chirurgiae tumorem praeter naturam excidentis ſcopus eſt ut ejusmodi tumor, qua ſanis partibus conjungitur, totus circuncidatur. Verum propter vaſorum magnitudinem, maximeque arteriarum, ſtatim profuſionis ſanguinis periculum imminet, quas ſi laqueis intercipias, conſortii jure aliae partes afficientur. Quod ſi ejus mali affectus radices adurere in animo ſit, neque in hoc parvum erit periculum, ſi juxta principes partes exuſtio ſiat. Sed ejusmodi affectum recentem, ut diximus, ſaepe curavimus, maxime ubi melancholicus humor non admodum craſſus videbatur. Hic enim purgantibus medicamentis prompte cedit, unde ſit curatio. Certum autem eſt quod

τὰ διδόμενα φάρμακα, καὶ τοῦτο συνεχῶς ποιητέον, ἄχρις ἂν εἰς τὸ κατὰ φύσιν ἀκριβῶς ἐπανέλθοι τὸ μόριον, οὔσης καὶ τῆς διαίτης εὐχύμου. κατὰ γοῦν τὴν Ἀλεξάνδρειαν ἐλεφαντιῶσι πάμπολλοι διά τε τὴν δίαιταν καὶ τὴν θερμότητα τοῦ χωρίου. κατὰ δὲ τὰς Γερμανίας τε καὶ Μυσίας σπανιώτατα τοῦτο τὸ πάθος ὦπται γινόμενον. καὶ παρά γε τοῖς γαλακτοπόταις Σκύθαις σχεδὸν οὐδέποτε φαίνεται γινόμενον. ἀλλ' ἐν Ἀλεξανδρείᾳ παμπόλλη ἡ γένεσις αὐτοῦ διὰ τὴν δίαιτάν ἐστιν· ἀθάραν γὰρ ἐσθίουσι καὶ φακὴν καὶ κοχλίας καὶ ταρίχη πολλά· τινὲς δὲ καὶ ὄνεια κρέα καὶ ἄλλα τοιαῦτα παχὺν καὶ μελαγχολικὸν γεννῶντα χυμόν. ὥστε δὲ θερμοῦ τοῦ περιέχοντος ὄντος καὶ ἡ ῥοπὴ τῆς φορᾶς αὐτῶν πρὸς τὸ δέρμα γίνεται. τούτῳ μὲν οὖν τῷ πάθει συμφέρουσιν αἱ εἰρημέναι καθάρσεις. ἐὰν δὲ τὰ τῆς ἡλικίας καὶ τὰ τῆς δυνάμεως ἐπιτρέπῃ, φλεβοτομεῖν πρότερον. ἐπὶ δὲ τῶν καρκίνων οὐκ ἀνάρμοστον μὲν οὐδ' ἐπὶ τούτων, ἢν μηδὲν κωλύῃ, φλεβοτομεῖν· ἐφεξῆς δὲ καθαίρειν· καὶ εἰ μὲν γυναῖκες εἶεν, ἔμμηνα κινεῖν αὐταῖς,

quae adhibentur medicamenta vim vacuandi atri humoris habere debent, quod frequenter faciendum eſt, donec pars ad naturalem ſtatum omnino ſit reducta, victus etiam ratione obſervata, quae probum humorem generet. Itaque in Alexandria plurimi elephantiaſi tum ob victus rationem tum regionis caliditatem laborant. In Germania vero et Myſia rariſſime affectus is graſſari viſus eſt. Et apud lactipotas Scythas nunquam fere apparet. Sed in Alexandria ob victus rationem frequenter generatur; veſcuntur enim pulte, lenticula, cochleis multisque ſalſamentis, nonnulli vero et aſinina carne et id genus aliis craſſam ac atram bilem generantibus. Quemadmodum ſi ambiens aër calidus ſit, horum humorum impetus ad cutem fertur. Igitur huic affectui dictae purgationes proſunt. Quod ſi aetas et vires ſuaſerint, ſanguis prius mittendus eſt. Neque vero in cancris neque in his, niſi quid prohibeat, inutile eſt venam ſecare, deinde purgare, atque ſi mulieres ſint, menſes ciere, ſi nimirum

ἐάν γε δηλονότι μηδέπω πεντηκοστὸν ἔτος ἄγωσι. κατὰ δὲ τοῦ πεπονθότος μορίου χυλὸς ἐπικείσθω στρύχνου, κάλλιστον γὰρ τοῦτο φάρμακον εἰς τὰ τοιαῦτα. μὴ βουλομένου δὲ τοῦ θεραπευομένου φάρμακον οὕτως ὑγρὸν ἐπιβαλέσθαι, καὶ μάλισθ᾽ ὅταν προέρχεσθαί τε τῆς οἰκίας καὶ τὰ συνήθη πράττειν ἀναγκάζηται, τὸ διὰ πομφόλυγος ἐπιβλητέον, ᾧ καὶ πρὸς τοὺς ἡλκωμένους καρκίνους οἶσθα χρώμενόν με· καὶ τούτου μὴ παρόντος τῷ διὰ χαλκίτεως ἡμετέρῳ φαρμάκῳ. κατὰ δὲ τὴν δίαιταν ἐν χυλῷ πτισάνης πλεοναστέον καὶ γάλακτος ὀῤῥῷ καὶ λαχάνοις, μαλάχῃ καὶ ἀτραφάξει καὶ βλίτῳ, καὶ κατὰ καιρὸν ἐν ᾧ εἰσιν αἱ κολοκύνθαι, (220) ταύταις χρηστέον. ἰχθύων δὲ τοῖς πετραίοις καὶ ὄρνισι πᾶσι, πλὴν ἑλείων. ἐπὶ δὲ τῶν ἐλεφαντιώντων ἡ τῶν ἐχιδνῶν ἐδωδὴ θαυμάσιόν ἐστι φάρμακον. [391] χρὴ δὲ ἐσθίειν αὐτὰς οὕτω σκευάζοντας ὡς τοὺς θηριοτρόφους καὶ ἀσπιδοτρόφους Μάρσους ἐθεάσω, πρῶτον μὲν ἀποκοπτομένης τῆς οὐρᾶς καὶ τῆς κεφαλῆς ἄχρι δακτύλων τεττάρων, εἶτα τῶν ἔνδον ἁπάντων ἀφαιρε-

quinquagefimum annum nondum attingant. In affecta autem parte folani fuccus imponatur, hoc enim medicamentum ejusmodi affectibus utiliffimum eft. Quod fi aegrotus tam liquidum medicamentum imponi nolit, praefertim quum domo exire, folitaque opera exercere cogitur, medicamentum ex pompholyge imponendum eft, quo et ad ulceratos cancros uti me vidifti; quod fi in promptu non fit, noftrum quod ex chalcite conftat *eft adhibendum.* Quatenus vero ad victus rationem attinet, pleniore ptifanae cremore, fero lactis et ex oleribus malva, atriplice, blito, et quum per tempus licuerit, cucurbita utendum eft. Ex pifcibus vero faxatiles avesque omnes praeter paluftres *dare convenit.* In elephantiafi vero viperae mira utilitate eduntur. Eas vero eodem modo, quo Marfos parare vidifti, quos, *quia afpidibus et ferpentibus vefcuntur*, afpidotrophos et theriotrophos vocant, comeffe oportet, primum quidem cauda et capite ad quaternorum digitorum longitudinem abfciffis, deinde inte-

Ed. Chart. X. [391.] Ed. Bas. IV. (220.)

θέντων καὶ τοῦ δέρματος δηλονότι, εἶθ᾽ ὕδατι τοῦ σώματος αὐτῶν περιπλυθέντος. ἀλλὰ μέχρι μὲν τοῦδε, κἀπειδὰν τὴν θηριακὴν ἀντίδοτον καλουμένην σκευάζωμεν, οὕτω πράττομεν· ἐφεξῆς δὲ διαφερόντως ἕψομεν, ἐπὶ μὲν τῆς θηριακῆς ἐν ὕδατι προσεπεμβάλλοντες ἄνηθον καὶ βραχέων ἁλῶν, ἐπὶ δὲ τῶν ἐλεφαντιώντων ἐν λοπάσι παραπλησίως ταῖς ἐγχέλυσι σκευάζοντες διὰ λευκοῦ ζωμοῦ. γίνεται δὲ οὕτως. ὕδατος μὲν δαψιλοῦς ἐμβληθέντος καὶ ἐλαίου βραχέος καὶ σὺν αὐτῷ πράσου καὶ ἀνήθου. πρόδηλον δ᾽ ὅτι μέχρι τοσούτου τὰς σάρκας τῶν ἐχιδνῶν ἀφεψεῖν προσήκει, μέχρις ἂν ἀκριβῶς γενηθῶσι μαλακαί. καὶ αὐτὸ δὲ τὸ δι᾽ αὐτῶν σκευαζόμενον φάρμακον, ὃ καλοῦσι θηριακὴν ἀντίδοτον, ἐπιτήδειόν ἐστι πίνεσθαι τοῖς οὕτω κάμνουσι, καὶ εἰ βούλοιτό τις αὐτοῦ καὶ τὸ δέρμα χρίεσθαι. ταῦτα γὰρ ἅπαντα ποιούντων ἔσθ᾽ ὅτε λεπὶς ἀφίσταται τοῦ δέρματος, ὁποῖον ἐπὶ τῶν ὄφεων τὸ καλούμενον γῆρας.

Κεφ. ιγ΄. Τῶν δ᾽ ἄλλων ὄγκων τῶν παρὰ φύσιν οὐδενὸς μὲν ἠξίωσά σοι γραφῆναι χειρουργίαν· ἔλαβες γὰρ

raneis omnibus ac cute etiam exemptis, postea aqua abluto eorum corpore. Sed hactenus quidem nec aliter sane, quum antidotum, ut vocant, theriacam temperantes facimus: caeterum dissimiliter coquimus. In theriaca quidem anethum et salis exiguum in aqua miscemus. In elephantiasi vero non aliter quam anguillas ex albo jure in olla paramus, quod ad hunc modum fit. Aqua large *in ollam* conjicitur et olei exiguum, cum quo et anethum et porrum. Certum autem est viperarum carnes tantisper esse incoquendas, dum plane molles reddantur. Compositum autem ex his medicamentum, quod theriacam antidotum vocant, utiliter in ejusmodi affectu bibitur, atque etiam si lubuerit cuti illinitur. Peractis enim omnibus his aliquando squama e cute, quemadmodum quae senecta dicitur ex anguibus, resolvitur.

Cap. XIII. Aliorum autem tumorum praeter naturam nullius curandi rationem per chirurgiam ad te scri-

δοκιμώτατα τῶν παρ' ἡμῖν φαρμάκων. ἐπὶ μὲν χοιράδων τά τε προστέλλειν καὶ ξηραίνειν δυνάμενα καὶ διαπυΐσκειν. ἐπὶ δὲ μελικηρίδων ὅσα καὶ ταύτας διαφορεῖ καὶ πύου διαφορητικὰ φάρμακα καὶ ὕδατος ἐν ὀσχέῳ τε καὶ κατ' ἐπιγάστριον ἔλαβες, ὡς κἀπὶ τῶν ὑδερικῶν κεχρῆσθαι. διττὸς γὰρ καὶ τούτων ὁ σκοπὸς, ἰᾶσθαί τε τοῦ σπλάγχνου τὸν σκίῤῥον καὶ διαφορῆσαι τὸ συνειλεγμένον ὑγρόν. εἴρηται δ' ἔμπροσθεν ἡ τῶν σκιῤῥουμένων σπλάγχνων θεραπεία. ὥστε καὶ ἡ τῶν ὑδέρων ἴασις εἰς τρεῖς τούτους ἀνάγεται σκοποὺς, ἰᾶσθαι τοῦ σκιῤῥουμένου σπλάγχνου τὸν σκίῤῥον, ἐπιθέμασί τε καὶ διαφοροῦσι τὴν ὑγρότητα χρῆσθαι· φάρμακά τε πίνειν διουρητικά. ταῦτα μὲν οὖν εἰς ἀποδημίαν σοι μακρὰν στελλομένῳ νομίζω συμμέτρως ἔχειν. ἐὰν δὲ, ὡς προείρηται, καὶ τὴν ἐπὶ τῶν κατὰ γένος καὶ τόπους πεπονθότας φαρμάκων πραγματείαν ποιήσωμαι, κἀκείνην ἕξεις ἐπανελθὼν ἐκ τῆς ἀποδημίας. ἔστι δὲ καὶ ἄλλη μεγάλη πραγματεία τῶν ἑταίρων

bendam effe duxi, quum tu probatiffima medicamenta a nobis acceperis. Ad ftrumas quidem quae repellere, exiccare et pus movere queant. Ad meliceridas vero, et quae has difcutiant et medicamenta pus difcutientia et aquam in fcroto et abdomine et ut his in hydropicis uti oporteat didicifti. Horum autem geminus fcopus eft, nempe vifceris fcirrhum curare et collectam humiditatem per difcuffionem vacuare. De fcirrhoforum autem vifcerum curatione ante difputavimus. Itaque hyderi curatio ad hos tres fcopos reducitur, nempe ut vifceris fcirrhum contrahentis fcirrhus fanetur, medicamenta quae humiditatem difcutiant imponantur, et quae urinam cient in potu dentur. Haec quidem tibi ad longam peregrinationem accincto fat effe arbitror. Si vero, ut ante dixi, opus de medicamentis fecundum genera et affectos locos fcripfero, illud quoque a tua peregrinatione reverfus ex me accipies. Aliud autem magnum opus de univerfa curandi ratione efflagitantibus amicis confcribetur

Ed. Chart. X. [391.] Ed. Bas. IV. (220.)
ἀξιωσάντων ἁπάσης τῆς θεραπευτικῆς μεθόδου. κατεχομένῳ δ' ἐπὶ πλέον ἔξω σοὶ πέμπειν οὐκ ὀκνήσω τῶν γραφομένων ἡμῖν ὑπομνημάτων ἕκαστον.

Quod si in ea peregrinatione diutius detinearis, omnes quotquot scripserimus commentarios ad te mittere non gravabimur.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΦΛΕΒΟΤΟΜΙΑΣ ΠΡΟΣ ΕΡΑΣΙΣΤΡΑΤΟΝ ΒΙΒΛΙΟΝ.

Ed. Chart. X. [392.] Ed. Baf. IV. (1.)

Κεφ. α΄. Ἄξιον εἶναί μοι δοκεῖ ζητήσεως οὐ σμικρᾶς τί δή ποτε καὶ τἄλλα τῆς τέχνης ἱκανὸς ὢν ὁ Ἐρασίστρατος, κἀν τοῖς σμικροτάτοις οὕτως ἐπιμελὴς ὥστε καὶ λαχάνων τινῶν καὶ καταπλασμάτων ἑψήσεις γράφειν, ἐφ᾽ ὧν ἤρκεσεν ἂν ἑτέρῳ πρὸς ὅ τι συμφέρει μόνον εἰπόντι τὸν τρόπον τῆς σκευασίας παραλιπεῖν, ὡς οὐδὲν μέγα καὶ αὐτόν τινι τῶν ἐντυγχανόντων ἐξευρεῖν, ἐν οὕτως ἰσχυρῷ καὶ μεγάλῳ βοηθήματι τῇ φλεβοτομίᾳ καὶ οὐδενὸς ἧττον τῶν δραστικωτάτων εὐδοκιμοῦντι παρὰ τοῖς πρεσβυτέροις αὐτοῦ λόγον

GALENI DE VENAE SECTIONE ADVERSVS ERASISTRATVM LIBER.

Cap. I. Quaeſtione haud parva dignum eſſe mihi videtur, cur tandem Eraſiſtratus tum in aliis artis partibus abunde verſatus, tum in minimis adeo diligens, ut etiam olerum quorundam et cataplaſmatum coctiones ſcriptis mandarit, in quibus abunde erat, ubi ad quid conferrent tantum explicaſſet, alteri confectionis modum relinquere, tanquam nihil magnum et vulgare inveniendum, de ſanguinis miſſione praeſidio tam valido ac magno, quodque nihilo minus quam efficaciſſima remedia ſeniores commendarunt, nullam

οὐδένα πεποίηται. σχεδὸν γὰρ οὔτε τοὔνομα τῆς φλεβοτομίας ἐστὶν εὑρεῖν ἐν οὐδενὶ συγγράμματι, πλὴν ἅπαξ ἐν τῷ περὶ αἵματος ἀναγωγῆς, ἐπιμνησθέντος αὐτοῦ κατὰ τὸ πάρεργον μᾶλλον, ὡς ἄν τῳ δόξειε, ἢ μετά τινος ἀξιολόγου σπουδῆς· μάθοις δ' ἂν ἐξ αὐτῆς τῆς ῥήσεως ἐχούσης ὧδε· ἀποδέσεις δὲ ποιεῖσθαι παρά τε τὰς μασχάλας καὶ τοὺς βουβῶνας μὴ ὥσπερ ἔνιοι τῶν μιμουμένων τὰς θεραπείας οὐδὲν παρακολουθοῦντες αἵματος χάριν ταῦτα ποιοῦνται, ἀλλ' ἀποπιέζονται ἱκανῶς τοῖς δεσμοῖς. ἐν γὰρ τοῖς ἀποδουμένοις μέρεσι τοῦ σώματος πλεῖον αἷμα ἀπολαμβάνεται· δηλοῖ δὲ ἥ τε διάτασις τῶν φλεβῶν καὶ ἡ φλεβοτομία· πολὺ γὰρ πλεῖον ῥεῖ, [393] ὅτε ἀποδεθῇ τὸ φλεβοτομούμενον μέρος τοῦ σώματος. ἐπὶ δὲ τῆς ἀναγωγῆς τοῦ αἵματος πλεῖστον ἀπολαμβάνεται τοῦ αἵματος ἀπὸ τῆς ἀποδέσεως ἔν τε τοῖς σκέλεσι καὶ τοῖς βραχίοσιν. ἐλάσσονος γὰρ γινομένου τοῦ περὶ τὸν θώρακα καὶ ἐλαφροτέρα ἔσται ἡ ἀναγωγή. τὸ δ' αὐτὸ τοῦτο βούλονται ποιεῖν καὶ οἱ φλεβοτομοῦντες τοὺς ἀνάγοντας τὸ αἷμα. ἀλλὰ πολὺ βέλτιον ὁ Χρύσιππος, οὐ μόνον τὸ παρὸν

mentionem fecerit. Quippe neque nomen fere detractionis sanguinis in nullo ipsius commentario invenias, praeterquam semel in sermone de sanguinis eductione, ubi tamen obiter magis, ut alicui videri possit, quam ex insigni quodam studio meminit, id quod ex verbis ipsius disces, quae hunc in modum habent: *Deligaturas moliri oportet ad alas et inguina, non sicut nonnulli qui curationes imitantur, non intelligentes se sanguinis gratia haec facere, quem tamen abunde vinculis exprimunt. Nam in partibus corporis deligatis copiosior sanguis recipitur, id quod indicat venarum distentio et venae sectio; multo enim largius fluit, quum corporis pars, cujus vena secatur, fuerit deligata. At in eductione sanguinis plurimum sanguinis recipitur tum in cruribus tum in brachiis, si deligatura facta vinculis excipiatur. Nam ubi paucior sit is qui in thorace est, levior quoque erit eductio. Idem hoc moliri volunt etiam qui sanguinem rejicientibus venam secant, sed multo melius Chry-*

ἐπιβλέπων, ἀλλὰ καὶ τοῦ ἐπιφερομένου κινδύνου φροντίζων. ἐχόμενος γὰρ τοῦ περὶ τὴν ἀναγωγὴν ὁ κατὰ τὴν φλεγμονὴν κίνδυνος, ἐν ᾧ προσφέρειν μὲν οὐ ῥᾴδιον· φλεβοτομηθέντι δὲ καὶ πολὺν χρόνον ἀσιτήσαντι κίνδυνος ἐκλυθῆναι· ὁ δὲ τὴν ἐνυπάρχουσαν τροφὴν ἐν τῷ σώματι κατεργαζομένην εἰς τόπους ἀλύτους μεταστησάμενος, καθ᾽ ὃν καιρὸν ὁ τῆς ἐκλύσεως κίνδυνος· ὅταν δὲ οὕτως παραλλάξῃ, ἐξ ἑτοίμου ταῦτ᾽ ἤδη χρώμενος καὶ μὴ προσφέρειν ἀναγκαζόμενος, ἄκρως περιττὸς τῇ διανοίᾳ καὶ ἄξιος ἐπαίνου καὶ δι᾽ ὅλου ἀκολουθῶν αὐτὸς ἑαυτῷ. ὅτι μικρὰ ταῦτα καὶ τὰ τυχόντα, καὶ οὔτε τῆς Ἐρασιστράτου περὶ τὴν τέχνην ἀκριβείας οὔτ᾽ αὐτοῦ τοῦ βοηθήματος τῆς δυνάμεως ἄξια, παντὶ δῆλον. εἰ μὲν μήτε παρ᾽ Ἱπποκράτει μήτε παρὰ Διοκλεῖ μήτε παρ᾽ Εὐρυφῶντι μήθ᾽ ὅλως παρ᾽ ἄλλῳ μηδενὶ τῶν Ἐρισιστράτου πρεσβυτέρων ἦν εὑρεῖν τὸ βοήθημα γεγραμμένον, ἴσως ἄν τις ὑπενόησεν, εἰ μήπω τῆς χρήσεως εὑρημένης ἢ μὴ παρὰ τοῖς ἐνδόξοις εὐδοκιμούσης, εὐλόγως αὐτὸν παραλιπεῖν. ἐπεὶ δὲ εὕροιντο ἄλλοι καὶ πολλή

sippus, non solum id quod praesens est respiciens, verum etiam de imminenti periculo solicitus. Etenim periculo quod ex eductione sanguinis accidit proximum est illud, quod inflammatio adfert, in quo offerre cibum sane non facile est. At ei qui venae sectionem expertus est et longo tempore inediam toleravit, periculum imminet ne exolvatur. Chrysippus *autem, qui alimentum quod in corpore inest confectum in locos non solutos transtulerit, quo tempore exolutionis periculum est, ubi autem ex promptu sic traduxerit, tunc utatur, offerre* id non coactus summe prudens *et laude dignus est, sibique per totum consentaneus.* Quod exigua haec et vulgaria neque Erasistrati in arte diligentiam testentur, neque ipsius praesidii viribus digna existant, omnibus manifestum est. At si neque apud Hippocratem neque Dioclem neque Euryphontem neque omnino alium quemquam Erasistrato seniorem remedium hoc scriptum esset, invenire forte aliquis cogitaret, si nondum usus fuerit inventus, neque a claris viris probatus, bona ratione ipsum omisisse. Quia vero inveniuntur alii *apud quos scri-*

τις χρῆσις ἤδη τοῦ βοηθήματος ἦν, οὐκ ἐφ' ἑνὸς μόνου οὐδὲ τοῦ τυχόντος πάθους, ἀλλ' ἐπὶ τῶν πλείστων τε καὶ ὀξυτάτων, οὕτως γὰρ ὁ Ἱπποκράτης γε αὐτὸς, ὁ τῶν καλῶν τῆς τέχνης ἁπάντων ἡμῖν ἡγεμὼν, οἵ τ' ἄλλοι παλαιοὶ φαίνονται χρώμενοι. τί δή ποτε παθὼν ὁ Ἐρασίστρατος ἠμέλησε τελέως τὸν ὑπὲρ αὐτῆς διεξελθεῖν λόγον; καὶ γὰρ ἀρεσκόμενον ἐχρῆν ἐπισημαίνεσθαι τοῖς πάθεσιν αὐτὸ προσαναγράψαντα, καθάπερ τἄλλα βοηθήματα, καὶ ἀρεσκομένου εἰπεῖν αἰτίαν δι' ἣν ἀρέσκεται. ὁ δὲ τοσοῦτον ἀποδεῖ τὸν λόγον ὑποσχεῖν περὶ τῆς τοῦ βοηθήματος δυνάμεως, ὥστ' οὐδ' ὅτι χρηστέον ἢ μὴ χρηστέον ἐμήνυσεν, οὐδ' ὅλως ἐτόλμησεν ἀποφήνασθαι ἣν ἔχει γνώμην πλὴν ἅπαξ, ὡς εἶπον, ἐφ' ἑνὸς πάθους, καίτοι κἀξ αὐτῶν ὧν σιωπᾷ καταφωρον αὐτοῦ τῆς γνώμης τὸ κεφάλαιον. οὐ γὰρ δὴ ἀρεσκόμενόν γ' ἂν αὐτῷ παρέλιπεν, οὐδὲ τὰ μὲν σμικρὰ τῶν τοῖς πάθεσιν συμφερόντων γραφῆς ᾤετο δεῖσθαι, τὰ δ' οὕτω μεγάλα δύνασθαί τινα καὶ χωρὶς τοῦ παρ' ἐκείνου μαθεῖν αὐτὸν ἐξευρεῖν.

Κεφ. β'. Ἡ δ' αἰτία δι' ἣν οὐκ ἐχρῆτο φλεβοτομίᾳ, τὸ μὲν ἀληθέστατον φάναι, τάχ' ἄν τῳ δόξειε μαντείας δεῖ-

ptum est, et multus jam praefidii ufus erat, non in uno tantum neque vulgari affectu, fed in plurimis et acutiffimis, fic enim Hippocrates ipfe, qui omnium artis bonorum auctor nobis eft, et alii veteres uti apparent, quid tandem Erafiftrato accidit, ut prorfus illius meminiffe neglexerit? Etenim num in affectibus quibusdam ipfum adhibere conveniat, quemadmodum et alia remedia, et cur conveniat, caufam indicare debebat. Sed ne innuit quidem utrum eo utendum fit, an minus, tantum abeft ut fermonem de illo inftituerit; imo non aufus eft plane fententiam fuam pronunciare, nifi femel, ut dixi, in uno affectu licet ex iis quae fubticet fententiae ipfius fumma deprehendatur; non enim fi ei placeret, omififfet, neque exigua fane affectuum remedia fcriptis indigere putaffet, adeo vero magna poffe aliquem, etiam fi non ab illo difceret, per fe invenire.

Cap. II. Caufa vero propter quam fectione venae ufus non eft, ut fane veriffime dicam, alicui forfan divina-

σθαι. τί γὰρ ἄν τις εἰδείη πῶς Ἐρασίστρατος ἐγίνωσκεν ὑπὲρ ὧν αὐτὸς οὐδὲν ἐμνημόνευσε διεξοδικῶς; ὅμως δ' οὖν ἐτόλμησάν τινες ἀπομαντεύσασθαι τῆς γνώμης αὐτοῦ. καιάφωροι δ' εἰσὶν ἁμαρτάνοντες οὐχ ἥκιστα ἐξ ὧν πρὸς ἀλλήλους διαφέρονται. δοκεῖ γὰρ αὐτῶν οὐδενὶ τὰ αὐτὰ, καὶ τὸ πάντων δεινότατον, ὅτι μηδ' αὐτοῖς τοῖς συμφοιτηταῖς μὲν τοῦ Ἐρασιστράτου, μαθηταῖς δὲ Χρυσίππου τοῦ Κνιδίου, οὗπερ δὴ πρώτου τὸ δόγμα τοῦτ' ἦν, μὴ χρῆσθαι φλεβοτομίᾳ· οὐδὲ γὰρ ἐκείνοις ὁμολογεῖται περὶ τῆς Χρυσίππου γνώμης οὐδέν. ἀλλὰ τὰ μὲν ὑπό τε Ἀποιμάντου καὶ Στράτωνος εἰρημένα καταγέλαστα. [394] καὶ γὰρ τὸ σχάσαι τὴν φλέβα δύσκολον εἶναί φασιν καὶ τὸ διαγνῶναι καὶ τὸ διαιρῆσαι τὴν ἀρτηρίαν αὐτὴν, μετὰ δ' ἐν τούτῳ κακὸν ἀποβαίνει, εἰ ἀντὶ φλεβὸς ἀρτηρίαν διαιρεῖσθαι συμβαίνει· καὶ ὅτι δείσας τις ἔθανεν, ὁ μὲν καὶ πρὸ τοῦ τμηθῆναι τὸ ἀγγεῖον, ὁ δὲ καὶ τμηθεὶς οὐκ ἀνεκομίσθη· καὶ ὅτι ἡμοῤῥάγησέ τις ἀνεπισχέτως· τὰ δ' ὑφ' ἑτέρων λεγόμενα, τῶν μὲν, ὅτι τοῦ μέτρου τῆς

tione indigere videbitur. Quomodo enim quis fcire poffit, quid Erafiftratus fenferit de illis, quorum ipfe nusquam late fufeque meminit? attamen nonnulli fententiam ipfius divinare non funt veriti. Verum iidem errare maxime deprehenduntur, inde quod inter fe fententiis difcrepent. Siquidem nullus ipforum eadem fentit, et quod omnium graviffimum eft, ne ipfis quidem commilitonibus Erafiftrati, difcipulis autem Chrifippi Cnidii eadem videntur, cujus primi hoc dogma erat fanguinis detractione non uti, neque enim inter illos de Chryfippi fententia convenit. Sed quae fane ab Apoemante et Stratone dicta funt, plane ridicula funt. Nam fcarificare venam grave effe pronunciant, item dignofcere dividereque ipfam arteriam, quod improfpere cedit, fi venae loco arteria dividatur, item quod metu aliquis mortuus fit, alius etiam antequam vas divideretur, aliquis eo fecto non ad fe redierit, item quod alicui fanguis adeo fluxerit, ut fifti non poffet; accedunt huc quae ab aliis dicuntur, nempe menfuram evacuationis conjectura affequi effe

κενώσεως ἐστοχάσθαι χαλεπὸν, ὥστε ἀναγκαῖον ἢ ἐνδεῶς κενώσαντι μηδὲν εἶναι πλέον ἢ τὸ σύμμετρον ὑπερβαλόντι μεγίστην ἀκολουθῆσαι βλάβην. τί γὰρ ἂν ἀποδέοι, φασὶ, σφαγῆς ἄμετρος φλεβοτομία; τῶν δὲ, ὅτι παρέμπτωσις τοῦ πνεύματος ἐκ τῶν ἀρτηριῶν εἰς τὰς φλέβας γένοιτ' ἂν, ἀκολουθήσει γὰρ ἐξ ἀνάγκης κατὰ τὰς συναναστομώσεις τοῦ αἵματος κενουμένου τὸ πνεῦμα· τῶν δ', ὅτι τοῦ πάθους τῆς φλεγμονῆς ἐν ἀρτηρίαις συνισταμένου, περιττὸν ἐκκενοῦν τὰς φλέβας. τὰ δὲ τοιαῦτα κἂν εἴ τινι ἔδοξεν εἶναι πιθανὰ, κατά γε τὴν ἀλήθειαν αὐτὴν οὔτε πιθανὸν οὐδὲν ἔχει καὶ ψευδῆ φανερῶς ἐστι· πολλῷ γὰρ ἂν ἦσαν πιθανώτεροι ταῦτα λέγοντες ἅπερ ἑτέροις τισὶν ἐκ τῆς τῶν χυμῶν φύσεως ὁρμωμένοις εἴρηται. καὶ τάχ' ἂν ἴσως καὶ δέοιτό τις πρὸς ἐκείνους λόγου πλείονος, ἀλλ' οὐ νῦν καιρός· εἰς μακρόν τε γὰρ οὕτω λόγον μῆκος ἐκπεσεῖν ἀνάγκη, καὶ ἄλλως οὐδὲν κατεπείγει τὰ μήθ' ὑπ' Ἐρασιστράτου μήθ' ὑπ' ἄλλου τινὸς τῶν Χρυσίππου μαθητῶν εἰρημένα νῦν ἐπιχειρεῖν ἐξελέγχειν.

Κεφ. γ΄. (2) Ἄριστα οὖν μοι δοκῶ διαθέσθαι τὸν

difficile, ut neceffarium fit, ut vel qui parum evacuat promoveat nihil, vel qui modum excedit haud mediocrem noxam inferat. Quid enim, inquiunt, abeft immoderata fanguinis miffio a caede? nonullis, quod fpiritus ex arteriis in venas concidentia fieri poffet; fequetur enim neceffario fpiritus fanguine per mutuas ofculationes evacuato; nonnullis, quod affectu inflammationis in arteriis confiftente venas evacuare fit fupervacuum. At ejusmodi quamvis alicui probabilia effe videantur, re vera nihil habent probabile et falfa manifefto funt; multo enim fide digniores effent qui ea dicunt quae alii nonnulli ex humorum natura impulfi pronunciarunt, et forte aliquis longiorem adverfus illos orationem requiret, fed hujus temporis non eft, quippe in prolixitatem ita fermonem incidere effet neceffe. Praeterea nihil alioquin cogit ut vel Erafiftrati vel alterius cujusdam Chryfippi difcipulorum dicta redarguere aggrediamur.

Cap. III. Optime igitur fermo procedere mihi vide-

λόγον, εἰ τἄλλα παραλιπὼν ἀπ᾿ αὐτῶν ἀρξαίμην τῶν Ἐρασιστράτῳ δοκούντων· εἰρήσεται δ᾿ ὡς ἔνι μάλιστα διὰ βραχυτάτων. ἀρέσκει δὲ αὐτῷ πνεύματος μὲν ἀγγεῖον εἶναι τὴν ἀρτηρίαν, αἵματος δὲ τὴν φλέβα· σχιζόμενα δ᾿ ἀεὶ τὰ μείζω τῶν ἀγγείων εἰς ἐλάττονα μὲν τὸ μέγεθος, ἀριθμὸν δὲ πλείω καὶ πάντη τοῦ σώματος ἐνεχθέντα, μηδένα γὰρ εἶναι τόπον ἔνθα μὴ πέρας ἀγγείου κείμενον ὑπάρχει, εἰς οὕτω σμικρὰ πέρατα τελευτᾷν, ὥστε τῇ μύσει τῶν ἐσχάτων στομάτων κρατούμενον ἐντὸς αὐτῶν ἴσχεσθαι τὸ αἷμα· καὶ διὰ τοῦτο καίτοι παρακειμένων ἀλλήλοις τοῦ στόματος τοῦ τε τῆς φλεβὸς καὶ τῆς ἀρτηρίας, ἐν τοῖς ἰδίοις ὅροις μένειν τὸ αἷμα μηδαμόθι τοῖς τοῦ πνεύματος ἐπεμβαῖνον ἀγγείοις. μέχρι μὲν δὴ τοῦδε νόμῳ φύσεως διοικεῖσθαι τὸ ζῶον· ἐπεὶ δέ τις αἰτία βίαιος ἐκ τῶν φλεβῶν εἰς τὰς ἀρτηρίας τὸ αἷμα μεταχθῆναι, αὐτὸ νοσεῖν ἀναγκαῖον ἤδη. αἰτίας δὲ καὶ ἄλλας τινὰς καὶ οὐδεμιᾶς ἐλάττω τὸ πλῆθος εἶναι τοῦ αἵματος, ὑφ᾿ οὗ διατείνεσθαι μὲν τὸν χιτῶνα τῆς φλεβὸς, ἀναστομοῦσθαι δὲ τὰ πρότερον μεμυκότα πέρατα, μεταχεῖσθαι δὲ εἰς τὰς ἀρτηρίας τὸ αἷμα, κἀντεῦθεν τῷ παρὰ καρδίας φερομένῳ πνεύματι

bitur, si aliis omissis ab ipsis Erasistrati placitis exordiar; dicetur autem quam licet brevissime. Placet ei arteriam vas esse spiritus, venam autem sanguinis, majora autem vasa in minorem propaginem diffundi et numerosiorem, per totumque corpus deferri; nullum enim esse locum ubi non extremum vasis situm in tam exiles terminos desinat, ut extremorum osculorum conniventia contentus in ipsis sanguis coerceatur, atque idcirco licet ora tum venae tum arteriae sibi mutuo vicina sint, sanguis in propriis permanet terminis, nusquam spiritus vasa ingrediens. Atque hactenus sane lege naturae animal dispensatur, quia vero causa quaedam violenta ex venis in arterias sanguinem traducit, aegrotare jam necesse est. Jam causas etiam alias quasdam et nihilo minus copiam esse sanguinis, a qua distendi sane venae tunicam, adaperiri autem extrema, prius conniventia. ac sanguinem in arterias transfundi atque inde in spiritum qui a corde fertur illidere, contraque hunc incumbere motum il-

προσκόπτον καὶ ἐφιστάμενον, ἀλλοιοῦντι τὴν ἐκείνου κίνησιν, ἡνίκ' ἂν ἐγγὺς ᾖ καὶ κατ' εὐθὺ τῆς ἀρχῆς καὶ τοῦτ' εἶναι τὸν πυρετόν· ὠθούμενόν τε ὑπ' αὐτοῦ πρόσω σφηνοῦσθαι κατὰ τὰ πέρατα τῶν ἀρτηριῶν καὶ τοῦτ' εἶναι τὴν φλεγμονήν. οὕτω μὲν ἐπὶ πλήθει φλεγμονὴν ἐργάζεται τῷ λόγῳ τῷδε, ἐπὶ τραύμασι δὲ φλεγμονὴν αἰτιᾶται μὲν, κἀνταῦθα τὴν παρέμπτωσιν ἐκ τῶν φλεβῶν εἰς τὰς ἀρτηρίας τοῦ αἵματος, αὐτῆς δὲ τῆς παρεμπτώσεως αἰτίαν εἶναί φησι τὴν πρὸς τὸ κενούμενον ἀκολουθίαν. ὅταν γὰρ τῶν ἐν τῷ τετρωμένῳ μέρει διαιρεθεισῶν ἀρτηριῶν ἐκχυθῇ, κατὰ τὴν τρῶσιν ἅπαν τὸ πνεῦμα καὶ κίνδυνος ᾖ κε[395]νὸν γενέσθαι τόπον, ἕπεσθαι κατὰ τὰς συναναστομώσεις τὸ αἷμα, τοῦ κενουμένου πνεύματος τὴν βάσιν ἀναπληροῦντος· ἀνεῳγότος μὲν οὖν τοῦ πνεύματος ἐκχεῖσθαι, κλεισθέντος δὲ καὶ μύσαντος ἔνδον ὠθούμενον ὑπὸ τοῦ παρὰ καρδίαν ἐπιπεμπομένου πνεύματος ἀθροίζεσθαι πάλιν ἅπαν ἐν τοῖς περὶ τὸ τραῦμα τόποις, καὶ τὴν φλεγμονὴν οὕτως ἐργάζεσθαι. ἄγε δὴ, συγχωρήσομεν γὰρ αὐτὸν κατά γε τὸ παρὸν ἀληθεύειν ἅπαντα περί τε πυρετοὺς καὶ φλεγμονὰς, καίτοι γ' ὅτι μηδὲν αὐτῶν ἀληθές ἐστιν ἐν

lius immutantem, ubi prope fuerit et e directo principii, atque hanc eſſe febrem; item propulſum ab eo prorſum in arteriarum extremis conſtringi, atque hanc eſſe inflammationem. Ita ſane ex copia inflammationem effici hac ratione. In vulneribus inflammationem cauſatur ſane et hic concidentiam ſanguinis ex venis in arterias, ipſius porro concidentiae cauſam eſſe dicit conſequentiam ad id quod evacuatur. Quum enim ex arteriis in vulnerata parte diviſis ſpiritus totus inter vulnerandum evanuerit, ac periculum ſit ne locus fiat vacuus, per mutuas oſculationes ſanguinem ſequi, ſpiritu qui baſin replet evacuato: itaque vaſe reſerato ſpiritum effundi, clauſa autem et connivente intro propulſum a ſpiritu qui a corde emittitur, rurſus totum in locis vulneri vicinis colligi, atque ita generari inflammationem. Age jam, donabimus enim ipſum in praeſentia omnia de febribus et de inflammatione vera dicere, etſi quod nullum ex ipſis

ἑτέροις ἀπεδείξαμεν, ἐφεξῆς ἡμᾶς διδαξάτω τὰ ἰάματα. φησὶ γοῦν αὐτὸς ἔν τε ἄλλοις πολλοῖς, κἀν τῷ τρίτῳ περὶ πυρετῶν κατὰ λέξιν οὕτω· περὶ μὲν οὖν τὰς ἀρχὰς τῶν ἀῤῥωστιῶν καὶ τὰς τῶν φλεγμονῶν γενέσεις ἀφαιρετέον ἂν εἴη πᾶσαν προσφορὰν ῥοφημάτων· καὶ γίνονται ὡς τὸ πολὺ αἱ τοὺς πυρετοὺς ποιοῦσαι τῶν φλεγμονῶν διὰ πληθώραν. διδομένων οὖν ἐν τοῖς τοιούτοις καιροῖς προσφορῶν καὶ τῆς πέψεως καὶ ἀναδόσεως τὰς καθ' αὑτὰς ἐνεργείας ἀποδιδουσῶν, πληρουμένων τῶν ἀγγείων τῆς τροφῆς, ἐπὶ πλέον τε ἰσχυροτέρας συμβήσεται τὰς φλεγμονὰς γίνεσθαι. ταῦτα μὲν ὑπὲρ τῶν περὶ πλήθει χωρὶς τραύματος γιγνομένων φλεγμονῶν· ὑπὲρ δὲ τῶν ἐπὶ τραύμασιν ἐν πρώτῳ πάλιν περὶ πυρετῶν ὧδέ πώς φησιν. ἀκόλουθοι δὲ καὶ θεραπεῖαι τούτοις εἰς τὸ ἀφλέγμαντα πάντα γίνεσθαι τὰ τραύματα· καὶ τῶν φαρμάκων τὰ μὲν περιχριόμενα ἐπὶ τοὺς ὑγιεῖς τόπους ἀποστύφοντα καὶ μύοντα κωλύει τὴν συνίωσιν τοῦ ἄνωθεν κεχυμένου αἵματος ἐπὶ τοὺς διῃρημένους τόπους γίνεσθαι. ἐν δὲ τοῖς ἀπαθέσι τόποις πολλῶν ἀνεστομωμένων ἀρτηριῶν τε καὶ φλεβῶν εἰς τοὺς αὐτοὺς τόπους μετάληψις γίνεται εἰς τὰς φλέβας τοῦ παρεμπεπτωκότος

verum fit alibi demonftraverimus, deinceps nos doceat remedia. Ait itaque ipfe tum in aliis multis tum in tertio de febribus ita ad verbum. *Circa initia morborum et inflammationum generationes forbitiones in totum circumcidendae funt, ac fiunt magna ex parte inflammationes, quae febres inferunt ex plethora, in quibus temporibus quum cibi dantur et concoctio diftributioque munia fua obeunt, vafis alimenti infigniter repletis, validiores inflammationes generantur.* Haec fane de inflammationibus, quae ex copia citra vulnus nafcuntur, quae vero ex vulneribus proveniunt in primo rurfus libro de febribus hunc in modum fcribit: *Curationes his confentaneae, ut vulnera omnia citra inflammationem conferent, nam medicamentorum alia inuncta locis fanis, adftringendo reprimendoque fanguinis ex fuperiori parte effufi impetum ad divifos locos fieri prohibent, ex fanis autem locis, quum multae et arteriae et venae ofculis hient, in ipfos locos affectos fit tranffumptio,*

αἵματος εἰς τὰς ἀρτηρίας. εἶτα ἐφεξῆς πάλιν ἀκόλουθον τούτοις καὶ τὸ μηδὲν προσφέρειν τοῖς τετραυματισμένοις ὑπὸ τοὺς τῆς φλεγμονῆς καιρούς. κενούμεναι γὰρ αἱ φλέβες τῆς τροφῆς ῥᾷον παραδέξονται τὸ παρεμπεπτωκὸς αἷμα εἰς τὰς ἀρτηρίας. τούτου δὲ συμβαίνοντος ἧττον αἱ φλεγμοναὶ ἔσονται. οὐκοῦν ὅτι μὲν χρὴ κενῶσαι τὸ πλῆθος καὶ ὅτι δέξασθαι πάλιν εἰς ἑαυτὰς αἱ φλέβες οὐκ ἂν δύναιντο τὸ αἷμα μεσταὶ τυγχάνουσαι καὶ διατεταμέναι, συμφωνεῖται τοῦτό γε καὶ αὐτῷ τῷ Ἐρασιστράτῳ. τὸ δὲ ὅτῳ χρὴ τρόπῳ κενῶσαι αὐτὰς τὸ ἀμφισβητούμενόν ἐστιν.

Κεφ. δ'. Ἐγὼ μὲν οὖν ᾤμην, ἐπειδὴ ἅπαξ τὸ κενούμενον ὡμολόγηται, ῥᾷστόν τε ἤδη καὶ ἑτοιμότατόν ἐστιν τεμεῖν τὴν φλέβα· καὶ γὰρ ἂν τάχιστα οὕτω καὶ αὐτὰς μόνας τὰς φλεγμονὰς ἐξεκενώσαμεν, ὡς αἵ γε ἀσιτίαι πρὸς τῷ χρόνου δεῖσθαι μακροῦ καὶ ὅλην τὴν ἕξιν κενοῦσιν ὁμοίως· τὸ δὲ οὐ χρή. τί γὰρ ἄν τις κενοίη τὸ μὴ δεόμενον κενώσεως ἢ τί τὰς σάρκας ἐκτήκοι, παρὸν ἀποχεῖν τοῦ αἵματος; ἵνα τἄλλα ὅσα ταῖς μακραῖς ἀσιτίαις ἐξ ἀνάγκης ἕπεται κακὰ παρα-

fanguine ex venis in arterias elapfo. Deinde rurfus confentaneum his eft nihil offerre vulneratis per inflammationis tempora, fiquidem venae alimento vacuae facilius fanguinem in arterias concidentem recipient. Quod ubi fit, minus erunt inflammationes. Proinde quod quidem copia evacuanda fit, quodque venae plenae et diftentae nequeant rurfus fanguinem in fe recipere, id etiam cum ipfo Erafiftrato confentit. At quomodo eas vacuare oporteat, de hoc ambigitur.

Cap. IV. Ego itaque putavi, quum fanguinem evacuari in confeffo fit, et facillimum jam et promptiffimum effe venam fecare, etenim celerrime ita et ipfas folas inflammationes evacuavimus, quum inediae praeterquam quod longo tempore indigeant, etiam totum habitum fimiliter evacuent; hoc autem non convenit. Cur enim quis evacuet id quod evacuatione non indiget? vel cur carnes eliquet, quum liceat fanguinem effundere? ut alia incommoda omittam, quae

λείπω, τήν τε δύναμιν κάμνουσαν καὶ τοὺς χυμοὺς ἐπὶ τὸ χολῶδες καὶ πικρὸν τρεπομένους καὶ καρδιωγμοὺς πολλοὺς καὶ ἄσην καὶ διαχώρημα ἰσχόμενον, καὶ πάνθ᾽ ἁπλῶς τὰ περιττώματα δριμύτερα γιγνόμενα, ὧν οὐδὲν ὁ Ἐρασίστρατος ἰδὼν, ὥσπερ οἱ τυφλοὶ, λείας ὁδοῦ καὶ πλατείας καὶ εὐθείας ἐγγὺς οὔσης πολλάκις στενὴν καὶ τραχεῖαν καὶ μακρὰν ἑλόμενοι περιέρχονται· καὶ αὐτὸς οὕτω παρακειμένην ὁδὸν σύντομον ἱκανῶς καὶ ἄλυπον παριδὼν ἐπὶ μοχθηρὰν καὶ μακρὰν ἐλήλυθεν, τοῦτο μόνον θεασάμενος, εἰ ἐφ᾽ ὃ βούλεται ἄγει αὐτὸν ἡ ὁδὸς, [396] οὐκ ἔτι δὲ εἰ ταχέως καὶ ἀλύπως. ἄγει μὲν γὰρ ἐπὶ τὴν τοῦ πλήθους κένωσιν καὶ ἡ ἀσιτία, σύμφημι τοῦτο, ἀλλ᾽ ἐν χρόνῳ τε μακρῷ σὺν τῷ λυπῆσαι πολλά. καὶ ὅμως τηλικοῦτον βοήθημα παραλιπὼν ὁ σοφὸς Ἐρασίστρατος, ὃν ἀξιοῦσί τινες Ἱπποκράτει παραβάλλειν, οὐκ αἰδεῖται μηδὲν πιθανόν τι καὶ εὔλογον, ἀλλ᾽ ἀπομνημονεύσας ὥσπερ τινὸς τῶν φαυλοτάτων τε καὶ οὐδενὸς ἀξίων. ἀλλ᾽ οὐχ Ἱπποκράτης, ὦ Ἐρασίστρατε, μηδέν τι χείρων ἰατρός σου περὶ φλεβοτομίας

longas inedias neceffario comitantur, vires imbecilles, humores ad biliofum et amarum converfos, multos ftomachi morfus, naufeam, dejectionem impeditam, ac omnia fummatim excrementa acriora maligrioraque reddita, quorum nullum Erafiftratus fciens, quemadmodum caeci, quum via laevis, lata et recta propinqua fit, anguftam faepe, afperam et longam captantes oberrant, ita ipfe quoque juxta fitam viam compendiofam admodum et moleftia carentem praeteriens ad pravam longamque receffit, hoc tantum meditatus, an ad quod velit ipfa ducat, non item an celeriter et citra moleftiam *ducat*. Etenim ad copiae evacuationem etiam inedia conducit, fateor, verum longo temporis proceffu, praeter quod multum moleftet. Attamen tantum praefidium fapiens Erafiftratus omittens, quem nonnulli Hippocrati conferendum cenfent, non veretur nihil probabile et rationi confentaneum adferre, fed mentionem ipfius tanquam praviffimi cujusdam et nullius momenti facit. At non Hippocrates, o Erafiftrate, nulla in re inferior te medicus de mif-

Ed. Chart. X. [396.] Ed. Baſ. IV. (2. 3.)

οὕτως ἐπεγίνωσκεν· ἀλλ᾽ ἃ σὺ θαυμάζεις λόγῳ, ταῦτ᾽ ἔργῳ ποιῶν εὑρίσκεται. θαυμάζεις μὲν γὰρ τὴν φύσιν, ὡς τεχνικήν τε ἅμα καὶ προνοητικὴν τοῦ ζώου, μιμῇ δ᾽ αὐτὴν οὐδαμοῦ· ἢ διὰ τί πολλάκις ἰδὼν αἵματος κενώσει τὴν φύσιν ἰασαμένην πολλὰ νοσήματα, τοῦτο οὐδ᾽ ἐφ᾽ ἑνὸς ἔπραξας οὐδὲ πώποτε; τί δὲ σιγᾷς τὰ τῆς φύσεως ἔργα, ἣν ἐπαινεῖς; διὰ τί παρὰ μὲν Ἱπποκράτει πολλὰ τοιαῦτα εὑρίσκων γεγραμμένα, Γυναικὶ αἷμα ἐμεούσῃ τῶν καταμηνίων ῥαγέντων λύσις· ἀπὸ χολῆς μελαίνης εἰς ὅμοιον αἱμοῤῥοΐδες· αἱμοῤῥαγίαι λαῦροι τὰ πολλὰ ῥύονται ἐκ ῥινῶν· παρὰ σοὶ δὲ οὐδὲν τοιοῦτον, ἀλλ᾽ ἄχρι λόγου μόνου ἐπαινουμένη ἡ φύσις, ἔργον δ᾽ οὐδὲν οὐδαμοῦ φύσεως γεγραμμένον; ἤρκει μοι τὰ τῆς φύσεως μόνης ἔργα μαθεῖν· ἱκανὸς ἂν ἦν ἐκ τούτου ὁρμώμενος εὑρίσκειν τὸ δέον. ἆρά μοι συγχωρήσουσιν οἱ θαυμάζοντές σε τὸ πα(3)ριστάμενον εἰπεῖν, ἢ παντάπασιν ἀνόητός μοι δοκεῖς εἶναι ἢ μικρὰ τοῖς τῆς φύσεως ἔργοις ὡμιληκέναι. τὸ γὰρ ἢ μηδ᾽ ὅλως γινώσκειν αὐτὰ ἢ μὴ ζηλοῦν γινώσκοντα θατέρῳ τοῖν δυοῖν ἔνοχον

ſione ſanguinis ita ſenſit, ſed quae tu admiraris verbis, ea re facere invenitur. Admiraris enim naturam ut artificioſam ſimul et de animali providam, non autem ipſam ullo in loco imitatis, quum ſcias ſaepe ſanguinis evacuatione naturam multos morbos ſanaſſe, id ne in uno quidem unquam feciſti. Cur autem taces naturae opera, quam commendas? cur quum apud Hippocratem multa ejusmodi ſcripta invenias. *Mulieri ſanguinem vomenti, menſtruis erumpentibus, ſolutio; atra bile infeſtatis remedio ſunt haemorrhoides*; item, *larga ſanguinis profluvia magna* ex parte *per nares ſolvuntur*, apud te nihil hujusmodi, ſed naturam verbo tenus tantum commendas, nullum vero opus ipſius usquam ſcripto mandaſti? Mihi autem ſolius naturae opera condiſcere ſatis erat, unde adjutus id quod convenit invenire abunde potui. An mihi concedent qui te admirantur ut id quod res eſt dicam, nempe quod aut mentis inops omnino eſſe videaris aut leviter in naturae operibus verſatus. Alterutri enim obnoxius es; vel neutiquam ea intelligis, vel ſi intelli-

ἐστιν· ἢ γὰρ ἐν οἴκῳ τινὶ καθειργμένος ἔγραφες ταῦτα, μηδένα μηδεπώποτε θεασάμενος ἄῤῥωστον· ὅθεν εἰκότως ἀγνοεῖς τὰ τῆς φύσεως ἔργα, ἐθαύμασας μὲν ἀεὶ οὐκέτ᾽ ἐμιμήσω δεύτερον ἐσχάτως ἀνόητος. εἶτ᾽ εἰ τοίνυν γράφειν ἐπιχειρεῖς, τὸν νόμον τοῦ γράφειν ὑπερβάς· ἐχρῆν σε πρῶτον γράψαι μοι τὰ τῆς φύσεως ἔργα, δεύτερον δ᾽ ἐξηγήσασθαι, τίνα μὲν ὁλοκλήρως καὶ ἀπηρτισμένως τοῖς οἰκείοις λόγοις κινουμένη δρᾷ, τίνα δ᾽ ἐλλιπῶς ὑπὸ τῶν κατὰ τὰς νόσους αἰτιῶν κωλυομένη. ὁδὸς γὰρ αὕτη πρὸς εὕρεσιν ἰαμάτων, ἵνα ἐκμαθὼν τὰ καλῶς ὑπ᾽ αὐτῆς ἀποτελούμενα τούτοις ἐπικουρεῖν δύνωμαι, τὸ λεῖπον προστιθείς· ἢ μηδ᾽ ὅλως κινουμένης, καὶ γὰρ καὶ τοῦτό ποτε πάσχει τῇ ῥώμῃ τῶν νοσωδῶν αἰτιῶν νικηθεῖσα, τὸ πᾶν αὐτὸς ἐκπορίζωμαι· τούτων οὐδὲν ἐπέδειξας. ἴσως γὰρ, ὅπερ φασὶν, ὀλιγωρεῖς μὲν τοὺς ἀῤῥώστους θεᾶσθαι, μένων δ᾽ οἴκοι τὸ δόξαν ἔγραφες. ἀλλ᾽ εἰ καὶ μὴ αὐτὸς ἐθεάσω, τὰ γοῦν ὑφ᾽ Ἱπποκράτους ἐνῆν ἀναγινώσκοντί σοι μανθάνειν ὅσα μὲν ὁλοκλήρως καὶ ἀνελλιπῶς καὶ ὡς αὐτὸς ἐκεῖνος εἴωθεν

gas, non imitaris, aut ut qui in domo quadam conclufus haec fcripferis, nullum unquam aegrotum confpicatus, unde merito naturae opera ignoras, femper quidem ea admiratus, nunquam vero deinde, quae tua fumma eft dementia, imitaris. Poftea fi fcribere aliquid aggrediaris, fcribendi legem non fervas. Conveniebat enim primum naturae opera mihi perfcribere, deinde explicare quaenam perfecte ac integre proprio impetu concitata efficit, quae vero imperfecte, a morbificis caufis impedita. Via enim haec eft ad remediorum inventionem, ut ubi didiceris quae probe ab ea obeuntur, his poffis fuccurrere id quod deeft adjiciens, aut quum neutiquam movetur, etenim hoc quoque nonnunquam ei accidit morbificarum caufarum robore evictae, totum ipfi fuppedites; horum nullum oftendifti. Fortaffis enim, quod dicunt, negligis quidem aegrotos infpicere, domi autem manens opinionem tuam fcripto mandafti; attamen etiam fi ipfe non videris, ab Hippocrate certe licebat legenti tibi difcere quaenam abfolute ac perfecte, et ut ipfe ille dicere

λέγειν, ἀρτίως ἡ φύσις κινουμένη κρίνονται· πῶς δ' ἂν αὐτὴν κάλλιστά τις μιμήσαιτο, μηδὲ ἐγχειροῦσαν κρίσει· καὶ πῶς ἐπιχειρούσῃ μὲν, ἀλλ' ἐνδεῶς κινουμένῃ βοηθητέον. εἰ γὰρ ἐν τούτοις ἐγυμνάσω, τοιαῦτα ἂν ἤκουον σου συμβουλεύοντος, οἷα καὶ Ἱπποκράτους ἀκούω, τὰ κρινόμενα καὶ τὰ κεκριμένα ἀρτίως μὴ κινέειν, μηδὲ νεωτεροποιέειν μήτε φαρμακίῃσι μήτε ἄλλοισιν ἐρεθισμοῖσιν, ἀλλ' ἐᾷν. τοῦτο μὲν σοι φύσεως ὁλοκλήρως κινουμένης παράγγελμα· τὸ δὲ ἐφεξῆς τούτῳ κινουμένης μὲν ἐπὶ κρίσιν, ἀλλ' ἐνδεῶς· διὰ τοῦτο αὐτῇ συνεργεῖν παρακελευόμενος ἐρεῖ· ἃ δεῖ ἄγειν, ταῦτα ἄγειν ὅπῃ ἂν μάλιστα ῥέπῃ διὰ τῶν ξυμφε[597]ρόντων χωρίων. βούλεται μὲν γὰρ ἡ φύσις τηνικαῦτα τὸ λυποῦν ἀπώσασθαι, μὴ δυναμένη δ' ἐπιθεῖναι τῷ ἔργῳ τὸ τέλος ὑπ' ἀῤῥωστίας, ἡμῶν βοηθῶν δεῖται. διὰ τοῦτο καὶ πλευριτικοὺς θεραπεύων κατὰ τὴν ῥοπὴν τῶν χυμῶν κινεῖ. τί γὰρ φησίν; ἀλλ' εἰ μὲν ἡ ὀδύνη ἐς κληῖδα, ἢ ἐν βραχίονι βάρος, ἢ περὶ μαζὸν, ἢ ὑπὲρ τῶν φρενῶν, τέμνειν χρὴ τὴν ἐν ἀγκῶνι φλέβα τὴν ἔσω

folebat, integre natura mota judicantur, quomodo rurfus ipfam optime quis imitetur ne aggredientem quidem judicium, et quomodo ei quum aggreditur quidem, fed minus ac par eft movetur, fuccurrendum. Si enim in his fuiffes exercitatus, ejusmodi te confulentem audirem qualia et Hippocratem audio: *Quae judicantur judicataque funt integre, non movere oportet neque innovare vel medicamentis vel aliis irritamentis, fed finere.* Hoc fane eft naturae perfecte motae praeceptum, quod autem fequitur, quum ad judicium quidem contendit, fed minus ac convenit, eoque ei opitulandum praecipiens in hunc modum dicit: *Quae ducere oportet, eo ducenda funt, quo potiffimum vergunt per loca convenientia. Cupit enim tunc natura noxium propellere: ubi finem operi imponere prae imbecillitate non poteft, noftro auxilio indiget.* Idcirco et pleuriticos curans, quo humores vergunt, evacuat. Quid enim ait? *Verum fi dolor ad jugulum pertingat, aut gravitas brachium vel mamillam vel partes fupra feptum infeftet, in cubito fecanda*

καὶ μὴ ὀκνεῖν συχνὸν ἀφαιρεῖν, ἔστ᾽ ἂν ἐρυθρότερον πολλῷ ῥυῇ ἢ ἀντὶ καθαροῦ τε καὶ ἐρυθροῦ πελιδνόν. ἀμφότερον γὰρ γίνεται. ἢν δὲ ὑπὸ φρένας ᾖ τὸ ἄλγημα, ἐς δὲ τὴν κληῖδα μὴ σημήνῃ, μαλθάσσειν χρὴ τὴν κοιλίην ἢ μέλανι ἐλλεβόρῳ ἢ πεπλίῳ. πάλιν δ᾽ ἔν τινι τῶν νεφριτικῶν παθημάτων συνδρομῇ προειπὼν καὶ ἐς νεφρὸν ὀδύνη βαρείη, ἀρχὴ μηροῦ κατ᾽ ἰξὺν ἐπιφέρει, ἰγνὺν τέμνειν, τοῦτ᾽ ἐστὶ τὴν ἐν ἰγνύῃ τέμνειν φλέβα.

Κεφ. ε΄. Ἐκεῖνο δὲ πῶς εἴρηται; ἐκ Στυμαργέω οἰκέτιδος οὐδὲ αἷμα ἐγένετο, ὡς ἔτεκε θυγατέρα, ἀπέστραπτο τὸ στόμα πρὸς ἰσχίον καὶ σκέλος, ὀδύνη παρὰ σφυρὸν τμηθεῖσα ἐρράϊσε, καίτοι τρόμοι τὸ σῶμα περικατεῖχον. ἀλλ᾽ ἐπὶ τὴν πρόφασιν χρὴ ἐλθεῖν καὶ τῆς προφάσιος τὴν τροφήν. Ἱπποκράτης μὲν οὖν σοι τὴν πρόφασιν τοῦ νοσήματος ἐξετάζειν κελεύει καὶ τῆς προφάσεως τὴν γένεσιν. ὅπερ εἴποις οὐκ ἂν οἶμαί γε πλήθους αἵματος ἐνοχλοῦντος ἄλλο τι πρὸς τῆς φλεβοτομίας εἰρήσεσθαι. ἐπὶ γοῦν τῆς προειρημένης γυναικὸς, καίτοι τρομώδους οὔσης, οὐκ ἐμέλησε τέμνειν τὴν φλέβα,

est vena interior, et multum detrahere sanguinis verendum non est, donec multo rubicundior fluxerit, vel loco puri et rubri lividus: utrumque enim accidit. Sin autem sub septo dolor urgeat, ad jugulum vero non pertineat, alvus emollienda est aut veratro nigro aut peplio. Rursus in aliquo nephriticorum affectuum concursu praefatus, ac in rene dolor gravis, stupor femoris e directo positi, infert poplitem secare, h. e. venam in poplite incidere.

Cap. V. Illud autem quomodo dictum est? *Stymargi ancillae, cui neque sanguis fluxerat, postquam filiam peperisset, os autem uteri conversum esset, ac dolor in coxam et crus perlingeret, ex talo sanguis detractus profuit, etsi tremores totum corpus occuparent.* Sed ad causam veniendum et causae fomitem. Hippocrates itaque occasionem morbi examinari jubet et occasionis originem; quod non dicere possis, ut arbitror, aliud quidpiam ac sanguinis copiam infestantem a secta vena juvari exponetur. In muliere igitur superius commemorata etsi tremula venam secare non ne-

μηδενὸς ἂν ἄλλου τολμήσαντος αἵματος ἀφελεῖν ἐν τρόμοις, ὥσπερ οὐδὲ ἐν ὑδέροις οὐδ᾽ ἄλλῳ ψυχρῷ πάθει οὐδενί. δέον γὰρ ἐν τοῖς τοιούτοις ψυγῆναι μὲν ἔτι καὶ μᾶλλον τὸ σῶμα τῇ τοῦ θερμοῦ χυμοῦ κενώσει, καὶ πρότερον ἤδη τῷ πάθει κατεψυγμένον σβεσθῆναι τὸ ἔμφυτον θερμόν. ἀλλ᾽ Ἱπποκράτης σκεψάμενος, ὡς αὐτὸς λέγει, τὴν πρὸ τοῦ πάθους ὅτι τὸ πλῆθος ἦν τοῦ αἵματος. οὐ γὰρ ἐκαθάρθη τὸ γύναιον τὴν λοχείαν καλουμένην κάθαρσιν. ἡ τροφὴ τῆς προφάσεως, τοῦτ᾽ ἔστι ἡ γένεσις καὶ ἡ πρώτη αἰτία τοῦ μὴ καθαρθῆναι καλῶς ἡ διαστροφὴ τῆς μήτρας· ἀπέστραπτο γὰρ πρὸς τὸ ἰσχίον. ἐνδειξαμένης οὖν αὐτῷ τῆς μὲν ἐπισχέσεως τὴν κένωσιν, τῆς δὲ ἐπὶ μήτραν ῥοπῆς τὸν τόπον δι᾽ οὗ χρὴ κενῶσαι, τὴν παρὰ σφυρὸν ἔταμε φλέβα. τοιοῦτος ἐν ἅπασιν ὁ Ἱπποκράτης. ἀλλ᾽ ἵνα μὴ λυπῶ τοὺς Ἐρασιστρατείους ἐπιπλέον αὐτὸν ἐπαινῶν, καὶ γάρ μοι δοκοῦσιν αὐτοί τε οὗτοι καὶ πρὸ αὐτῶν ὁ Ἐρασίστρατος ἐριστικῶς ἔχειν πρὸς τὸν ἄνδρα, καταλείψωμεν ἤδη τὰ Ἱπποκράτους. ἐν ἑτέρῳ γάρ μοι καιρῷ πᾶσαν αὐτοῦ τὴν περὶ τὰς κενώσεις τέχνην ἔξεστι δηλῶσαι. μεταβή-

glexit, quum nemo alius detrahere fanguinem in tremore aufus fuiffet, quemadmodum neque in hydrope, neque in alio frigido affectu ullo, quum in hujusmodi corpus adhuc magis refrigefcat, calido humore evacuato, et calor nativus corpore jam prius affectu refrigerato extinguatur. Verum Hippocrates confiderans, ut ipfe inquit, affectus caufam copiam effe fanguinis: non enim purgata eft mulier iis quae lochia vocantur purgamentis. Fomes occafionis hic eft, primaque generatio et prima caufa, quod non recte purgata fit, uteri converfio, ut quae in coxas diftorta effet. Quum igitur retentio vacuationem ei indicaret, ad uterum autem impetus humorum, locum per quem evacuare oportet, venam in talo fecuit. Talis in omnibus Hippocrates eft. Sed ne diutius Erafiftratios offendam ipfum commendando, fiquidem mihi videntur tum hi ipfi tum ante eos Erafiftratus cum viro contendere, dicta Hippocratis jam relinquamus: alias enim totam ipfius circa vacuationes artem licet indicare. Digre-

σωμεν δὲ ἐπὶ τοὺς ἄλλους ἄνδρας ἑκατέρας αἱρέσεως, ἐμπειρικῆς τε καὶ λογικῆς. οὐδὲ γὰρ τούτων οὐδένα εὑρίσκω τῆς φλεβοτομίας ἀποστάντα. δογματικὸν μὲν γὰρ οἶδα καὶ Διοκλέα καὶ Πλειστόνικον καὶ Διευχῆ καὶ Μνησίθεον, Πραξαγόραν τε καὶ Φιλότιμον καὶ Ἡρόφιλον καὶ Ἀσκληπιάδην φλεβοτομοῦντας. καίτοι φιλόνεικος οὕτως ἦν Ἀσκληπιάδης ὥστε ὀλίγου δεῖν ἅπαντα κινῆσαι τὰ πρόσθεν δόγματα καὶ μήτ' ἄλλου τινὸς τῶν πρὸ αὐτοῦ φείσασθαι μήθ' Ἱπποκράτους, ὥστε καὶ θανάτου με[398]λέτην τὴν τῶν παλαιῶν ἰατρικὴν οὐκ ὤκνησεν εἰπεῖν. ἀλλ' οὐδ' οὗτος ἐπὶ τοσοῦτον ἀναίσχυντος ὥστε τολμῆσαι παντάπασιν ἐξελάσαι φλεβοτομίαν τῶν ἰατρικῶν βοηθημάτων· ἀλλ' οὐδέ τις οὔτε τῶν νεωτέρων οὔτε τῶν παλαιῶν, οὐ Μαντίας, οὐκ Ἀθήναιος, οὐκ Ἀγαθῖνος, οὐκ Ἀρχιγένης, οὐχ ὁ τῶν ἐμπειρικῶν χορός. καὶ τούτων μὲν οὐδὲν τῷ λόγῳ προσεχόντων ἑπομένων καὶ ἀεὶ τῇ πείρᾳ καταγνοὺς, ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν οὐδένα. τί ποτ' οὖν οἱ διαφωνοῦντες ἐν ἅπασι σχεδὸν τοῖς ἄλλοις ἐν τούτῳ συμπεφωνήκασιν; ἐμοὶ μὲν γὰρ οὐδὲν εἶναι δοκεῖ πιστότερον ἀνυπόπτου συμφωνίας.

diamur autem ad alios utriusque fectae, et empiricae et rationalis, viros: neque enim ex his ullum a venae fectione abhorruiffe invenio. Nam dogmaticum novi et Dioclem et Pliftonicum et Dieuchem et Menefitheum et Praxagoram et Philotimum et Herophilum et Afclepiadem fanguinem detrahere; etfi Afclepiades adeo fuerit contentiofus et gloriae cupidus, ut fere omnia fuperiorum dogmata fubmoverit, neque ulli alii qui ante ipfum fuerat, neque Hippocrati pepercerit, ut qui veterum medicinam mortis curationem dicere non fit veritus. Attamen adeo non fuit impudens, ut plane venae fectionem ex medicis praefidiis eximere fit aufus, imo nec recentiorum aliquis nec veterum, non Mantias, non Athenaeus, non Agathinus, non Archigenes, non empiricorum chorus. At ex his qui rationi nunquam attendunt, fed experientiae perpetuo adhaerent, nullum adferre poffis, qui hoc tentarit. Cur igitur qui in omnibus fere aliis diffentiunt, in hoc uno funt concordes? mihi enim nullum videtur effe fide dignius, quam fenfus certus et fufpicione va-

παραλείπωμεν δ', εἰ βούλει, τούτους, ἵνα μηδὲ τῷ πλήθει τῶν μαρτύρων δυσωπητὰ τὰ τῆς φύσεως, ἣν ἐπαινεῖς ἔργα ποιήσωμεν. οὐχ αὕτη γυναῖκας μὲν ἁπάσας ἐφ' ἑκάστῳ μηνὶ κενοῖ τὸ περιττὸν ἀποχέουσα τοῦ αἵματος; ἔδει γὰρ, οἶμαι, οἴκοι τὸ θῆλυ γένος οὔτ' ἐν ἰσχυροῖς πόνοις διαιτώμενον οὔθ' ὁμιλοῦν ἡλίῳ καθαρῷ, καὶ δι' ἄμφω ταῦτα πλῆθος ὑποτρέφον ἴαμα φυσικὸν ἔχειν τοῦ πλήθους τὴν κένωσιν. ἓν μὲν τούτοις ἦν τῆς φύσεως ἔργον· ἕτερον δὲ ἡ μετὰ τόκον κάθαρσις, καίτοι καὶ ἡ κύησις αὐτὴ κένωσις ἦν. ἐκ τοῦ τῆς μήτρας αἵματος τὸ κυούμενον τρέφεται. καὶ ἡ μετὰ τὴν κύησιν δὲ τοῦ γάλακτος ἐν μαστοῖς γένεσις οὐ σμικρὰ κένωσις οὐδ' αὐτὴ τῷ πλήθει. μία γὰρ ἀμφοτέρων ἡ οὐσία καταμηνίου τε καὶ γάλακτος καὶ κοιναὶ, καθάπερ ἂν τις εἴποι, πηγαὶ τῶν ὀχετῶν ἑκατέρων αἱ φλέβες εἰσί. διὰ τοῦθ' ὅσαις δι' ἡλικίαν ἤδη τὸ καταμήνιον μηκέτ' ἔρχεται, ταύταις οὐδ' ἐν μαστοῖς ἀθροίζεται γάλα. καὶ ὅσαι καθαίρεσθαι μὲν ὥρας ἔχουσι, ἀλλὰ θηλάζουσιν, οὐ καθαίρονται. καὶ ἢν θηλαζούσῃ γυναικὶ δι' ὑστερῶν ὁρμήσῃ τὸ αἷμα, σβέννυται τὸ γάλα. καὶ τῶν

caus. Relinquamus autem hos, fi ita vis, ne teftium multitudine naturae quam commendas opera reddamus dubia. Non haec mulieres quidem omnes fingulis menfibus evacuat, fanguinis fuperfluum effundens? Conveniebat enim, mea fententia, ut muliebre genus quod domi non in magnis degit laboribus, neque in fole puro verfatur et propter haec ambo copiam congregat fovetque, naturale remedium habeat plenitudinis evacuationem. Atque unum fane hoc naturae opus eft, alterum vero poft partum purgatio etfi etiam partus ipfe evacuatio fit. Ex uteri fanguine foetus alitur: poftquam in lucem editus eft, lactis in mamilla generatio non exigua vacuatio menfium copiae refpondens exiftit; una enim amborum et menftrui et lactis fubftantia eft, ac communes, ut ita dicam, utrorumque rivorum fontes venae exiftunt. Qua de caufa quibus per aetatem menfes non amplius fluunt, his neque in mammis lac colligitur, item quae purgationis tempora quidem non excefferunt, fed lactant, non purgantur, et fi mulieri lactenti per uterum fanguis effluit, lac evane-

ζώων ὅσα μὴ (4) κυΐσκεται, τούτοις οὐδὲ γάλα ἐστὶν, καὶ ὅσοις γάλα ἐστὶ, ταῦτα κυΐσκεσθαι φύσιν ἔχει. εἰ δὲ καὶ μάθοις ἡλίκων ἐκ ταύτης τῆς κενώσεως ἀπολαύει τὸ θῆλυ γένος ἀγαθῶν καὶ ὅσα βλάπτεται μὴ κενούμενον, οὐκ οἶδα πῶς ὑπομενεῖς ἔτι μὴ παντὶ τρόπῳ σπεύδων κενῶσαι πλεονάζον αἷμα. γυνὴ οὐ ποδαγριᾷ, εἰ μὴ τὰ καταμήνια αὐτῆς ἐκλείπῃ, φησὶν Ἱπποκράτης. καίτοι τί δέομαι τῶν Ἱπποκράτους φωνῶν πρὸς ἄνθρωπον ἐχθρὸν Ἱπποκράτει; νομίζω τοίνυν αὐτὴν λέγειν σοι τὴν ἀλήθειαν δι᾽ ἐμοῦ κήρυκος, οὔτε ποδάγραις οὔτε ἀρθρίτισιν οὔτε πλευρίτισιν οὔτε περιπνευμονίαις ἁλίσκεται γυνὴ καλῶς καθαιρομένη. ἀλλ᾽ οὐδὲ ἐπίληπτος οὐδὲ ἀπόπληκτος οὐδὲ ἄπνους οὐδὲ ἄφωνος οὐδενὶ ἐν καιρῷ ποτε γίνεται καθαιρομένη καλῶς. ἑάλω δέ ποτε φρενίτισιν ἢ ληθάργοις ἢ σπασμοῖς ἢ τρόμοις ἢ τετάνοις ἐπιμηνίων ἰόντων. εἶδες δέ ποτε μελαγχολῶσαν ἢ μαινομένην ἢ πτύουσαν ἐκ θώρακος ἢ ἐμοῦσαν ἐκ γαστρὸς αἷμα, ἢ κεφαλαίᾳ κάμνουσαν, ἢ συνάγχῃ πνιγομένην, ἤ τι τῶν μεγάλων καὶ ἰσχυ-

fcit: et quae animantia non concipiunt, his neque lac eſt; contra quibus lac eſt, ea donec concipiunt lac habent. At ſi etiam didiceris quantis ex hac vacuatione bonis foemineum genus frucitur, et quae ipſi noxae oboriuntur ſi non evacuetur, haud novi quomodo ſuſtines adhuc non omni ſtudio ſanguinem redundantem evacuare. *Mulier non podagra corripitur, niſi menſes ipſius defecerint,* ait Hippocrates. At quid opus habeo verbis Hippocratis contra hominem Hippocrati inimicum? Puto igitur ipſam veritatem per me praeconem tibi dicere, mulierem, ſi recte purgetur, non infeſtari podagra, neque morbo articulario neque pleuritide neque peripneumonia, imo neque morbo comitiali neque apoplexia, neque reſpirationis neque vocis defectu in ullo tempore moleſtatur, ſi recte purgetur menſtruis. Sed quandoque correpta eſt phrenitide aut lethargo aut convulſione aut tremore aut tetano, menſibus emanantibus. Noviſti autem quandoque melancholia laborantem, aut inſanientem, aut ſpuentem ex thorace, aut vomentem ſanguinem ex ven-

ρῶν παθημάτων ὑπομένουσαν, εἰ καλῶς ἐκκρίνεται τὰ καταμήνια· ἰσχομένων δ᾽ αὖ πάλιν ἕτοιμον ἐν παντὶ κακῷ γενέσθαι. καὶ αἱ κενώσεις ἰάματα. καταλιπὼν δὲ ἤδη τὰς γυναῖκας ἐπὶ τοὺς ἄνδρας ἐλθὲ, καὶ μάθε, πόσοι μὲν αἱμοῤῥοΐδι τὸ περιττὸν εἰθισμένοι κενοῦσθαι, πάντες ἀπαθεῖς νοσημάτων διατελοῦσι, πόσοι δ᾽ ἐπισχεθείσης τῆς κενώσεως ἐν χαλεπωτάτοις ἐγένοντο. πότερον οὐδὲ τούτων ἀποκενώσεις τοῦ αἵματος, οὐδ᾽ ἂν συναγχικοὶ γενόμενοι τύχωσιν, οὐδ᾽ ἂν περιπνευμονικοί. ἀλλ᾽ ὑπὸ τοῦ μὴ ἀναθέσθαι τὰ κακῶς ἐγνω-[399]σμένα περιόψει τοσούτους ἀπολλυμένους; σὺ μὲν ἴσως τοῦτο δράσεις, ἐγὼ δ᾽ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ σπασμὸν καὶ ὕδερον αἵματος κενώσει πολλάκις ἰασάμην. οὕτως γὰρ ἥτε μακρὰ πεῖρα διδάσκει με, ὅ τε λόγος οὕτως ἐπὶ τὴν πρόφασιν κελεύει ἔρχεσθαι καὶ τῆς προφάσεως τὴν ῥοπήν. ὅτι δὲ καὶ ἡ πεῖρα, τὰ τῶν ἐμπειρικῶν ἀναγνοὺς εἴσῃ γράμματα.

Κεφ. στ᾽. Μὴ τοίνυν ἔτι φιλονεικεῖν Ἱπποκράτει μόνῳ δόκει κενοῦν αἷμα παραινοῦντι, κἂν εἰς τρόμον, κἂν εἰς ὕδε-

triculo, aut cephalaea aegrotantem, aut angina suffocatam, aut magnum aliquem validumque affectum sustinentem, si probe menstrua excernerentur: iis autem retentis, quolibet vitio esse opportunam, eique vacuationes mederi. Relictis autem jam mulieribus ad viros accedito discitoque, quotcumque per haemorrhoides superfluum vacuari consuevit, hi omnes a morbis immunes vitam transigunt, quibuscunque vero retenta fuit evacuatio, gravissimis morbis conflictati sunt. Utrum neque ex his sanguinem evacuatis, neque si angina correpti fuerint, neque si peripneumonia, anne perperam cognita ponas, tot pereuntes negliges? Tu sane forsan id facis, ego vero non haec tantum, sed etiam convulsionem et hyderum sanguinis vacuatione saepe curavi. Sic enim et longa me experientia docet, et ratio sic ad occasionem venire jubet occasionisque incitamentum. Quod autem et experientia ita praecipit, empiricorum libris perlectis condisces.

Cap. VI. Ne igitur adhuc cum Hippocrate solo te contendere putato, qui sanguinem vacuare praecipit sive

ῥον, κἂν εἰς ἄλλο τι ψυχρὸν πάθος ἢ ἀνὴρ δι' ἐπίσχεσιν αἱμοῤῥοΐδος ἢ γυνὴ δι' ἐμμηνίων ἐμπέσοι, ἀλλὰ καὶ τοῖς ἀπὸ τῆς ἐμπειρίας ἅπασιν ἰατροῖς καὶ τῷ βίῳ τῶν ἀνθρώπων· ἀνατρέπειν γοῦν μοι δοκεῖς τὸν κοινὸν ἁπάντων λογισμόν. οὐκ ἂν φαίης κατὰ φύσιν εἶναι παντὶ τῷ λογίσασθαι κενοῦν αἵματος διὰ πλῆθος. τίς οὐκ οἶδεν ὅτι τἀναντία τῶν ἐναντίων ἰάματα; μὴ γὰρ Ἱπποκράτους ἡ γνώμη μόνου, κοινὴ πάντων ἀνθρώπων ἐστίν. ἀλλά μοι δοκεῖς ὑπὸ τῆς πρὸς Ἱπποκράτη φιλονεικίας καὶ τῶν ἄλλων ἀνοητότερος εἶναι. ταῦτα γοῦν ὁσημέραι τῆς φύσεως ποδηγούσης αὐτὰ καὶ τὴν ἔνδειαν προσφοραῖς ἰᾶται καὶ τὰς πλησμονὰς κενώσεσι καὶ τὸ κρύος θάλψεσι καὶ τὰς θάλψεις ἐμψύξεσι. τί γάρ ἐστι τροφὴν προσενέγκασθαι ἄλλο γε ἢ τὸ πλῆθος ἐκπορίσασθαι; τί δ' ἀποκρῖναι κόπρον ἢ ἔντερον πεπληρωμένον ἐκκενῶσαι; τί δ' οὐρῆσαι ἢ κύστεως πλησμονὴν ἰάσασθαι; ταῦτα μὲν ζῶα καὶ κρύει πονούμενα φωλεοὺς ἑαυτοῖς καί τινας ἀλεεινὰς εἰς τὴν γῆν καταδύσεις ἐκπορίζεται· καὶ τῷ θάλπει κάμνοντα

in tremorem ſive in hyderum, ſive in aliud quoddam frigidum affectum, aut vir ex haemorrhoidum ſuppreſſione aut mulier ex menſtruis ſuppreſſis inciderit, ſed etiam cum omnibus medicis empiricis et vita hominum: nam communem omnium rationem ſubvertere mihi videris, niſi conceſſeris a natura cuivis conceſſum eſſe ut conſideret ſanguinem vacuandum eſſe, ubi copia ipſius ſubſit. Quis ignorat contraria contrariorum eſſe remedia? non enim Hippocratis ſolius ſententia eſt, ſed cunctis hominibus communis. Sed mihi videris te nimio cum Hippocrate contendendi ſtudio etiam aliis eſſe ſtolidiorem, quum haec ipſa natura quotidie tibi ſuggerat et inediam aſſumptione curet, repletiones evacuationibus, frigus caliditate et calorem refrigeratione. Quid enim aliud eſt alimentum aſſumere quam copiam ſuppeditare? quid autem excernere ſtercus quam inteſtinum repletum evacuare? quid urinam mittere quam veſicae repletioni mederi? Jam pleraque animalia quum frigus ſentiunt, latebras ſibi et quosdam calentes cuniculos ſub terram. com

Ed. Chart. X. [399.] Ed. Baf. IV. (4.)

θέρους ὥρᾳ νήχεται μὲν ἐν ὕδατι ψυχρῷ, διατρίβει δ' ἐν τόποις συσκίοις τε καὶ προσηνέμοις. ἔγωγε κύνα πολλάκις εἶδον ἔμετον ἐπιτηδεύοντα καὶ τὴν Αἰγυπτίαν ὄρνιθα κλυστῆρα μιμησαμένην, ἀνθρώποις δὲ αὐτά τε ταῦτα, ὡς ἂν λόγῳ χρωμένοις, εὐμηχανώτερα ἅπαντα. κάλεσον οὖν ἰδιώτην ἰατρικῆς ἐπὶ ἄῤῥωστον εὐέκτην, νέον, πολύαιμον ὑπὸ συνάγχης ἢ περιπνευμονίας πνιγόμενον, εἶτ' ἐροῦ τὸν ἄνθρωπον εἴ τι πρὸς τὸ πάθος ἐπινοεῖ, τίς οὕτως ἀνόητος ὡς μὴ κένωσιν αἵματος εἰπεῖν; ἀλλ' Ἐρασίστρατος ὑπὸ τῆς πρὸς Ἱπποκράτη φιλονεικίας οὐδὲ τὰς κοινὰς ἁπάντων ἀνθρώπων ἐννοίας φαίνεται διασώζων, ἀλλ' ἔτι καὶ τῶν γεράνων ἀνοητότερος εὑρίσκεται. μακρῷ τοιγαροῦν καὶ ταύτας, ὡς ἀετοὺς μέχρι περάτων γῆς πετομένους ἐστὶν ἰδεῖν, ὑποφευγούσας ἐν μέρει κρύος τε καὶ θάλπος, ἰωμένας τε διὰ παντὸς τοῖς ἐναντίοις τὰ ἐναντία. τοῦτο μὲν οὖν, ὅπερ ἔφην, οὔπω τῆς Ἱπποκράτους ἄξιον τέχνης, ὡς χρὴ κενοῦν αἵματος οἷς διὰ πλῆθος αἵματος ὁ κίνδυνος. ὅτῳ δὲ χρὴ τρόπῳ τὴν κένωσιν ποιεῖσθαι

parant; quum calore laborant, aeftate in aqua frigida natant, deguntque in locis umbrofis et vento expofitis. Ego fane canem frequenter vidi vomitum fibi provocantem, item Aegyptiam avem clyfterem imitantem: at hominibus, ut qui ratione utantur, haec ipfa omnia facilius praeftari poffunt. Vocato igitur medicinae imperitum ad aegrotum boni habitus, adolefcentem, fanguinolentum, qui ab angina aut peripneumonia fuffocetur, poftea hominem interroga fi quid adverfus affectum animadvertat: quis adeo demens, ut non fanguinis vacuationem pronunciet? Verum Erafiftratus prae contentione adverfus Hippocratem concepta ne communes quidem omnium hominum notiones fervare videtur, fed gruibus etiam adhuc ftolidior invenitur. E longinquo igitur has quoque, ut aquilas, usque ad terrae fines volantes videre licet viciffim et frigus et calorem fubterfugientes curantesque perpetuo contraria contrariis. Hoc igitur quod dixi nondum Hippocratica arte dignum eft, nempe fanguinem vacuandum effe, quibus ex copia fanguinis periculum immi-

καὶ ἐν ὅτῳ καιρῷ καὶ μέχρι τοσοῦτον, μᾶλλον ἐβουλόμην ἄν μοι διαλέγεσθαι. τὸ γὰρ ἐπίστασθαι πηνίκα μὲν χρὴ τέμνειν τὴν ἐν τῷ μετώπῳ φλέβα, πηνίκα δὲ τὰς παρὰ τοὺς κανθοὺς τῶν ὀφθαλμῶν ἢ τὰς ὑπὸ τῇ γλώττῃ ἢ τὴν ὠμιαίαν [400] ὀνομαζομένην, ἢ τὴν διὰ μασχάλων, ἢ τὰς κατ᾽ ἰγνύας ἢ παρὰ σφυρὸν, ὑπὲρ ὧν ἁπασῶν ἐδίδαξεν Ἱπποκράτης, τοῦτον ἐγὼ νομίζω τὸν λογισμὸν ἰατρῶν εἶναι. τὸ δ᾽ ὅτι χρὴ τὰ ἐναντία τοῖς ἐναντίοις ἰᾶσθαι καὶ ὡς τῷ πλήθει ἡ κένωσις ἐναντίον, τοσούτῳ δέω θαυμάζειν ὥστε καὶ τοῖς ἀλόγοις ζώοις μετεῖναι φημὶ τῆς ἐννοίας. εἰ δὲ βούλει μικρὸν ἀνοίξας τὰ ὦτα, μᾶλλον δὲ τὴν ψυχὴν, ἀληθῆ λόγον καταδέξασθαι τῆς πρὸς Ἱπποκράτη δυσμενείας ἐπιλαθόμενος, εἴποιμ᾽ ἄν σοί τι τῆς ἐκείνου τέχνης ἄξιον. ἄχρι μὲν γὰρ τοῦδε καὶ Διοκλῆς ἠπίστατο καὶ Πλειστόνικος, Ἡρόφιλός τε καὶ Πραξαγόρας καὶ Φιλότιμος ἄλλοι τε πολλοὶ τῶν ἰατρῶν· οὐκ αὐτοὶ μὲν ἐξεῦρον, ἑπόμενοι δὲ Ἱπποκράτει, πηνίκα χρὴ τέμνειν ἑκάστην ὧν εἶπον φλέβα. ὅτι δ᾽ ἀπὸ χολῆς μελαίνης εἰς

net. Quo autem modo vacuationem moliri conveniat et quo tempore et quantam, magis cuperem mihi edifferi. Nam fcire quando fane frontis vena fecanda veniat, quando vero ad oculorum angulos fitae, vel fub lingua vel humeralis dicta vel quae per alas excurrit vel quae poplitem aut talum perreptant, e quibus omnibus mitti fanguinem docuit Hippocrates, hanc ego medicorum ratiocinationem effe fentio, ac quod contraria contrariis curare oporteat, quodque copiae vacuatio fit contraria, id etiam bruta intelligere puto, tantum abeft ut ego admirer. At fi voles auribus paululum apertis, imo potius animo verum fermonem recipere, fimultatis erga Hippocratem oblitus dicam tibi quid illius arte dignum fit. Hactenus enim Diocles, Plistonicus, Herophilus, Praxagoras, Philotimus aliique multi medici non fua quidem induftria verum Hippocratem fequentes invenerunt quando fingulae quas diximus venae fecandae fint. Quod autem atra bile vexatis haemorrhoides conferant, id nondum omnes intelligunt, etfi manifefto Hippocrates docuerit. Ve-

ὅμοιον αἱμοῤῥοΐδι, τοῦτο οὐκ ἔτι πάντες γιγνώσκουσι, καίτοι σαφῶς Ἱπποκράτους διδάξαντος, ἀλλ᾽ ὅσοι γνησίως ὡμίλησαν αὐτοῦ τοῖς γράμμασιν. οὗτοι μόνοι πῶς μὲν αἱμοῤῥοῒς γίγνεται μεμαθήκασι παρ᾽ αὐτοῦ, πῶς δὲ καὶ δυσεντερία, πῶς δὲ καὶ κιρσὸς, ὅτι τε οὐ διὰ παντὸς ἕκαστον τούτων συνιστάμενον κωλυτέον, ἀλλ᾽ ὅτι ὅτε συνεργητέον, ἢ τῆς φύσεως ἡσυχαζούσης, αὐτῇ τὸ πᾶν διατρεπτέον, ὅτε οὕτω συμφέρει τοσοῦτον ἀποδέουσιν οἱ ταῦτα μαθόντες τὴν δυσεντερίαν καὶ κιρσὸν καὶ αἱμοῤῥοΐδα πρὸ τοῦ καιροῦ σπεύδειν ἰᾶσθαι, ὥστε αὐτοὶ μηχανῶνται μηδ᾽ ὅλως ὄντα ποιῆσαι. καὶ ἔγωγε πολλοὺς οἶδα καὶ μελαγχολήσαντας καὶ ἄλλως ἐκμανέντας ἐπὶ τοιαύταις κενώσεσιν ἰατρῶν ἀμαθείᾳ κωλυθείσαις. οἱ δέ τινες αὐτῶν πλευρίτισι καὶ νεφρίτισιν ἑάλωσαν, ἄλλοι δὲ αἵματος ἤμεσαν ἐκ γαστρὸς, ἢ ἐκ θώρακος ἀνέβηξαν, ἢ παραπληγίαις ἢ ὑδέροις ἀπώλοντο. ταῦτ᾽ ἐγὼ χρῆναι γινώσκειν φημὶ τὸν ἰατρόν. αὕτη μεγάλη περὶ τὰς κενώσεις τέχνη.

Κεφ. ζ. Τὸ δ᾽ ὅσον χρὴ κενοῦν αἵματος πλεονάζοντος οὐδὲν μέγα. τί δήποτ᾽ οὖν παρεῖδεν ὁ Ἐρασίστρατος

rum qui fincere in fcriptis illius verfati funt, hi foli quomodo haemorrhois fiat ab ipfo didicere. Quomodo autem et dyfenteria, quomodo varix, item quod non femper fingula haec ne conftituantur prohibere, fed quod interdum etiam promovere, vel dum natura conquiefcit totum ei committere oportet, quando ita conducit, adeo autem negligunt qui haec didicerunt dyfenteriam, varicem et haemorrhoidem mature curare aggredi, ut etiam ipfi quae non fint convenientia facere machinentur. Ego fiquidem multos novi et melancholia correptos et alias infanientes ob hujusmodi evacuationes medicorum infcitia impeditas. Nonnulli vero ipforum pleuritide et nephritide funt conflictati, alii autem fanguinem ex ventriculo vomuerunt, aut ex thorace extuffierunt, aut paraplexia vel hydero perierunt. Haec ego medico nofcenda effe cenfeo, una cum magno illo circa vacuationes artificio.

Cap. VII. Quantum autem ex fanguine exuperante vacuare oporteat, res non magni momenti. Cur tandem

αὐτὸ καθάπερ τι τῶν μεγάλων; ἢ τί ληροῦσιν οἱ πρὸς ἅπαν ἐρίζειν ἑτοιμότατοι τῆς κενώσεως ἄγνωστον εἶναι φάσκοντες, ὥσπερ καὶ τῶν ἄλλων βοηθημάτων ταυτὸν κατηγοροῦντες; ἢ τίνος ὦ πρὸς θεῶν ἀκριβῶς οἴονται τὸ μέτρον λαβεῖν, ὡς μήθ' ὑπερβάλλειν τὸ ποσὸν μήτ' ἐλλείπειν; ἆρά γε κλυστῆρος, ἢ τῶν καθαιρόντων τινὸς φαρμάκων, ἢ τῶν οὔρησιν κινούντων, ἢ τροφῆς ἢ πόματος οὐδενὸς τῶν πάντων; ὥρα τοίνυν αὐτοῖς εἰς ἅπαντα τὴν ὑπο(ψ)ίαν ἐκτείνουσιν ἡσυχάζειν περὶ πᾶν. τί ποτ' οὖν αὐτὸς ὁ Ἐρασίστρατος καθαίρουσι χρῆται φαρμάκοις καὶ οἶνον δίδωσιν ὕδατι ψυχρῷ κεραννὺς, ἄλλοις τέ τισι καὶ χολερικοῖς. ἐνταῦθα μέν γε φορτικῶς ἱκανῶς ἐπαινῶν τὸν διδάσκαλον Χρύσιππον, ὡς ἐξευρόντα βοήθημα μηδενὶ τῶν ἔμπροσθεν ἐγνωσμένον, μόνον διαρκὲς εἰς ἴασιν χολερικῶν ἤδη θανάτῳ πελαζόντων. οὐ γὰρ ἐν τῷ τυχόντι δίδωσιν αὐτῷ καιρῷ, ἀλλ' εἰς ὀξὺ σφόδρα κατήγαγε τὴν χρῆσιν [401] τοῦ βοηθήματος. καὶ οὐ μέμφομαι τοῦτο, εἰ πάντα ἀκριβῶς ἐστοχάσατο τοῦ καιροῦ. θαυμαζέτω δέ τις ἐκεῖνο, πῶς ἐν οἷς μὲν

Erafiftratus omifit, ceu aliquid grande? aut quid nugantur qui ad quodvis contendere paratiffimi funt, vacuationis ignorantem illum effe dicentes, quemadmodum etiam in aliis praefidiis idem objicientes? aut cujus per deos menfuram exacte tenere ipfum arbitrantur, ut neque excedat quantitatem, neque in ea deficiat? num clyfteris an purgantis cujusdam medicamenti an urinam cientis vel cibi vel potus ullius? Tempeftivum igitur ipfis eft ad omnia fufpicionem moventibus omnino conquiefcere *ac filentium agere*. Curnam igitur Erafiftratus ipfe purgantibus utitur medicamentis ac vinum aqua frigida temperatum cum aliis quibusdam tum cholericis exhibet? Hic fane Chryfippum praeceptorem fuum fatis invidiofe laudat, tanquam praefidium a nullo veterum cognitum invenerit, quod unum cholericis jam morti proximis fufficiat curandis. Non enim id quovis tempore propinat, fed in anguftum adeo fpatium et brevem occafionem praefidii ufum redegit. Ac id non accufo, fi omnes temporis partes accurate conjectura deprehendat. Admiretur

αὐτὸς εἴρηκεν, εἰ Χρυσίππειόν τι διδάσκει, τολμηρὸς ἱκανῶς ἐστι καὶ οὐδὲν ἄρα τηνικαῦτ' αὐτὸν, οὐκ ὀξύτης καιροῦ κατέπληξεν, οὐ τοῦ μέτρου τὸ δύσληπτον, οὐ τοῦ πάθους τὸ κινδυνῶδες, ἀλλ' οὕτως οἴεται σαφῶς τε ἅμα καὶ ἀκριβῶς αὐτό τε τὸ μέτρον καὶ τὸν καιρὸν ἐκδιδάσκειν, ὥστ' οὐ μόνον ἰατροῖς, ἀλλ' ἤδη καὶ ἰδιώταις χρησίμους εἶναι τὰς ὑποθήκας νομίζει. οἷς δ' ἄν τινα δέοι τῶν πρεσβυτέρων ἰατρῶν ἐπαινέσαι τῆς εὑρέσεως, ἐνταῦθα παντάπασιν ἀποδιδράσκει. φέρε δὴ καὶ τοῦτο αὐτοῖς ἐπιδείξομεν, ὡς παντὸς οὑτινοσοῦν βοηθήματος ἐν φλεβοτομίᾳ τὸ μέτρον εὐληπτότερον. εἰ καὶ γὰρ χρόας μεταβολὴν ἔνεστι πολλάκις τεκμήρασθαι καὶ διχῶς τοῦτο ποιῆσαι, ποτὲ μὲν τοῦ ῥέοντος αἵματος, ποτὲ δὲ καὶ τοῦ κάμνοντος αὐτοῦ. καὶ λειποθυμία ἐπὶ πολλῶν παθῶν ὅρος ἐστὶ κενώσεως, καὶ ὁ τόνος τῆς ῥύσεως τοῦ αἵματος ὀκλάζων, καὶ οἱ σφυγμοὶ τρεψάμενοι. καὶ μόνης ταύτης κενώσεως αὐτοκράτορα τὴν ἐξουσίαν ἔχει ὁ ἰατρὸς παύειν ὅτε βούλοιτο, τῶν δ' ἄλλων οὐδεμιᾶς. ἀλλ' εἴθ' ὑπήλατον φάρ-

autem quis iftud, quomodo in illis quae ipfe protulit, fi Chryfippicum quicquam doceat, audax et temerarius admodum exiftat, ac nihil cum prorfus nec occafionis celeritas nec difficilis menfurae comprehenfio nec affectus periculum deterreat, fed adeo manifefte fimul et exacte menfuram et occafionem ipfum id docere autumet, ut non medicis tantum, fed jam etiam idiotis praecepta ipfius utilia effe cenfeat. Ubi vero aliquem ex vetuftioribus medicis inventionis nomine laudare debet, illic omnino fubterfugit. Age jam etiam hoc ipfis demonftremus, menfuram in fanguinis miffione facilius quam in quovis alio remedio deprehendi poffe. Vel enim coloris mutationem faepe conjicere licet, idque bifariam fieri, interdum fluentem quidem fanguinem, interdum etiam aegrotantem ipfum infpiciendo. Jam animi defectio in multis affectibus vacuationis terminus eft et fluoris fanguinis tenor labafcens ac pulfus immutari. Jam medicus hujus folius vacuationis fiftendae liberam habet poteftatem, ubicunque voluerit, aliorum nullius. Verum five medicamentum quod

μακον δώσεις, εἴτε ἐμετήριον, εἴτε οὔρων κενωτικὸν, εἴτε θώρακος, εἴτε κεφαλῆς καθαρτικὸν, πρώτη δόσις ἐπὶ σοὶ, τὰ δ' ἐφεξῆς ἡ τύχη βραβεύει καὶ μέγας ὁ κίνδυνος ἐπὶ φαρμάκων καθαιρόντων δόσεσιν ἢ μὴ κινηθῆναι τὴν κάθαρσιν ἢ μὴ ῥᾳδίως ἐκκριθῆναι τὸ συῤῥοῦν εἰς τὴν κοιλίαν, ἢ μετὰ πόνων καὶ δήξεων καὶ στρόφων καὶ καταψύξεως καὶ ἀσφυξίας καὶ λειποθυμίας ἐκκρίνεσθαι, ἢ ταραχθῆναι μὲν ὅλον τὸ σῶμα σφοδρῶς, ὀλίγον δὲ κενωθῆναι ἢ ὑπερκενωθῆναι. καὶ γὰρ αὖ καὶ τοῦτο γίνεται πολλάκις ἐν τῷδε, κακῶν ἔσχατον. οὐ γὰρ ὥσπερ ἐπὶ τῆς φλεβὸς τῆς διῃρημένης ἐπιθεὶς τὸν δάκτυλον εὐθὺς ἔπαυσας, τὸ ῥέον εἰς τὴν γαστέρα παύειν. ἀλλ' ὅμως οὐδεὶς ἰατρῶν ἀφίσταται δόσεως φαρμάκων, εὐλαβείᾳ τῶν ἐπιγιγνομένων συμπτωμάτων, ἀλλ' ὡς σφαλεὶς νῦν οὕτω μηκέτι χρῆσθαι προνοεῖται. τί λέγω καθαρτικὰ καὶ φαρμάκων ἰσχυρῶν μνημονεύων διατρίβω, σιτίου παντὸς ἡ διαμαρτία τοῦ μέτρου μέγιστα βλάπτει; θεάσασθαι δέ ἐστιν ἐναργῶς τῆς βλάβης τὸ μέγεθος ἐν τοῖς ὑπερίνοις μὲν καὶ ἀσθενέσι, ταχείας

alvum fubducat, exhibueris, five quod vomitum provocet, five quod urinas ducat, five quod thoracem aut caput purget, prima exhibitio in tua poteftate eft, fequentia autem fortuna fibi vindicat et magnum periculum comitatur medicamenta quae purgant exhibita, ne vel purgatio non moveatur aut ne id quod in ventrem confluit prompte excernatur aut cum doloribus, rofionibus, torminibus, refrigeratione, pulfus defectu et animi excernatur, aut totum corpus vehementer turbetur, exiguum autem evacuetur vel nimium, etenim et hoc multoties malorum graviffimum in hac medicatione accidit. Non enim ut in vena divifa digito impofito ftatim fiftis, ita quod in ventrem confluit cohibes. Attamen medicorum nullus fupervenientium fymptomatum metu a medicamentis exhibendis abftinet, fed ubi jam errorem commifit, non amplius eo uti proponit. Quid dico purgantia et validorum medicamentorum mentionem faciens tempus contero, quum in cibo quolibet peccatum in menfura admiffum maxime offendat? Licet autem noxae magnitudinem contem-

Ed. Chart. X. [401. 402.] Ed. Bas. IV. (5.)

δὲ ἀναθρέψεως δεομένοις. ἐν οἷς τὸ μὲν ἔλαττον ἐνδεῶς τρέφον μαραίνει τὴν δύναμιν, τὸ δ' ὑπερβάλλον, ἄχθος ὂν τῇ φύσει μᾶλλον ἢ τροφὴ, τελέως ἀπέπνιξέ τε κατέσβεσεν. ἆρ' οὖν ἀποστήσει καὶ τοῦ σιτίου διδόναι, διότι τὸ μέτρον δύσληπτον; οὕτω μέν γε καὶ τοῦ ἰατρεύειν ἀποστήσῃ παντάπασιν. ὡς οὐδὲν γὰρ εὕροις τῶν κατ' ἰατρικὴν ὃ μὴ σὺν μέτρῳ τινὶ τὴν χρείαν παρέχει. φλεβοτομίας δὲ καὶ μόνης οὐδὲ τοῦτ' ἔχεις μέμψασθαι. ἄμφω τοῦ μέτρου αἱ διαμαρτίαι μεγάλα βλάπτουσιν· αἱ μὲν γὰρ ὑπερβολαὶ βλαβερώταται, τίς δ' οὔ φησιν; ἀλλ' οὐκ ἀναγκαῖον ὑπερβάλλειν ἐν ᾧ τοὐλάττονα κίνδυνον. ἔστω γὰρ, εἰ τύχοι, τριῶν κοτυλῶν ἡ σύμμετρος ἀφαίρεσις, εἰ μὲν δ' ἀφέλοις, ἔβλαψε μέγιστα· δύο δ' εἰ ἐκκενώσαις, ὠφέλησε μὲν ἱκανῶς, ἔβλαψε δ' οὐδέν. ἔνεστι μὲν γάρ σοι τὴν μίαν ἢ κλυστῆρσιν ἢ ἀσιτίαις ἢ τρίψεσιν ἢ ἱδρῶσιν ἐκκενῶσαι. πρὸς τὸ μηδ' εἰ αὖθις αἵματος ἀφελεῖν ἐθέλοις κεκωλῦσθαι. ἀλλὰ τί [402] πολλὰ λέγω φιλοτιμούμενος ἀντιπαρεξάγειν ἀνθρώποις ἀμαθέσιν, οἳ πρὸς τὸ μηδὲν

plari in effoetis et imbecillis hominibus, qui celeri refectione indigent, in quibus alimentum minus ac par eſt nutriens facultatem marcore conſumit, nimium autem, pondus potius naturae quam alimentum, plane vires ſtrangulat et extinguit. An igitur etiam cibum offerre verebimur, quod menſura aegre percipi queat? ita ſane etiam a medendo prorſus abſtinebis, quippe nullum in re medica praeſidium invenias, quod non cum moderatione quadam uſum praebeat. At ſolam ſanguinis miſſionem ne in hoc quidem damnare poſſis, ambo menſurae errata vehementer nocent: etenim exceſſus perniciosiſſimos eſſe quis non dixerit? Verum non neceſſarium eſt excedere in quo minus eſt periculum. Eſto enim, verbi cauſa, trium heminarum moderata detractio, ſi quidem quatuor abſtuleris, maxime laedes, duae vero ſi detractae ſint, plurimum quidem juvant, nihil autem laedunt: licet etenim tibi unam vel clyſteribus vel inediis vel frictionibus vel ſudoribus evacuare, praeterquam quod neque ſi ſecundo ſanguinem voles dimittere, prohiberis. Sed quid multa affero cum indoctis hominibus contendere inſiituens,

ἐχόμενον λόγου φλυαρεῖν οὐδὲ τὰ πρὸς αὐτῶν ἐπαινούμενα γινώσκουσι. θαυμάζουσι μὲν γὰρ τοὺς Ἐρασιστράτου λόγους καὶ τοὔνομα ἐπ᾽ αὐτοῖς ἀπ᾽ ἐκείνου τίθενται, προσαγορεύοντες Ἐρασιστρατείους, οὕτω δὲ αὐτῶν ἀμαθεῖς εἰσὶν ὥστε πάντα μᾶλλον ἢ τὴν ἐκείνου γνώμην ἐξηγοῦνται. περὶ γοῦν φλεβοτομίας οὕτω μακρὰ καὶ ἀλλόκοτα ληροῦσιν, ὥς ἄν τινα μὴ τὴν ἀμάθειαν αὐτῶν μόνον, ἀλλ᾽ ἤδη καὶ τὴν ἀναισχυντίαν θαυμάσαι. σαφῶς γὰρ αὐτοῦ λέγοντος Ἐρασιστράτου ἐν τῷ περὶ αἵματος ἀναγωγῆς, ἐν ᾧ καὶ μόνῳ φλεβοτομίας ἐμνημόνευσε, ὅτι Χρύσιππος ὑπὲρ τοῦ διαρκέσαι τὸν κάμνοντα ταῖς ἀσιτίαις ἀναγκαίως παραληφθησόμενον διὰ τὰς φλεγμονὰς οὐκ ἀφῄρει τοῦ αἵματος, αὐτοὶ πάντα μᾶλλον ἢ ταῦτα λέγουσιν. εἶτ᾽ οὖν ἐμὲ βούλει προσέχειν ἀνθρώποις Ἐρασιστράτου φλυαροῦσιν, αὐτὰς ἔχοντα Ἐρασιστράτου φωνάς; οὐδενὶ τὸν τρόπον ἡγοῦμαι προσήκειν. ἀκούσωμεν οὖν αὐτοῦ τῶν φωνῶν. πολὺ, φησὶ, βέλτιον ὁ Χρύσιππος ἐποίει, οὐ μόνον τὸ παρὸν ἐμβλέπων, ἀλλὰ καὶ τοῦ ἐπιφερομένου κινδύνου φροντί-

qui praeterquam quod nihil rationi confentaneum nugentur, ne norunt quidem quae ab ipfis commendentur. Admirantur enim Erafiftrati rationem et nomen fibi ab illo imponunt, Erafiftrateos appellantes: adeo vero funt illius praeceptorum ignari, ut omnia potius quam fententiam illius interpretentur. De fanguinis itaque miffione adeo prolixa et abfurda nugantur, ut aliquis non infcitiam modo ipforum, fed jam etiam impudentiam demiretur. Quum enim manifefte Erafiftratus dicat in capite de fanguinis eductione, in quo etiam folo venae fectionis meminit, Chryfippum fanguinem non detrahere, ut aeger qui ob inflammationes neceffario inediis traducitur, fufficiat. Ipfi omnia potius quam haec dicunt. Deinde visne me hominibus attendere, qui de Erafiftrato nugantur, quum Erafiftrati verba habeamus? non puto convenire. Audiamus igitur ipfius verba. *Multo*, inquit, *rectius Chryfippus fecit, qui non modo quod praefens eft infpicit, fed etiam de imminenti periculo follicitus.* *Proximum enim*

ζων. ἐχόμενος γὰρ τοῦ περὶ τὴν ἀναγωγὴν ὁ κατὰ φλεγμονὴν κίνδυνος, ἐν ᾧ προσφέρειν μὲν οὐ ῥᾴδιον, φλεβοτομηθέντι δὲ καὶ πολὺν χρόνον ἀσιτήσαντι κίνδυνος ἐκλυθῆναι. σαφῶς γὰρ ἐνταῦθα τὸν κατ᾽ ἔνδειαν κίνδυνον εὐλαβεῖσθαί φησιν αὐτὸν, ὃν ἐξ ἀνάγκης ἀκολουθήσειν οἴεται πλείονι χρόνῳ, διὰ τὴν φλεγμονὴν λιμαγχονουμένου τἀνθρώπου.

Κεφ. η'. Καὶ οὐ δέομαι πάλιν ἐνταῦθα ληρούντων Ἐρασιστρατείων διὰ τί προσφέρειν τροφὰς τοῖς φλεγμαίνουσιν ἀνθρώποις εἶπεν, ἀλλ᾽ αὐτὸν Ἐρασίστρατον ἐξηγούμενον ἑαυτὸν ἔχω δι᾽ ὧν ἔμπροσθεν ἐμνημόνευσα ῥήσεων. ἐκ μὲν τοῦ τρίτου περὶ πυρετῶν ὑπὲρ τῶν ἐπὶ πλήθει γινομένων φλεγμονῶν· ἐκ δὲ τοῦ πρώτου περὶ τραύματος. ἐν ἀμφοτέροις γὰρ βιβλίοις οὐχ ἅπαξ, ἀλλὰ πολλάκις ὑπὸ τῶν ἀσιτιῶν κενουμένας τὰς φλέβας ἐπιτηδειοτέρας ἔσεσθαι φησὶ πρὸς τὸ πάλιν εἰς αὐτὰς δέξασθαι τὸ παρεγχυθὲν αἷμα. τί γὰρ φησίν; ἀκόλουθον δὲ τούτοις καὶ τὸ μηδὲν προσφέρειν τοῖς τετραυματισμένοις ὑπὸ τοὺς τῆς φλεγμονῆς καιρούς. κενούμεναι γὰρ αἱ φλέβες τῆς τροφῆς ῥᾷον παραδέχονται τὸ

periculo ex fanguinis eductione provenienti illud quod inflammatio fuggerit, in quo cibum offerre haud facile eft, fanguinis autem miffionem et longo tempore inediam experto periculum obvenit ne vires diffolvantur. Manifefto enim hic ex inedia periculum cavere ipfum fcribit, quod neceffario fequuturum arbitratur, ubi homo longiore tempore propter inflammationem fame fit excruciatus.

Cap. VIII. Ac non opus habeo hic rurfus Erafiftrateorum nugis garrientium, cur cibum hominibus inflammationem expertis non offerre jufferit, verum ipfum Erafiftratum per verba quorum antea mentionem feci femel interpretantem fequor, inprimisque ubi tertio febrium de inflammationibus quae ex plenitudine fiunt, primo autem ubi de vulneribus differit. In utrisque enim libris non femel, fed faepe venas, quae per inedias evacuatae fint, ut fanguinem affluentem denuo recipiant aptiores fieri dicit. Quid enim ait? *His autem confequens eft ut vulneratis nihil offeramus fub inflammationis temporibus. Etenim venae alimento va-*

παρεμπεπτωκὸς αἷμα εἰς τὰς ἀρτηρίας. ὡς κενωτικὸν οὖν βοήθημα ἡ ἀσιτία φλεγμονὰς λύεται. οὐ γὰρ δι᾽ ἄλλο τι φησὶν αὐτὴν ἐπὶ τῶν φλεγμαινόντων παραλαμβάνειν ἢ ὅτι κενούμεναι αἱ φλέβες ῥᾷον παραδέξονται τὸ παρεμπεμπτωκὸς αἷμα εἰς τὰς ἀρτηρίας. εἶτα, ὦ πρὸς θεῶν, κενῶσαί τις τὰς φλέβας βουλόμενος, ἐνὸν ἀλύπως καὶ ταχέως τοῦτο ποιῆσαι, μακρὰ κάμνει. οὐκ οἶδα πῶς ἄν τις μᾶλλον ἑαυτῷ περιπίπτων εὑρεθείη. οὐ φλεβοτομῶ, φησὶν, ἵν᾽ ὁ κάμνων ἐξαρκέσῃ τὰς διὰ τὰς φλεγμονὰς ἀσιτίας. τίνος δὲ χάριν τὰ φλεγμαίνοντα λιμαγχονεῖς; ἵνα κενώσω, φησὶ, τὰς φλέβας. τί οὖν οὐκ ἀπ᾽ ἀρχῆς ἐκένους; ἐγὼ μὲν οὖν ἐλεῶ τῶν ἁμαρτημάτων τὸν ἄνδρα. πρὸς γὰρ οἷς ἐναντίοις ἐστὶν, οὐ τοῖς φαινο(6)μένοις μόνον κατὰ τὴν τέχνην ἔργοις, ἀλλὰ καὶ τοῖς ἑαυτοῦ λόγοις, ἔτι καὶ τοῦτο ἀγνοῶν εὑρίσκεται, τίνος ἕνεκεν ἀσιτίαι [403] παραλαμβάνονται, καίτοι τὴν χρείαν αὐτῶν ἱκανῶς τε ἅμα καὶ σαφῶς Πραξαγόρας ἔφθανεν γεγραφέναι, πρὸς τὸ μηδὲ Ἱπποκράτην παραλιπεῖν, μηδὲ Διοκλέα, οὐδὲ οὕτω χρηστὸς ὥσθ᾽ ὑπὲρ τοῦ κενῶ-

cuae, facilius sanguinem in arterias concidentem recipiunt. Itaque inedia tanquam auxilium evacuatorium phlegmonas solvit. Non enim ob aliam quandam rem in inflammationibus ipsam adhibendam censet quam ut venae vacuatae sanguinem in arterias illabentem facilius recipiant. Deinde, per deos, quum quis venas evacuare volet ubi liceat id et sine molestia et cito praestare, diu laborat, haud novi quomodo potius seipsum circumvenire deprehenditur. *Non venam seco,* inquit, *ut aeger inediis ob inflammationes susceptis sufficiat.* Sed cujus gratia inflammatos fame enecas? *ut venas,* inquit, *evacuem.* Cur igitur non ab initio evacuasti? pudet enim me misereique viri a vero aberrantis. Nam praeterquam quod contrarius est non apparentibus tantum in arte operibus, sed etiam suis ipsius sententiis, adhuc etiam haec ignorare deprehenditur, cujusnam gratia inediae adhibeantur, etsi usum ipsarum abunde simul et manifesto Praxagoras scriptum reliquerit. Adde quod ne Hippocrates quidem neque Diocles omiserit, ille vero adeo imperitus venis evacuandis

Ed. Chart. X. [403.] Ed. Baf. IV. (6.)

σαι τὰς φλέβας οἴεται τὰς ἀσιτίας παραλαμβάνεσθαι καὶ ταύτῃ μόνον βοηθεῖν. εἶτα, πρὸς Διὸς, κενωτικοῦ δεόμενος βοηθήματος ἐπὶ τὸ πάντων ἀσθενέστατον ἀφῖξαι, παρελθὼν τὰ δραστικὰ καὶ ταχέως ἄγειν ἐφ᾽ ᾧ βούλει δυνάμενα. ἀλλ᾽ ἔστω, συγχωρείσθω σοι καὶ τοῦτο τὰς ἐπὶ τραύμασι φλεγμονὰς οὕτω θεραπεύειν ὡς τὰς ἐπὶ πλήθει, τί ποιήσομεν αὐτὸ τὸ πλῆθος ἐν ταῖς φλεψὶν ἔτι μένον καὶ διατεῖνον αὐτὰς, εἰς δὲ τὰς ἀρτηρίας οὕτω παρὸν ὅπως ἰατέον; ἐγὼ μὲν γὰρ ᾤμην ἐπὶ τῶν τοιούτων ἁπάντων ἑτοιμοτάτην εἶναι τὴν διὰ φλεβὸς κένωσιν. ἐπὶ θώρακα φερέσθω τὸ πλῆθος, κινδυνευέτω τι τῶν ἐν τούτῳ ῥαγῆναι ἀγγείων, οὐδ᾽ οὕτως φλεβοτομήσομεν, ἀλλ᾽ ἐρίοις δηλαδὴ διαδήσομεν τὰ κῶλα; καὶ τοῦθ᾽ ἱκανόν. εἰ τῷ πρὸς θεῶν ἀντισπαστικῷ βοηθήματι χρώμενοι οὐκ ἴστε ὅτι πολὺ τούτου δραστικώτερον ἀντισπάσεως φλεβοτομία. πολλῶν γοῦν ἀνεπισχέτως αἱμοῤῥαγούντων τεμόντες φλέβα τὴν αἱμοῤῥαγίαν ἐστήσαμεν. Ἐρασίστρατον δ᾽ οἶμαι καὶ τοῦτ᾽ ἀγνοεῖν. οὐδὲ γὰρ τὸ τυχόν ἐστιν εἰδέναι

inedias adhiberi putat, atque hac folum opitulandum cenfet. Poftea evacuatorio indigens auxilio ad omnium mehercule imbecillimum defcendit, praetergreffus efficacia et quae celeriter ad quodcunque deducere velis poffes. Sed age tibi concedamus inflammationes in vulneribus ita etiam curari ut eas quae ob copiam contractae funt; quid faciemus quum ipfa copia in venis adhuc fubfiftit easque diftendit, aut quum in arteriis ita adeft, quomodo curabimus? Ego fane in hujusmodi omnibus promptiffimam effe ex vena vacuationem cenfeo. Jam ad thoracem copia deferatur, pericliteturque aliquod vas in hoc rumpi, ne fic quidem venam fecabimus, fed lanis nimirum artus excipiemus? Illi quidem hoc fuffecerit. Nam quum revulforio remedio utatur, haud novit venae fectionem in revulfione multo effe efficaciorem, quippe ubi multis fanguis adeo flueret, ut coerceri non poffet, vena fecta profluvium compefcuimus, id quod etiam Erafiftratum ignorare arbitror. Neque enim vulgare eft, quales venae in qualibus partibus fanguinem fundentibus fecandae

ποίας ἐπὶ ποίοις μέρεσιν αἱμοῤῥαγοῦσι τμητέον φλέβας. ὅταν οὖν αὕτη τὰ μέγιστα δρᾷ ὧν νῦν δεόμεθα, παρῆκε τὸ κενοῦν καὶ τὸ ἀντισπᾷν. τί μέλλεις ἔτι καὶ τρίβεις τὸν χρόνον καὶ τὸν ἄνθρωπον ἐπιτρίβεις, ἐνὸν κερδῆσαι καὶ τὴν ῥῆξιν αὐτὴν τῶν ἀγγείων καὶ τὴν ἐπὶ ταύτῃ φλεγμονὴν καὶ τὰς ὑπὲρ τοῦ τὴν φλεγμονὴν ἰάσασθαι παραλαμβανομένας λιμαγχονίας; εἰ γὰρ τὸ πλῆθος ἐργάζεται τὴν ῥῆξιν, ἐκκενώσας τὸ ἐργαζόμενον κωλύσεις τὸ ἐσόμενον· εἰ δὲ τοῦτο, καὶ τὴν ἐπὶ τῇ ῥήξει φλεγμονήν· εἰ δὲ τοῦτο, οὐδὲ τῶν ἀσιτιῶν ἔτι χρεία. σὺ δέ μοι δοκεῖς ὥσπερ ἐπιθυμῶν ἀσιτίαν συμβουλεύειν αὐτὸς ἐργάζεσθαι πάθη χρῄζοντα λιμαγχονίας. τί δεινὸν ἦν τὸ λυπῆσον κενώσαντα μηδὲ ἔχειν πρᾶγμα;

Κεφ. θ'. Καίτοι μάτην πολλὰ κάμνω παρὸν ὑπομνῆσαί σε τὸν λόγον. εἰ γὰρ οὐκ αὐτὸς ἡμᾶς ἐδίδαξας ἐν τῷ προτέρῳ τῶν ὑγιεινῶν, ἔνθα γένεσιν τοῦ κατὰ τὰς φλέβας πλήθους προειπὼν ἐφεξῆς γράφεις ἰάματα, σκοπὸν μὲν αὐτῶν ἁπάντων κένωσιν θέμενος, ἄλλην δ' ἄλλῳ συμφέρειν φάσκων·

fint. Quum igitur ipfa venae fectio maxima praeftet quibus nunc indigemus, ut quae et evacuare et revellere poffit, quid cunctaris adhuc et tempus teris? hominem conficis, quum liceat vitare et ipfam vaforum rupturam inflammationemque ob hanc ortam et inediae cruciatus curandae inflammationis gratia adhibitos. Si enim copia rupturam efficit, evacuata ea quod futurum erat cohibebis; quod fi hoc contingit, etiam inflammationem ex ruptura ortam; fin autem hoc, ne inediarum quidem adhuc ufus reftat. At tu mihi videris ceu cupiens inediam confulere ipfos affectus machinari, qui inediae cruciatum requirant. Quid grave erat eo quod vexat evacuato ne faceffere quidem negotium?

Cap. IX. At fruftra multum laboro, quum liceat tui te fermonis admonere. An enim non ipfe nos docuifti in priore de fanitate tuenda, ubi venarum copiae generationem praefatus, deinde fcribis remedia, fcopum fane ipforum omnium ftatuens evacuationem, aliam vero alii conferre dicens;

πλὴν ἀλλά γε κενοῦντα τὴν πληθώραν, οὕτως γὰρ ἀξιοῖς καλεῖν τὸ ἐν ταῖς φλεψὶ τροφῆς πλῆθος καὶ γυμνάσια καὶ λουτρὰ πλείω καὶ λεπτὴν διαίταν εἶναι κελεύεις. οὐ ταυτὸν δὲ πᾶσι συμφέρειν φῂς βοήθημα κενωτικὸν, ὅτι μήτε πάντες εἰθισμένοι χρῆσθαι πᾶσιν, ἀλλ' οἱ μὲν λουτροῖς μᾶλλον, οἱ δὲ γυμνασίοις, οἱ δὲ τοῖς μετὰ δεῖπνον ἐμέτοις, καὶ ὅτι μὴ τοῖς αὐτοῖς ἅπαντες εὐάλωτοι νοσήμασιν, ἀλλ' ὁ μέν τις ἐπιληψίαις, ὁ δ' αἵματος πτύσεσι, ὁ δὲ τοῖς καθ' ἧπαρ ἢ σπλῆνα πάθεσιν. οὐκ οὖν οὔτε τὸν ἐπίληπτον ἐπιχειρήσομεν βαλανείοις κενοῦν, ὡς σὺ φῂς, ὀρθῶς τοῦτο κελεύων, οὐδ' ᾧ τι φόβος ἀγγεῖον ἐν θώρακι ῥαγῆναι γυμνά[404]σομεν. κίνδυνος γὰρ δηλαδὴ ταῖς τῶν γυμνασίων συντονίαις, εἰ καὶ μὴ πλῆθος ἦν, ἀλλ' ὡς διὰ ἀσθένειαν κατὰ θώρακα ῥαγῆναι γυμναζομένῳ. ὅπως οὖν αὐτὸν ἰασόμεθα δίδαξον ἡμᾶς. ὅτι μὲν γὰρ κενωτέον ἐστὶν ὁμολογεῖς καὶ σύ. κενωτικὰ δ' εἴχομεν βοηθήματα γυμνάσια καὶ λουτρὰ πλείω καὶ λεπτὴν δίαιταν. ἀλλὰ γυμνασίοις μὲν οὐδ' αὐτὸς ἀξιοῖς χρῆσθαι. περὶ δὲ λουτρῶν σὺ μὲν ὅλως οὐδὲν εἶπας, οὔτ' εἰ χρηστέον οὔτ' εἰ μὴ χρηστέον ἐπὶ

quin et plethoram, ſic enim copiam alimenti in venis contenti appellandam cenſes, evacuas exercitiaque et balnea complura et tenuem victum eſſe praecipis. Non idem vero omnibus conferre praeſidium evacuatorium, quoniam neque omnes conſueverunt omnibus uti, ſed alii balneis magis, alii exercitiis, alii a cibo vomitu, idem quod non omnes iisdem morbis ſunt obnoxii, ſed hic morbo comitiali, ille ſanguinis ſputo, alius jecoris aut lienis affectibus. Non igitur comitiali morbo obnoxium balneis evacuare aggrediemur, ut tu ais, recte id praecipiens, nec eum, in quo ne vas aliquod thoracis rumpatur metus eſt, exercemus: periculum enim nimirum in exercitiorum validis conatibus ne, etiam ſi copia non ſit, ob imbecillitatem tamen in thorace vaſa rumpantur, quomodo igitur ipſis medebimur nos doceto. Quod etenim vacuandum ſit tu quoque fateris, habeamus autem praeſidia vacuatoria, exercitia, balnea copioſiora et tenuem victum. Verum exercitiis ne tu quidem ipſe utendum cenſes: de balneis tu omnino obticuiſti, utendumne ſit an minus in ita affectis

τῶν οὕτως ἐχόντων. ἐγὼ δ᾽ ἐρῶ τὸ φαινόμενον αὐτὸ καὶ τῇ πείρᾳ κεκριμένον, εἰ δέ τι χρὴ καὶ περὶ σοῦ μαντεύσασθαι, καὶ σοὶ τάχα ἂν δόξαν. σὺ γοῦν αὐτὸς ἐν τῷ περὶ αἵματος ἀναγωγῆς συγγράμματι διαδέσμοις τε ἅμα καὶ ἀσιτίαις χρώμενος ὑπὸ τούτων μὲν ἀντισπάσαι τοῦ πλήθους, τοῦ δὲ κενῶσαι βαλανείοις οὐ χρή. λογίζομαι γάρ σε φθέγγοντα τὸ λουτρὸν ἐπὶ τῆς ἐῤῥωγυίας ἤδη φλεβὸς, οὐδ᾽ ἔφης, εἰ ἐπίδοξος ἡ ῥῆξις, ἐθελῆσαι ἂν χρήσασθαι. εἰ δὲ καὶ μὴ σὺ οὕτως ἐγίνωσκες, ἀλλ᾽ ἐμοὶ τὸ φαινόμενον ἤρκει. μεγίστη γὰρ αἱμοῤῥαγίαις ἁπάσαις ἡ ἐκ βαλανείου βλάβη καὶ ἡ αἰτία πρόδηλος, εἴ γε δὴ χεῖται μὲν τὸ αἷμα καὶ εἰς ἀτμοὺς λύεται καὶ πνεύματα τοῦ τε θερμαινομένου, ὥστε καὶ εἰς κίνησιν προτρέπεσθαι καὶ εἰς ὄγκον αἴρεσθαι. μαλακὰ δὲ καὶ ἀσθενῆ ταῖς θερμολουσίαις ἀποτελεῖται τὰ σώματα. πῶς δὴ οὖν οὐκ ἂν ῥᾷστα πάθοι αὐτά γε μαλακώτερα γενόμενα καὶ τοῦ ῥηγνύντος αὐτὰ κίνησίν τε ἅμα καὶ ὄγκον προσλαβόντος; οὐκ οὖν οὐδὲ ἐν βαλανείοις ἐπιχειρήσομεν κενοῦν οἷς φόβος δι᾽ αἵματος πλῆθος

hominibus. Ego id ipfum quod apparet experientia comprobatum exponam: item fi de te quoque vaticinari licet, quid forfan opinatus fis aperiam. Itaque tu ipfe in libro de fanguinis rejectione deligaturis fimul et inediis uteris, tanquam his quidem revellere copiam, balneis autem vacuare non conveniat. Confidero enim te balneum in rupta jam vena prohibiturum, neque dixifti, fi de ruptura fufpicio eft, velle te uti: fin autem ne fic quidem fenfifti, mihi tamen id quod apparet abunde eft. Maxima namque omnibus fanguinis eruptionibus ex balneo laefio exiftit caufaque manifefta eft, fiquidem fanguis funditur et in vapores fpiritusque folvitur balneo calido, adeo ut etiam ad motum incitetur in tumoremque attollatur, corpora autem mollia et imbecillia ex calidis lavacris efficiuntur. Quomodo igitur non facile afficiantur molliora reddita, quum etiam is qui rupturam vafis expertus eft, motum fimul et tumorem acceperit? Non igitur balneis evacuare tentabimus eos quibus venas ob fanguinis copiam rumpi metus eft. Supereft ut ad tertium evacuato-

ῥαγῆναι τὰς φλέβας. εἰς λοιπὸν τὸ τρίτον συγκλειόμεθα τῶν κενωτικῶν βοηθημάτων τὴν λεπτὴν δίαιταν. ἄγε δὴ, ἐπειδὴ ταύτην αὐτὸς σὺν τρισὶ τρόποις ἐργάζῃ, λεπτὰ ἢ μικρὰ καὶ ἄτροφα σιτία προσφέρων ἢ οὐδ' ὅλως προσφέρων ἢ ἐμεῖν ἀπὸ δείπνου κελεύων. ἴδωμεν οὖν ὅπως λεπτῶς διαιτήσομεν. ἆρά γε μετὰ δεῖπνον ἐμεῖν κελεύσαντες; ἀλλ' εἰς τὴν ἐν τοῖς γυμνασίοις συντονίαν εὐλαβηθείημεν, εἴ πού γέ τι κατὰ τοὺς ἐμέτους ἀδεῶς χρησόμεθα. τοῦτο μὲν οὐδ' ἂν ἰδιώτην λάθοι. λοιπὸν οὖν ἢ ἀσιτίαν προστάξομεν ἢ μικρὰ καὶ ἄτροφα σιτία δώσομεν. ἀλλ' εἰ καὶ μὴ ἰσχυρῶς τὰ τοιαῦτα, τρέφει γοῦν. ἡμεῖς δ' οὐ προσθεῖναι νῦν, ἀλλ' ἀφελεῖν βουλόμεθα. λοιπὸν ἄρα τὴν ἐπίπονον καὶ μοχθηρὰν ὄντως ὥσπερ τινὰ ἱερὰν ἄγκυραν εἰς ἅπαντα πάθη διαρκῆ παραληψόμεθα λιμοκτονίαν. εἶτα δηλαδὴ σκώψομεν Ἀπολλώνιον καὶ Δέξιππον ἐπὶ λιμαγχονίᾳ; καίτοι καὶ τοῦτ' αὐτὸς ἐδίδαξε, βούλομαι μᾶλλον ὑπομνῆσαι. καὶ γὰρ αὐτός μοι δοκεῖς αἰσθάνεσθαι περὶ τῆς ἀσιτίας ὡς οὐ κενωτικοῦ βοηθήματος. ἀποδείξας δὲ πρότε-

rium remedium confugiamus, nempe ad tenuem victus rationem. Age jam quoniam et hanc ipfe tribus modis moliris, tenues, paucos, nec nutrientes cibos offerens, aut neutiquam exhibens aut vomitum a coena imperans. Videamus igitur quomodo tenuiter aegrotum cibabimus, num a coena vomere jubentes? At quod ab exercitiorum contentione abftinuerimus, fi modo vomitu intrepide ufuri fimus, id neminem vel imperitum latere puto. In pofterum igitur vel inediam imperabimus, vel paucos vixque nutrientes cibos offeremus. Verum haec quamvis non infigniter, nutriunt tamen et ipfa, nos vero non addere aliquid, fed auferre potius cupimus. Ultimo igitur laboriofam illam ac revera perniciofam aeque atque facram aliquam anchoram, quaeque omnibus affectibus opitulari poffit, famem accerfemus, ac deinceps et Apollonium et Dexippum ea gratia maledictis inceffemus? At hic te recordari percuperem illorum, quae ipfe de hac re docueris: nam tu ipfe de inedia fic videris fentire, tanquam ea ex numero evacuatoriorum auxiliorum nequaquam effe

ρον ὃ βούλομαι, τηνικαῦτα δὴ καὶ τῆς παρὰ σοῦ μαρτυρίας μνημονεύσω. ἡ ἀσιτία οὐ δήπου τῶν ὄντων τι πραγμάτων ἐστὶν, οὐ μᾶλλον ἢ τυφλότης ἢ κωφότης, ἀλλὰ πάντα τὰ τοιαῦτα στερήσεις τῶν ὑπαρχόντων εἰσί. αὐτὸ μὲν γὰρ τὸ προσενέγκασθαι σιτία τῶν ὄντων ἐστὶν, ὅθεν αὐτὴν καὶ τοὔργον εὑρήσεις ὑπάρχειν θρέψιν τοῦ σώματος. τὸ μὴ προσενέγκασθαι οὐ ταὐτὸν τῶν ὑπαρχόντων ἐστὶν, οὔτ᾽ ἔργον αὐτοῦ δεῖξαι δυνήσῃ, καθάπερ ἱδρώτων μὲν καὶ φλεβοτομίας καὶ κλυστῆρος κένωσιν, ἐδεσμάτων δὲ θρέψιν. μέση τοίνυν ἀμφοῖν ἐστὶν ἡ ἀσιτία τοῦ τε κενοῦν καὶ τοῦ τρέ[405]φειν. οὔτε γὰρ τρέφει οὔτε κενοῖ. πῶς οὖν, φησὶν, ἀπέθανον πολλοὶ κατ᾽ ἔνδειαν ἀπορίᾳ σιτίων; οὐ τῇ τῶν σιτίων ἀπορίᾳ, φήσομεν, ἐπεὶ οὕτω γ᾽ ἂν οὐδὲ τὰ φωλεύοντα ζῶα τροφῆς ἀποροῦντα διαρκεῖν ἐδύνατο. διαρκεῖ δέ γε, καὶ τοῦτ᾽ αὐτὸς ὁ Ἐρασίστρατος λέγει καὶ τὴν αἰτίαν προσθίτησιν. ἅπαν γὰρ, φησὶ, τὸ κατὰ τὴν ἐκτὸς ἐπιφάνειαν διαπνεῖσθαι πέφυκεν, ἀλλ᾽ ἢ πλέον ἢ ἧττον, ὡς ἂν καὶ μα(7)νότητος ἔχει. τοῦ δ᾽

poffit. Verum fimul ac prius quod volo demonftravero, tum et teftimoniorum quae adducis faciam mentionem. Nam inedia inter res quae in naturam cadunt nullum obtinet locum, nihiloque magis fubfiftit quam vel caecitas vel furditas, quae omnium rerum exiftentium privationes funt. Ipfa enim ciborum adjectio ex rebus in ufum humanum cadentibus habetur, unde et hanc opusque ejus corporis nutritionem effe invenies; rurfum fubtractio eorundem non eadem cum rebus exiftentibus eft, neque etiam proferre poteris aliquod opus illius, qualis fcilicet illa eft, quae in fudoribus venaeque fectione ac clyfteribus contingit evacuatio, nec non in eduliis nutritio. Media igitur amborum evacuationis et nutritionis inedia eft: neque enim nutrit neque vacuat. Quomodo igitur, ait, multi ex inedia ciborum inopia intellexiffe dicemus, quoniam ita ne in latebris quidem degentia animalia, ubi fi alimenti laborant inopia, poffent perdurare. Perdurant autem etiam Erafiftrato afferente, qui et caufam apponit. Omnia namque illa, quia per exteriorem cutis fu-

Ed. Chart. X. [405.] Ed. Baſ. IV. (7.)

ἧττόν τε καὶ μᾶλλον γίνεσθαι μανὴν τὴν ἐπιφάνειαν ἄλλαι τέ τινες αἰτίαι καὶ οὐδεμιᾶς ἐλάττους αἱ κατὰ θερμασίαν καὶ ψύξιν καὶ ἡσυχίαν καὶ κίνησιν τροπαὶ τοῦ σώματος. θερμοῦ μὲν γὰρ ὄντος τοῦ περιέχοντος ἀέρος καὶ τοῦ ζώου γυμναζομένου πλεῖστον ἀποῤῥεῖν· ἐπὶ δέ γε τοῖς ἐναντίοις κρύει τοῦ περιέχοντος καὶ ἀκινησίᾳ τοῦ ζώου πυκνοῦσθαι μὲν τὴν ἐκτὸς ἐπιφάνειαν, ἀποῤῥεῖν δὲ ἢ μηδὲν ἢ παντάπασιν ὀλίγον. καὶ διὰ τοῦτο μὴ δεῖσθαι τροφῆς τὰ φωλεύοντα. ἅτε γὰρ ψυχρῶν μὲν καὶ ἀργῶν καὶ παχέων τῶν καθ᾽ ὅλον τὸ σῶμα διὰ τὴν ἡσυχίαν γιγνομένων, πυκνουμένης δὲ τῆς ἐκτὸς ἐπιφανείας ἐν τῷ χειμερινῷ κρύει, καθ᾽ ἣν ὥραν φωλεύει τὰ ζῶα, μηδὲν ἐκτὸς ἀποῤῥεῖν. οὐκοῦν οὐδὲ τοῦ πληρώσοντος τὸ κενούμενον δεῖσθαι. χρεία δ᾽ ἦν αὐτῇ τροφῆς καὶ διὰ τοῦτ᾽ ἐπ᾽ αὐτὴν ἔρχεται τὰ ζῶα τὴν ἐκ τῆς κενώσεως ἔνδειαν ἰώμενα. σαφὲς οὖν ὅτι τῆς μὲν ἐνδείας ἡ καθ᾽ ὅλην τὴν ἐπιφάνειαν κένωσις αἰτία καὶ χρεία σιτίων ὑπὲρ τοῦ τὸ κενούμενον ἀναπλη-

perſiciem, prout aut magis aut minus rara exiſtunt, tranſpirare diſſlarique ait. Ejus vero quod ſuperficies ipſorum magis minusque rara efficitur, cum aliae cauſae quaedam exiſtunt tum illae non minimae, quae calore, frigore, quiete motuque corpus immutant. Ubi enim ambiens aër calidus eſt et animal exercetur, alimento plurimum deſtitui diſſlarique contingit. E contrario quum ambiens frigidus eſt et animal non movetur, extimam cutem denſari contingit ac vel nihil vel omnino paucum per latentes meatus effluere, eoque in latebris degentia alimento non indigent, utpote quum frigida ſint, otioſa et toto corpore craſſa degantque in quiete, cutis autem exterior hiberno algore denſetur, quo tempore in latebris agunt animalia, ſit ut nihil foris effluat. Quare nec eo quod impleat evacuatum indiget, alioquin alimento opus eſſet, eamque ob cauſam id animalia expetunt, inediae ex vacuatione factae medicantia. Itaque nemini dubium eſt inediae cauſam eſſe evacuationem, quae per totam fit ſuperficiem uſumque ciborum, ut id quod vacuatur

ρῶσαι. τῆς οὖν αἰτίας ἀπολλυμένης δι᾽ ἣν ὅλως ἐδεῖτο τὰ ζῶα σιτίων, ἀνάγκη πᾶσα καὶ τὴν χρείαν συναπόλλυσθαι, καὶ διὰ τοῦτο οὐ δεῖται τὰ φωλεύοντα σιτίων, ὅτι μηδὲ προσθέσεως. σαφῶς οὖν ἐμάθομεν ὡς οὐχ ἡ ἀσιτία κενοῦν πέφυκεν, ἀλλ᾽ ἡ τοῦ δέρματος μανότης. εἰ δὲ τοῦτο πυκνώσαις ἡσυχίᾳ καὶ κρύει, τί τῆς λιμαγχονίας ἔτι ὄφελος; καὶ μὴν ἀναγκαῖον ἄμφω φυλάξασθαι, καὶ τὰ γυμνάσια καὶ πᾶσαν ἀλέαν, ᾧ κίνδυνος αἷμα πτύσαι. τὰ μὲν γὰρ τῇ συντονίᾳ ῥηγνύναι πέφυκε τὰς φλέβας· αἱ θερμασίαι δὲ καθ᾽ ὃν λόγον καὶ τὰ λουτρά. μὴ θερμαίνων μὲν ἄρα κενώσεις τὸ σῶμα, θερμαίνων δὲ ἢ γυμνασίοις ἢ λουτροῖς μέγιστα βλάψεις τὴν πρὸς τὸ ῥήγνυσθαι τῶν φλεβῶν αὐτῶν ἐπιτηδειότητα. τί δὴ λοιπὸν ἔτι συμβουλεύσομεν τοῖς ὧδε κάμνουσιν; αἱ μὲν γὰρ ἀσιτίαι χωρὶς τοῦ γυμνάζεσθαι τὸν ἄνθρωπον ἢ ἄλλως ὁπωσοῦν θερμαίνεσθαι κενοῦν οὐ δύνανται. φλεβοτομίαν δὲ, ὡς ἐοίκαμεν, ἐσχάτως φεύγομεν, ὥσπερ, οἶμαι, καὶ τὰς ἰσχυρὰς καθάρσεις. θαυμαστή γε ἡ εὐπορία τῶν κενωτικῶν βοηθη-

repleatur. Quum itaque caufa interit, ob quam plane animalia cibis indigebant, neceffarium prorfus eft etiam ufum una aboleri: unde fit ut qui in latebris agant, cibis non indigeant, quoniam ne appofitione quidem. Clare igitur didicimus inediam vacuare non poffe, fed cutis raritatem. Hanc autem fi denfaveris otio et frigore, quae famis cruciatus adhuc utilitas reftat? Atqui neceffarium ambo cavere et exercitia et omnem calefactionem, cui de fputo fanguinis periculum eft: etenim validus conatus venas disrumpere folet, caliditas autem qua ratione etiam balnea offendit. Itaque non corpus calefaciendo evacuabis, fed vel exercitiis vel balneis calore excitato maxime laedes venas ipfas rupturae opportunas. Quid itaque deinceps adhuc ita laborantibus confulemus? fiquidem inediae, nifi homo exerceatur, vel alio quovis modo incalefcat, vacuare nequeunt. Sanguinis autem miffionem ut confuevimus extreme vitamus, ficut, opinor, validas purgationes. Mirum autem eft quan-

Ed. Chart. X. [405.] Ed. Baf. IV. (7.)

μάτων εἰς ἀσιτίαν κατακλεισθέντων. εἰ μὲν μόνη χρησόμεθα, πλεῖον οὐδὲν ἕξομεν, οὐ γὰρ κενοῖ μόνη. οὐν ἡ κενοῦν πέφυκε, μείζονας ταῦτα τὰς ἄλλας βλάβας τῆς ἐκ του κενοῦν ὠφελείας ἔχει.

ta evacuantium praefidiorum quae inediae adjunguntur copia fuppetat. Si autem hac fola non vacuet, illa vero cum quibus vacuare folet, plus noxae quam commodi vacuando praeftant.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΦΛΕΒΟΤΟΜΙΑΣ ΠΡΟΣ ΕΡΑΣΙΣΤΡΑΤΕΙΟΥΣ ΤΟΥΣ ΕΝ ΡΩΜΗι.

Ed. Chart. X. [406.] Ed. Baf. IV. (7.)

Κεφ. α'. Ὅτε τὸ πρῶτον ἧκον εἰς Ῥώμην, εὗρόν τινας ἰατροὺς εἰς τοσοῦτον φυλαττομένους φλεβοτομίαν ὥστε ἐνίοτε διὰ πλῆθος ἀνθρώπου πνιγομένου, μηδὲ τότε χρῆσθαι τῷ βοηθήματι. καί τινα γυναῖκα [τῇ μὲν ἡλικίᾳ σχεδὸν ἐτῶν κά, ἐξ ἐπισχέσεως τῆς ἐμμήνου καθάρσεως ἐρυθρόν τε τὸ πρόσωπον ἔχουσαν καὶ βήττουσαν ἀτρέμα καὶ δυσπνοοῦσαν ἤδη που σμικρὰ διαδοῦντας ἐρίοις δεσμοῖς τὰ κῶλα καὶ ἀσιτεῖν κελεύοντας, οὔτε δὲ αὐτοὺς φλεβοτομοῦντας ἡμᾶς τε

GALENI DE VENAE SECTIONE ADVERSVS ERASISTRATEOS ROMAE DEGENTES.

Cap. I. Quum Romam primum appuliffem, comperi quosdam medicos, qui a venae fectione tantum abhorrebant, ut quum aliquando homo propter plenitudinem praefocaretur, nequaquam tum hoc auxilio uterentur. Quandam etiam mulierculam aetate prope viginti uniusque annorum, quae ex menftruae purgationis fuppreffione faciem rubicundam habebat tuffiebatque paululum et difficile jam fpirabat, illi artus ipfius laneis vinculis leviter excipiebant et inediam fubire jubebant, venam autem non fecabant nosque fecare

Ed. Chart. X. [406. 407.] Ed. Baf. IV. (7.)

κωλύοντας· ἐπεὶ ὧ συνήθες εἶναι τοῖς οἰκείοις τῆς γυναικὸς καὶ πρεσβύτεραι μᾶλλον ἐπιστεύοντο. πείθειν μὲν αὐτοὺς ἔτι περὶ τῆς φλεβοτομίας οὐδὲ ἐπεχείρησα, προσανηρώτησα δ' εἰ μὴ κωλύοιεν ἐρεθίζειν ἐπὶ μήτραν τὸ αἷμα τοῖς τοῦτ' ἐργάζεσθαι δυναμένοις φαρμάκοις. ὡς δὲ συνεχώρησαν, ἑτοίμως τὴν συνήθη τῇ καμνούσῃ μαιεύτριαν ἐξ[ιο]υρὸν ἐπὶ τὴν χρῆσιν αὐτῶν προὐτρεπόμην. ἡ δὲ κεχρῆσθαι καθ' ὃν ἐχρῆν καιρὸν ἔλεγεν, ἡνίκα ἐπίδοξος ἡ ἔμμηνος ἦν ἔσεσθαι κάθαρσις. ἐμέμνητό τε τῶν φαρμάκων ἃ προσήνεγκε τῇ γυναικὶ, δοκίμων ἁπάντων ὄντων, ὡς μὴ δόξαι τινὰ τῇ τούτων ἀσθενείᾳ τὴν βοήθειαν ἄπρακτον γενέσθαι. ταῦτά τε οὖν ἐγὼ πυθόμενος, ἔτι τε πρὸς τούτοις ὅτι τέταρτος εἴη μὴν πεπλησμένος τῆς ἐπισχέσεως τοῦ αἵματος, αὖθις ἐντυχὼν τοῖς ἰατροῖς ἐπεχείρουν πείθειν ἐπὶ τὴν φλεβοτομίαν ἀφικέσθαι. μὴ βουληθέντων δὲ θαυμάζων εἰ διὰ μὲν τῆς μήτρας ἐκκενῶσαι τὸ περιττὸν αἷμα σπουδάζουσιν, ἀναστομώσαντες δηλαδὴ φλέβας ἐνταῦθα πολλὰς, ἄλλης δέ

prohibebant. Quia vero domefticis ipfius mulieris familiares erant et aetate fuperiores, iis major eft habita fides. Illis quidem venae fectionem deinceps fuadere non conatus fum, fed interrogavi num mihi liceret fanguinem per uterum remediis id efficiendi facultatem habentibus provocare: quod quum conceffiffent, promte compertam familiarem ipfius aegrotae obftetricem ad eorum ufum exhortatus fum. Verum haec remediis hujusmodi, quo tempore decebat, fe ufum fuiffe narrabat, quando menftrua purgatio in expectatione erat, recitabatque medicamenta quae mulieri admoviffet probata effe omnia, adeo ut nemo eorum imbecillitate remedium effe irritum arbitratus fit. Quum igitur ego illis aufcultarem, atque etiamnum fuppreffionis fanguinis quartum menfem completum effe animadverterem, rurfum cum medicis colloquutus, ut ad venae fectionem fefe conferrent eis perfuadere conabar. Quum autem noluiffent, obfervabam ftupidus an per uterum vacuare fupervacaneum fanguinem ftuderent, apertis videlicet venis quae illic funt multis, an

τινος φλεβὸς τμηθείσης ἡγοῦνται βλαβερὰν ἔσεσθαι τὴν κένωσιν. τῶν δὲ εἰπόντων ὑπὸ μόνης τῆς ἀσιτίας κενωθῆναι δύνασθαι τὸ πλεονάζον αἷμα, χωρὶς τοῦ προσαχθῆναι βοήθημα τοιοῦτον, σιωπήσας ἀπηλλαττόμην, οὐδὲν χρηστὸν ἐλπίζων ἐπὶ τῇ γυναικὶ, διά τε τὴν βῆχα καὶ τὴν δύσπνοιαν. ἢ γὰρ αἷμά τι πτύσσειν αὐτὴν ἐκ θώρακος ἢ πνεύμονος, ἀγγείου ῥαγέντος, ἢ πάντως γε συναγχικὴν ἢ πλευριτικὴν ἢ περιπνευμονικὴν ἔσεσθαι προσεδόκουν. ἐβουλόμην τε μᾶλλον, ὡς ἐν κακῶν αἱρέσει, πλευριτικὴν γενέσθαι τὴν γυναῖκα, δεδιὼς τῆς μὲν ἐν συνάγχῃ τε καὶ περιπνευμονίᾳ τὴν ὀξύτητα τοῦ κινδύνου, τῆς δὲ ἐν τῷ πνεύμονι ῥήξεως ἀγγείου τὸ θανατῶδες, ὅπερ οὖν καὶ συνέβη γενέσθαι. βηξάσῃ γὰρ αὐτῇ συντονώτερον αἷμα συνανήχθη. καὶ ἤδη καὶ τῶν ἰδιωτων οὐκ ὀλίγοι τοῖς κωλύσασι φλεβοτομηθῆναι τὴν ἄνθρωπον ἐμέμφοντο. καὶ πάντως, εἰ καὶ μὴ πρόσθεν, ἀλλὰ νῦν γοῦν ἤλπιζον αἰδεσθέντας αὐτοὺς συγχωρῆσαι τῷ βοηθήματι. τῶν δὲ μηδὲ τότε ἐπιτρεπόντων, ἀλλά τά τε τῶν κώλων δεσμὰ ἐπεσφίγγειν σφο-

vero fecta altera quadam vena noxiam fore vacuationem arbitrarentur. At iis proferentibus inedia fola vacuari poffe exuperantem fanguinem, etiam citra auxilii ejusmodi celebrationem tacitus discedebam, nihil fperans mulieri tum propter tuffim tum propter fpirandi difficultatem profuturum. Aut enim fanguinem fputo ejecturam ipfam e thorace vel pulmone, vafe rupto, aut omnino fynanchicam vel pleuriticam vel peripneumonicam fore praefagiebam, optabamque magis, veluti in malorum electione, pleuriticam fieri mulierem, veritus illi tum in angina et peripneumonia periculi celeritatem, tum ex rupto pulmonis vafe lethale vulnus, quod etiam obortum eft. Dum enim ipfa tuffiret vehementius, fanguis furfum educebatur, atque jam etiam vulgares non pauci conquerebantur de medicis, quod virum mulierculae venam fecare prohibuiffent, fperabantque omnino, etfi non ante, faltem tunc temporis verecundia ductos ipfos hoc auxilium conceffuros. Quum autem tunc haud concederent, fed et artuum vincula vehementius conftringere

δριμύτερον ἀξιούντων, ἐρεθίζειν τε διὰ μήτρας, ἐπιμένειν τε ταῖς ἀσιτίαις, ἐγὼ μὲν ἐχωρίσθην, ὡς ἂν μηδὲν ἀνύσειν ἐλπίζων διά τε τὴν ἡλικίαν τῶν ἀνδρῶν καὶ τὴν δόξαν. ἡ γυνὴ δ' ἀπέθανεν οὐ μετὰ πολὺν χρόνον, ἀνιάτῳ δυσπνοίᾳ συσχεθεῖσα. καὶ μὲν δὴ καὶ συναγχικῶν ὑπὸ τῶν αὐτῶν τούτων ἰατρῶν κωλυθέντων φλεβοτομῆσαι διὰ ταχέων ἀποθανόντων. καὶ πάλιν ἄλλον τινὰ ἦρος ὥρᾳ, δι' ὅλου μὲν τοῦ χειμῶνος ἐμπεπλησμένον ἄνευ γυμνασίων, ἐρυθροὺς δὲ οὕτω τοὺς ὀφθαλμοὺς ἔχοντα καὶ τὸ πρόσωπον ὅλον, ὡς εἰ καί τις μὲν ἐρείσας χαμαὶ τὴν κεφαλὴν, ὑψηλὰ δ' ἀνατείνας τὰ σκέλη, χρονίσει ἐν τούτῳ τῷ σχήματι, πεμπταῖος οὗτος δυσπνοήσας ἐπνίγη. τετάρτην ἐπὶ τούτων γυναῖκα τῆς ἐμμήνου καθάρσεως ἐπεσχημένης οὐκ ὀλίγου χρόνου κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ θάνατον ἐποδήγουν οἱ τῆς φλεβοτομίας ἐχθροὶ, τὰς τρεῖς μὲν ἡμέρας ἐν πρώτοις ἐν ἀσιτίᾳ φυλάξαντες· καὶ γὰρ καὶ ὁ πυρετὸς ἦν αὐτῇ συνεχής· τῇ τετάρτῃ δὲ δόντες αὐτῇ ὀλιγοστόν τι ῥοφήματος, εἶτα τῇ πέμπτῃ πάλιν ἀσιτεῖν κελεύσαντες, ἐν ᾗ καὶ παροξυνθεῖσα σφοδρότερον ἀνεπήδα τε παραφρονοῦσα

ac per uterum menſtrua provocare et inediae mulierem incumbere juberent, ego et ob virorum aetatem et celebritatem, ut me nihil peracturum credens diſceſſi. Mulier autem non multo poſt tempore inſanabili ſpirandi difficultate correpta interiit. Synanchici praeterea quoque ab iis ipſis medicis, quod venam ſecari vetuiſſent, celeriter occubuerunt. Imo et alium quendam, qui per totam hiemem ſine exercitiis repletus fuerat, veris tempeſtate adeo rubentes oculos habentem univerſamque faciem, quemadmodum ſi quis demiſſo in terram capite protentisque in altum cruribus, hac in figura diu moratus fuerit, quintus dies prae ſpirandi difficultate ſuſſocavit. Ad haec quartam mulierem non pauco tempore menſtrua purgatione ſuppreſſa laborantem eodem modo ad mortem prope deduxerunt illi venae ſectionis hoſtes, qui tribus quidem primis diebus eam jejunam retinuerunt, quum febris ipſi eſſet continua, quarto vero pauxillum quid ſorbitionis exhibuerunt, quinto poſt rurſum cibis eam non uti imperarunt, quo tempore ipſa vehementius exacer-

καὶ διὰ τῶν θυρῶν ἐκτὸς ἔθει κεκραγυῖα, καὶ μόγις αὐτὴν οἱ παρόντες ἠδύναντο κατέχειν. ἀλλὰ ταύτην γε ἡ φύσις ἔσωσεν, αἷμα ἐκ μυκτήρων ἐκχέασα (8) πάμπολυ. καὶ ἦν θαυμάσαι τε ἅμα καὶ διδαχθῆναι πηλίκην ἔχει δύναμιν εἰς τὴν τῶν τοιούτων παθημάτων ἴασιν αἵματος ἀφαίρεσις. αὐτίκα γὰρ ἐπὶ τῇ διὰ τῶν μυκτήρων αἱμοῤῥαγίᾳ πάντων ἀπήλλακτο τῶν συμπτωμάτων ἡ γυνή. ἔμπροσθεν μὲν οὖν ἐδεδίειν εἰς λόγους ἰέναι τοῖς ἰατροῖς, εἰκάζων ἃ μέλλουσιν ἐρεῖν εἰς τὸ μὴ χρῆσθαι τῇ φλεβοτομίᾳ. φανερῶς δὲ δοξάσης ἅπασι σωθῆναι τῆς γυναικὸς ἐπὶ τῇ κενώσει τοῦ αἵματος, ἀνέμνησα [408] αὐτοὺς τῶν ἀποθανόντων, ὡς εἴ καί τις ἐκείνους ἐφλεβοτόμησεν, ἴσως ἂν ἐσώθησαν, ἔλεγόν τε τινὰς ἐπὶ τούτων λογισμοὺς, οἱ δὲ περιέπλεκον μὲν ἄνω καὶ κάτω τοὺς λόγους ἑλίττοντες, ἐπέραινον δ᾽ οὐδὲν, ἀλλὰ καὶ τελευτῶντες ἐπὶ τὸν Ἐρασίστρατον κατέφευγον, ἐν μὲν τῷ πρώτῳ περὶ αἵματος ἀναγωγῆς βιβλίῳ φάσκοντες ἀποδεδεῖχθαι πρὸς αὐτοῦ κάλλιον εἶναι τοῦ φλεβοτομεῖν τὸ διαδεῖν τὰ κῶλα, κατά τε τὴν περὶ τῶν πυρετῶν

bata delira profiliebat et per januam vociferans foras currebat, vixque ipfam aftantes retinere potuerunt. Verum eam natura effufo e naribus copiofo fanguine fervavit. Atque licebat admirari, ac fimul edifcere quantam vim habeat ad ejusmodi affectum curationem fanguinis detractio, quamprimum enim poft fanguinis per nares eductionem mulier ab omnibus fymptomatis liberata eft. Prius itaque veritus eram fermones inire cum medicis, conjiciens quae quo venae fectionis ufus prohiberetur dicturi fuiffent, fed manifefte omnes mulierem fanguinis evacuatione falvam evafiffe cenfuerunt. Ipfis in memoriam revocavi mortuos, quibus fi quis fanguinem detraxiffet, illi quoque fortaffis falvi convaluisfent, afferebamque ad haec quasdam rationes. Ili vero verba ultro citroque involventes feipfos implicabant nihilque inferebant, fed orationi finem imponentes ad Erafiftratum confugiebant, quem primo de fanguinis eductione libro dicebant declaraffe, quod vincire ipfos artus quam venam fecare praeftaret. Illum quoque in opere de febribus a principio

Ed. Chart. X. [408.] Ed. Baſ. IV. (8.)

πραγματείαν, μηδὲ ἐπιμνησθῆναι τὴν ἀρχὴν τῆς φλεβοτομίας αὐτὸν, ὡς ἂν ὧν δὴ ἔδειξεν ἐν τῷ περὶ αἵματος ἀναγωγῆς μεμνημένον. καὶ γὰρ ἂν ἦν, ἔφασαν, γελοῖος εἰ παραιτησάμενος τῆς φλεβοτομίας ἐπὶ τοῦ μάλιστα δεῖσθαι δοκοῦντος πάθους ἔμελλεν ἔτι περὶ τῶν ἄλλων ἐρεῖν. τὸν αὐτὸν δὲ τοῦτον Ἐρασίστρατον οὐ μόνον ἐν τῇ περὶ τῶν πυρετῶν πραγματείᾳ σεσιγηκέναι περὶ τῆς φλεβοτομίας ἔλεγον, ἀλλὰ κἀν ταῖς ἄλλαις ἁπάσαις. οὔτε γὰρ ἐν τῇ τῶν κατὰ τὴν κοιλίαν παθῶν οὔτε ἐν τῇ τῶν παρέσεων οὔτε ἐν τῇ περὶ ποδάγρας, ἀλλ' οὐδὲ ἐν τῇ τῶν ὑγιεινῶν κεχρῆσθαι φλεβοτομίᾳ. καίτοι τὸ πλῆθός γε τοῦ αἵματος ἐν τοῖς ὑγιεινοῖς συγγράμμασι μάλιστα αὐτὸν αἰτιᾶσθαι τῶν νόσων. ἐμοῦ δ' ἀποθαυμάζοντός τε τὰ λεγόμενα καὶ τοσοῦτον ἔτι προσανερωτήσαντος αὐτοὺς, εἰ μηδέποτε χρήσιμόν ἐστι φλεβοτομίᾳ, μηδ' ἂν περιπνευμονικός τις εἴη ἢ συναγχικῶς πνιγόμενος τύχοι, μηδ' ἂν ἐξ ἐπισχέσεως ἐμμήνου καθάρσεως ἢ αἱμοῤῥοΐδος ἐπὶ θώρακα ὠθεῖται τὸ πλεονάζον αἷμα. καὶ πρὸς τούτοις ἀπεκρίναντο προχειρισάμενοι τοὺς ἐν τοῖς τῶν διαιρέσεων βιβλίοις

haud meminiſſe venae ſectionis, quamquam eorum omnium meminerit, quae in libro de ſanguinis detractione demonſtraverat. Etenim ridiculus eſſet, inquiebant, ſi praetermiſſa venae ſectione in eo praeſertim, qui ea indigere videbatur, affectu de caeteris deinceps eſſet dicturus. Imo hunc ipſum Eraſiſtratum non ſolum in tractatu de febribus, verum etiam in caeteris omnibus affectibus de venae ſectione verba conticuiſſe profitebantur. Neque enim in eo qui de alvi affectibus neque in eo qui de reſolutionibus neque in eo qui de podagra diſſerit, imo neque in tractatu de ſanitate tuenda venae ſectione uſum fuiſſe, tametſi copiam ſanguinis in libris de ſanitate tuenda praecipuam morborum eſſe cauſam noverit. Quum autem ego quae dicebant demirarer ac tantopere etiamnum ipſos interrogarem, num nunquam venae ſectione utendum ſit, neque etiam ſi quis peripneumonicus fiat aut ſynanche praeſocetur, neque ſi ex menſtruae purgationis aut haemorrhoidis ſuppreſſione in thoracem exuberans ſanguis impellatur. Atque ad haec reſpondebant, aegro-

Ed. Chart. X. [408.] Ed. Baf. IV. (8.)

Ἐρασιστράτῳ γεγραμμένους ἀῤῥώστους, καὶ μάλιστα αὐτῶν τὸν Κρίτωνα καὶ τὴν ἐκ τῆς Χίου παιδίσκην. τὸν μὲν γὰρ ἐξ ἀρχῆς συναγχικῶς ἐνοχλούμενον, ἅμα δὲ καὶ πληθωρικὸν ὄντα, καθάπερ αὐτὸς ὁ Ἐρασίστρατος ἔγραψεν· τὴν δὲ τῶν καταμηνίων ἐπεσχημένων καὶ τοῦ πλήθους ὁρμήσαντος ἐπὶ πνεύμονα μὴ φλεβοτομῆσαι τὸν ἄνδρα. λεγόντων δ᾽ αὐτῶν ἔτι ταῦτα Τεύθρας τις ἐμὸς πολίτης ἅμα καὶ συμφοιτητὴς, ἦν δὲ πάνυ τὸν τρόπον ἐλεύθερος, οὐ κάμψεις, ἔφη, τούτους ποτὲ, τοὺς μηδὲ ἄχρι τοσούτου σωφρονοῦντας, ὡς μεμνῆσθαι τῶν δι᾽ Ἐρασίστρατον ἀποθανόντων. διὰ τί γὰρ ἄλλο, ἔφη, τοὺς προκεχειρισμένους ὑπ᾽ αὐτῶν ἀῤῥώστους ἀποθανεῖν συνέβη, πλὴν ὅτι παρελείφθη τὸ τῆς φλεβοτομίας βοήθημα; διὰ τί δὲ ἄλλο τοὺς πρῷ ὑπὸ τούτων κωλυθέντας κενωθῆναι; καὶ πάντας ἑξῆς αὐτοὺς ὀνόματι κατέλεξεν ἅμα ταῖς διαθέσεσιν αἷς ἔσχον, ὧν ὀλίγον ἔμπροσθεν ἐμνημόνευσα. καὶ ταῦτα μειδιῶν ἀνελιττόμενος τὴν χεῖρα καὶ βίαιον ἐπισπασάμενος ἀπῆγε τῶν ἰατρῶν. τῇ δ᾽ ὑστεραίᾳ προκομίσας τὰ τῶν διαι-

tos ab Erafiftrato in divifionum libris fcriptos in medium proferentes, ac praefertim inter eos Critonem ac ex Chio puellam. Illi etenim a principio fynanche laboranti, fimulque plethorico exiftenti, quemadmodum ipfe fcriptis prodidit Erafiftratus, huic vero menftruis fuppreffis ac ducto in pulmonem redundantis fanguinis impetu, virum haud venam fecuiffe. Quum adhuc illi haec loquerentur, Teuthras quidam, meus municeps fimulque condifcipulus, erat autem moribus plane ingenuis, Non flectes, inquit, iftos unquam qui non eo usque temperate fe gerunt, ut eos in memoriam revocent qui Erafiftrato interiere. Quam enim ob caufam, inquit, aliam propofitos ab ipfis aegrotos periiffe contigit, quam quod venae fectionis praetermiffum fit auxilium? Quam aliam ob caufam vacuari ab iis prohibitos ante tempus occubuiffe? Et eos deinceps omnes una cum ipfis quos fubierunt affectibus, quorumque paulo ante memini, nominatim ac ordine recenfuit, haecque fubridens manu me comprehendit attrahensque invitum a medicis abduxit. Poftridie

ρέσεων Ἐρασιστράτου βιβλία τοῖς φιλοσόφοις ἅπασιν ἀνεγίνωσκε, ἅμα μὲν ἐπιδεικνὺς ὅτι δι' Ἐρασίστρατον ἀπέθανον ἥ τε ἐκ τῆς Χίου παιδίσκη καὶ Κρίτων ἅμα προσκαλούμενος τοὺς πρεσβύτας ἰατροὺς εἰς διάλογον ἐκεῖνοι μὲν οὖν οὐκ ἀφικνοῦντο, μικρότερον ἑαυτῶν εἶναι νομίζοντες ἁμιλλᾶσθαι νεανίσκῳ. συνέβη γάρ πως ἐν ἐκείνῳ τῷ χρόνῳ καθ' ἑκάστην ἡμέραν εἰς τὰ προβαλλόμενα λέγειν ἐν πλήθει. προεβλήθη μὲν οὖν ὑπό τινος, εἰ δεόντως Ἐρασίστρατος οὐ κέχρηται φλεβοτομίᾳ. διῆλθον δ', ὡς ἔδοξε τοῖς τότε ἀκούσασιν, ὠφελιμώτατον πρόβλημα. διὸ καὶ παρεκάλεσεν ὁ Τεύθρας ὑπαγορεῦσαι μεταλελεγμένα τῷ πρὸς αὐτοῦ πεμφθησομένῳ παιδί. καὶ γάρ τοι καὶ μέλλων εἰς τὴν Ἰωνίαν ἐπιδημῆσαι καὶ ἐξορμήσασθαι πάντως ἔφασκεν ἔχειν αὐτὰ βούλεσθαι. ἐγὼ μὲν οὖν ἐπείσθην τε τῷ ἑταίρῳ [409] καὶ τὸν λόγον ὑπηγόρευσα. συνέβη δ' ἐκπεσεῖν εἰς πολλοὺς τὸ βιβλίον, οὐ κατὰ τὴν γνώμην ὑπ' ἐκείνου διαδοθέν. ὁ γάρ τοι λόγος οὐ συγγράμματι πρεπόντως, ἀλλ' ἀκουστηρίῳ συνέκειτο, δεηθέντος τοῦ

vero productos in publicum Erafiftrati de divifionibus libros coram Philofophis omnibus relegit, partim ut demonftraret et Critonem et Chienfem puellam per Erafiftratum periiffe, partim ut medicos natu majores ad colloquium provocaret. Verum illi non acceffferunt, rati decertare cum adolefcente rem effe fibi deteriorem. Illo namque tempore pro more contigit quotidie ad propofitas quaeftiones coram multitudine differere. Quaefitum ergo eft a quodam, utrum decenter Erafiftratus venae fectione ufus non fuerit. Hoc problema, prout vifum eft iis qui aderant, auditoribus utiliffimum explicavi. Quamobrem et me Teuthras hortatus eft, proloquuta puero dictare, quem ipfe ad me erat miffurus. Etenim brevi in Ioniam peregrinaturus erat, atque profecturus ea prorfus habere velle dicebat. Ego itaque et ab amico perfuafus fum et orationem dictavi. Contigit autem ad plerosque librum excidiffe, non ex mea fententia ab illo divulgatum. Nam oratio non operi, fed auditorio congruenter erat compofita, efflagitante amico ad eum quo enarrata eft modum

φίλου καθ᾽ ὃν ἐῤῥέθη τρόπον, οὕτως αὐτὸν ὑπαγορευθῆναι. ἀλλὰ καὶ τοιοῦτος ὢν καὶ πολλὰ λείποντα ἔχων ὡς τὸ τέλεον, ὅμως ἔοικεν ἠνυκέναι μεῖζόν τι τῆς ἐλπίδος. ἐπὶ γὰρ τοὐναντίον ἀφιγμένοι πάντες εἰσὶν οἱ νῦν ὀνομάζοντες ἑαυτοὺς Ἐρασιστρατείους, ἐφεξῆς τε φλεβοτομοῦσιν ἅπαντας, οὐ μόνον οὓς ὀλίγον ἔμπροσθεν εἶπον, ἀλλὰ καὶ τοὺς ὁπωσοῦν πυρέττοντας. ὥστε κατὰ τὸν Στησίχορον ἔοικα δεήσεσθαι παλινῳδίας τινὸς, ἐν ᾗ παρακαλέσω τοὺς ἄνδρας ἐπὶ μὲν τῶν κατὰ τοὺς λόγους διατριβῶν ἐρίζειν εἰς ὅσον βούλονται, φείδεσθαι δὲ τῶν ἀῤῥώστων ἀποθεμένους τὸ σφοδρὸν τοῦτο τῆς ἐφ᾽ ἑκάτερον ὁρμῆς. οὔτε γὰρ ἐπέχεσθαι χρὴ φλεβοτομίας διὰ παντὸς, οὐδ᾽ ἡγεῖσθαι πάντας ὅσους ἂν Ἐρασίστρατος ἀσιτεῖν κελεύῃ δεῖσθαι φλεβοτομίας, ὅπερ οἱ νῦν Ἐρασιστράτειοι φασίν. οὐ μὴν οὐδὲ ῥᾷστον εἶναι πάντας τοὺς χρήζοντας τοῦ βοηθήματος διαγνῶναι, καθάπερ οὐδὲ τὸ μέτρον εὑρεῖν ἢ τὴν τμηθησομένην φλέβα καὶ τὸν καιρόν. τόν τε Ἐρασίστρατον αὐτὸν διὰ τοῦτο οἶμαι παραλιπεῖν ἐφ᾽ ἑκάστου τῶν

ſic eam dictavi. Quamquam et liber ejusmodi proſtet et plures quam perfectum deceat defectus complectatur, is tamen quaedam expectatione majora peregiſſe videtur. Contrariam namque methodum ineuntes omnes qui nunc ſeipſos Eraſiſtrateos nominant, deinceps cunctis non ſolum quos paulo ante commemoravi, verum etiam quocunque modo febricitantibus venam incidunt. Quapropter ſecundum Steſichorum videor quandam palinodiam emeruiſſe, in qua viros exhortabor ut in ſermonum congreſſu quantumcunque velint decertent et aegrotis ignoſcant depoſita ea quae in utramque partem ruit impetus vehementia. Neque enim ſemper venae ſectio prohibenda eſt neque arbitrandum quibuscunque Eraſiſtratus inediam praeſcripſit, eos venae ſectione indigere, quod nunc Eraſiſtratei profitentur. Non tamen facilius eſt omnes qui hoc egeant auxilio dignoſcere, quemadmodum neque ſanguinis menſuram aut venam incidendam opportunumque tempus invenire. Atque Eraſiſtratum ipſum ob id opinor in unoquoque affectu adeo illam

παθῶν, ὥς γε σαφῶς ἐν τῷ μάλιστα δεομένῳ φλεβοτομίας ἐκώλυσε χρῆσθαι. ἀλλά τοι, φασὶν, ἀσιτεῖν κελεύων ἐν τοῖς τῆς φλεγμονῆς καιροῖς αὐτοῖς ἔγραψε κατὰ λέξιν ὧδε· κενούμεναι γὰρ φλέβες ῥᾷον παραδέξονται τὸ παρεμπεπτωκὸς αἷμα εἰς τὰς ἀρτηρίας. τούτου δὲ συμβαίνοντος ἧττον αἱ φλεγμοναὶ ἔσονται. εἴπερ οὖν ὡς κενωτικὸν βοήθημα τὴν ἀσιτίαν συμβουλεύει, πολὺ δήπου, φασὶ, μᾶλλον ἐπὶ φλεβοτομίας ἀφίξεται. ὅτι μὲν οὖν ἐπὶ φλεβοτομίαν ἐχρῆν ἔρχεσθαι μᾶλλον αὐτὸν ἔνθα ταχέως κενῶσαι βούλεται, κάλλιστα λέγουσι, πλὴν ὅτι κἀνταῦθα παραλείπουσι τοὺς κωλύοντας ἐνίοτε σκοποὺς, ὧν τοῦ λόγου προϊόντος ἐγὼ μνημονεύσω.

Κεφ. β΄. Ζητεῖται δὲ νῦν οὐχ ἁπλῶς τί βέλτιόν ἐστιν, ἀλλ' εἰ φαίνεται χρώμενος Ἐρασίστρατος τῷ βοηθήματι. τοῦτο δ' οἱ μὲν ἔμπροσθεν, ἡνίχ' ἧκον εἰς Ῥώμην τὸ πρῶτον, ἅπαντες ἠρνοῦντο τῶν Ἐρασιστράτου μαθητῶν, οἱ δὲ δοκιμώτατοι, οὓς αὐτὸς οἶδα, νῦν ὡς σμικρῷ τινι παραλλάττουσιν αὐτῶν. ἵνα γὰρ ἐάσας τοὺς ἄλλους Στράτωνος

omiſiſſe, praeſertimque in eo qui phlebotomiam requirebat, ut ea uti vetuerit. Imo, inquiunt, inediam praeſcribens in ipſis inflammationis temporibus ſic ad verbum conſcripſit. *Quum enim venae evacuantur, ſanguinem in arterias inſilientem facilius excipient: quod quum acciderit, inflammationes minus erunt.* Si ergo tanquam evacuatorium auxilium inediam conſulat, multo ſane liberius, ajunt, ad venae ſectionem ſeſe contuliſſet. Quod itaque ad venae ſectionem liberius ipſum venire oporteat, ubi celeriter vacuare vult, perbelle proferunt, praeterquam quod hic eos qui phlebotomiam interdum prohibent praetermittunt ſcopos, quos ego procedente oratione recenſebo.

Cap. II. Nunc vero quaeritur, num quid abſolute praeſtantius ſit, verum an hoc praeſidium Eraſiſtratus uſurpaſſe videatur. Hoc autem, quum Romam primum appuliſſem, omnes qui ex Eraſiſtrati diſcipulis erant antea negabant, nunc vero probatiſſimi quos ipſe novi ab his tanquam in re quadam parvi momenti diſcrepant. Ut enim caetera

μνημονεύσω, διὰ παντὸς μὲν Ἐρασιστράτῳ συγγενομένου, γράψαντος δ᾽ ἐπὶ τῆς οἰκίας αὐτοῦ καὶ διὰ τοῦτο λεγομένου δεδουλευκέναι τἀνδρὶ, τά τ᾽ ἄλλα, φησὶν ἐκεῖνος, Ἐρασίστρατον ἐπαινεῖσθαι δίκαιόν ἐστι καὶ ὅτι χωρὶς φλεβοτομίας ἐθεράπευεν ἃ μετὰ τοῦ φλεβοτομεῖν οἱ πρόσθεν ἐπεχείρουν ἰᾶσθαι. καὶ μέντοι καὶ αὐτὸς ὁ Στράτων φαίνεται διὰ τῶν ἰδίων συγγραμμάτων ἀεὶ τὰς θεραπείας χωρὶς φλεβοτομίας ποιούμενος. καὶ τί θαυμαστὸν Ἐρασίστρατον ἕπεσθαι τὰ πάντα Χρυσίππῳ τῷ Κνιδίῳ, προῃρημένον ἀποστῆναι τοῦ φλεβοτομεῖν ὥσπερ κἀκεῖνος; οὕτω δὲ καὶ Ἀριστογένης καὶ Μήδιος, οἵ τ᾽ ἄλλοι πάντες οἱ ἀπὸ τοῦ Χρυσίππου φαίνονται ποιοῦντες. ὅσον μὲν οὖν (9) ἐπὶ τῇ τῶν καμνόντων σωτηρίᾳ, [410] πολὺ βέλτιόν ἐστι πεπεῖσθαι φλεβοτομίᾳ χρῆσθαι τὸν Ἐρασίστρατον· ὡς δ᾽ ἐπὶ τοῖς νῦν Ἐρασιστρατείοις, ἄμεινον μὴ πεπεῖσθαι. μανίας γὰρ ἐσχάτης ἔργον οἴεσθαι διὰ τοῦτ᾽ Ἐρασίστρατον ἐφ᾽ ὧν εἰρήκαμεν ὀλίγον ἔμπροσθεν παθῶν σεσιγηκέναι τὴν φλεβοτομίαν, ὅτι κενοῦσθαι τὰς φλέβας ἀξιοῖ καὶ τοῦτον

praetermittam, Stratonem commemorabo in omnibus Erafiftrato adhaerentem, qui quum ad ejus familiam fcriberet propterea que diceret fe viro addictum effe, haec inter alia ille protulit: Erafiftratum laudibus efferre juftum eft, quod etiam citra venae fectionem eos affectus curaverit, quos cum venae incifione fanare veteres conati funt. Quin etiam et Strato ipfe fuis in commentariis perpetuo curationes citra phlebotomiam moliri videtur. Et quid mirum, fi Erafiftratus fectetur in omnibus Chryfippum Cnidium, qui prius afferuit, quemadmodum ille, fe a venae fectione abftinuiffe? Sic vero et Ariftogenes et Medius, ut et caeteri omnes Chryfippi fectatores, praeftare videntur. Quantum ergo ad aegrotantium falutem fpectat, multo melius eft credere venae fectione ufum fuiffe Erafiftratum, quantum autem ad hodiernos Erafiftrateos, id non credere praeftiterit. Extremae namque opus effet dementiae Erafiftratum arbitrari eapropter in affectibus paulo ante commemoratis venae fectionem filentio

Ed. Chart. X. [410.] Ed. Baf. IV. (9.)

τίθεσθαι τῆς θεραπείας τὸν σκοπὸν, ὅγε τοι τούτῳ πεισθεὶς ἐφ᾽ ὧν ἂν εὕροι παθῶν Ἐρασίστρατον ἀσιτίαν συμβουλεύοντα. πρόδηλον γὰρ ὡς τοῦθ᾽ ἕπεται τοῖς ὁμότιμον εἰποῦσιν εἶναι βοήθημα τὴν φλεβοτομίαν ταῖς ἀσιτίαις, εἰ δὲ οὐκ ἔστιν ὁμότιμον, ἀλλὰ δεῖταί τινων διορισμῶν, οὓς ὁ μαθὼν ἐξευρήσει, πηνίκα μὲν ἄμεινόν ἐστι διὰ φλεβοτομίας μόνης τὴν κένωσιν ποιεῖσθαι, πηνίκα δ᾽ ἤτοι δι᾽ ἀσιτίας μόνης ἢ δι᾽ ἀμφοτέρων, καταβάλλεται φανερῶς αὐτοὺς ὁ λόγος. ἔγραψε γὰρ ὁ Ἐρασίστρατος τοὺς διορισμοὺς ἐκείνους, εἴπερ, ὡς οὗτοι φασὶν, ἔδοξε περὶ τῆς φλεβοτομίας ὡς ὁ λόγος αὐτῶν ἑαυτὸν περιτρέπει καθ᾽ ἑκάτερον. εἰ μὲν γὰρ ὁμότιμον ἐστὶ, διὰ τοῦτο παρέλιπεν ὁ Ἐρασίστρατος ἔν τε τῇ περὶ τῶν πυρετῶν πραγματείᾳ καὶ ταῖς ἄλλαις ὧν ὀλίγον ἔμπροσθεν ἐμνημόνευσα γράψαι τι περὶ φλεβοτομίας. εἰ δ᾽ οὐκ ἔστιν ὁμότιμον πάντη τὸ τῆς φλεβοτομίας βοήθημα τῷ τῆς ἀσιτίας, οὐκ ὀρθῶς αὐτοὶ λέγουσιν ἐξ ὧν ἐπὶ τῆς ἀσιτίας ἔγραψεν, ἐκ τούτων ἡμᾶς χρῆναι τεκμαίρεσθαι περὶ τῆς φλεβοτομίας. καὶ μὴν κατὰ τοῦτο πάλιν ὁ λόγος αὐτῶν ἑαυτὸν περιτρέπει, τὴν

praeteriisse, quod vacuari venas censeat, huncque statuisse curationis scopum, cui et crediderit, his in affectibus Erasistratum inediam consulere animadverterit. Constat enim istud iis evenire qui venae sectionem facultate par inediis auxilium esse pronunciant. Quod si facultate par non sit, sed quasdam distinctiones postulet, quas doctus comperiet, quando evacuationem per solam venae sectionem opportunius est fieri, et quando vel per inediam solam aut utrumque, evidenter eos ratio convincit. Scripsisset enim Erasistratus distinctiones illas, si, ut ipsi loquuntur, de venae sectione recta sensisset, adeo ut eorum oratio in utrumque remedium seipsam convertat. Si etenim id facultate par existat; ea re Erasistratus in tractatu de febribus aliisque libris quorum paulo ante memini, de venae sectione aliquid scriptis mandare praetermisit. At si haud omnino par sit venae sectionis auxilium inediae, non recte illi dijudicant qui nobis ex iis quae de inedia scripsere de venae sectione conjecturam faciendam esse proferunt. Ad hoc equidem rursum eorum ora-

ἀσιτίαν ἀποφαίνων ἄχρηστον. εἴπερ γὰρ ὅτι κενουμέναις ταῖς φλεψὶ ἐν ταῖς ἀσιτίαις ἕπεται τὸ μειοῦσθαι τὰ πάθη, διὰ τοῦτο αὐτὰς παραλειψόμεθα, πολλῷ βέλτιόν ἐστι ἅπαξ ἐκκενώσαντας τὸ περιττὸν ἀποστῆναι τῶν ἀσιτιῶν, ἀηδίαν τε πολλὴν παρεχουσῶν τοῖς κάμνουσι καὶ ἀγρυπνίαν καὶ ἄσην ἐπιφερουσῶν, ἔτι τε στομάχου κάκωσιν καὶ χυμῶν διαφθορὰν καὶ γαστρὸς, ἐνίοτε καὶ οὔρων ἐπίσχεσιν.

Κεφ. γ'. Ὅτι δὲ ὄντως Ἐρασίστρατος οὐ κέχρηται τῇ φλεβοτομίᾳ, δῆλον ἐναργῶς ἐστὶν ἐκ τῶν ἐν τοῖς διαιρέσεων βιβλίοις γεγραμμένων ἀῤῥώστων, ἐφ' ὧν διηγούμενος ἅπαντα τὰ πραχθέντα κατὰ τὴν θεραπείαν οὐδαμῆ φαίνεται φλεβοτομίας μνημονεύων. ἅπαντας μὲν οὖν αὐτοὺς προχειρίζεσθαι μακρὸν, ἀρκεῖ δ' ἀναμνῆσαι μόνων ἐκείνων, ὧν ὀλίγον ἔμπροσθεν ἔφην τοὺς πρεσβύτας ἰατροὺς μνημονεῦσαι. γέγραπται δ' αὐτῶν ὁ μὲν ἐν τῷ προτέρῳ τῶν διαιρέσεων, ὁ δ' ἕτερος ἐν τῷ δευτέρῳ. καίτοι καὶ νῦν ἤδη καιρὸς αὐτὰς τὰς λέξεις παραγράψαι, καθ' ἃς ὁ Ἐρασίστρατος ἅπαντα διηγεῖται τὰ γενόμενα τοῖς ἀῤῥώστοις. ἐν μὲν οὖν τῷ προτέρῳ τῶν

tio feipfam implicat, quae inediam inutilem indicat. Nam fi propterea inedias ipfas admittamus, quod evacuatis per eas venis affectiones imminui fequatur, multo commodius fuerit evacuato femel fuperfluo ab inediis abftinere, ut quae multas aegrotantibus moleftias et vigilias concitet, jactationem ftomachi, vitium, humorum et ventriculi corruptionem et interdum urinae fuppreffionem inferat.

Cap. III. Quod autem Erafiftratus revera venae fectione non fit ufus, ex aegrotis quos in libris divifionum fcripfit manifefte conftat, in quibus explicans quaecunque in curatione facta fuerant, nullibi venae fectionem commemoraffe confpicitur. Caeterum aegrotos omnes in medium proferre prolixum, fufficit eos folos recordari quorum memoriam paulo ante dixi feniores medicos celebrare. Ex illis unus in priore, alter in pofteriore divifionum libro defcriptus eft. Jam vero nunc etiam occafio eft ipfa afcribendi verba, quibus Erafiftratus quaecunque circa aegrotos acta

βιβλίων οὕτως ἔγραψε· τῇ ἐκ τῆς Χίου παιδίσκῃ τὰ μὲν γενόμενα τῶν καθάρσεων τοπρῶτον ἐπεσχέθη ἐπὶ πλείω χρόνον. ἔπειτα εἵπετο τὰ βηχία καὶ ἀναγωγὴ φλέγματος. χρόνου δὲ προϊόντος αἵματος ἀναγωγὴ ἐγένετο, κατὰ τὴν τῶν καθάρσεων περίοδον ἑαυτῇ ἠκολούθει, ἐνίοτε μὲν διὰ μηνῶν δ΄, ὁτὲ δὲ διὰ δύο. εἰ δέ πως ταῖς ἡμέραις ἐν αἷς αἱ καθάρσεις ἐγίνοντο καὶ ἡ ἀναγωγὴ συνέβαινεν, παρηκολούθει ἐφ᾽ ἡμέρας τρεῖς ἢ τέσσαρας· ὥστε παντάπασιν ἐμφαίνειν ὅτι ἀντὶ τῶν καθάρσεων ταύτην τὴν ἔκκρισιν λαμβάνει. ἐπηκολούθει δὲ καὶ πυρετὸς ἐν ταύταις [411] ταῖς ἡμέραις· ἔπειτα ἀπεκαθίστατο. ταῦτα προειπὼν ὁ Ἐρασίστρατος ἐφεξῆς γράφει περὶ τῶν ἰαμάτων αὐτῆς ὧδε· ἐν δὲ τοῖς πρώτοις χρόνοις αὕτη ἐπεχείρησε θεραπεύεσθαι πόμασί τε καὶ πυριάσεσι τῆς ὑστέρας καὶ προσθέτοις καὶ τῇ ἄλλῃ διαίτῃ πρὸς ταῦτα ἁρμοζούσῃ. ἦν γὰρ δή τις καὶ περὶ τὸ στόμα τῆς ὑστέρας οὐκ ἰσχυρὰ σκληρότης, οὐδαμῶς δὲ οὐδὲν ὑπακουούσης τῆς θεραπείας, ἀλλὰ κατά τινα μίαν περίοδον εἰς τὴν ὀσφὺν βάρους ἀπαντήσαντος,

funt enarrat. In priore itaque libro ita fcripfit: Puellae Chienfi ea acciderunt. Primum menftruae purgationes diuturniori tempore fuppreffae fuerant. Deinde fubfequutae funt tuffliculae ac pituitae ejectio. Tempore procedente fanguinis rejectio oborta eft. Quod ad purgationum circuitum fpectat, is interdum quarto, nonnunquam fecundo menfe ipfi accedebat; iisdem prope diebus quibus purgationes fiebant rejectio accidebat, quae triduum et quatriduum perdurabat. Quare perfpicuum omnino erat, loco purgationum eam excretionem fortitam effe. Subfequuta autem fuerat hisce diebus febris, quae poftea definebat. Haec Erafiftratus praefatus, deinceps de remediis hoc pacto fcribit. Primis autem temporibus ipfa potionibus et fomentis uteri et fubditis peffariis, et reliqua victus ratione ad haec idonea curari aggreffa eft. Erat enim quaedam circa os uteri non gravis durities. Quum autem non fuccederet curatio, imo quum uno quodam circuitu in lumbos gravitas incumberet, humiditasque nulla adeffet, et magis continuae febres obortae funt, vel etiam

ὑγρασίας δὲ οὐδεμιᾶς, οἵ τε πυρετοὶ συνεχέστεροι ἦσαν ἢ καὶ τῷ σώματι ᾧ ἐνεδίδουν καὶ βῆχες ἠκολούθουν σφοδραί. τῆς μὲν οὖν περὶ τὴν ὑστέραν θεραπείας ἀπέστημεν, ἐργῶδες ὑπολαμβάνοντες εἶναι τῶν πυρετῶν μενόντων καθάρσεις ποιεῖσθαι· τῇ δὲ λοιπῇ θεραπείᾳ χρώμεθα, ὡς εἰθίσμεθα πρὸς τὰ τοιαῦτα τά τ' ἄλλα καὶ πρὸς τὴν θεραπείαν περίοδον τῶν καθάρσεων προσλαμβάνοντες ὑπεστέλλομεν τὰ σιτία, καὶ ἡ μὲν τοῦ αἵματος ἀναγωγὴ οὐκ ἐγένετο ἀλλ' ἢ ἅπαξ ἐπὶ βραχύ. ἀλλὰ μέντοι οὐδὲν ἔφρασεν, ἀλλά που καὶ ἀνέτρεχον ἤδη πυώδεις ἀναγωγαί. φλεβοτομίας λόγος ἐνταῦθα οὐδεὶς, καὶ προσῆκον γ' ἦν, ὡς ἅπαντες ἴσασιν οἱ τῶν ἔργων τῆς τέχνης ἔμπειροι, τὴν ἀρχὴν τῶν βοηθημάτων ἀπὸ φλεβοτομίας ποιεῖσθαι. ἴσως τις φήσει τούτων τῶν ἅπανθ' ἑτοίμως λέγειν οὐκ ὀκνούντων, ὡς οὐ παρ' Ἐρασιστράτου τῆς θεραπείας προσισταμένου ταῦτ' ἐγένετο. διηγεῖται δὲ αὐτὰ νῦν ἡμῖν ἕνεκα τοῦ μηδὲν τῶν πραχθέντων λαθεῖν. ἀλλ' ἐξελέγξει γε τούτους τὸ ἐπιφερόμενον, ἔνθα φησὶ, τῆς μὲν οὖν περὶ τὴν ὑστέραν θεραπείας ἀπέστημεν, ἐργῶδες ὑπολαμβάνοντες εἶναι

corpori correpto tuſſes vehementes ſucceſſerunt. Ab admotis igitur circa uterum remediis abſtinuimus, arduum eſſe arbitrari permanentibus febribus menſtruas purgationes moliri; reliquis vero remediis uſi ſumus, quemadmodum et in hujusmodi et aliis affectibus conſuevimus. Etiam ad curationem purgationum circuitu obſervato, cibaria ſubtrahebamus ac ſanguinis ejectio non amplius quam ſemel et pauxilla ſupervenit. Sed certe nihil poſtea, verum et quandoque recurrebant purulentae rejectiones. Venae ſectionis verbum hic nullum, atque conſentaneum erat, ut omnes norunt operum artis periti, principium auxiliorum a venae ſectione ducere. Fortaſſis aliquis eorum qui omnia prompte aſſerere non gravantur dicet ab Eraſiſtrato curationis praefecto haec facta non fuiſſe, ſed haec nunc ab eo prodita eſſe, quo nos nihil eorum lateat quae acta eſſent. At hos evincet quod inſertur, ubi ait: A curatione igitur circa uterum adhibenda abſtinuimus, periculoſum eſſe arbitrari febribus duranti-

Ed. Chart. X. [411.] Ed. Baf. IV. (9.)

τῶν πυρετῶν μενόντων τὰς καθάρσεις ποιεῖσθαι, τῇ δὲ λοιπῇ θεραπείᾳ χρώμεθα πρὸς τὰ τοιαῦτα, τά τε ἄλλα καὶ πρὸς τὴν θεραπείαν περίοδον τῶν καθάρσεων προσλαμβάνοντες ὑπεστέλλομεν τὰ σιτία. ἐν τούτοις γὰρ ὁ Ἐρασίστρατος ἐνδείκνυται σαφῶς οὐχ ἑτέρων θεραπείαν διηγούμενος, ἀλλ' ἑαυτὸν συναριθμῶν τε καὶ συνεπιγράφων ἅπασι τοῖς πραχθεῖσι περὶ τὸν ἄνθρωπον. τὸ γὰρ ἀπέστημεν, καὶ ἀπολαμβάνοντες, ἔτι τε τὸ χρώμεθα καὶ τὸ προσλαμβάνοντες, ἔτι τε πρὸς τούτοις τὸ ὑπεστέλλομεν τὰ σιτία, προδήλως ἐνδείκνυται δυοῖν θάτερον, ἤτοι γ' αὐτὸν ἐξηγεῖσθαι τῆς θεραπείας τὸν Ἐρασίστρατον ἢ τοῖς ὑφ' ἑτέρου γιγνομένοις ἀρέσκεσθαι. καὶ μὴν εἴπερ ἠρέσκετο τοῖς πραττομένοις, ἐναργὲς ἂν εἴη τεκμήριον αὐτοῦ τῆς γνώμης ἣν εἶχε περὶ φλεβοτομίας. τὸ γὰρ ὑποστέλλειν τὰ σιτία δυοῖν τούτοιν τὸ ἕτερον, ἤτοι ἀφαιρεῖν τελέως ἢ μειοῦν. ὅπερ ἐπὶ τῆς νοσούσης ὁ Ἐρασίστρατος ἔφη πεπρᾶχθαι, καθ' ὃν καιρὸν τῆς καθάρσεως περίοδος ἦν, ὡς ὡμολόγει τοῖς ἄλλοις συγγράμμασι ἅπασιν αὐτοῦ, καὶ ταῖς φλεβοτομίαις μὲν οὐδαμόθεν χρώμενος, συμ-

bus menftruas concitare purgationes, reliquis vero remediis ufi fumus ad ejusmodi et alios affectus, atque ad medendi rationem circuitu menftruorum purgationum obfervato, cibaria fubtrahebamus. In his enim Erafiftratus aperte indicat, fe non aliorum curationem recitare, fed fuam ipfius enumerare, fimulque omnia circa aegrotam hominem peracta perfcribere. Nam et *abftinuimus* et *arbitrati* nec non *ufi fumus* ac *obfervato* et *fubtrahebamus cibaria*, alterum ex duobus manifefte declarat, aut quod Erafiftratus curationem enarret, aut probet quae ab altero facta funt. Quod fi certe curationem obeuntes probaverit, manifefta erit ejus quam de venae fectione habuit fententiae conjectura. Nam cibos fubducere ex his duobus alterum declarat, aut prorfus adimere aut imminuere; quod Erafiftratus fe in aegrota feciffe profert, quo tempore menftruo purgationis circuitus aderat. Sic caeteris omnibus illius fcriptis confentaneum eft ipfum venae fectione nequaqaam ufum fuiffe, fed inediam

βουλεύων δ᾽ ἀσιτεῖν. εἰ μή τι ἄρα κἀνταῦθα φήσουσί γε φλεβοτομεῖσθαι μὲν τὴν γυναῖκα, παραλελεῖφθαι δὲ ἐν τῇ διηγήσει τὸ βοήθημα, νοούντων ἡμῶν αὐτὸ προσῆχθαι, κἂν μὴ ῥηθῇ. τί δή ποτ᾽ οὖν καὶ περὶ τῆς ἀσιτίας οὐκ ἐσίγησε, νοεῖσθαί τε δυναμένων καὶ ταῦθ᾽ ὁμοίως; ὁ δ᾽ αὐτὸς λόγος καὶ περὶ τῶν ποτημάτων καὶ τῆς πυριάσεως καὶ τῶν προσθέντων. εἰ γὰρ μηδ᾽ ὅλως ἐγέγραπτο πρὸς Ἐρασιστράτου, πάντως ἄν που συνήκαμεν ὑπὸ τῶν ἰατρῶν αὐτὰ πεπρᾶχθαι. ὡς τό γε συνιέντων πεπραγμένον, εἰ καὶ μὴ ἐγέγραπτο, κοινὸν ἁπάντων ἐστὶ τῶν βοηθημάτων. ἀλλ᾽ Ἐρασίστρατός τε διηγεῖσθαι πάντα προὔθετο, σαφηνείας ἀκριβοῦς ἕνεκεν, ἵνα μή τις τὴν ἐξουσίαν ἔχῃ τὰ μὲν προστιθέναι τῶν βοηθημάτων, ὡς προσαχθέντα τῇ καμνούσῃ, τὰ δ᾽ ἀφαιρεῖν, ὡς παραλειφθέντα, πρὸς τῷ καὶ μάχεσθαι τῇ τούτων [412] δόξῃ τὴν διήγησιν αὐτοῦ. εἰ γὰρ ὅλον ἐφλεβοτομήθη τὸ γύναιον, ἡ ἀσιτία μάτην παρελαμβάνετο. μᾶλλον δ᾽, εἰ χρὴ τἀληθὲς εἰπεῖν, οὐ μάτην μόνον, ἀλλὰ καὶ

confuluiffe. Nifi quid rurfum hic dicant, mulieri venam quidem fectam fuiffe, verum id auxilium in enarratione omiffum effe, quum nobis exiftimandum fit id fuiffe adhibitum, quamquam non fit enarratum. Cur ergo de inedia quoque non conticuit, quum et haec in ea fimiliter animadvertere poffimus? Eadem autem ratio eft tum de potionibus tum de fomentatione et admotis medicamentis. Si namque de his nihil quicquam prorfus ab Erafiftrato fcriptum fuiffet, omnino tamen a medicis ea peracta effe mente deprehendimus, ut qui quod adminiftratum eft licet haud praefcribatur, id univerfis auxiliis effe commune animadvertimus. At Erafiftratus accuratae perfpicuitatis gratia omnia fimul enarrare propofuit, ne quis auctoritatem adeptus haec quidem adjiceret auxilia, prout aegrotae adhibita fuiffent, illa vero velut jam praetermiffa fubtraheret. Praeterea quoque ipfius enarratio iftorum opinioni repugnat. Si enim muliercula venae fectionem tulerit, inedia fruftra eft ufurpata; quin potius, fi veritas proferenda fit, non fruftra folum, verum

Ed. Chart. X. [412.] Ed. Baf. IV. (9. 10.)

πρὸς κακοῦ. δείξω γὰρ ὀλίγον ὕστερον τοῦτο, νῦν δὲ ὅτι μάτην ἁρμόττει πρὸς τὸν ἐνεστῶτα λόγον. ἐπεὶ γὰρ ἐν (10) τῷ καιρῷ τῆς κατὰ περίοδον καθάρσεως ἐπὶ θώρακα φερομένου τοῦ περιττοῦ κίνδυνος ἦν αἷμά τι πτύσαι τὴν γυναῖκα, μειῶσαι τὸ πλῆθος ὁ Ἐρασίστρατος βουλόμενος ἐπὶ τὴν ἀσιτίαν ἀφίκετο προδήλως ματαίαν οὖσαν, εἴπερ ἡ φλεβοτομία παρείληπτο, καθ' ἣν ἐν ἀκαρεῖ χρόνῳ ῥᾷστον ἦν ἐκκενῶσαι τὸ περιττὸν τοῦ αἵματος. οἱ γοῦν θεραπεύοντες ἐν Ῥώμῃ τὰς γυναῖκας αὐτῇ τοῦ συμβαίνοντος ἐμπειρίᾳ μάλιστα ἐπείσθησαν, ἐπὶ μὲν τὴν φλεβοτομίαν ἔρχοντες κατὰ τὸν καιρὸν ἐκεῖνον ᾧ ἐπίδοξος ἡ φορὰ γενέσθαι τῶν καταμηνίων, μήτε δ' ἡσυχίαν προστάσσειν μήτ' ἀσιτίαν, ἀλλὰ καὶ μελίκρατον διδόναι καὶ τροφῆς ὑγραινούσης δαψιλῶς καὶ λουτροῖς χρῆσθαι συγχωρεῖν, ἐφ' οἷς εἴωθεν εἰς ταυτὸν, ὅτε γε μετρίως ἀφαιρεθῶσι τοῦ αἵματος, ἡ κάθαρσις ἐπιφαίνεσθαι, καὶ μάλισθ' ὅτε κατ' ἰγνὺν παρὰ σφυρὸν ἡ φλεβοτομία γένηται. ὡς εἴγε φλεβοτομήσας τις ἀσιτεῖν προστάξειεν, οὐ μόνον ἐπίσχῃ τὰ τῶν ἔμπροσθεν μηνῶν, ἀλλὰ καὶ τὰς ἀμέμπτως κενουμένας

etiam non fine noxa. Sed id paulo poft demonftrabimus, nunc vero eam fruftra congruere praefens explicat oratio. Quum enim periodicae purgationis tempore exuberans in thoracem reflueret fanguis, periculum erat portionem ejus mulierem expuere, Erafiftratus plenitudinem minuere cupiens ad inediam fe contulit, quae plane fupervacanea eft fi venae fectio ufurpetur, qua momento temporis exuberantem fanguinem evacuare facillimum erat. Proinde qui Romae mulieribus medebantur, ipfi rei quae contigerat experientiae potiffimum fidem adhibuerunt, ad venae fectionem circa id tempus accedentes, quo celebris menftruorum imminebat eruptio. Neque vero quitem imperabant, neque inediam, fed melicratum offerebant victuque humectante abunde uti ac lavacris concedebant, a quibus confueverunt ad id mediocri fanguine detracto menftruae purgationes exoriri, praefertimque quum ad poplitem prope malleolum venae fectio fit. Quod fi quis vena fecta inediam ferre imperaverit, non folum menftrua prius fluentia fupprimet, verum etiam

ἐπισχεθήσειεν νῦν καθάρσεις. ξηραίνεται γὰρ ἐν ταῖς ἀσιτίαις καὶ παχύτερον ἑαυτοῦ γίνεται τὸ αἷμα, καὶ διὰ τοῦτο δύσρουν ἀποτελεῖται. λουομέναις δ' αὐταῖς καὶ μελικράτου μὲν προσλαμβανούσαις, ἐς ὕστερον δέ τινα σιτία καὶ πινούσαις οἴνου μήτε αὐστηροῦ μήτε παχέος αἱ καθάρσεις ἐπιγίνονται. διὰ τοῦτο σὺν ἔφην οὐ μόνον ἐκ περιττοῦ παραλαμβάνεσθαι τὰς ἀσιτίας ἐπὶ ταῖς φλεβοτομίαις, ἀλλὰ καὶ πρὸς κακοῦ. τῇ δὲ ἐκ τῆς Χίου παιδίσκῃ καὶ ἐξ αὐτῶν τῶν ἐπιγινομένων εὔδηλόν ἐστι παραλελεῖφθαι τὴν φλεβοτομίαν· αἵματός τι γὰρ ἔπτυσεν, οὐκ ἂν, εἴπερ ἐκενώθη, πτύσασα, καὶ μετὰ δυσπνοίας ἀπέθανε, οὐκ ἂν οὐδὲ τοῦτο παθοῦσα. μεγίστην δὲ βάσανον ἡ φλεβοτομία παρεῖχε κατὰ τοὺς ἡμετέρους καιροὺς ἐν Ῥώμῃ διὰ τὸ πλῆθος τῶν γυναικῶν ὕδωρ ψυχρότατον ἀπὸ χίονος πινουσῶν, ἤτοι μηδ' ὅλως ἢ ἐλλειπῶς καθαίρεσθαι. ἀλλ' ὅμως ταύτας ἰατροὶ φλεβοτομοῦντες ὑγιαινούσας διαφυλάττουσιν, ὡς μήθ' αἷμα πτύσαι μήτε πλευρίτισιν ἢ περιπνευμονίαις ἢ κυνάγχαις ἁλῶναι. οὔκουν οὐδὲ ἐκ τῆς Χίου παιδίσκην ἤκουσαν ὑπ' Ἐρασιστρά-

purgationes quae innoxie vacuabantur remorabitur. Sanguis enim per inedias arefit, ac fe ipfo craffior evadit, ob idque ad fluendum ineptus efficitur. At quae lotae fuerint et mulfum primum, ac poftea cibos quosdam affumpferint et vinum neque auflerum neque craffum biberint, his menflruae purgationes oboriuntur. Ob idque inedias poft venae fectionem non fruftra tantum, verum etiam cum noxa promoveri dicebam. Caeterum venae fectionem puellae Chienfi non promotam fuiffe, etiam ex his quae fupervenerant patet, fanguinis enim aliquantum expuebat, quem nequaquam expuiffet, fi fuiffet vacuata, atque cum fpirandi difficultate mortua eft, quod ipfi haudquaquam accidiffet. Maximum autem fui experimentum Romae noftris temporibus exhibuit venae fectio ob plenitudinem celebrata, quum mulieres quod aquam frigidiffimam ex nive potarent, aut nullo prorfus modo aut diminute purgarentur, has tamen medici venae fectione adeo incolumes confervarunt, ut neque fanguinem fpuerent, neque pleuritide aut peripneumonia aut angina corriperentur. Non ergo puellam Chienfem ab Eraliftrato

Ed. Chart. X. [412. 413.] Ed. Baf. IV. (10.)

του φλεβοτομηθῆναι. οὔτε γε ἂν ἐν τῇ τῶν ἄλλων διηγήσει παρέλιπεν ὡς μικρόν τι βοήθημα τῆς φλεβοτομίας, οὔτ' ἂν ἐκεῖνος διὰ τὴν ἀσιτίαν, οὔτ' ἂν ὅλως ἀπέθανεν ὑπὸ τοῦ πλήθους ἡ γυνὴ πνιγεῖσα. περὶ μὲν δὴ ταύτης ἀποχρήσει πρός γε τὸ παρόν. ἐπὶ δὲ τὸν Κρίτωνα μεταβάντες ἤδη παραγράψομεν αὐτῇ λέξει τὴν Ἐρασιστράτου διήγησιν ὧν ἔπαθεν ὁ ἄνθρωπος. ἔχει δὲ οὕτως· Κρίτωνι ἡ μὲν ἀρχὴ τῆς ἀῤῥωστίας ἐγένετο πληθώρα. συνέβη δὲ αὐτὸν ἐμπεσεῖν εἰς πλήθη συναγχικά. ἔστι δὲ τὸ γινόμενον φλεγμονὴ τῶν τε παρισθμίων καὶ τῆς ἐπιγλωττίδος. συμβαίνει οὖν τοὺς εἰς ταῦτ' ἐμπίπτοντας πνίγεσθαι, καὶ ἐὰν μὴ θᾶττον βοηθῶνται, συντόμως ἀπόλλυσθαι. ἐν τούτοις οὖν ὄντος τοῦ Κρίτωνος τῇ μὲν πρώτῃ ἡμέρᾳ βοηθοῦμεν πυριῶντες σπόγγοις τὸν εἰθισμένον τρόπον, ὁπότε διελείποιμεν τὰ καταπλάσματα ἐπιθέμενα, ὥστε διὰ παντὸς ἐν θεραπείᾳ εἶναι. ἐδόθη δὲ αὐτῷ καὶ καταπότια τὰ διὰ τοῦ καστορίου πρὸς τὸ τὴν κοιλίαν ὑπάγειν, καὶ πρὸς τούτοις ὑπήκουσεν ἀστείως. οὐδένα λανθάνειν οἶμαι τὴν ἐπιμέλειαν τῆς διηγήσεως ἁπάν[413]των τῶν πραχθέντων

venae fectione curatam fuiffe fufpicentur. Neque ille in aliarum rerum enarratione auxilium venae fectionis tanquam rem parvi momenti praetermififfet, neque ob inediam ille, neque omnino a copia fanguinis praefocata mulier interiiffet. Sed de hac impraefentiarum fufficiat. Translato vero jam ad Critonem fermone, ipfi orationi Erafiftrati enarrationem afcribemus de his quos homo patitur affectibus. Sic autem fe habet: Critoni quidem plenitudo morbi fuit initium. Contigit vero ipfum in plenitudinem fynanchicam incidiffe, haec autem eft et parifthmiorum ligulaeque inflammatio. Accidit itaque, qui in eam inciderint, eos fuffocari, ac nifi celerrime illis fuccurratur, brevi interire. Quum autem in horum numero effet Crito, primo die illum more confueto fpongiis foventes opitulati fumus, quo tempore admota cataplafmata reliquimus, ut in curatione perpetuo effet. Exhibita etiam ei funt catapotia ex caftoreo, ad alvum fubducendum, quae his commode fubducta eft. Neminem latere arbitror diligentiam narrationis omnium quae circa Critonem

ἐπὶ τοῦ Κρίτωνος. καὶ γὰρ διὰ τῶν σπόγγων πυρίαν εἶπε καὶ τὴν τῶν καταπλασμάτων χρῆσιν, ἔτι τε τὴν τῶν καταποτίων. ἆρ' οὖν ὅτι μὲν ἐπυριάσθη διὰ τῶν σπόγγων ἐδήλωσε καὶ τἄλλ' ἑξῆς ἐπιμελῶς διηγήσατο, περὶ δὲ τῆς φλεβοτομίας ἑκὼν ἐσιώπησεν, ὅτι μικρότερον ἦν δηλαδὴ τοῦτο τὸ βοήθημα. μεμνῆσθαι δ' οὐ προσήκει μοι τῶν πάνυ μικρῶν ἐν τοιαύταις διηγήσεσιν. ἀλλά τοι κἀνταῦθα μετ' ὀλίγα πάλιν αὐτὸς ὁ Ἐρασίστρατος ἐρεῖ. ἐφαίνετο οὖν ἡμῖν μετάστασιν εἰληφέναι τὰ πάθη, ἐπί τε τὸν πνεύμονα καὶ τὸ ἧπαρ καταῤῥυῆσαι μὲν αὐτῷ τὴν συνάγχην, αὐξηθῆναι δὲ τοὺς πυρετοὺς ἄνευ τῇ καθ' ὑποχόνδριον ἐντάσει τὴν μετάσχεσιν ἐλογίσατο γεγενῆσθαι τῶν παθῶν. ἔνθα τε καὶ μάλιστα τὸν νοῦν προσέχειν ἀξιῶ σκοπούμενον οἷόν τί σοι διὰ τῆς λέξεως ταύτης, ἐν ᾗ φησὶ μετάστασιν εἰληφέναι τὰ πάθη, πότερον αὐτῶν τῶν φλεγμαινόντων μορίων μεταβάντων ἢ τοῦ αἵματος, ὃ τὴν φλεγμονὴν αὐτῶν εἰργάζετο, μεταῤῥυέντων. ἐμοὶ μὲν γὰρ δοκεῖ τὸ πρότερον μὲν τῶν προειρημένων μηδὲ νοηθῆναι δύνασθαι, τὸ δεύτερον δ' ἐξ αὐτῶν εἶναι τὸ ἀληθές. ἐγὼ μὲν γὰρ ἐνίοτε

acta funt. Nam et admotos ex fpongiis fotus et cataplasmatum et praeterea catapotionum ufum retulit: proindeque quod per fpongias fotus ac calefactus fuerit manifefte declaravit, ac reliqua deinceps ftudiofe enarravit, fed de venae fectione confulto filuit, quod fcilicet auxilium iftud vilius aeftimaverit. At quae perexigua his in enarrationibus proftant commemorare mihi non congruit, verum hic paulo poft rurfum ipfe Erafiftratus ait: Apparebat itaque nobis affectus ipfos ad pulmonem heparque translationem cepiffe et illuc fynanchen defluere, ac febres augeri. Hic affectuum translationem fine hypochondriorum tenfione factam effe recenfuit, ubi maxime mentem adhibendam effe cenfeo, quae animadvertat quale quid tibi per hanc dictionem, qua ipfos affectus translationem cepiffe ait, utrum ad ipfas quae inflammantur partes permutatas pertineat, an ad fanguinis qui earum inflammationem concitavit transfluxum. Mihi fiquidem primum ex praedictis ne cogitari quidem poffe videtur, alterum autem illorum verum effe conftat. Ego nam-

τὸ κατασκῆψαν εἰς τὸ μόριον πλῆθος ἴσχων, εἶτ' αὐτὸ διωσασθαι τῆς ἐν ἐκείνῳ δυνάμεως ἐφ' ἕτερόν τι μεθίσταται. τοῦτο τοίνυν φαίνεται καὶ τῷ Κρίτωνι συμβὰν, ἀλλ' ὅμως οὐδὲ τότε φλεβοτομίας ἐμνημόνευσεν ὁ Ἐρασίστρατος. ἀλλὰ τί φησι; κατεπλάσσετο καὶ τὸν θώρακα ὅλως καὶ τὰ ὑποχόνδρια. ὥσπερ δὲ ἐκ τῶν κατὰ τὴν ἐπιγλωττίδα καὶ τὰ παρίσθμια μορίων ἡ τοῦ πλεονάζοντος αἵματος ἐπὶ τὰ κάτω χωρία μετάστασις ἐγένετο, κατὰ τὸν αὐτὸν τρόπον αὖθις ἐκ τῶν κάτω μερῶν ἐπὶ τὴν κεφαλὴν ἀνενεχθέντος αὐτοῦ τοὺς μὲν πυρετοὺς καὶ συνέβη λωφῆσαι, σύμπτωμα δ' ἐπιγενέσθαι τὴν τῶν νεύρων ἀρχὴν ἐνδεικνύμενον πάσχειν. ἄκουσον δὲ καὶ ταύτης τῆς Ἐρασιστράτου ῥήσεως. ὄντος δ' αὐτοῦ ἀπὸ μὲν γὰρ τῆς ἀρχῆς δεκαταίου, ἀπὸ δὲ τῆς ἐπιστάσεως ἑκταίου, ὅ τε πυρετὸς εὖ μάλα ἐπανῆκεν καὶ παραστροφή τις ἐγένετο τοῦ τ' ἰνίου, ὀψὲ δὲ τῆς ὥρας ἀναισθησία τις ἐγένετο, ὥστε καὶ τὸ οὖρον ἐκ τοῦ στρώματος προΐεσθαι, καὶ μετ' οὐ πολὺ ἐπίστασις τοῦ πυρετοῦ. εἶτα ἐπιφέρων φησίν· ἐφαίνετο οὖν ἡμῖν πάλιν μετάστασιν εἰληφέναι τὰ πάθη ἐπὶ τὴν κεφαλὴν, καὶ

que interdum decumbentem in partem plenitudinem cohibui, quam illa propria facultate deinceps in aliam quandam propellendo transfert. Id ergo Critoni contigisse apparet, verumtamen neque tunc temporis Erafiftratus venae fectionis unquam meminit. Sed quid ait? fe totum thoracem una cum hypochondriis ipfis cataplafmatis foviffe. Quemadmodum autem ex partibus quae circa lingulam et tonfillas funt fanguinis exuperantis translatio ad loca inferiora fiebat, eodem modo contra illo ex inferioribus partibus furfum fublato febres quidem fedari contingebat, fed fymptoma fuccedere, quod nervorum principium affectum effe indicabat. Verum audi et haec Erafiftrati verba: Quum autem ab hujus morbi principio decimus dies adeffet, ab infultu vero fextus, quo tempore tum febris vehementior rediit, tum cervicis obtortio quaedam accidit, et fub horae ferum quidam ftupor abortus ita eft ut et lotium e ftragulis emitteret neque multo poft febris infultus. Deinde inferens ait: Videbatur itaque nobis rurfum translationem ad caput affectum cepiffe, in eaque

Ed. Chart. X. [413.] Ed. Baf. IV. (10.)

κατὰ μὲν αὐτὴν τὴν μετάστασιν ἐπανηκέναι τὸν πυρετὸν, ὕστερον δὲ πάλιν ἐπιτετακέναι ἐμπαθῆ γενόμενον τῶν περὶ τὴν κεφαλήν. εἴπωμεν ἤδη τι καὶ ἡμεῖς ἐπὶ τῇδε τῇ ῥήσει πρὸς τὸν ἄνδρα. κάλλιστα λέγεις ὦ Ἐρασίστρατε μετάστασιν ἐπὶ τὴν κεφαλὴν γεγονέναι τῶν παθῶν. ἄμεινον δ' ἦν εἰ μὴ τῶν παθῶν εἴποις, ἀλλὰ παθῶν αἰτίου πλήθους. ὥσπερ οὐκ ἄν τις φαίη τὰ μέρη τοῦ σώματος αὐτὰ τὰ πάσχοντα εἰληφέναι, κατὰ τὸν αὐτὸν τρόπον οὐδὲ τὰ πάθη. βέλτιον γὰρ οἶμαι φάναι παύσασθαι μὲν τὰ πρότερα πάθη, γενέσθαι δ' αὖθις ἕτερα τῆς αἰτίας μεταστάσης, ἥτις ἦν, ὡς αὐτος ἐν ἀρχῇ τῆς ὅλης διηγήσεως ἔφη, πληθώρα. ταύτην οὖν εἴπερ ἐκένωσεν, οὐκ ἂν οὔθ' ὁ κύων κατὰ τὴν ἐπιγλωττίδα τούτων εἰς τὸ κάτω τὴν μετάστασιν ἔλαβεν οὔτ' αὖθις ἐκεῖθεν ἐπὶ τὴν κεφαλὴν ἀνηνέχθη. ὥστε φαίνεται καὶ Κρίτων ὁμοίως τῇ Χίᾳ γυναικὶ διὰ τὸ παραλειφθῆναι τὴν φλεβοτομίαν ἀποθανεῖν. ἀλλα τοῦτο μὲν δοκεῖ καὶ αὐτὸς ὁ Ἐρασίστρατος αἰθέσθαι. τί γάρ φησί; τοῦτο ἐδόκει αἰτία τῆς ἀπωλείας γενέσθαι τὰ ἐπὶ τὸν πνεύμονα ἐπενεχθέντα,

translatione febrem rediiffe eamque poftea etiamnum, quum partes capiti vicinae afficerentur, intenfam fuiffe. Nos aliquid jam adverfus virum hisce verbis differamus. Perbelle, o Erafiftrate, dicis affectuum translationem ad caput factam effe. Melius autem fuerat fi non affectuum dixiffes, fed affectuum caufae plenitudinis. Ut nullus unquam dixerit ipfas corporis partes affectus translationem cepiffe, eodem modo neque ipfos affectus. Praeftaret, arbitror, dicere, ceffari priores affectus et alios rurfum procreatos effe translata caufa, quae erat, ut ipfe in principio totius narrationis dicebat, plethora. Hanc itaque fi evacuaffet, nequaquam columella fluxio ligulae ab his partibus deorfum translationem cepiffet, nec rurfus illinc ad caput afcendiffet. Quapropter Critonem eo modo quo et Chienfis mulier ob praetermiffam venae fectionem interiiffe conftat. Sed id ipfe Erafiftratus videtur praefenfiffe. Quid enim ait? Huic videntur caufa interitus fuiffe ea, quae in pulmonem irruerunt, praeterquam quod male non praevenerit haec evacuare, licet quampri-

πλὴν ὅτι κακῶς οὐκ ἔφθασεν ἐκκενῶσαι ταῦτα, καίτοι γινώσκων εὐθὺς ἐξ ἀρχῆς ὡς πληθωρικὴ διάθεσις εἴη περὶ τὸν ἄνθρωπον. ἐὰν οὖν τις ἐθέλῃ κατασκευάζειν [414] ὡς οὐκ εἰκὸς ἦν Ἐρασίστρατον ἰατρὸν ἄριστον ὄντα, καὶ μέντοι καὶ γνόντα Κρίτωνι μὲν ἐκ πληθώρας συμβῆναι τὰ πάθη, τῇ δὲ ἐκ τῆς Χίου παιδίσκῃ διὰ τὴν τῶν ἐμμήνων ἐπίσχεσιν, ἑκόντα παραλιπεῖν ἀφαίρεσιν τοῦ αἵματος, ἀλλ' ἀφαιρεῖσθαι (11) μὲν αἵματος καὶ τούτου καὶ ἐκείνης, παραλελεῖφθαι δὲ ἐν τῇ διηγήσει, τί κωλύει κἀμὲ λέγειν ὅ τι περ ἂν ἄλλο βούλωμαι τῶν κενωτικῶν βοηθημάτων, προσενηνέχθαι μὲν τοῖς κάμνουσι, παραλελεῖφθαι δὲ ἐν τῇ διηγήσει; καὶ τίς νοῦν ἔχων ἰατρὸς ἀνέξεται ταῦθ' ἡμῶν λεγόντων; ὅπως γε καὶ τὰ μέχρι θανάτου συμπτώματα ταῦτ' αὐτοῖς φαίνεται διὰ πλῆθος γινόμενα καὶ αὐτὸς ὁ θάνατος οὐ δι' ἄλλην τινὰ αἰτίαν ἀκολουθήσας ἢ τὴν τὸ μὴ κενωθῆναι τὸ πλῆθος; τίς δ' ἀνέξεται λεγόντων ἀνθρώπων τὰ μὲν μικρὰ τῶν πραχθέντων ὑπ' Ἐρασιστράτου γεγράφθαι, φλεβοτομίαν καὶ κάθαρσιν ὑπ' ἐλλεβόρου τε καὶ σκαμμωνίας, ὅτι παντί πως ἐπίδηλα, παραλελεῖφθαι; εἰ γὰρ ἐκ τοῦ μόνον εἰπεῖν τὸ κοινὸν ὡς ἡ

mum ab initio hominem plethorico affectu corripi cognoviſſet. Si quis igitur velit aſtruere, quod conſentaneum non erat Eraſiſtratum, qui medicus praeſtantiſſimus habebatur, quique certe affectus illos tum Critoni ex repletione tum puellae Chienſi ob menſtruorum ſuppreſſionem accidiſſe noverat, conſulto ſanguinis detractionem praetermiſiſſe, imo et huic et illi ſanguinem detraxiſſe, ſed in enarratione praetermiſiſſe. Quid prohibet et me dicere qualecunque aliud velim ex vacuantibus remediis adhibitum quidem aegrotis, in enarratione vero praetermiſſum eſſe? Et quis mentis compos medicus me patietur haec dicentem? Quomodo et quae adusque mortem ſymptomata ipſis apparebant, ea ob plenitudinem accidiſſe, et ipſum interitum non aliam ob cauſam inſequutum fuiſſe quam quod non enarrata fuiſſet plenitudo? Quis etiam ſeret homines qui ducunt pauxilla tantum eorum quae acta ſunt ab Eraſiſtrato ſcripta eſſe, ſed venae ſectionem, et eam quae ex elleboro et ſcammonio fit purgationem, quod haec auxilia penitus conſpicua ſint, prae-

Ed. Chart. X. [414.] Ed. Baf. IV. (11.)

πληθώρα κενώσεως δεῖται, δεδήλωται φλεβοτομία, διότι τῶν κενωτικῶν ἡ βοηθημάτων, τί κωλύει καὶ τῶν ἄλλων ἕκαστον ἐρῆσθαι τῶν κενωτικῶν; μὴ τοίνυν μόνην τὴν φλεβοτομίαν ὑπ᾽ Ἐρασιστράτου προσῆχθαι τοῖς κάμνουσι λεγέτωσαν, ἀλλὰ καὶ τἄλλα πάντα, κλυστῆρας, ἐμέτους, καθάρσεις, λουτρὰ, γυμνάσια, τρίψεις, αἰωρήσεις, χρίσματα, θερμαίνοντα καταπλάσματα, πάνθ᾽ ἑξῆς ὅσα ἐκεῖνος. εἰ δ᾽ οὐκ ἀρκεῖ μόνον ὅτι κενωτέος ὁ κάμνων ἐστὶν, οὐδὲ τούτων τὸ τέλος ὑπάρχει τῆς τῶν βοηθημάτων διδασκαλίας, ἀλλὰ πρῶτον μὲν προσθεῖναι χρὴ τὸν τρόπον τῆς κενώσεως, εἶτα τὴν ὕλην εἰπεῖν δι᾽ ἧς ἄριστα πραχθήσεται, καὶ ταύτῃ προσθεῖναι τὸν καιρὸν καὶ τὸ μέτρον καὶ τρόπον τῆς χρήσεως, ὅτε κοινὸν εἰπὼν σκοπὸν τῶν βοηθημάτων οὐδέπως κατὰ μέρος οὐδὲν εἰρηκέναι. εἰ γὰρ ἀρκεῖ τὸ κοινὸν εἰπεῖν, ἐκ περιττοῦ μνημονεύει καταπλασμάτων τε καὶ ἀσιτίας καὶ πυρίας τῆς διὰ σπόγγων. εἰ τὸ μὲν κατάπλασμά τε καὶ τὴν ἀσιτίαν οὐκ ἂν ἡμεῖς εὕροιμεν ἄνευ τοῦ παρ᾽ ἐκείνου μαθεῖν; ἡ φλεβοτομία δὲ ἐστὶ δήλη πᾶσι, κἂν Ἐρασίστρατος μὴ λέγῃ.

termififfe? Si namque ex eo quod vulgus proferat, plethoram evacuatione indigere, venae fectio fignificetur, quod inter evacuantia remedia fit, quid prohibet et caeterorum evacuantium quodque intelligi? Ne igitur folam venae fectionem aegrotis ab Erafiftrato adhibitam effe dicant, fed caetera quoque omnia evacuantia, clyfteres, vomitiones, purgationes, balnea, exercitia, frictiones, geftationes, inunctiones, calefacientia cataplafmata, quaeque deinceps omnia ab illo ufurpata funt. Si vero non folum fufficit quod evacuandus aeger fit, neque declarationis iftorum auxiliorum finis exiftit, fed in primis locum vacuationis adjicere, deinde materiam declarare per quam perfici queat, huicque occafionem addere et menfuram et utendi rationem oportet. Si enim commune quid protuliffe fuffecerit, is fruftra et cataplasmata et medias et fotus per fpongias memoravit. An nos et cataplafma et inediam, nifi nos ille docuerit, indagare non poffumus? Venae autem fectio, etiamfi Erafiftratus non doceat, omnibus manifefta eft.

Ed. Chart. X. [414. 415.] Ed. Baf. IV. (11.)

Κεφ. δ'. Ἀλλὰ κἂν τοῦτό τις αὐτοῖς συγχωρήσῃ, καίτοι φανερῶς ὂν ἄτοπον, ἄλλα μεγάλα καὶ πολλὰ λείπεται σκέμματα τῷ μέλλοντι χρήσασθαι προσηκόντως τῷ βοηθήματι. πρῶτον μὲν εἰ μηδὲν διαφέρει τέμνειν ἡντινοῦν φλέβα, καθάπερ οἴονταί τινες, ἢ καθ' ἕκαστον τῶν πεπονθότων μορίων ἴδιαι φλέβες εἰσὶν αἱ ταχέως ἐκκενοῦσαι τὸ πλῆθος αὐτῶν. δεύτερον δ' ἐπὶ τούτῳ σκέμμα, πότερον ἅπαξ ἢ πλεονάκις ἀφαιρεῖν προσήκει. καὶ τρίτον δ' ἐπ' αὐτοῖς σκοποὺς ἐξευρεῖν, οἷς προσέχων τις ἀκριβῶς στοχάσαιτο τοῦ μέτρου τῆς κενώσεως. καὶ τέταρτον ὁ καιρὸς ἐν ᾧ χρὴ μάλιστα ποιεῖσθαι τὰς φλεβοτομίας, εἰ μηδὲν ἐστιν ἐξαίρετον, αὐτὸ τοῦτο σὺν ἀποδείξει διδαχθήσεται. τῷ μὲν οὖν ὅλως ἀποστάντι φλεβοτομίας οἴχεταί τε καὶ συναναιρεῖται τούτων ἁπάν[415]των ἡ σκέψις, τῷ προθεμένῳ δ' ἐξ ἀνάγκης ἕπεται. καὶ γάρ τοι κἀπὶ τῶν ἄλλων βοηθημάτων ἁπάντων ὁ αὐτός ἐστι λόγος, οἷον ἐλλεβόρου, σκαμμωνίας, οἴνου, λουτροῦ, σιτίων. εἰ μὲν γὰρ μηδ' ὅλως ἐστὶ χρηστέον ἐπὶ τῶν νοσούντων ὁτῳδήποτε τῶν εἰρη-

Cap. IV. At quamvis id aliquis ipfis concefferit, etfi manifefte abfurdum, huic tamen qui hoc auxilio decenter ufurus eft magnae ac multae confiderationes fuperfunt. Prima, an quemadmodum quidam autumant, quamlibet venam fecare nihil differat, aut propriae venae fint in fingulis affectis partibus, quae ipfarum plenitudinem celeriter evacuent. Secunda huic fuccedens confideratio, utrum femel aut multoties fanguinem detrahere conveniat. Ab his tertia, fcopos invenire, quibus accurate incumbens aliquis vacuationis menfuram conjecturis affequatur. Quarta denique occafio, qua potiffimum venae fectio, fi nihil exceptum fit, fieri debeat, haec ipfa cum demonftratione docebitur. Qui igitur a venae fectione prorfus abftinet, apud hunc harum omnium rerum confideratio perit, fimulque e medio tollitur, eam autem praefcribenti ifta fuccedere neceffe eft. Etenim et in caeteris omnibus praefidiis eadem eft ratio, veluti elleboro, fcammonio, vino, balneo et eduliis. Si namque in aegrotis quocunque dictorum haudquaquam prorfus utendum fit, ne-

μένων, οὔτε καιρὸς οὔτε ποσότης οὔτε τρόπος τῆς χρήσεως οὔτ' ἄλλο οὐδὲν ἔτι καὶ ζητηθήσεται τῷ καθ' αὑτό. προσιεμένῳ δὲ τὴν χρῆσιν ἀναγκαῖόν ἐστι περὶ τούτων πάντων διελθεῖν, οὐ μόνον ἐπὶ τῶν δραστικῶν βοηθημάτων, ἐν οἷς εἰ παροφθείη τι σμικρὸν, ἡ βλάβη μεγίστη δι' αὐτὸ γίνεται τοῖς νοσοῦσιν, ἀλλὰ κἀπὶ τῶν ἐλαττόνων. καὶ φαίνεται τοῦτο οὕτως γινόμενον ἑκάστης ἡμέρας ἐπὶ πάντων τῶν νοσούντων. οὐδεὶς γοῦν εἰπὼν ἰατρὸς, ἄνθρωπος οὗτος τραφήτω, χαρίζεται, μήτε τὸν καιρὸν ἔτι προσθεὶς, ἐν ᾧ κελεύει τραφῆναι τὸν κάμνοντα, μήτε τὸ σιτίον ὁρίσας αὐτὸ, μήτε τὴν ποσότητα μήτε τὴν σκευασίαν, ἢ τὴν τῆς χρήσεως τάξιν, ἀλλ' ἕκαστον τούτων ἀκριβῶς ἐκδιηγεῖται τοῖς παροῦσιν ὅπως δεῖ πραχθῆναι. καὶ τοίνυν καὶ γράφουσιν ἐν τοῖς βιβλίοις ἅπασιν ἐφ' ὧν ἂν πράττουσι βοηθημάτων ἑξῆς ταῦτα σύμπαντα, καί τινές γ' αὐτῶν, ὅσοι οὐ μακρολογώτεροι, χρονίζουσιν τῇ διηγήσει, οὐ μακρολογίαν, ἀλλ' ἐπιμέλειαν ἡγούμενοι τὴν τοιαύτην διδασκαλίαν. Ἱπποκράτης μὲν ἐν τοῖς πλείστοις τῶν ἑαυτοῦ συγγραμμάτων ἐσχάτως βραχυλόγος ὢν, ὅμως οὐκ ὀκνεῖ γρά-

que occafio neque quantitas neque utendi modus neque quicquam aliud etiamnum ac per fe inveftigabitur. Approbanti vero ufum neceffarium eft de his omnibus differere, non folum in efficacibus auxiliis, in quibus fi quid parvi momenti praetermiffum fit, laefio maxima ob id aegrotantibus oboritur, verum etiam in minimis et id ita fingulis diebus apud omnes aegrotos evenire confpicitur. Nullus igitur medicus qui dixerit, homo hic nutriatur, rem gratam facit, qui occafionem etiam non addat, qua nutriendum effe laborantem jubet, neque cibum ipfum praefiniat neque quantitatem neque praeparationem vel utendi ordinem, fed horum unumquodque ut accurate perfici debeat, aftantibus explicat. Proinde etiam plerique in libris paffim inter ea quae adminiftrant auxilia haec univerfa ordine defcribunt, ipforumque nonnulli haud loquaciores in hujusmodi enarratione morantur talemque difciplinam, non multiloquium, verum fed ulitatem effe ducunt. Hippocrates quidem quum in plurimis fuis operibus orationis brevitati fummopere ftudeat,

φειν ἐπὶ τῆς φλεβοτομίας οὔτε τὸ μέρος τοῦ σώματος, ἐν ᾧ χρὴ τμηθῆναι τὸ ἀγγεῖον, οὔτε τὸ μέτρον τῆς κενώσεως οὔτε τὸν καιρόν. Ἐρασίστρατος δὲ, ὃν οἱ νῦν Ἐρασιστράτειοι φασὶ χρῆσθαι φλεβοτομίᾳ, μακρολογώτερος ὢν, ὡς ὀλίγον ὕστερον δείξω, πρῶτον μὲν οὐδὲ αὐτὸ τὸ ὄνομα ὑπέμεινε προσγράψαι τῆς φλεβοτομίας ἅμα τοῖς ἄλλοις βοηθήμασι· εἶτα παρέλιπεν ἑξῆς πάντα τὰ κατειλεγμένα καὶ τὸν καιρὸν καὶ τὸ μέτρον καὶ τόπον ἀγγείου καὶ τρόπον χρήσεως, ὁ μηδ᾽ ὡς χρὴ τὰ καταπλάσματα ἐφ᾽ ἕκαστον τῶν νοσούντων προσφέρειν ἢ τὴν μᾶζαν φυρᾶν, ὀκνῶν προσγράφειν, ὁ μηδὲ περὶ τῆς τῶν λαχάνων ἑψήσεως σιωπῶν. ἄκουσον γοῦν ὡς γράφει κατὰ τὴν περὶ τῆς κοιλίας πραγματείαν προσφοράς. τὴν μὲν πρώτην προσφορὰν ἄλφιτα κριμνώδη πεφρυγμένα εὖ ἀποσεσεισμένα. ὅταν δὲ προσφέρεσθαι μέλλῃ, ἔν τινι ψυκτῆρι ἐπιχέοντα ὕδωρ φυράσαντα διδόναι, μηδ᾽ εἰς ἅπαξ δὲ ἅπαν ὃ ἂν μέλλῃς διδόναι φυράσας, ἀλλὰ δὶς ἢ τρὶς, ὅπως μὴ ξηρὰ γινομένη ἡ μᾶζα δυσάλωτος μὴ πολὺ τὸ ὑγρὸν ἀναδέξηται. οὐδὲν γὰρ τούτων χρήσιμον. προσετίθει δὲ διδόναι τῶν κιχωρίων συχνὰ εἰς

de venae ſectione tamen ſcribere non neglexit, neque partem corporis in qua vas ſecari oporteat, neque vacuationis menſuram neque occaſionem. Eraſiſtratus autem, quem nunc ſui Eraſiſtratei venae ſectione uſum fuiſſe praedicant, multiloquus fuerit licet, tamen, ut paulo poſt indicavero, primum id ipſum venae ſectionis nomen caeteris praeſidiis ne adſcribere quidem dignatus eſt, deinde etiam quae recitata ſunt omnia, et tempus et menſuram et vaſis locum et utendi rationem, praetermiſit, is qui neque, ut deceat, cataplaſmata unicuique aegrotantium efferre aut offam ſubactam perſcribere veritus eſt, qui neque de olerum coctione ſubticuit. Audi itaque quae fercula in operibus de ventriculo ſcribat: Primum quidem ferculum eſt farina craſſior, toſta ac probe excuſſa. Quum autem eam offerre volueris, in poculo quodam frigido aquae infuſam ac ſubactam exhibeto, neque ſemel totum quod daturus es, verum bis terve ſubigendo, ut ne arida facta offa et ſolutioni inepta multum humiditatis ſuſcipiat. Nihil enim id confert. Ad edendum vero exhiben-

ὄξος μὴ δριμὺ ἐμβάπτοντας καὶ ἐπὶ τῶν σιτίων ἀναλίσκειν. ἑφθὰ κιχώρια ἑψῆναι δεῖ δύο παρασκευάζοντας χυτρίδας, καὶ εἰς μὲν τὴν μίαν ἐμβάλλοντας ἑψεῖν, ὅταν δὲ ἤδη καθεψηθέντα εὖ μάλα ᾖ καὶ ἡ ἑτέρα χύτρα τοῦ ὕδατος ζέῃ, μεταγγίζειν αὐτὰ εἰς τὴν ἑτέραν. εἶναι δὲ δέσμια ὅπως εὐμετάθετα ᾖ. συνεψήσαντα δὲ καὶ ἀποχέοντα τὸ ὕδωρ ἀρτύσαι ἁλὶ καὶ ἐλαίῳ καὶ διδόναι προσφέρεσθαι. ἆρ᾽ ἐπινοεῖς ἔτι δύνασθαί τι ἐπιμελέστερον γράψαι τὰ σμικρότατα τοῦ μηδ᾽ ὅτι χρὴ δεσμίδια ποιεῖν τῶν κιχωρίων, ὅπως εὐμετάθετα ᾖ, σιωπήσαντος; εὔδηλον γὰρ ὅτι τὰ λελυμένα δυσμετάθετα γίγνονται καὶ διὰ τοῦτο κηδόμενος οὐ μόνον ἡμῶν ἰατρῶν, ἀλλὰ καὶ τῶν ἑψόντων τὰ λάχανα μαγείρων ἐδίδαξεν αὐτοὺς ὡς χρὴ συνδεῖν τὰ λάχανα. τοιοῦτος δ᾽ ἐστὶ κἀπειδὰν ἤτοι καταπλάσματός τινος γράφῃ σκευασίαν ἢ περιπατεῖν κελεύῃ τοσούσδε σταδίους ἢ τρίβεσθαι τρίψεις τοσαύτας, ἤ τι τοιοῦτον [416] ἕτερον, ἐφ᾽ οἷς ἤδη τινὲς οὐ μόνον οὐκ ἐπαινοῦσι τῆς περιττῆς ἐπιμελείας, ἀλλὰ καὶ ψέγουσι ὡς ὅρους καὶ μέτρα τιθέμενον ἐπὶ τῶν

da fuut crebro cichoria in aceto non acri macerata, et inter cibos confumenda. Pura cichoria coquenda funt, duas ollas praeparando. In unam projecta coquenda, quum autem jam probe admodum cocta fuerint et altera aquae olla ferveat, ipfa in alterum elutrianda. Ligata vero fint cichoria, quo facille transponi queant. At perfecte cocta tum effufa aqua fale et oleo condenda funt, et ut offerantur exhibenda. Itaque rurfum animadvertis poffe accuratius fcribi minima ab eo qui cichoriorum vincula, quo transpofitu facilia fint, conftruenda effe non filuit. Conftat enim quae foluta funt, ea non transpofitu facilia reddi, ob idque qui non folum nos medicos, verum etiam et coquos olera coquentes curae habet, ipfos ut olera liganda fint edocuit. Talis autem eft et quum cataplafmatis alicujus fcribit praeparationem, vel tot ftadia obambulare vel tot tantasque moliri frictiones, aut hujusmodi aliquid aliud jubet. Ob quae jam quidam fuperfluam curiofitatem non folum non laudant, verum etiam improbant, tanquam qui terminos modosque in rebus infi-

ἀόριστον ἐχόντων τὴν ποσότητα. τίς ἂν οὖν οὐ πεισθῇ τὸν οὕτως ἐπιμελῆ κεχρῆσθαι μὲν ὁμοίως τοῖς ἄλλοις φλεβοτομίας μηδαμόθεν δ' αὐτῆς μνημονεῦσαι πλὴν ἅπαξ ἐν τῷ περὶ αἵματος ἀναγωγῆς; οὐδ' οὖν οὐδὲ τότε χρώμενον, ἀλλὰ τοὐναντίον ἅπαν ἐπαινοῦντα τὸν Χρύσιππον ἐπὶ τῷ μὴ χρῆσθαι φλεβοτομίᾳ καὶ τὴν ἀπόδειξιν αὐτοῦ καθ' ἣν ἀποδείκνυται νομίζει τὸ Χρυσίππου δόγμα περὶ τῆς φλεβοτομίας, τοῦ μᾶλλον τῶν αἷμα πτυσάντων κοινὴν εἶναι λέγοντος ἢ ἄλλων ἁπάντων οἷς μόριόν τι τοῦ σώματος μέλλει φλεγμαίνειν. ἀλλὰ περὶ μὲν τοῦδε καὶ αὖθις εἰρήσεται. νῦν δ' ὅπερ ἔλεγον (12) ἀναληπτέον, ὡς οὐκ ἂν Ἐρασίστρατος ἐπὶ πλεῖστον ἐκτείνων ἅπαντας τοὺς λόγους, καὶ μέντοι καὶ δὶς καὶ τρὶς ἐνίοτε διεξερχόμενος ἕνα λόγον ἐν διαφέρουσι βιβλίοις, ὀλιγώρησεν ἄν που κἂν ἅπαξ ε' συλλαβὰς προσγράψαι παρενθεὶς ἅμα τοῖς ἄλλοις βοηθήμασι τὸ τῆς φλεβοτομίας ὄνομα, πρὸς τῷ καὶ τὴν ποσότητα πάντως ἂν αὐτῆς εἰπεῖν, ὡς ἐπ' ἄλλων ἐποίησε, καὶ τὸν καιρὸν, ὡς εἴρηται πρόσθεν, ὅσα τ' ἄλλα τοιαῦτα. τινὲς μέν γε τῶν ἰατρῶν ἐπὶ σημείοις

nitam quantitatem habentibus conſtituerit. Quis ergo crediderit hunc ita accuratum caeteris quidem peraeque praeſidiis uſum fuiſſe, hujus vero venae ſectionis nullibi praeterquam ſemel in libro de ſanguinis ejectione mentionem feciſſe? Neque igitur tum ea uſus eſt, ſed omnino e contra Chryſippum, quod venae ſectionem non uſurpaverit, laudibus evexit ejusque demonſtrationem attulit qua Chryſippi de venae ſectione dogma aſtruere putat, magis ſanguinem ſpuentibus eſſe conſuetum aſſerentis, quam caeteris omnibus, quibus aliqua pars corporis in phlegmonem lapſura ſit. Verum de his poſthac diſſeretur. Nunc vero quod locutus ſum repetendum eſt, quod Eraſiſtratus etſi univerſos ſermones plurimum non protrahat, atque etiam bis terve interdum in diverſis libris eandem ſententiam recenſeat, illis tamen quamquam ſemel quinque ſyllabas aſcribere neglexit, quibus cum caeteris auxiliis phlebotomiae nomen inſeruiſſet, ad hoc et illius quantitatem ut in aliis fecit et tempus, ejusmodi caetera prout ante enarratum eſt prorſus explicare debuerit. Proinde

ὁρίζουσι τὸ ποσὸν τῆς κενώσεως, οἷον εἰ μεταβάλλοι κατὰ τὴν χρόαν ἢ τὸν τόνον ἢ τὴν ῥύσιν τοῦ αἵματος, ἢ εἰ καταπίπτοιεν εἰς ἀτονίαν οἱ σφυγμοὶ καί τινες ἱδρῶτες ἐπιφαίνοιντο ἐν αὐτῷ τῷ καιρῷ τῆς ἀφαιρέσεως. ταῦτα δ' οὖν καὶ Ἱπποκράτης πόνους φησὶν, καὶ τοὺς σφοδροτέρους τῶν ἐμέτων καὶ τὰς ἀλογωτέρας διαχωρήσεις ἄλλοις διείρηκεν ἄχρι λειποθυμίας ἄγειν τὴν κένωσιν, ὁπόταν τι φαίνηται κατὰ τὸν λόγον αὐτῇ γινομένη τῆς κενώσεως, οὐχ ὑπὸ χυμοῦ ῥυέντος εἰς τὸ τῆς γαστρὸς στόμα. πολλάκις γὰρ ἐναργῶς φαίνεσθαι διὰ χολὴν ἢ διὰ φλέγμα συῤῥυὲν ἐνταῦθα λειποθυμίαν γινομένην. ἔνιοι δὲ τῇ τε τοῦ παντὸς σώματος μεταβολῇ κατὰ χρόαν καὶ τῇ κατὰ τοὺς σφυγμοὺς ἐτεκμαίροντο τὴν σύμμετρον ἀφαίρεσιν καὶ διὰ τοῦτο εἰς ἅπαξ ἀπαγορεύουσιν ἢ χρῆσθαι δαψιλεῖ τῇ κενώσει, βέλτιον εἶναι τοῖς ἐπιγινομένοις τεκμηραμένους πρότερον οὕτως ἐπὶ τὴν τοῦ λυποῦντος ἔρχεσθαι κένωσιν. ἄλλοι δέ τινες ἐτόλμησαν ἤδη τι καὶ μέτρον ὁρίζειν οἷον ἤτοι δύο κοτύλας Ἀττικὰς εἶναι τὴν σύμμετρον ἀφαίρεσιν ἢ βραχὺ πλείω ἢ ἔλασσον, ὡς ἐκ τοῦ

nonnulli medici ſignis vacuationis quantitatem deſiniunt, ut ſi aut color aut robur aut ſanguinis fluxus mutetur aut in imbecillitatem pulſus prolabantur, aut aliqui ſudores ipſo detractionis tempore ſuboriantur, et ea quae Hippocrates labores vocat et vehementiores vomitus et immoderatiores alvi dejectiones. Alter adusque animi defectum evacuationem ducendam aſſerit, quum quid in ea dum ſit pro evacuationis portione oboriatur, non ab humore in ventriculi orificium fluente. Multoties enim ob bilem aut pituitam illuc confluentem animi defectionem fieri manifeſte conſpicimus. Quidam vero prorſus negant ſecurius eſſe, iis quae superveniunt prius conjectis eatenus ad laborantis vacuationem accedere, quam copioſa uti vacuatione. Alii quidam etiamnum auſi ſunt quandam menſuram veluti ſcilicet duabus heminis Atticis circumſcribere, eamque moderatam eſſe detractionem, aut paulo ampliorem aut parciorem cenſuerunt, quippe quum nos poſſimus ex commoderata menſura eam inve-

συμμέτρου δυνησομένων ἡμῶν εὑρίσκειν τὸ μᾶλλόν τε καὶ ἧττον ἁρμόττιον ἑκάστῳ τῶν φλεβοτομουμένων καθ' ἡλικίας καὶ φύσεις καὶ ὥρας καὶ χώρας. οὐκοῦν Ἐρασίστρατον ἀριθμὸν μέν τινα τρίψεως ὁρίζειν, ἵνα κἂν σφαλῶμεν τῆς ἀκριβοῦς συμμετρίας, οὐδεμία μεγάλη βλάβη, μετὰ δὲ μηδὲν εἰπεῖν ὅλως ἐπὶ φλεβοτομίας. ἐγὼ μὲν γὰρ εὖ οἶδα ὅτι καὶ περὶ τῶν φλεβῶν αὐτῶν τῶν τμηθησομένων ἔγραψεν ἂν οὐκ ὀλίγα καὶ μάλισθ' ὅτι πολλάκις Ἱπποκράτης αὐτῶν ἐμνημόνευσεν. ἐνίοτε μὲν κατὰ ἰγνὺν ἢ παρὰ σφυρὸν, ἐνίοτε δὲ τὴν ὀρθίαν ἐν τῷ μετώπῳ καὶ αὖθις τὴν ἐπὶ τῇ γλώττῃ. περὶ μὲν γὰρ τῶν κατ' ἀγκῶνα τί δεῖ καὶ λέγειν ὡς οὐκ ἂν ἐσιώπησεν ὁ Ἐρασίστρατος, εἴτε χρὴ πάσας ἐπὶ πᾶσι τέμνεσθαι νοσήμασι, εἴθ', ὡς Ἱπποκράτης ἐκέλευεν, ἄλλην ἐπ' ἄλλων; τοῦ γὰρ οὕτως ἐπιμελῶς γράφοντος πάντα καὶ τοῦτο ἦν ἔργον οἰκεῖον ὁρίσαι μέν τι μέτρον ἐν τηλικούτῳ βοηθήματι, προσγράψαι δ' ἣν ἔχει γνώμην ὑπὲρ τῶν φλεβῶν, ὥσπερ οἱ ἄλλοι πεποιήκασιν ἰατροὶ, τινὲς μὲν οὐδὲν δια[417]φέρειν φάσκον-

nire, quae fingulis quibus venae fecanda eft pro aetatum, naturarum, tempeftatum et regionum ratione magis ac minus congruat. Proinde Erafiftratus certum frictionum numerum definit, quo etiamfi ab exquifita commoderatione aberremus, nulla noxa fubfequatur, interea de venae fectione nihil prorfus loquitur. Ego fiquidem certo fcio ipfum et de venis ipfis incidendis non pauca fcripfiffe, earumque maxime Hippocratem faepe meminiffe, interdum ejus quae infra poplitem propeque malleolum eft, interdum et illius quae in fronte recta eft, earumque praeterea quae fub lingua jacent. De venis enim cubiti quid quoque dicendum eft, ut quod non conticuiffet Erafiftratus, utrum omnes in omnibus morbis fecandae funt, an, quemadmodum imperavit Hippocrates, aliae in aliis? Ejus enim ita accurate fcribentis univerfa id munus proprium fuerat quandam menfuram in tanto praefidio definire, ac quam de venis haberet fententiam, quemadmodum caeteri medici factitarunt, afcribere. Quidam nihil intereffe dicebant quamcunque venam quis fecare vo-

τες ὁποίαν ἄν τις ἐθέλοι τέμνειν φλέβα· κενοῦσθαι γὰρ ἐξ ἑκάστης αὐτῶν ὁμοτίμως τὸ πᾶν· τινὲς δὲ πάμπολλα ἡγούμενοι καὶ παρὰ τοῦτο γίνεσθαι διαφοράν. ἐνίας μὲν γὰρ αὐτῶν θᾶττον, ἐνίας δὲ ἐν χρόνῳ πλείονι τὸ πεπονθὸς μέρος ἐκκενοῦν. ὁ τοίνυν μήτε τούτων τι γράψας μήτε τοῦ μέτρου τῆς φλεβοτομίας ὁρίσας τοὺς σκοποὺς, εὔδηλον διὰ τοῦτο παραλελοιπὼς ἅπαντας τούσδε τοὺς λόγους ὅτι μηδ᾽ ὅλως ἐχρῆτο τῷ βοηθήματι. ὥσπερ γὰρ ὁ μηδέποτε χρώμενος ἐπ᾽ ἀῤῥώστου καταπλάσμασι γράφειν οὐ δύναται τὰς διαφορὰς αὐτῶν ἢ τὰς σκευασίας ἢ τὸν καιρὸν ἢ τὸν τρόπον τῆς χρήσεως, ἀναγκαῖον δ᾽ εἶναι τοῖς χρωμένοις, ὥσπερ Ἐρασίστρατος ἐχρῆτο, καὶ περὶ τούτων ἑκάστου διορίσαι, κατὰ τὸν αὐτὸν τρόπον ὅσοι μὲν μηδ᾽ ὅλως χρῶνται φλεβοτομίᾳ, καιρὸν καὶ τρόπον χρήσεως καὶ σκοποὺς τοῦ μέτρου γράφειν οὐ δύνανται. τοῖς χρωμένοις δ᾽ ἀναγκαῖόν ἐστι καὶ περὶ τούτων διορίσασθαι καὶ πολὺ μᾶλλον ὑπὲρ τῆς φλεβῶν διαφορᾶς, εἰ καὶ μηδὲν ἄλλο, τὸ γοῦν τοσοῦτον ὡς οὐδὲν δια-

luerit: ex earum enim unaquaque univerfum aequaliter vacuari profitebantur. Nonnulli plurimam ac in ea re contingere diverfitatem arbitrabantur. Nam ipfarum aliquas celerius, nonnullas longiori tempore partem affectam evacuare afferebant. Qui igitur nihil eorum fcripferit neque menfurae detractionis fanguinis fcopos definierit, perfpicuum eft eum univerfas has rationes ideo praetermififfe, quod hoc praefidio nunquam fit ufus. Quemadmodum enim qui nunquam in aegroto cataplafmatis ufus eft, is et ipforum differentias aut praeparationes aut *admovendi* occafionem aut utendi modum defcribere nequaquam poteft, ad eos vero qui illa, ut Erafiftratus ufus eft, ufurparunt de horum fingulis differere pertinet: eodem pacto quicunque venae fectione penitus non utuntur, occafionem et utendi modum et menfurae fcopos fcribere nequeunt. Verum qui illa utuntur, eos in primis ac de his multoque magis de venarum differentia diftincte tractare operae pretium eft, etfi nihil aliud faltem tanti momenti, ut nihil interfit hanc ante aliam fe-

Ed. Chart. X. [417.] Ed. Baf. IV. (12.)

φέρει τήνδε πρὸ τῆσδε τέμνειν, ὁμοίως ἁπασῶν ἐκκενοῦν δυναμένων τὰ φλεγμαίνοντα μόρια.

Κεφ. έ. Τὸ δὲ μήτε τούτων τι γράψαι καὶ τὴν χρείαν ὅλην ἀνελεῖν τοῦ βοηθήματος, ἐπὶ δὲ πάθους ὃ μάλιστα χρήζειν αὐτοῦ πεπίστευται, πῶς οὐκ ἄν τις ἐναργὲς εἶναι φαίη γνώρισμα τοῦ μηδέποτε Ἐρασίστρατον κεχρῆσθαι τῷ βοηθήματι; τί γὰρ οὖν δύσκολον, ἡνίκα ἔγραφεν ἐν τῇ τῶν πυρετῶν θεραπείᾳ κατὰ λέξιν ὧδε· περὶ μὲν οὖν τὰς ἀρχὰς τῶν ἀῤῥωστιῶν καὶ τὰς τῶν φλεγμονῶν γενέσεις ἀφαιρετέον ἂν εἴη πᾶσαν προσφορὰν ῥοφημάτων τε καὶ σιτίων, ἐνταῦθα προσγράψαι, χρηστέον δὲ φλεβοτομίᾳ; ὥσθ᾽ ὅλην αὐτοῦ τὴν ῥῆσιν γενέσθαι τοιάνδε· περὶ μὲν τὰς ἀρχὰς τῶν ἀῤῥωστιῶν καὶ τὰς τῶν φλεγμονῶν γενέσεις ἀφαιρετέον ἂν εἴη πᾶσαν προσφορὰν ῥοφημάτων τε καὶ σιτίων, χρηστέον δὲ φλεβοτομίᾳ. γίνονται γὰρ ὡς τὸ πολὺ αἱ τοὺς πυρετοὺς ποιοῦσαι φλεγμοναὶ διὰ πληθώραν. διδομένων οὖν ἐν τοῖς τοιούτοις καιροῖς προσφορῶν καὶ τῆς πέψεώς τε καὶ ἀναδόσεως τὰς κατ᾽ αὐτὰς ἐνεργείας ἀποδιδουσῶν, πληρουμένων τε τῶν ἀγγείων

care, quum cunctae inflammatas partes peraeque evacuare possint.

Cap. V. At nihil quicquam eorum *quae dicta sunt* scribere, ac usum omnem auxilii tollere eo in affectu qui *praesidium* illud potissimum efflagitare creditus est, qua ratione quis conspicuo exemplo esse non dicere Erasistratum hoc auxilio nunquam usum fuisse? Quid enim difficultatis erat, quum in febrium curatione hisce verbis ita scriberet: *Itaque per initia morborum ac inflammationum generationes omne sorbitionum ciborumque ferculum auferendum est*, si hic ascripsisset, utendum vero venae sectione, quo totius ejus orationis series esset ejusmodi: *Per morborum initia et inflammationum generationes omnis sorbitionum ciborumque oblatio auferenda, venaeque sectio celebranda est. Inflammationes enim febrium procreatrices plerumque ex repletione fiunt. Si ergo in hujusmodi temporibus exhibeantur fercula, eaque tum concoctio tum distributio pro suis actionibus deferant et vasa nutrimento impleantur,*

τῆς τροφῆς, ἔτι γε πλείστας τε καὶ ἰσχυρὰς συμβήσεται τὰς φλεγμονὰς γίνεσθαι. βέλτιον οὖν μήτε διδόναι σιτία καὶ τέμνειν φλέβα. τοιαύτη μὲν ἂν ἡ ῥῆσις ἐγένετο, βουληθέντος αὐτοῦ ὥσπερ ταῖς ἀσιτίαις, οὕτω καὶ τῇ φλεβοτομίᾳ χρῆσθαι. μὴ προσγράψαντος δὲ πῶς ἄν τις πιστεύσειε ἐπαινεῖν τὸν ἄνδρα τὴν χρῆσιν τοῦ βοηθήματος; ὅτε δὲ μηδ' ἐν ἄλλῃ τινὶ πραγματείᾳ θεραπευτικῇ φαίνεται τοῦτο ποιεῖν, ἔτι καὶ μᾶλλον ἄν τις πιστεύσειεν ὑπὸ τῆς γνώμης αὐτοῦ. τίς γὰρ ἂν δύναιτο πεισθῆναι τὸν μακρολογώτατον Ἐρασίστρατον ὀκνῆσαι προσθεῖναι συλλαβὰς ἤτοι δ' ἢ ε' κἂν ἅπαξ που τῶν γεγραμμένων αὐτῶν πραγματειῶν; ἐγὼ μὲν οὖν εἰ καὶ μηδὲν ἐσώζετο Ἐρασιστράτου βιβλίον, ἀλλ' ἤδη πάντα ἀπολώλει, καθάπερ τὰ Χρυσίππου κινδυνεύει παθεῖν, τοῦτο τοῖς μαθηταῖς ἂν αὐτοῦ μᾶλλον ἐπίστευσα περὶ τοῦ διδασκάλου λέγουσιν ἢ τοῖς μήτ' [418] Ἐρασίστρατον αὐτὸν ἰδοῦσι, ποτὲ μήτε μαθητὴν αὐτοῦ, μήτε τῶν ὡς ἐκείνου φοιτησάντων ἢ τῶν τούτοις συγγενομένων. ἀλλὰ μετὰ τοσαύτας ἐτῶν γενεὰς

etiamnum maximas ac vehementes inflammationes fieri continget. Melius itaque fuerit cibaria non exhibere et venam fecare. Talis equidem effet textus feries, fi ille ut inediis, ita et venae fectione uti voluiffet; verum quum id fcriptis non addiderit, quomodo quis virum crediderit ejus remedii ufum laudaffe? Quum vero neque in alio quodam opere methodi medendi hoc feciffe appareat, rurfumque magis aliquis ab ipfius fententia fidem recipiet. Quis enim credere poffet prolixae orationis *virum* Erafiftratum neglexiffe vel femel fuis quae fcripfit operibus quatuor aut quinque fyllabas addere? Ego itaque etiamfi nullus Erafiftrati liber fupereffet, fed jam omnes jacturam fubiiffent, qualem propemodum fubire periclitantur Chryfippi *libri,* in ea re *tamen* difcipulis illius magis crediderim in praeceptoris verba jurantibus quam iis qui neque Erafiftratum ipfum unquam viderunt, nullumque ejus difcipulum, ne etiam ex iis qui difcendi gratia ad illum accederent, aut qui cum his commercium haberent, fed poft tot annorum fecula audacter ea pronunciant

Ed. Chart. X. [418.] Ed. Baſ. IV. (12.)

ἀποφαινομένων τολμηρῶς ὑπὲρ ὧν οὔτ᾽ εἶδον οὔτε ἰδόντος τινὸς ἤκουσαν οὔτε ἀνέγνωσαν Ἐρασίστρατον γράψαντα οὐδ᾽ ἄχρι τεττάρων ἢ πέντε συλλαβῶν, ὡς ἔφην. τὸ μὲν γὰρ τεμεῖν φλέβα δ΄ συλλαβῶν, φλεβοτομία δὲ αὕτη ε΄. τὸ δ᾽ εἰς τὴν ῥῆσιν αὐτοῦ παραγραφὲν ὀλίγον ἔμπροσθεν ὑπ᾽ ἐμοῦ, τὸ, χρηστέον δὲ φλεβοτομίᾳ, διὰ θ΄ λέγεται συλλαβῶν. παυσάσθωσαν οὖν ἤδη λωβώμενοι τοῖς γε μανθάνουσι τὴν τέχνην καὶ τοῖς νοσοῦσιν αὐτοῖς οἱ λέγοντες Ἐρασίστρατον κεχρῆσθαι μὲν τῇ φλεβοτομίᾳ, λόγον δ᾽ οὐδένα πεποιῆσθαι περὶ αὐτῆς, ὡς παραδήλου πᾶσιν οὔσης μᾶλλον ἢ τῆς τῶν καταπλασμάτων τε καὶ λαχάνων ἑψήσεως. εἰ γὰρ διὰ τοῦτο φλεβοτομήσουσιν οἱ μανθάνοντες τὴν τέχνην, διότι καθάπερ ἐν ταῖς ἀσιτίαις αἱ φλέβες κενούμεναι λύουσι τὰς φλεγμονὰς, οὕτω καὶ αἱ φλεβοτομίαι πάντας ἑξῆς φλεβοτομήσουσιν ὅσους Ἐρασίστρατος ἀσιτεῖν κελεύει. καὶ τοῦτο μὲν ἔτι σμικρόν.

Κεφ. στ΄. Τὸ δὲ μήτε περὶ τοῦ μέτρου φλεβοτομίας μήτε περὶ τῶν τμηθησομένων φλεβῶν ἀκούσαντάς τι τοὺς

quae neque ipſi noverunt neque ab aliquo qui noverit audiverunt, neque Eraſiſtratum adusque quatuor vel quinque ſyllabas, ut protuli, ſcripſiſſe animadverterunt. Nam *τέμνειν φλέβα*, *venam ſecare*, quatuor ſyllabis *exprimitur*: ipſa vero venae ſectio quinque. Quod autem paucillum a me prius ejus contextui additum eſt, puta, *utendum vero phlebotomia*, novem ſyllabis effertur. Jam ergo ſileant illi qui tum artem diſcentibus tum aegrotis ipſis illudunt, quum Eraſiſtratum venae ſectione uſum fuiſſe proferunt, ſed nullum de ea ſermonem feciſſe, quod illa cataplaſmatum olerumque decoctionis *confectione* multo evidentior eſſet. Si namque artis candidati ob id venam ſecare velint, quod quemadmodum venae per inedias evacuatae inflammationes ſolvant, ita venae ſectiones cunctos deinceps quos Eraſiſtratus inediam ferre jubet ſanguinis detractione curabunt. Atque hoc etiamnum pauxillum eſt.

Cap. VI. Adoleſcentes autem, qui neque de venae ſectionis menſura, neque de venis ſecandis quicquam audi-

νέους ἐπὶ (13) βοηθήματος παραγίνεσθαι, μεγίστην οἴσει βλάβην τοῖς κάμνουσιν, ὥσπερ ἔφην εὐθὺς κατ᾽ ἀρχάς. ἄμεινον οὖν αὐτοῖς μηδ᾽ ὅλως ἐπιχειρεῖν φλεβοτομεῖν ἢ χωρὶς τοῦ διορισθέντος περὶ τῶν εἰρημένων ἐπὶ βοήθημα παραγίνεσθαι. πλείονες γὰρ οὕτως ἀπώλλοντο τῶν ἔμπροσθεν εἴτ᾽ ἀπολλυμένων διὰ τοὺς μὴ φλεβοτομοῦντας. οἱ μέν γε τότε πρεσβῦται μηδ᾽ ὅλως φλεβοτομοῦντες ἄλλοις ἐχρῶντο κενωτικοῖς βοηθήμασι ἐν μακροτέρῳ χρόνῳ ταυτὸν τῇ φλεβοτομίᾳ δυναμένοις ἐργάζεσθαι, πλὴν εἴ που διὰ τὸ κύριον τοῦ πάσχοντος μέρος ἢ τὴν τοῦ πλήθους ὑπερβολὴν ἔφθασεν ἀποθανεῖν ὁ κάμνων. οἱ δὲ νῦν οἰόμενοι δεῖσθαι πᾶσαν ἀρχὴν πυρετοῦ φλεβοτομίας οὐ σμικρὰ λυμαίνονται τοῖς νοσοῦσιν. οὕτως γὰρ πεπείκασιν ἑαυτοὺς περὶ τοῦ βοηθήματος, ὡς εἰ καὶ πρὸς Ἐρασιστράτου ἐγέγραπτο καθ᾽ ὃν ἐγὼ μικρὸν ἔμπροσθεν ἐδήλωσα τρόπον, ἐνθεὶς αὐτὰς τῇ ῥήσει τὰς θ′ συλλαβὰς ὡς γενέσθαι τὴν λέξιν τοιαύτην, ἄνωθεν γὰρ αὐτῆς ἄμεινον μνημονεῦσαι. περὶ μὲν οὖν τὰς ἀρχὰς τῶν ἀῤῥωστῶν καὶ τὰς τῶν φλεγμονῶν γενέσεις ἀφαιρετέον ἂν εἴη πᾶσαν προσφορὰν ῥοφη-

verint, ad hoc auxilium accedere, maximam *id* aegrotantibus laefionem adferret, qaemadmodum retuli ftatim per initia. Praeftiterit igitur ipfos neque prorfus venae fectionem aggredi quam citra rerum dictarum diftinctionem ad auxilium fefe accingere. Plures enim ea ratione praecedenti ita perierunt quam propter eos qui venas non fecant pereunt. Nam *medici* feniores venas nequaquam fecantes, aliis evacuatoriis remediis utebantur, quae longiori tempore idem ac venae fectio efficere poterant, nifi ob affectam principem laborantis partem aut plenitudinis exuperantiam mors aegrotum praeoccuparet. Sed qui nunc omne febris principium venae fectione indigere putant, aegrotos non parum laedunt. Sic enim fibi ipfis de hoc auxilio perfuaferunt, ac fi ab Erafiftrato fcriptum effet, fecundum quem ego paulo ante additis ipfis orationi novem fyllabis modum declaravi, quo fententia talis fieret: nam hujus ab initio meminiffe fatius fuerit. Itaque circa morborum principia et inflammationum generationes omnis forbitionum ciborumque oblatio auferenda

μάτων τε καὶ σιτίων. χρηστέον δὲ φλεβοτομίᾳ. τοιαύτην γὰρ οἱ νῦν εἶναι βούλονται τὴν Ἐρασιστράτου γνώμην οὐκ ἐπ᾽ ἀγαθῷ τῶν καμνόντων, ἑτέρων μὲν ὑπαρχόντων καιρῶν καὶ σκοπῶν ἀσιτίας, ἑτέρων δὲ φλεβοτομίας, οὓς ἐγὼ κατὰ τήνδε τὴν πραγματείαν ἐρῶ πάντας ἐν τῇ προσήκῃ τάξει. νυνὶ μὲν γὰρ ὥσπερ εἰ τοῖς πρεσβύταις ἔμπροσθεν πεπεισμένοι κενῆς ὑπήρξαντο παλινῳδίας, οὕτω κἀμοὶ παλινῳδητέον ἐστὶ ἐπενεκτέον τε καὶ τοὺς νῦν ἀλόγως φλεβοτομοῦντας ἐπὶ τὸ μηδ᾽ ὅλως φλεβοτομεῖν. ὡς γὰρ ὁ Πλάτων ἔλεγεν, ἧττον εἰκός ἐστι σφάλλεσθαι τοὺς μηδ᾽ ὅλως ἐγχειροῦντας οἷς οὐκ ἴσασιν τῶν πραττόντων ἃ μὴ γινώσκουσιν, ὅπερ οἱ νῦν ποιοῦσιν ἀναπεπεικότες ἑαυτοὺς, οὕτω γὰρ ῥᾷστον εὑρεῖν πρῶτον μὲν οὓς χρὴ φλεβοτομεῖν, εἶθ᾽ [419] ἕκαστον τῶν ἄλλων. ὧν ἐν ἅπαντι νοσήματι κατὰ τὴν ἀρχὴν ὡς ἀσιτίαν, οὕτω καὶ φλεβοτομίαν παραλαμβάνουσι. μᾶλλον δ᾽, εἰ χρὴ τἀληθὲς εἰπεῖν, ὑπηλλάχασι τὴν Ἐρασιστράτου γνώμην. φλεβοτομοῦσι γὰρ καὶ τρέφουσιν εὐθέως τοὺς φλεβοτομηθέντας, ἐκείνου τὸ φλεβοτομεῖν ἀπαγορεύοντος, τὸ δὲ μὴ τρέφειν συμβουλεύοντος.

eſt, utendum vero venae ſectione. Talem enim Eraſiſtrati ſententiam non ad aegrotantium ſalutem eſſe volunt, quum alia quidem tempora ſcopique ſint inediae, alia quoque venae ſectioni, quae ego omnia in praeſenti tractatu decenti ordine explicabo. Nunc etenim quemadmodum ſi illi a ſenioribus ante perſuaſi novam auſpicarentur palinodiam: ſic mihi quoque propoſitum immutandum eſt, inducendumque eos, qui temere venas ſecant, venas omnino non incidere. Nam ut Plato eloquitur, minus eos aberrare conſentaneum eſt, qui quae non norunt, ea non aggrediuntur, quam qui moliuntur quae non agnoſcunt, quod et nunc illi faciunt, ſibi ipſis perſuadentes quod ita facilius ſit invenire primum eos quibus vena ſecanda eſt, deinde unumquodque caeterorum, quibus in omni morbo per initia ut inediam, ſic venae ſectionem uſurpant, magis autem, ſi veritas aſſerenda ſit, Eraſiſtrati ſententiam ſubvertunt. Nam et venas ſecant et extemplo quibus vena ſecta eſt, cibos exhibent, quin ille et venas ſecare prohibeat et haud nutrire conſulat. Quum au-

ἐπεὶ τοίνυν τὴν ἀλήθειαν οὗτοι τιμῶσιν, οὐκ Ἐρασίστρατον, ἐπιδεικτέον αὐτοῖς ἐστὶν ὡς ὁ γεγραμμένος ὑπ' αὐτοῦ λόγος ἐν τῷ περὶ αἵματος ἀναγωγῆς οὐκ ἔστιν ἴδιος ἐκείνου τοῦ πάθους, ἀλλὰ κοινὸς ἁπάσης φλεγμονῆς. ἔχει γοῦν ἡ ῥῆσις οὕτως· ἐχόμενος γὰρ τούτων περὶ τὴν ἀναγωγὴν ἢ περὶ τὴν φλεγμονὴν κίνδυνος, ἐν ᾧ προσφέρειν μὲν οὐ ῥάδιον, φλεβοτομηθέντι δὲ καὶ πολὺν χρόνον ἀσιτήσαντι κίνδυνος ἐκλυθῆναι. οὕτως ὁ λόγος ἔχει πτύουσιν αἷμα. διὰ τοῦτο κωλύει φλεβοτομεῖσθαι τοὺς κάμνοντας. ἀλλ' ὅτι φλεγμονὴν ὑπείληφεν αὐτὸς ἀκολουθήσειν, ἐν ᾗ φησὶ προσφέρειν μὲν οὐ ῥάδιον, ὅπερ ἐστὶν διδόναι σιτία, φλεβοτομηθέντι δὲ καὶ πολὺν χρόνον ἀσιτήσαντι κίνδυνος καταλυθῆναι τὴν δύναμιν. οὐδὲ ἐνταῦθ' ἴδιον αἵματος ἀναγωγῆς ἐστι, δι' ὃ φυλάξαιτ' ἄν τις τὴν φλεβοτομίαν, ἀλλὰ ἄμφω κοινὰ καὶ πρὸς τοὺς πυρετοὺς, τό τε μὴ δοῦναι σιτία διὰ τὰς φλεγμονὰς, τό τε τοῦτο πραττόντων ἐπὶ φλεβοτομίας κίνδυνος καταλυθῆναι τὴν δύναμιν. εἰ δὲ προσέχοις τὸν νοῦν ἐπιμελέστερον, ὁ πρὸς Ἐρασιτράτου

tem hi veritatem, non Eraſiſtratum amplectantur, ipſis demonſtrandum eſt ſcriptum ab eo ſermonem in tractatu de ſanguinis rejectione non eſſe illi affectioni proprium, ſed omni phlegmonae communem. Sic autem ſe habet ſermo. *Nam his imminet in ſanguinis rejectione, quod in phlegmone periculum in quo offerre non facile eſt. A venae vero ſectione inediam longo tempore toleranti, ne virtus ejus exolvatur, periculum imminet.* Sic ille de iis qui ſanguinem vomunt verba facit et ea de cauſa eis venam ſecare prohibet. Caeterum, quod ipſe inflammationem ſubſequi ſuſpicatus ſit, dum ait: offerre non facile eſt, hoc eſt dare cibaria: et a venae ſectione inediam longo tempore toleranti, ne virtus ejus exolvatur periculum imminet unicuique in conſpicuo eſt. Neque enim illic ad ſanguinis rejectionem quicquam proprie ſpectat, quo quis a venae ſectione abſterreri poſſit: verum utraque haec, hoc eſt neque propter inflammationes cibos dare, atque id tempore venae ſectionis facitantibus, periculum de reſolutione virium imminere, cum febribus quoque communia ſunt. Porro ſi diligentius animum

Ed. Chart. X. [419.] Ed. Baf. IV. (15.)

λόγος εἰρημένος ἀπαγορεύειν σοι δόξει τὴν φλεβοτομίαν ἐπὶ τῶν πυρεττόντων μᾶλλον ἢ τῶν αἷμα πτυόντων. ἐν ἀρχῇ μὲν γὰρ τῆς ἀναγωγῆς τοῦ αἵματος οὐδέποτε φλεγμαίνει τὸ ἐῤῥωγὸς ἀγγεῖον. αἱ δὲ ἀρχαὶ τῶν πυρετῶν ἐξ ἀνάγκης ἔχουσι κατὰ τὸν Ἐρασίστρατον ἀρχὴν φλεγμονῆς. εἴπερ οὖν, ὡς αὐτὸς ἐκεῖνος βούλεται, τοῖς ἐναργῶς φαινομένοις χρηστέον ἐστὶ εἰς τὴν τῶν ἀδήλων πίστιν, ὁρᾷ πολλὰ τῶν τραυμάτων κολληθῆναι φθάνοντα, πρὶν φλεβοτομηθῆναι. δυνατὸν οὖν ἐστὶ καὶ τὴν ἐῤῥωγυῖαν φλέβα μηδ᾽ ὅλως φλεγμῆναι φθασάντων ἡμῶν, τἄλλα πρᾶξαι προσηκόντως, ἐκκενῶσαί τε τοῦ μέλλοντος ἐργάζεσθαι τὴν φλεγμονὴν αἵματος, ὁπόσον ἂν βουληθῶμεν. εἴπερ οὖν ἐν ᾧ χρόνῳ φλεγμαίνει τὰ φλεγμαίνοντά φησιν Ἐρασίστρατος ἀναγκαῖον εἶναι τὰς ἀσιτίας παραλαμβάνεσθαι καὶ διὰ τοῦτο φοβεῖται προκαταλῦσαι τὴν δύναμιν τῇ φλεβοτομίᾳ, πολὺ μᾶλλον αὐτὴν ἐπὶ τῶν πυρεσσόντων εὐλαβεῖσθαι προσήκει τῶν ἀναγόντων αἷμα. τούτων μὲν γὰρ ἐγχωρεῖ πρὸ τοῦ φλεγμῆναι συμφῦναι τὴν ἐῤῥωγυῖαν φλέβα, καὶ μᾶλλον ὅταν

adverteris, reperies Erafiftrati fermonem hunc venae fectionem in febricantibus multo magis quam fanguinem fpuentibus detrectare: a principio enim dum fanguis rejicitur, haudquaquam vas ruptum inflammatione corripitur: at febrium initia vel Erafiftrato tefte neceffario inflammationis principium habent. Proinde fi ad corroborandam rerum incertarum fidem iis quae manifeftae apparent utendum eft, vidi ego plurima vulnera, quae priusquam aegris vena fecaretur, coalefcebant. Fieri ergo nihilo fecius poteft, quod vas ruptum nullo pacto inflammetur, dummodo nos caetera rite adminiftraverimus, fanguinisque quantum nobis vifum fuerit in tempore evacuaverimus. Praeterea fi Erafiftratus dicit, quod neceffarium fit tempore, quo affectae partes inflammatione corripiuntur, inedias fuftinere, ideoque virtutem venae fectione antea diffolvere veretur, multo magis ab ipfa in febricitantibus quam in fanguinem rejicientibus nobis cavendum eft. His etenim venam ruptam priusquam inflammatur coalefcere poffibile eft et multo magis fi evacuati

κενωθῶσι. τοῖς πυρέσσουσι δ᾽ ἀναγκαῖόν ἐστι φλεγμαίνειν ἤδη τι μόριον. ὅτι δὲ ἐγχωρεῖ συμφῦναι τὸ ἀγγεῖον ἄνευ τοῦ φλεγμῆναι πάρεστι μέν τινι κἀπὶ τῶν ἄλλων ἁπάντων τραυμάτων πεισθῆναι. πολλάκις οἴδαμεν ἐπὶ τῶν μονομαχούντων ὅλον ἀναπτυγέντα μηρὸν ἢ βραχίονα κολληθέντα πρὶν φλεγμῆναι, καὶ μᾶλλόν γε ὅτε, ὡς Ἱπποκράτης ἔφη, δαψιλὲς αἷμα παραχρῆμα συμβῇ ῥυῆναι. πολλάκις δὲ καὶ σύντρησιν εἰς τὰ κενὰ καλούμενα τοῦ θώρακος ἐντὸς τῆς τρίτης ἡμέρας ἐθεασάμεθα κολληθεῖσαν. ἀλλὰ καὶ πρώην τις ἐν παλαίστρᾳ πληγεὶς σφοδρῶς ἀνέβηξεν αἵματος αὐτίκα κοτύλας ὡς δύο, φλεβοτομηθεὶς δὲ παραχρῆμα καὶ τῶν ἄλλων ὡς ἐχρῆν γενομένων, οὔτε ἔβηξεν ἔτι τελέως καὶ ὑγιής ἐστι, κἀκ τούτων [420] οἶμαί τινα συνορᾷν ὡς ἐπὶ τῶν ἤδη φλεγμαίνειν ἠργμένων ἀπέχεσθαι χρὴ μᾶλλον, εἴ τις Ἐρασιστράτῳ πείθοιτο φλεβοτομίας, ἤπερ ἐφ᾽ ὧν οὐδέπω φλεγμαίνει.

fuerint: febricitantibus autem partem aliquam jam inflammari necesse est. Caeterum quod possibile sit vas sine inflammatione conglutinari, id alicui etiam ex reliquis vulneribus credibile apparebit. Frequenter enim vidimus, quum quibusdam singulari certamine pugnantibus integrum crus brachiumve abscissum esset, coaluisse tamen vulnus antequam inflammatio oboriretur: quod quidem multo magis continget, si, ut Hippocrates ait, sanguis copiosus illico fluxerit. Saepius etiam foramen in cavas thoracis partes illatum in tribus diebus conglutinatum conspeximus. Quin etiam nuper in palaestra aliquis insigni plaga accepta, extemplo vehementer tussiendo duas ferme sanguinis cotylas rejecit: sed ille, quia ei statim vena secta aliaque quibus opus habebat facta fuissent, neque omnino deinceps tussivit et nunc quoque sanus incolumisque degit. Ex his itaque dispicere licet, quod siquis vel adhuc Erasistrato obtemperare velit, abstinere magis a venae sectione in iis debeat quae jam inflammari inceperint quam quae nondum inflammatione sunt correpta.

Κεφ. ζ. Δῆλον δ' οὐδὲν ἧττον τοῦδε καὶ ὅτι τὰς φλεβοτομίας ὁ Ἐρασίστρατος οὔτε σὺν ταῖς ἀσιτίαις οὔτε πρὸς αὐτῶν παραλαμβάνει. ἀλλὰ γὰρ εἰς τοσοῦτον ἥκουσι τινὲς φιλονεικίας ἢ ἀνοίας ὥσθ' ὅταν ἀκούσωσι τῶν τοιούτων λόγων, λύειν μὲν αὐτοὺς οὐδ' ὅλως ἐγχωροῦσι. ὥσπερ δὲ μηδενὸς εἰρημένου λόγων ἀρχὴν ἰδίαν ποιοῦνται τὴν λέξιν ἐκείνην μόνην προχειριζόμενοι, καθ' ἣν ὁ Ἐρασίστρατός φησιν· ἀκόλουθόν ἐστι μηδὲν προσφέρειν κατὰ τοὺς τῆς φλεγμονῆς καιρούς. κενούμεναι γὰρ αἱ φλέβες ῥᾷον παραδέξονται τὸ παρεμπεπτωκὸς αἷμα εἰς τὴν ἀρτηρίαν. τούτου δὲ συμβαίνοντος ἧττον φλεγμοναὶ ἔσονται. κἄπειτ' ἐπ' αὐτῇ λέγουσιν αὐτὸ πρόδηλον εἶναι τὴν ἐκ τῆς φλεβοτομίας χρείαν. ὅπου γὰρ καὶ αὐτὴν τὴν ἀσιτίαν ὡς κενωτικὸν βοήθημα παραλαμβάνει, πολὺ δήπου μᾶλλον, φασὶν, ἐπὶ τὴν φλεβοτομίαν ἀφίξεται, πρὸς οὓς ἐάν τις εἴπῃ δι' ὧν λέγουσιν οὐ τομίαν τὸν Ἐρασίστρατον ἐπιδεικνύειν αὐτοὺς, ἀλλὰ τὸ τῆς εἰρημένης ἐπὶ τῆς ἀσιτίας ἀκόλουθον εἶναι τῷ καὶ τῇ φλεβοτομίᾳ χρη-

Cap. VII. Praeterea ne illud quidem minus clarum eft, quod Erafiftratus venae fectionem neque cum mediis neque ante ipfas inedias unquam ufurpavit. Veruntamen nonnulli eo contentionis dementiaeque pervenerunt, ut quum fermones hos audiverint, difcutiendorum eorum nullam fane rationem inveniant: tanquam vero nihil illis objectum effet, propriam fermonum farraginem aufpicantur unam illam fententiam in ore habentes, quam Erafiftratus his verbis afferit: *Confequens etiam eft, quod circa inflammationis tempora vulneratis nihil fit offerendum: venae enim evacuatae fanguinem qui in arterias infilierit facilius fufcipient: quod ubi contigerit, inflammationes minus evenient.* Et fic illi perfuafi, quod ipfe venae fectione ufus fit, hinc aperte colligi poffe ajunt. Quo enim loco ipfam inediam veluti evacuationem praefidium ille accerfit, multo fane magis, inquiunt, ad venae fectionem fe accinget. Adverfus quos fiquis dicat, quod per ea quae allegant Erafiftratum quidem venae fectione ante inediam ufum effe non demon-

σθαι καταγελῶντες, εἶτα σὺ μὲν, φασὶ, γινώσκεις τὸ ἀκόλουθον, Ἐρασίστρατος δ' οὐκ ἐγίνωσκεν; ἀγύμναστος ἦν δηλαδὴ τὸν λογισμὸν, ὃν γεγύμνασαι σὺ μᾶλλον ἐκείνου, καὶ εἴπερ ἔζη, συνεβουλεύσαμεν ἂν αὐτῷ παρὰ σὲ φοιτᾷν, ἵν' ἐθισθῇ γινώσκειν ἀκόλουθόν τε καὶ μαχόμενον. ἔπειτ' ἐντεῦθεν ἐκτραπόμενοι συνείρουσι τοὺς ἀσελγεῖς εἰς ὕβριν τῶν προσδιαλεγομένων, οὕτω πολλοὺς ἐφεξῆς ὡς μηκέτ' ἂν ἐπιτρέπειν φθέγξασθαι μηδενὶ, καὶ τοῦτ' αὐτοῖς ἐστὶ τὸ τέλος τῆς συνουσίας. ἀλλ' ἡμῖν γε νῦν (14) οὐχ ὡς ἄν τις ἀμείψαιτο τὸν ὑπαρξάμενον λοιδορεῖσθαι ζητοῦμεν, ἀλλὰ πρῶτον μὲν εἰ Ἐρασίστρατος ἐχρήσατο φλεβοτομίᾳ, δεύτερον δὲ περὶ τῆς δυνάμεως τοῦ βοηθήματος. ἑκατέρου δ' αὐτῶν ἀποδείξεις εἰσὶν ἴδιαι· τοῦ μὲν μὴ χρῆσθαι φλεβοτομίᾳ τὸν ἄνδρα τά τε συγγράμματα αὐτοῦ καὶ τῶν μαθητῶν οἱ ἀξιοπιστόταται καὶ τοῦ Χρυσίππου διδασκαλεῖον ἅπαν, τῆς δὲ τῶν βοηθημάτων

ftrent, fed potius confequens effe oftendant, quod ipfe poftea illam ufurpaverit: ifti hunc ridentes. Tu tandem ajunt quid confequens fit cognofcis, Erafiftratus autem non cognovit? quafi vero ille ingenio exercitato non fuerit praeditus, tuque illo multo fis promptior, ac rationibus magis polleas. Si itaque volueris, illi, ut te difcendi caufa frequentet, confulemus, quo fcilicet quid ad quamque rem vel confequens vel pugnans fit cognofcere affuefcat. Atque his verbis habitis illinc difcedunt: in pofterum vero, ut collocutoribus aliquam contumeliam inurant, adjungunt fibi hominum perfrictae frontis catervam adeo copiofam, ut prae illorum clamoribus nemo loqui quicquam poffit, ejusmodique finem congreffuum ftatuunt. Sed nos impraefentiarum eum non quaerimus, qui convicia fpargenti vices referat, verum in primis quidem num Erafiftratus venae fectione aliquando fit ufus? Secundo autem, quasnam hoc auxilium vires habeat, indagamus. Atqui horum utriusque proprie habentur demonftrationes. Quod enim hunc venae fectione non fit ufus, teftantur et monimenta illius et difcipuli fide dignisfimi, Chryfippique univerfum auditorium. Caeterum de au-

δυνάμεως οὐκ ἔτι ταῦτα, προτάσεις δέ τινες ἀληθεῖς ἅμα τοῖς οἰκείοις συμπεράσμασι. εἰ δὲ ἐάσας τις ταῦτα πάντα τὴν ἀκολουθίαν μόνην ἐπισκέπτεσθαι βούλοιτο, κινδυνεύσει τὰ σαφῶς ὑπ' Ἐρασιστράτου γεγραμμένα, μηδ' ὅλως οἴεσθαι γεγράφθαι. πρόσχες γοῦν μοι τὸν νοῦν ἐντεῦθεν ἀρξάμενος, ἐν ᾧ περὶ αἵματος ἀναγωγῆς αὐτὸς ἐπαινῶν Χρύσιππον, ὡς καλῶς ἀντὶ τῆς φλεβοτομίας τοῖς διαδέσμοις τῶν κώλων [421] χρώμενον ἔγραψεν αὐτοῖς ὀνόμασι ταυτί· τὸ δὲ αὐτὸ τοῦτο βούλονται ποιεῖν καὶ φλεβοτομοῦντες τοὺς ἀνάγοντας αἷμα. ἀλλὰ πολὺ βέλτιον ὁ Χρύσιππος οὐ μόνον τὸ παρὸν ἐπιβλέπων, ἀλλὰ καὶ τοῦ ἐπιφερομένου κινδύνου φροντίζων, ἐχόμενον περὶ τὴν ἀναγωγὴν ὁ περὶ τὴν φλεγμονὴν κίνδυνος, ἐν ᾧ προσφέρειν μὲν οὐ ῥᾴδιον, φλεβοτομηθέντι δὲ καὶ πολὺν χρόνον ἀσιτήσαντι κίνδυνος ἐκλυθῆναι. οὐκ ἔτι προσέθηκεν ἐνταῦθα τὴν αἰτίαν δι' ἣν ἐν τοῖς τῆς φλεγμονῆς καιροῖς ἀσιτίαν ἀξιοῖ. λέλεκτο γὰρ αὐτῷ περὶ τοῦδε κατ' ἐκείνην τὴν ῥῆσιν ἐν ᾗ φησίν·

xilii hujus facultatibus non eadem eſt ratio: nam de his enunciata quaedam quam veriſſima, necnon et concluſiones ſelectae aſſeruntur. Praeterea ſiquis iſtis quoque poſthabitis, ſolum rerum ordinem ſequi voluerit, vel ſic ſcripta Eraſiſtrati, quia nihil tale in his proditum ſit modis omnibus periclitabitur. Reputa igitur haec in animo, praeſertim exordio illinc ſumpto, ubi ille in libro de rejectione ſanguinis Chryſippum laudibus extollens, quod loco venae ſectionis membra vinculis excipere conſueviſſet, haec ad verbum ſcripſit: *Hoc ipſum autem facere volunt ii, qui ſanguinem rejicientibus venam ſecant. At Chryſippus multo conſultius agit, ut qui non ſolum id quod inſtat prae oculis habeat, verum et impendentis periculi curam gerat: adhaeret enim his tempore rejectionis ex inflammatione periculum, in quo offerre non facile eſt, a venae autem ſectione inediam longo tempore toleranti, ne virtus illius exolvatur periculum imminet.* Atqui hic cauſam non adjecit, ob quam tempore inflammationis inediam injungat, utpote quae ab illo declarata eſt, quum in hanc ſententiam ſcriberet: *Conſe-*

ἀκόλουθον δὲ καὶ τὸ μηδὲν προσφέρειν τοῖς τετραυματισμένοις ὑπὸ τοὺς τῆς φλεγμονῆς καιρούς· στερνούμεναι γὰρ αἱ φλέβες τῆς τροφῆς ῥᾷον παραδέξονται τὸ παρεμπεπτωκὸς αἷμα εἰς τὰς ἀρτηρίας. τούτου δὲ συμβαίνοντος ἧττον αἱ φλεγμοναὶ ἔσονται. ὥστε τὴν ἀσιτίαν ἐν τοῖς τῆς φλεγμονῆς καιροῖς διὰ τοῦτο ἐπαινεῖ, διότι κενοῖ τὰς φλέβας. ἀλλὰ ἐὰν ἑνώσεις τοὺς εἰρημένους δύο λόγους, εἷς ἔσται τοιοῦτος. ὀρθῶς ὁ Χρύσιππος οὐκ ἐφλεβοτόμει τοὺς ἀνάγοντας αἷμα διὰ τὸ χρήζειν αὐτοὺς ὀλίγον ὕστερον κενωτικοῦ βοηθήματος τῆς ἀσιτίας. οὕτως δ᾽ αὐτὸς πάλιν ὁ λόγος, κἂν διὰ συντομωτέρων λεχθῇ, τοιοῦτός τις ἔσται. οὔκουν χρὴ κενοῦν τοὺς ἀνάγοντας αἷμα διὰ τὸ μικρὸν ὕστερον ἐν τοῖς τῆς φλεγμονῆς καιροῖς κενώσεως χρήζειν. ἔτι δὲ σαφέστερον οὕτως ἂν ῥηθείη. πρὸ τοῦ καιροῦ τῆς φλεγμονῆς οὐ δεῖ κενοῦσθαι τὰς φλέβας, ὅτι κενουμένων αὐτῶν αἱ φλεγμοναὶ παύονται. καὶ μὴν πρόδηλός γε ὁ λόγος οὗτος ἐναντιοῦται πρὸς ἑαυτῶν. πλὴν οὖν εἴ τις αὐτῷ

quens eſt, quod vulneratis circa inſlammationis tempora nihil ſit offerendum: venae enim evacuatae ſanguinem, qui in arterias inſilierit, facilius ſuſcipient: quod ubi contigerit, inſlammationes minus contingent. Quapropter ille inedias tempore inſlammationis ea cauſa laudat, quia illae venas evacuent, verum ſi ambas has ſententias in unum redegeris, ſermo integer talis erit: Chryſippus ſane recte fecit, qui non ſecuerit venam iis qui ſanguinem rejiciebant eo quod illi paulo poſt evacuatorio auxilio, puta inedia, indigebant. Praeterea idem iſte ſermo ſi compendioſius quoque dicatur, ejusmodi erit: Sanguinem rejicientes nequaquam ſunt evacuandi, quia paulo poſt inſlammatione ingruente evacuatione opus habebunt. Etiam vero clarius is hoc pacto explicaretur: Ante inſlammationis tempus venas evacuare non licet, ipſis quippe evacuatis inſlammationes ceſſant. At ſermo iſte evidenter ſibi ipſi repugnat, niſi ſiquis ſuppetias illi laturus duo haec temere adjiciat, quod videlicet melius ſit ut corpus per inſlammationis tempus evacuetur, non ante: quodque inedia

βοηθῶν ἱκανῶς δύο ταῦτα εἰσηγοῖτο, τό τε βέλτιον εἶναι κενοῦν τὸ σῶμα κατὰ τὸν τῆς φλεγμονῆς καιρὸν οὐ πρόσθεν, ἀσιτίαν τε μᾶλλον ἢ φλεβοτομίαν, ἀλλ' ἐᾷν. ταῦτα λέγοντα οὔτε ἀποδεδεῖχθαι τὸ προκείμενον φήσομεν οὔθ' ὁμολογούμενον ὑπάρχον ἑαυτῷ. διαφέρεται γοῦν τοὺς λόγους τὰ μέρη μὴ σώζοντα τὴν ἀκόλουθον. ἐναργῶς γὰρ φαίνεται πᾶσιν ἀνθρώποις. ὅσοι γὰρ ἔχουσιν νοῦν τε καὶ σμικρὸν ὥστε σκοπεῖν ὡς θεμένῳ, τὸ παρεμπεπτωκὸς εἰς τὰς ἀρτηρίας αἷμα διὰ τοῦ κενῶσαι τὰς φλέβας εἰς τὴν οἰκείαν ἐπανάγειν χώραν, ὅτι τάχιστα τοῦτ' εἶναι πρακτέον. ἐναργὲς δὲ καὶ ὅτι βοηθήματι κενωτικῷ χρηστέον ἐλαχίστῳ τε χρόνῳ τὴν κένωσιν ἣν ποιήσασθαι δυναμένων καὶ χωρὶς τοῦ κακῶσαι τὸ σῶμα. δέδεικται γὰρ ὀλίγον ἔμπροσθεν ὅσα βλάπτουσιν αἱ ἀσιτίαι πολλάκις τοὺς κάμνοντας. ἐξεῖναι γοῦν τινὶ λέγειν οὑτωσὶ, γελοιοτάτους ἐγὼ νομίζω τοὺς ὑπολαμβάνοντας Ἐρασίστρατον ἐπὶ τῶν ἀναγόντων αἷμα χρῆσθαι φλεβοτομίᾳ. ὅπου γὰρ ἀσιτίαν ὡς κενωτικὸν ἐπαινεῖ βοήθημα, πολὺ δήπου μᾶλλον αὐτὴν

ſit magis quam ipſa venae ſectio uſurpanda. Sed ſi haec dicat, nos hunc neque quod propoſitum fuerat demonſtraſſe, neque ſibimet conſentanea dixiſſe, reſpondebimus: in hocquo has partes diſcrepare dicemus, quod ordinem ſermonum non obſervent. Omnibus enim hominibus, qui praeſertim tantum mentis poſſident, ut conſideratione etiam pauxillum quid conſequi poſſint, perſpicuum eſt quod huic qui ſanguinem in arterias tranſilientem per evacuationem venarum ad proprium locum reducere velit, id primo quoque tempore ſit faciendum. Manifeſtum etiam eſt quod evacuatorio auxilio quam celerrime utendum ſit, ut quo et breviſſimo temporis ſpatio et ſine ulla corporis perturbatione evacuationem quamvis perficere poſſimus. Quantum enim inediae perſaepe laedant, ſuperius demonſtratum eſt. Proinde in hunc modum alicui dicere integrum erit: Arbitror equidem ridendos eſſe eos, qui Eraſiſtratum quandoque ſanguinem rejicientibus venam ſecuiſſe putant, quandaquidem ubi inediam tanquam evacuatorium praeſidium laudat, multo hercle magis ipſam

Ed. Chart. X. [421. 422.] Ed. Bas. IV. (14.)

ἐπαινέσει τὴν φλεβοτομίαν. ὅπου δὲ κατὰ τὸν τῆς φλεγμονῆς καιρὸν ἡγεῖται δεῖν ἔτι κενοῦν, εὔδηλον ὅτι μᾶλλον ἀρχομένης αὐτῆς ἢ μελλούσης ἐπαινέσει τὴν κένωσιν. οὐ γὰρ οὕτω γ᾽ ἦν ἀμαθὴς Ἐρασίστρατος, ὅτι θᾶττον πολὺ ἐκ τῶν ἀρτηριῶν εἰς τὰς φλέβας ἐπανάξει τὸ αἷμα κατὰ τὴν ἀρχὴν τῆς παρεμπτώσεως, οὔτε σφηνούμενον ἤδη σφοδρῶς, οὔτ᾽ ἐξικμασμένον ὑπὸ τῆς πυρετώδους θερμότητος, διὰ τοῦτο παχὺ γεγενημένον. ὁ ταῦτα λέγων ἆρ᾽ οὐκ εἶναι γελοῖον ἑαυτὸν [422] ἀποφαίνων οὐκ ἐκείνοις οἷς ἐγκαλεῖ. γεγραφότος γὰρ αὐτοῦ τοῦ Ἐρασιστράτου μὴ χρῆσθαι φλεβοτομίᾳ, διότι φυλάττειν ἄμεινον ἐστὶν ἐν τῷ τῆς φλεγμονῆς παραληφθήσεσθαι.

Κεφ. η΄. Ἴσχειν ἀνίατον ἢ πάντως γε δυσίατον, οἷα καὶ ταῖς αἱμοῤῥοΐσιν ἐπιγίνεται. λεγόντων δ᾽ ἡμῶν ὡς οἱ τῶν κώλων δεσμοὶ τὸ πλῆθος εἰς ἑαυτοὺς ἀγαγεῖν εἰσὶν ἱκανοὶ χωρὶς τῆς φλεβοτομίας, ἀδύνατον ἔφασκεν εἶναι γενέσθαι τοῦτο κατὰ τὰς πληθώρας, ἐφ᾽ ὧν αὐτὸς ὁ

venae sectionem laudaturus fuerit: ubi quoque inflammationis tempore evacuatione opus esse arbitratur, sub illius initium magis quam quum futura est ipsam laudaturum fuisse in confesso est. Neque etenim Erasistratus rerum adeo imperitus erat, ut non multo citius sanguinem ex arteriis in venas reduci putaret, quum neque circa insultus initium ille vehementer esset densatus, neque a calore febrili tantopere eliquatus, ut ob id crassiusculus efficeretur. Nam qui hoc ipsum assereret semet potius deridendum quam illos quos accusat exhibere: quandoquidem quum Erasistratus ipse scribat venae sectionis usum ea causa non esse usurpandum, quia inflammationis tempore longe melius sit, ut assumptionem evitemus.

Cap. VIII. Continere insanabile aut omnino curatu difficile, qualia et haemorrhoidibus accidunt. At quum nos membrorum deligaturas diceremus repletionem absque venae sectione adducere ad sese esse idoneas, ille hoc ait impossibile in plethoris esse, ob quas ipse Erasistratus brachia manusque ac

Ἐρασίστρατος ἔφη παραπίμπρασθαι βραχίονάς τε καὶ χεῖρας καὶ κνήμας, τοῦτο γάρ τοι τὸ παραπίμπρασθαι γίνεσθαι διὰ πλῆθος τοῦ αἵματος τεινομένων τῶν ἀγγείων. πῶς οὖν ἔτι δυνατὸν εἰς αὐτὰς μεταστῆσαι τὸ κατὰ βάθος, ὁπότε φαίνεται καὶ τὸ χωρὶς ἐκείνου κινδυνεύειν ἤδη ῥαγῆναι; καὶ μὴν Ἐρασίστρατον γεγράφαμεν ἐπαινεῖν Χρύσιππον, οὐ μετὰ τοῦ διωρίσθαι τὸν λόγον, ὡς νῦν ποιήσω, γράψας, ἀλλ᾽ ἁπλῶς ἀποφηνάμενος. ἔχει γὰρ ἡ λέξις ὧδε. ἀποδέσεις δὲ ποιεῖσθαι ἐρίοις παρ᾽ αὐτὰ τὰς μασχάλας καὶ τοὺς βουβῶνας. ἀποδέσεις ἔφη ποιεῖσθαι, μηδὲν ἔτι προσθεὶς τῷ λόγῳ πότερον ἐπὶ μὲν τῶν πληθωρικῶν οὐδὲν μὲν ὀνήσει τὸ βοήθημα, τοὺς δὲ ἄλλους ὠφελήσει, ἀλλ᾽ ἁπλῶς ἀποφηνάμενος ἵν᾽ ἐπὶ πάντων σκοπῶμεν. τί γὰρ, ἔφη, προσέθηκεν ἐπὶ πάντων ἀκούσωμεν οὑτωσί πως γράψας· ἀποδέσεις ποιεῖσθαι, ἐρειδέων ἐπὶ πάντων· ἀλλ᾽ ἁπλῶς εἶπεν, ἀποδέσεις ποιεῖσθαι ἐρίοις παρά τε τὰς μασχάλας καὶ τοὺς βουβῶνας, ὡς ἡμῶν δυναμένων νοεῖν ἐπ᾽ ἐκείνων εἰρῆσθαι τὸν λόγον, ἐφ᾽ ὧν ἐστι δυνατὸν εἰς τὰ

tibias aduri dixit, fierique id, quia vafa propter fanguinis multitudinem intenderentur. Qua ratione ergo in illa id quod in profundo eft delabi amplius, quum et fine illo ne ipfa rumpantur periclitari jam videntur? Atqui jam declaravimus, quod Erafiftratus Chryfippum laudaverit non appofita, ut ego nunc fcribendo faciam, aliqua fermonis diftinctione, verum abfolute fententiam fuam prodens. Oratio namque fic habet: Deligationes vero laneis vinculis circa alas ipfas ac inguina faciendae. Deligationes enim, inquit, faciendae, neque interim utrum hoc auxilium plethoricis folis nihil commodi afferat, aliisque e diverfo emolumento fit futurum fermoni addidit, fed fimpliciter pronunciavit, quo de omnibus dictum iftud intelligamus. Atqui, ajebat ille, fi de omnibus id intelligendum effet, ipfemet iftud declaraffet in hunc modum fcribens: Deligationes in omnibus faciendae, verum fimpliciter protulit, Deligationes laneis vinculis circa alas inguinaque faciendae, eo quod nos ipfi fufpicari poffemus orationem hanc de illis tantum habitam effe, in quibus ad membra fanguinem transferri poffibile eft: nam in quibus id fieri nequit,

κῶλα μεταχθῆναι τοῦ αἵματος. ὡς ἐφ᾽ ὧν ἀδύνατον, οὐδὲ ἐπιχειρητέον ἐστὶ τοῖς τῶν κώλων δεσμοῖς. τί δή ποτ᾽ οὖν, ἔφαμεν, οὐκ αὐτὸ τοῦτο ἔγραψεν ὁ Ἐρασίστρατος ὡς σὺ νῦν εἶπες; ὡς ἐπὶ μὲν τῶν οὕτω πληθωρικῶν, ἐν οἷς παραπίμπρανται βραχίονές τε καὶ κνήμαις καὶ πήχεις, αἵματος ἀφαιρεῖν προσήκει, τῶν δ᾽ ἄλλων διαδεῖν τὰ κῶλα; ὅτι, ἔφην, ἀνθρώποις ἔγραψεν οὐ κοινοῖς δυναμένοις τὰ ἀκόλουθα γνῶναι καὶ πρᾶξαι ταῦτα, καὶ μηδὲ ἐπιχειρεῖν ὅλως ἀδυνάτοις. μὴ δεῖν κελεύεις οὖν ἡμᾶς, ἔφαμεν, ὅταν μέν ποτε πληθωρικὴ διάθεσις ᾖ κατὰ τὸ σῶμα, κἂν Ἐρασίστρατος μὴ γράψῃ φλεβοτομίαν. ἐναργὲς γάρ ἐστι τοῦτο καὶ φαίνεσθαι σαφῶς ἅπασι καὶ διὰ τοῦτο μηδ᾽ ὑπ᾽ Ἐρασιστράτου γεγράφθαι, τὰς ἄλλας διαθέσεις (15) ὅσαι χωρὶς πληθώρας εἰσὶν Ἐρασίστρατος ἔγραψεν ἰᾶσθαι. τὸν δὲ πνεύσαντα πρὸς ταῦτα πρώτης μὲν ἐπακοῦσαι τῆς ἐκ τοῦ τρίτου περὶ πυρετῶν ἠξίωσα ῥήσεως. ἐφεξῆς δὲ καὶ τῆς ἐκ τοῦ προτέρου τῶν ὑγιεινῶν. ἔστι δὲ ἡμῖν ἐκ τοῦ τρίτου τῶν πυρετῶν ἥδε· περὶ μὲν οὖν τὰς

ne vincula quidem eorum membris ſunt adjicienda. Cur ergo, ajebamus nos, hoc quod nunc dicis Eraſiſtratus non ſcripſit? an quia iis, qui adeo repleti ſunt, ut eis brachia tibiaeque ac cubiti adurantur, ſanguinem ſubtrahere neceſſarium ſit, caeteris vero ſola membrorum deligatio ſufficiat? Quoniam, inquit, non hominibus vulgaribus ſcripſit, verum iis, qui ea quae res ipſas neceſſario conſequuntur cognoſcere atque operari poſſint, impoſſibiliaque nequaquam aggredi in animum inducant. Nonne ergo, inquiebamus, ſi aliquando plethorica diſpoſitio corpus occupaverit, etiamſi Eraſiſtratus iſtud non ſcripſerit, venae ſectione opus eſſe dices? In confeſſo enim eſt quod hoc omnibus cognitum ſit ideoque ab Eraſiſtrato non eſt deſcriptum: caeteros namque affectus quicunque ſine repletione fiunt, Eraſiſtratus ſeorſum mederi juſſit. Verum quum ille ad haec obſtreperet, primum quidem hortatus eum ſum, ut ſententiam ex tertio de febribus deſcriptam audiret: deinde vero et eam, quae in priore de Salutaribus commentario habetur. Nam quae in tertio de Febribus reperitur haec eſt: *Igitur circa aegritudinum prin-*

ἀρχὰς τῶν ἀρρωστιῶν καὶ τὰς τῶν φλεγμονῶν γενέ[423]σεις ἀφαιρετέον ἂν εἴη πᾶσαν προσφορὰν ῥοφημάτων τε καὶ σιτίων. γίγνονται γὰρ ὡς τὸ πολὺ αἱ τοὺς πυρετοὺς ποιοῦσαι τῶν φλεγμονῶν διὰ πληθώρας. διδομένων οὖν ἐν τοῖς τοιούτοις καιροῖς προσφορῶν καὶ πέψεως καὶ ἀναδόσεως, τὰς καὶ αὐτὰς ἐνεργείας ἀποδιδουσῶν πληρουμένων ἀγγείων τῆς τροφῆς, ἐπιπλέον τε καὶ ἰσχυροτέρας συμβήσεται τὰς φλεγμονὰς γίνεσθαι. ἐν τούτῳ τῷ λόγῳ σαφῶς ὁ Ἐρασίστρατος ἔγραψέ τε τὸ τῆς πληθώρας ὄνομα καὶ θεραπείαν αὐτῆς διδάσκων ἀσιτίας μὲν ἐμνημόνευσε, φλεβοτομίαν δὲ ἐσιώπησε. ὥστε καὶ τετράκις ἐψεύσω βέλτιστε, πρὸς τὸν Ἐρασιστράτειον ἔφην, ἐπειδὴ φαίνεται καὶ θεραπείας πληθώρας ὁ Ἐρασίστρατος γράψας. οὕτω δὲ κἀν τῷ προτέρῳ τῶν ὑγιεινῶν μετὰ τοῦ προειπεῖν ὅπως ἄν τις γνωρίζοι πληθώρας ἐφεξῆς ἰάματα γράφων, πάντων μᾶλλον ἢ φλεβοτομίας ἐμνημόνευσεν. ἔχει δὲ ἡ ῥῆσις ὧδε· μεγίστην δὲ ἔχειν τάσιν εἰς ὑγιείας φυλακὴν, ὡς ἔμπροσθεν συμβαλλόμενον τὸ γνῶναί τε καὶ φυλά-

cipia ac inflammationum generationes omnis ciborum sorbitionumque oblatio fubtrahenda eft, plerumque enim inflammationes, quae febres fufcitant, ex repletione fiunt. Si ergo in hujusmodi temporibus oblationes dentur et eas concoctio diftributioque pro fuarum actionum facultate viciffim diftribuant, venaeque alimento impleantur, adhuc longe majores ac vehementiores inflammationes faepenumero fieri accidit. His verbis Erafiftratus nomen repletionis aperte defcripfit, modumque illius curandi tradens inediae commeminit, venae vero fectionem filentio plane praeteriit. Quapropter ad Erafiftrateum illum me convertens, Quater, inquam, o amiciffime, mentitus es, quandoquidem Erafiftratum repletionis medicandae rationem feparatim fcripfiffe patet. Idem namque vel in priore Salutarium libro, ipfaque illius praefatione recitat, quo cuique cognitum effe poffit, illum quum repletionis remedia ordine fcriberet, quidvis potius quam venae fectionis meminiffe. Dictio autem fic habet: *Summam in quibusdam fanitatis curam rationemque habere oportet, ideoque qua via quis eum, qui in repletione*

ξεσθαι δύνασθαι τὴν κατὰ πληθώραν διάθεσιν. δι᾽ ὧν μὴ δεῖ μάλιστα μὲν ἀρχομένης αὐτῆς διαλύειν· εἰ δὲ μὴ, προσελθούσης πρὸ τοῦ ἀρχὴν ἀῤῥωστίαν ποιῆσαι. πλείους δὲ τρόποι τοῦ διαλύειν τὴν τοιαύτην διάθεσιν εἰσὶν καὶ οὐχ οἱ αὐτοὶ πᾶσιν ἁρμόζουσιν, περὶ ὧν ἂν ἐφεξῆς εἴη τοῦ λέγειν. τοῖς μὲν οὖν εἰθισμένοις διαπονεῖν τῶν σωμάτων κράτιστον ἂν εἴη, τοὺς συνήθους πόνους μικρῷ πλείους ποιοῦνται διαλύειν πειρᾶσθαι τὴν τοιαύτην διάθεσιν, μετὰ δὲ τὰ γυμνάσια ἱδρῶτάς τε ἐν βαλανείῳ ἐκκρίνειν ἢ διὰ πυριάσεως ἐξηράνθαι σύνηθες καὶ λουτρῷ πλείονι χρῆσθαι, καὶ μετὰ ταῦτα πάντα ἐν ἡσυχίᾳ πλείονι γίνεσθαι πλείω χρόνον μηδὲν προσφερόμενον. οὗτος γὰρ καιρὸς μάλιστα συναιρεῖ τὴν πληθώραν ὁ ἀπὸ τῶν γυμνασίων καὶ τοῦ λουτροῦ, ἐὰν μηδενὸς προσενεγκάμενός τις ἡσυχάζει πλέον χρόνον μετὰ ταῦτα, ἄριστον μὲν ἀφαιρεῖσθαι, τὸ δὲ δεῖπνον ἔλασσον λαμβάνειν καὶ ὄγκους ἀτρόφους εἶναι τοὺς προσφερομένους. εἴη δ᾽ ἂν τοιαῦτα λαχάνων τε γένη

fieri confuevit, affectum cognofcere atque obfervare poffit, in primis colligendum eft. Incipiente enim ea, a diffolventibus abftinendum quam maxime eft: fi autem illa nondum adfit, antequam aegritudinis initium fiat, illis utitor. Atqui plures modi extant, quibus hujusmodi affectus diffolvi poteft, neque iidem cunctis quadrant. Sed de his jam ordine dicere conftituimus. Qui ergo corpus laboribus exercere confueverunt, his multo praeftantiffimum fuerit, ut illos paulo plures quam pro confuetudine ineant, ipfisque affectum hunc diffolvere tentent: ab exercitiis vero fudores in balneo proritent. Porro fiquid fupercalefactione exiccatum eft, tum pluribus lavacris uti, hisque omnibus peractis, in multa quiete longo tempore nullas oblationes affumentem degere, confuetum eft. Illo enim tempore repletio fummopere fuftollit, praefertimque fi poft exercitia et lavacra quis longo temporis fpatio nulla oblatione utatur, quiefcatque poftea aliquamdiu. Prandium vero fubtrahendum eft, fed et coena minor folito affumenda. Tum qui offeruntur cibi nutrimento fere careant, veluti funt olera

Ed. Chart. X. [423.] Ed. Baf. IV. (15.)

ὠμῶν καὶ ἑφθῶν καὶ κολοκύνται καὶ σικυοὶ, πέπονές τε οἱ ἁπαλοὶ καὶ σῦκα χλωρὰ καὶ τῶν ὀσπρίων τινὰ μετὰ λαχάνων ἑψόμενα, ἄρτος τε μὴ πεπονημένος. ἅπαντα γὰρ τὰ τοιαῦτα τὴν μὲν κοιλίαν εὐέκκριτον ποιοῦσι, τὰ δὲ ἀναδιδόμενα ἀπ' αὐτῶν οὐδὲ πολλὰ οὐδὲ ἰσχυρά ἐστι. κρεῶν καὶ ἰχθύων καὶ τῶν ἑψημάτων τῶν μετὰ γάλακτος χόνδρου τε καὶ ἀμύλου καὶ πάντων τῶν τοιούτων, ἀφεκτέον ἐν τῷ εἰρημένῳ καιρῷ ἢ ὀλίγοις παντάπασι. χρῆσθαι δὲ τῇ ἀγωγῇ τῆς ἐπιμελείας ταύτης, ὡς ἂν ἀσφαλῶς καθαιρεθῇ ἡ γινομένη πληθώρα. οἷς δὲ μὴ σύνηθες τὸ μὴ διαπονεῖν τῷ σώματι οὐκ ἐπιτήδειον γυμνάσια πλείω ἐμβάλλειν. ταῦτα γὰρ ὁμοίως τοῖς πλείστοις ἀσφαλεῖς ποιεῖται τὰς κενώσεις. χρήσιμον δὲ πᾶσι κοινὸν ὅσοι τυγχάνουσιν εὐεμεῖς ὄντες, τοὺς ἀπὸ τοῦ δείπνου ἐμέτους ποιεῖσθαι, ἐὰν μὴ πρός τι ἄλλο ἀνάρμοστοι ὦσι, μὴ πολὺν χρόνον διαλείποντας ἀπὸ τῆς προσφορᾶς, ἵνα μετέωρά τε τὰ σιτία λαμβάνονται πρὸς τὸ ἐμεῖν καὶ μὴ πολὺ πρὸ τοῦ ἐμεῖν τὰ ἀναδιδόμενα

pleraque tam cruda quam cocta cucurbitaeque ac cucumeres peponesque teneri et ficus recentes, legumina item cum oleribus cocta: panis quoque omni vitio careat. Nam fic univerfa talia partim alvum lubricam reddent, partim nutrimenta, quae ex illis fiunt, neque copiofa neque fortia efficient. Verum a carnibus pifcibusque ac omnibus rebus cum lacte, chondroque et amylo elixatis et caeteris id genus alimentis dicto tempore abftinendum, vel prorfus paucis utendum. Huic autem victus rationi diligenter ob id infiftendum, quo repletio jam confiftens fecure fuftollatur. Caeterum qui corpus laboribus exercere non funt affueti, his plura exercitia commodum non eft injungere, quamquam haec alioqui, prout plurima alia, evacuationes tutas faciant. Praeterea vero quicunque ad vomendum propenfi funt, ut a coena vomitiones inftituant, omnibus communiter utile eft. Ne autem ad aliquid aliud minus idonei fiant, vomitus ab oblatione non multum temporis intercedat, fic enim cibi adhuc in fuperioribus partibus exiftentes facilius evomentur: proindeque alimenta, quae ex ipfis cibis

ἀπ' αὐτῶν. τῇ δὲ ὑστεραίᾳ ἀριστᾷν τε καὶ ἱδρῶτας καὶ λουτρὰ ποιεῖσθαι. κενωθέντος δὲ τοῦ σώματος καὶ τῆς πληθώρας ἀποκατάστασιν λαβούσης, συντόμως ἐπὶ τὰ εἰθισμένα ἐπαναγαγεῖν. ἔν τε οὖν τούτῳ τῷ λόγῳ πάντα σαφῶς ὁ Ἐρασίστρατος ἐδήλωσεν· ἄλλοις μὲν τοῖς βοηθήμασιν [424] ἑαυτὸν χρώμενον ἐπὶ τῆς πληθωρικῆς διαθέσεως, οὐ χρώμενον φλεβοτομίᾳ καὶ πάλιν ἐν τοῖς κατωτέρω τοῦ συγγράμματος, ἔνθα φησίν· ἐννοεῖν δὲ χρὴ καὶ τὰ τοιαῦτα διότι οὐ πάντες ἄνθρωποι ἐπὶ ταῦτα φέρονται πάθη, ἀλλὰ γενομένου περὶ πλείους τοῦ αὐτοῦ συμπτώματος, λέγω δὲ πληθώρας, οἷς πᾶσιν ἐπὶ τοὺς τόπους εἴθισται ἡ ὁρμὴ γίγνεσθαι, ἀλλὰ τοῖς μὲν ἐπὶ τὸ ἧπαρ, ἐνίοις δὲ ἐπὶ τὴν κοιλίαν, ἄλλοις δὲ εἰς ἐπιληπτικὰ πάθη, τοῖς δὲ ἐπὶ τὰ ἄρθρα. ἕκαστον οὖν δεῖ συνθρωτὰ εἰθισμένα ἑαυτῷ συμβαίνειν τὴν ἁρμόζουσαν φυλακὴν γιγνομένοις πάθεσι ποιεῖσθαι. οὐ γὰρ ὡσαύτως φυλακτέον τῷ εἰθισμένῳ εἰς ἐπιληπτὸν φέρεσθαι καὶ τῷ εἰς αἱμοπτυικὰ, ἀλλὰ τῷ μὲν

generantur non multo ante vomitionem diſtributa ſint. Ad haec poſtero die lavacra ſudoresque provocare oportet. Quin etiam evacuato jam corpore atque repletione reſtaurationem nacta, paulo poſt ad conſueta redeundum. His ergo verbis Eraſiſtratus clare per omnia indicavit quod ad repletionis affectum medicandum aliis omnibus auxiliis uſus ſit, venae autem ſectionem nunquam adhibuerit, iſtudque et in ſequente operis parte innuit, dum in hunc modum loquitur: *Haec vero animo revolvenda ſunt, quod non omnes homines ad quosvis affectus aequaliter propenſi ſunt, ſed ubi aliquando idem ſymptoma, veluti repletio eſt, intra plurimos contingat, in omnibus ad quae conſuevit loca impetu fertur et in aliis quidem ad hepar, aliis rurſum ad alvum, nec deſunt quibus illa vel epilepticos affectus vel articulorum dolores conciliet. Opus eſt ergo, ut unusquisque ea quae illi contingere conſueverunt conſiderans curam affectibus provenientibus idoneam inſtituat. Non enim eadem ratione ad epilepſiam inclinato, qua ſanguinem ſpuenti curatio exequenda: verum illi perpetuo labore defati-*

εἰς πόνους ἀφειδῶς δοτέον, τῷ δὲ φυλακτέον τὰ ἐπιπονώτερα γυμνάσια. κίνδυνος γὰρ ἂν ἦν ἐν τῷ διαπονεῖν ἀρχὴν ῥήξεως γενέσθαι. ὁμοίως τῷ μὲν εἰς ἐπιληπτικὰ φερομένῳ ἀφειδῶς αὐτὸν διδόναι εἰς ἀσιτίαν τε καὶ ὀλιγοσιτίαν. τὰ δὲ πλείω λουτρὰ καὶ μεταβολὴν ἰσχυρὰν ποιοῦντα φυλακτέον. τῷ δὲ ἐπὶ νεφριτικὰ πάθη φερομένῳ σιτία μὲν ἐλαφρὰ ποιεῖν, λουτροῖς δὲ ἀφειδῶς χρῆσθαι, τό τε πινόμενον οὐκ ἐπιτήδειον συστέλλειν, ἵνα μὴ δριμέων τῶν οὔρων γινομένων, ἀναδάκνονται οἱ τόποι δι' ὧν φέρεται ἡ ἔκκρισις, ἐργῶδές τε καὶ τὸ διαπονεῖν πλείω τοῖς τοιούτοις. οἷς δὲ ἐπὶ σπλῆνα ἢ τὸ ἧπαρ εἴθισται φέρεσθαι, κόπους τε καὶ ψυχρολουσίαν εὐλαβητέον, ἀσιτίαις τε καὶ ὀλιγοποσίαις καὶ λουτροῖς τὸ ἐπίπαν τὴν φυλακὴν ποιεῖσθαι.

Κεφ. θ'. Ἐν τούτοις πάλιν ὁ Ἐρασίστρατος ἐναργῶς ἐνεδείξατο τὴν αὐτοῦ γνώμην. ἄγε τοὺς ἐκ πληθώρας ἤτοι γ' αἷμα πτύσειν μέλλοντας, ἢ τοῖς ἐπιληπτικοῖς ἁλί-

gari, huic autem a laboriosis exercitiis cavere operae pretium est: verendum namque est ne ex defatigatione initium ruptionis suboriatur. Sed et qui epilepticis affectibus obnoxius est, in labore continuo ac inedia et cibi paucitate se contineat, frequentia autem lavacra, quaeve vehementem permutationem afferunt, modis omnibus evitet. Quos vero renales affectus plerumque infestant, his cibi concoctu faciles offerendi, ac lavacra affatim injungenda: potus autem constringendi facultate careat, ne lotium acrius redditum loca per quae excretio ipsa fertur, arrodat: ad haec exercitiis diu insistere hujusmodi hominibus noxium est. Quibus autem vel ad splenem vel jecur fluxio ferri consuevit, his a laboribus nimis frigidaque ablutione abstinendum, inediisque et paucitate potationum ac lavacris curatio in universum procuranda.

Cap. IX. In his rursum Erasistratus suam sententiam clare ostendit. Nam eos, quibus ex repletione vel sanguinis sputum vel epilepticus morbus imminet, neque fortiter pur-

σεσθαι πάθεσι, οὔτε διὰ τῶν ἰσχυρῶς καθαιρόντων φαρμάκων ἐπεχείρησε κενοῦν, ἀλλ᾽ οὐδὲ διὰ πλήθους τρίψεως ἀσθενεστέρου μὲν ἢ κατ᾽ αὐτὰ βοηθήματος, ἰσχυροτέρου δὲ οὐ σμικρῷ μόνης τῆς ἀσιτίας. πλήθει γοῦν τρίψεως ἐνίους τῶν τοιούτων ἐκενώσαμεν ὑπὸ μαλακείας ψυχῆς, οὔτε καθαῖρον φάρμακον ὑπομένοντας λαβεῖν οὔτε ἐπιτρέποντας τέμνειν τὴν φλέβα. καὶ εἴπερ ἦν ἱκανὸν ἐπὶ πάντων τὸ βοήθημα τοῦτο, τάχα ἄν τις ἀντὶ φλεβοτομίας αὐτῷ χρῆσθαι διηνεκῶς ἐδύνατο. νῦν δὲ ἐστὶν ὅτε μικρότερον εὑρίσκεται τῆς κατὰ τὸ σῶμα πληθώρας καὶ μάλιστ᾽ ἀηθῶν τρίβεσθαι κοπώδεσιν αὐτίκα διαθέσεσιν ἁλισκομένων, ἢν ἐπιπλέον τριφθῶσιν. ἔνιοι δὲ πυκνὸν καὶ σκληρὸν ἔχουσι τὸ δέρμα, κἂν πλείστη τρίψις προσαχθῇ, κένωσις βραχυτάτη γίνεται. εἰ δέ τις ἰατρὸς ἐπιμελῶς ὁμιλήσει τοῖς ἔργοις τῆς τέχνης αὐτῇ τῇ πείρᾳ διδαχθεὶς, οἶδεν ὅπως ἐπικαλεῖται παροξυσμὸν ἐπιληπτικὸν ἡ τοῦ στομάχου κένωσις. ἔγνω δὲ καὶ τοὺς ἐπὶ κακοπραγίᾳ μόνῃ στομάχου ταῖς ἐπιληψίαις [425] ἁλισκομένους, ὧν ἔνιοι

gantibus medicamentis evacuare unquam, neque frequenti frictione uti voluit: quae ipfa etfi debilior fit quam quae hujusmodi morbis adamuffim opitulari poffit, praeftantior tamen non paulo una inedia exiftit. Frequenti enim frictione non paucos iftorum evacuavimus, quum alias prae animi ignavia, neque purgans medicamentum affumere auderent neque venae fectionem fufferrent. Sique auxilium hoc in omnibus fufficeret, forte quis ipfo venae fectionis loco femper uti poffet. Conftat autem quod interdum multo minus debiliusque reperiatur quam quale corporis repletio exigat, maximeque quia illi, qui frictionibus non affueverunt, fi plus aequo perfricti fuerint, dolorofis affectionibus illico corripiantur. Nonnulli e contra denfam duramque cutim quum habeant, etiamfi plurimam fubierint frictionem, nihilominus quam paucifſimam evacuationem experiuntur. At fi quis medicus in artis operibus diligenter verfabitur, ipfa experientia edoctus, quantopere ftomachi inanitio ad accerfendum paroxysmum epilepticum faciat, fine negotio cognofcet. Difpiciet etiam illos, qui ob folam ftomachi laefam actionem

βλάπτονται μεγάλως ὑπὸ τῆς ἀσιτίας, ὥσπερ γε καὶ Διόδωρος ὁ γραμματικός. οὗτος γὰρ εἴ ποτε κατά τινα περίστασιν γραμμάτων ἐπιπλέον ἄσιτος διετέλεσεν, ἐπιληπτικὸς ἐσπᾶτο. καὶ τοίνυν ἐπετρέψαμεν αὐτῷ βοηθήματι περὶ τρίτην ὥραν ἢ τετάρτην ἄρτον προσλαμβάνειν ἐξ οἴνου κεκραμένου. καὶ τούτῳ χρώμενος ἐτῶν ἤδη πολλῶν ὑγίαινε, μόνου φροντίζων ἑνὸς τοῦ πέπτειν ὅτι κάλλιστα τὴν ἐπὶ τῷ δείπνῳ τροφήν. καὶ ποτὲ διά τινα χρείαν πολιτικὴν (16) ἀναγκασθεὶς ἐπὶ τῆς ἀγορᾶς ἕως μεσημβρίας ἄσιτος διατρῖψαι, καταπεσὼν ἐσπάσθη. οὗτος μὲν οὖν, ὡς ἔφην, ἐπὶ τῷ στομάχῳ κακοπραγοῦντι ταῖς ἐπιληψίαις ἡλίσκετο. τοὺς δὲ ἄλλους εἰ καὶ μὴ μόνους, ἀλλ' ὅταν ἐπιτηδείως ἔχῃ, συμπαροξύνει τε κἀξέλκει διὰ ταχέων ὁ στόμαχος βλαβεὶς εὔδηλον. ἔστι δ' ὅτι τὸ στόμα τῆς γαστρὸς ὀνομάζεται στόμαχος ὑπὸ τῶν ἰατρῶν. ἐν ταύταις ταῖς διαθέσεσι καὶ πολλοῖς γε ἤδη πρὸ ἡμῶν ἐγνώσθησαν αἱ τοιαῦται διαθέσεις ὑπὲρ ὧν ἑτέρωθι κάλλιον εἰπεῖν. ἐν δὲ τῷ

epilepfiis corripiantur, ex inedia vehementer laedi, velut et Diodoro grammatico ufu venit. Is enim fi quando in quodam ludo literario exiliens famem diutius fuftineret, illico epilepfia convellebatur. Huic itaque praefentaneo remedio fuccurrebamus jubentes ut circa tertiam aut quartam diei horam panem ex vino temperato affumeret: hocque praefidio ufus annis permultis fanus degebat, quippe qui hujus folius rei curam gerebat, ut cibos in coena affumptos quam optime concoqueret. Aliquando autem quum propter civilia quaedam negotia in foro ad meridiem usque fine cibo perdurare cogeretur, humi proftratus denuo convulfus eft. Ifte igitur, veluti indicavi, propter ftomachi vitium epilepfia vexabatur. Manifeftum etiam eft quod ftomachus laefus, fi modo ad hoc idoneus fuerit, alias partes non paucas una fecum exacerbet, ac ad confenfum trahat. Hoc loco autem advertendum eft, quod in hujusmodi affectibus os ventris ftomachus a medicis appelletur. Caeterum vel multi ante nos fuerunt, qui hos affectus jam pernoverant, ideoque de his plenius tractare alibi praeftiterit: impraefentiarum vero hu-

παρόντι μέχρι τοσούτου λέλεχθαι, μετρίως δηλούντων ἡμῶν ὅτι πολλοὶ τῶν ἐπιλήπτων ὑπὸ τῶν μακροτέρων ἀσιτιῶν κακούμενοι τὸν στόμαχον ἐξ αὐτοῦ τούτου παροξύνονται. ὑποκείσθω τοίνυν ὁ μὲν ἄνθρωπος εἶναι πληθωρικὸς οὕτως ὡς παραπεπρῆσθαι βραχίονάς τε καὶ τὰ περὶ μηροὺς καὶ κνήμας, ἡ δ᾽ ὥρα τοῦ ἔτους ἔαρ εἰσβαλὸν, οὐδὲ γὰρ οὐδὲ αὕτη σπάνιος ὑπόθεσις, ἀλλ᾽ ἡμεῖς μὲν καὶ πάνυ πολλάκις ἐθεασάμεθα διακειμένους οὕτως ἀνθρώπους ἐν ἐκείνῳ τῷ καιρῷ. προσυποκείσθω δὲ καὶ τρίψεων εἶναι καὶ γυμνασίων ἀήθης ὁ τοιοῦτος, ὑπό τε τῆς ἀσιτίας κακούμενος, εἶτα ζητῶμεν ὅπως αὐτὸν κενώσωμεν. ἆρά γε λουτροῖς πλείοσιν ἢ γυμνασίοις ἢ τοῖς ἀπὸ δείπνων ἐμέτοις ἢ ἀσιτίαις; ταῦτα γάρ ἐστιν Ἐρασιστράτῳ πλήθους ἰάματα. γυμνάσια μὲν οὖν οὐδὲ αὐτὸς ἀξιοῖ χρῆσθαι τοὺς ἀήθεις. λουτρῶν δὲ εἴργει πάντας ἁλῶναι πάθεσιν ἐπιληπτικοῖς. εἴρξει δ᾽, οἶμαι, καὶ τῶν ἐμέτων αὐτοὺς ἐναργῶς πληρούντων κεφαλήν. ἡ δ᾽ ἀσιτία μόνη τῶν οὕτω πεπληρωμένων

usque dictum de ipſis ſit, quo obiter declaremus multos epilepticos ex ſolo ſtomacho longioribus inediis perturbato in exacerbationem incidere. Proponatur ergo homo eſſe adeo repletus, ut brachia et cubitos, coxas tibiasque inſlammari ſentiat, tempus vero anni ver incipiens: neque enim hoc ipſum exemplum perraro contingit, immo nos per id temporis homines ſaepiſſime hoc pacto affici conſpeximus: huic accedat quod is exercitiorum ac frictionum ſit penitus expers, facileque ab inediis laedatur: nobis porro inveſtigandum fuerit, qua ratione hunc evacuare debeamus. Numquid ergo evacuationem inſtituemus lavacris frequentibus aut exercitiis aut mediis vomitionibusve a coena factis? Nam praeter haec apud Eraſiſtratum nulla alia repletionis remedia reperiuntur. Atqui ipſe exercitiis uti iis, qui id non conſueverunt, nequaquam concedit: a lavacris etiam illos quia epilepticis affectibus obnoxii ſunt, arcet: arcebit item mea quidem ſententia eosdem a vomitionibus, ut quae caput evidenter replere ſoleant. Caeterum inedia inter ea quae caput replent adeo eminet, ut ex illa tenſio vehemens circa

ὡς τάσεως σφόδρα αἰσθάνεσθαι κατὰ τὰ σκέλη καὶ τὰς χεῖρας οὐχ ἱκανὴ κενοῦν αὐτάρκως μετὰ τοῦ καὶ βλάπτειν ἰσχυρῶς, εἰ τὸν στόμαχον ἔχοιεν εὐπαθῆ. πῶς οὖν αὐτὸν κενώσομεν; ἆρά γε μόναις τρίψεσιν, ὧν οὐδ' ὅλως ἐμνημόνευσεν Ἐρασίστρατος; ἀλλὰ τοῖς ἀήθεσιν οὐχ οἷόν τε τρίψιν τοσαύτην προσφέρειν ὡς αὐτάρκως κενῶσαι· ἢ διαδήσωμεν αὐτὸν ἐρίοις; ὅπερ οὐδὲ ὅλως εἶπεν ὁ Ἐρασίστρατος ἐνταῦθα, καίτοι γε ἐν τῷ περὶ αἵματος ἀναγωγῆς εἶπεν. ὑποκείσθω δ', ὡς εἴρηκεν, ἐκ περιουσίας ἡ σκέψις γένηται. ἀλλ' εἴρηται καὶ πρόσθεν ὡς ἀνιαρόν τε ἀλλὰ καὶ ἀδύνατον εἶναι τὸ βοήθημα τοῦτο, τοὺς εἰς τοσοῦτο πληθώρας ἥκοντας ὡς εἰς τὰ κῶλα πιπρᾶσθαι νομίζειν. οὐδὲ ἐκεῖνο δυνατὸν εἰπεῖν, ὅπερ ἐν τῷ περὶ αἵματος ἀναγωγῆς ὁ Ἐρασίστρατος ἔγραψεν, ὡς ἐχόμενός τε περὶ τὴν ἀναγωγὴν ὁ κατὰ τὴν φλεγμονὴν κίνδυνος ἐστίν. ἐν ᾧ τῶν ἀσιτιῶν ἀναγκάζει, ὡς παραλαμβανομένων οὐ χρὴ τῇ φλεβοτομίᾳ [426] προσκαταλελύσθαι τὴν δύναμιν. οὐδεμία γὰρ ἀνάγκη

brachia manusque oriatur: neque tamen ea quoque ad evacuandum fatis virium obtinet, quin potius fiqui ftomachum affici aptum habuerint, iis infignem laefionem infert. Quomodo igitur ipfam evacuationem adornabimus? num frictionibus folis, quarum Erafiftratus prorfus non meminit? Praeterea fieri non poteft ut illae in infuetis tot tantaeque fiant, quae fufficienter evacuent. Aut poftremo illum laneis vinculis excipiemus? At Erafiftratus hujus rei nullam hoc loco mentionem fecit, id remedium ad folam fanguinis rejectionem cohibendam referens. Concipiatur autem in animo, quod etiam de hoc ipfo confideratio fatis luculenta fit facta: verum tamen illis, qui eo repletionis venerunt ut et membra exteriora fibi aduri putent, auxilium hoc quam moleftiffimum ac nullius momenti effe antea dictum eft. Neque etiam credibile illud eft ab Erafiftrato in libro de fanguinis rejectione recitatum, quod fcilicet rejectionis tempore ex inflammatione periculum immineat: in quo ille ea propter aegros fine cibis degere jubet, quoniam eorum quos curan-

Ed. Chart. X. [426.] Ed. Baf. IV. (16.)

φλεγμονὴν ἀκολουθῆσαι τῇ πληθώρᾳ φθασάντων αὐτὴν κενῶσαι. ἀλλά τοι καὶ τούτου τοῦ πιθανοῦ μὲν οὐ μὴν ἀληθοῦς κατὰ τὴν τῶν ὑγιεινῶν πραγμάτων ἐκποδῶν ὄντος, ὅμως ὁ Ἐρασίστρατος οὐκ ἐτόλμησεν ἐκκενῶσαι διὰ φλεβοτομίας, τὸ μέλλον ἤτοι γ' ἐπιληψίαν ἢ αἵματος ἀναγωγὴν ἐργάζεσθαι πλῆθος. οὕτως ἄρα προκείμενόν ἐστιν αὐτὸ διαφυλάττειν ἀεὶ τὸ τοῦ Χρυσίππου καὶ μὴ φλεβοτομίᾳ χρῆσθαι, μήτε τινι τῶν ἰσχυρῶς καθαιρόντων φαρμάκων. ἐνῆν γοῦν καὶ διὰ φλεβοτομίας, ἀλλὰ καὶ διὰ καθάρσεώς γέ τινος ἐκκενῶσαι τὸ πλῆθος. οὐ μήν γε ὁ Ἐρασίστρατος ἔγραψεν ὑπὲρ αὐτῶν, ὥσπερ γε οὐδὲ ἐν τοῖς περὶ παραλύσεως ἢ περὶ ποδάγρας. αἰτιᾶται μὲν γὰρ κἀκεῖ τὴν πληθώραν, οὔτε δὲ φλεβοτομίας οὐδέ τινι τῶν δραστηρίων χρῆται καθαρτικῶν φαρμάκων. ἔτι δὲ ἐναργέστερον ἐδήλωσε τὴν ἑαυτοῦ γνώμην ἐν τῷ περὶ αἵματος ἀναγωγῆς, ἐν ἐκείνῳ τῷ μέρει τοῦ γράμματος ἔνθα φασὶν ἐνίους τῶν

dos fufcepimus virtutem venae fectione prius diffolvere non liceat. Haudquaquam enim neceffe eft ut inflammatio repletionem infequatur, dum illam evacuare praeoccupaverimus. Et quanquam id quoque, fi quis eminus confideret, in rebus falutaribus perfuafibile magis quam verum videatur, Erafiftratus tamen plenitudinem, quae aut epilepfiam aut rejectionem fanguinis effectura eft, evacuare per venae fectionem nunquam eft aufus. Sic etenim in obfervandis Chryfippi placitis pertinax eft, ut neque evacuare per venae fectionem neque fortiter purgantibus medicamentis unquam uti in animum induxerit. Atqui tum venae fectione tum purgatione aliqua plenitudinem commodiffime evacuare poterat. Tamen Erafiftratus de his nihil fcripfit, quemadmodum neque quum de paralyfi vel de podagra ageret: illic enim etiam in repletionem caufam rejicit, ac deinceps neque venae fectione neque aliquo efficacium illorum et purgantium medicamentorum utitur. Praeterea opinionem fuam in libro de fanguinis rejectione longe clarius prodidit, idque in illa operis parte, ubi homines quosdam ex confuetae excretionis reten-

ἀνθρώπων εἰς κίνδυνον ἥκειν αἵματος ἀναγωγῆς ἐπισχεθείσης αὐτοῖς συνήθους ἐκκρίσεως. μεμνημένος γὰρ ἅμα ταῖς ἄλλαις ἐπισχέσεσι καὶ τῆς τῶν ἄλλων αἱμοῤῥοΐδων ἀφαιρέσεως, οὐχ ἁπλῶς εἶπεν ὅτι κενοῦν χρὴ τοὺς τοιούτους, ἀλλὰ κατ᾽ εἶδος ἔγραψε τὰ κενωτικὰ βοηθήματα, καθάπερ ἐν τοῖς ἄλλοις βιβλίοις, οὕτω κἀνταῦθα τὰ δοκοῦντα αὐτῷ πάντα χωρὶς τῆς φλεβοτομίας. ἔχει δὲ ἡ ῥῆσις ὧδε· τοῖς μὲν οὖν νῦν ἐνεστῶσιν οἷς ἔκλυσις αἵματος πλείων εἴθισται γίγνεσθαι, ἐκκρίσεις ἁρμόττοιεν ἂν οὐρήσεων τε καὶ ἱδρώτων. ἁρμόζει δὲ καὶ συστολὴ τῶν προσφερομένων καὶ περιπάτων πλῆθος ἐπιπέδων μὴ ταχέων. ἐν τούτοις πάλιν ἱδρῶσιν καὶ οὔροις καὶ ἀσιτίαις καὶ περιπάτοις ἐκκενῶν τὸ πλῆθος, οὐ χρῆται φλεβοτομίᾳ. καὶ μὴν εἰ μήτε πρὶν γενέσθαι τὴν φλεγμονὴν μήτε γενομένης ἢ ὑποπτευομένοις ἔσεσθαι παραλαμβάνειν φλεβοτομίαν ὡσαύτως ἐδήλωσε δι᾽ ἑνὸς τούτου βιβλίου, περιττὸν ἦν κατ᾽ ἄλλην πραγμάτων αὐτὸν μνημονεύειν φλεβοτομίας, ἐν ᾗ φλεγμονὴν

tione, fanguinis rejectionis periculo fubeffe afferit. Quum namque inter alia retentionum genera haemorrhoidum quoque cohibitionem annumeraret, non fimpliciter has evacuatione indigere ait: verum prout in caeteris operibus confuevit, fic et ibi omnes quas ipfe compertas habuerat medelarum fpecies fola venae fectione excepta recenfuit. Dictio autem fic habet: *Praefentibus igitur iis, quibus fanguinis exuperantia frequenter fieri confuevit, fudorum et lotii excretiones quadrarent. Conveniret etiam fubtractio eorum quae offeruntur, ac deambulationes in locis planis, non celeriter peractae.* In his rurfum plenitudinem et fudoribus et lotio et inediis inambulationibusque evacuandam cenfens ufum venae fectionis non adhibuit. Praeterea fi neque prius quam inflammatio fieret, neque quum facta jam effet neque quum futuram fufpicarentur, venae fectionem ufurpandam in hoc libro indicavit, fupervacaneum fane fuerat illum in aliis operibus de eadem mentionem facere, praecipueque poftquam curationem inflammationis aut jam factae, veluti pri-

ἤτοι γεγενημένην ἤδη θεραπεύει, καθάπερ ἐν τῇ περὶ τῶν πυρετῶν, ἢ μέλλουσαν, ἢ ὑποπτευομένην, ἢ ἀρχομένην ὡς ἐν ταῖς ἄλλαις. ἀλλ᾽ οὐδὲν τούτων ὁρῶντες ἔνιοι τῶν Ἐρασιστρατείων εἴπερ φασὶ ὡς κενωτικοῦ τε βοηθήματος χρῆται τῇ φλεβοτομίᾳ. καὶ γὰρ Ἐρασιστράτου σαφῶς εἰρηκότος αὐτὸ τὸ ἐναντιώτατον. ἐπειδὴ γάρ φησι κατὰ τὸν φλεγμονῆς καιρὸν οὐκέτι ῥάδιον προσφέρειν σιτία τούτῳ μὴ χρῆσθαι φλεβοτομίᾳ μελλούσης ἔσεσθαι φλεγμονῆς. ὁ τοίνυν λόγος οὗτος ἄντικρυς ἐνδείκνυται φυλάττεσθαι φλεβοτομίαν, ἐφ᾽ ὧν μέλλομεν ἀσιτίαν συμβουλεύειν. οὐκ οὖν ἐνδέχεται καθ᾽ ἕνα καὶ τὸν αὐτὸν ἄῤῥωστον ἄμφω παραλαμβάνειν τὰ βοηθήματα, τὴν ἀσιτίαν καὶ τὴν φλεβοτομίαν. ὥστε εὔδηλον εἴποθ᾽ εὕροι Ἐρασίστρατος συμβουλεύοντος τὴν ἀσιτίαν μὴ χρῆσθαι τηνικαῦτα φλεβοτομίᾳ, διὰ τοῦτο γοῦν οὐδὲ ἐμνημόνευσεν, ὡς ἔφην, ἔτι τοῦ βοηθήματος ἐν ταῖς ἄλλαις πραγματείαις. ἐν ἁπάσαις γὰρ αὐταῖς, ὡς δέδεικται, συμβουλεύων ἀσιτίαν ἀναιρεῖ δη-

mo de febribus, aut futurae, aut de qua ſuſpicio eſſet, aut incipientis, ut ex aliis patet, longe antea deſcripſerit. Verumtamen hoc quidam ex Eraſiſtrateis non animadvertentes dicere contendunt, illum evacuatorio auxilio, puta venae ſectione, uſum fuiſſe, quum tamen ipſemet Eraſiſtratus manifeſte contrarium aſſerat. Nam ſimulatque circa inflammationis tempus offerre cibos perdifficile eſſe dixiſſet, ea de cauſa futura jam inflammatione venae ſectionis uſum exploſiſſe ſe indicavit. Iſta ergo oratione palam declaratur, quod quibus inediam conſulturi ſumus, eisdem a venae ſectione modis omnibus interdicere debeamus. Non ergo conſentaneum eſt, ut quis circa unum eundemque aegrotum utraque auxilia, nempe inediam et venae ſectionem, uſurpet. Hinc quoque perſpicue patet Eraſiſtratum, ſiquando is inediam aegrotis injungit, eo tempore venae ſectione non eſſe uſum, ac propterea illius in aliis operibus, ut et ſuperius ſignificatum eſt, nullam mentionem feciſſe. In omnibus enim illis, veluti declaravimus, inediam ſuadens venae ſectionem, perperam

Ed. Chart. X. [426. 427.] Ed. Baf. IV. (16.)

λογότι τὴν φλεβοτομίαν οὐκ ὀρθῶς μὲν πράττων, ὥσπερ καὶ καθ' ἑκατὸν ἡμῖν πρότερον, ὡς ἔφην, ἐδείχθη γράμμα, μικρότερον ἁμαρτανόντων τῶν [427] οἰομένων ἅπαντας ὅσοι χρήζουσιν ἀσιτίας, εὐθὺς τούτους δεῖσθαι φλεβοτομίας. ἐγὼ γὰρ ἐπιδείξω κατὰ τὸν ἑξῆς λόγον οὐ μόνον ἅπαντας οὐ δεομένους φλεβοτομίας, ἀλλ' οὐδὲ τοὺς πληθωρικοὺς αὐτοὺς, ἐὰν μὴ πρότερον αὐτό τε τὸ πλῆθος ὁποῖόν τι τὴν φύσιν ἐστὶ διορίσεται καὶ μετὰ τοῦτο τὴν ἕξιν τοῦ κάμνοντος ἡλικίαν τε καὶ ὥραν καὶ χώραν καὶ κατάστασιν, ὅσα τε προηγεῖται καὶ ὅσα πάρεστι τῷ κάμνοντι συμπτώματα. καθ' ἕκαστον γὰρ τούτων ἐπιδείξω πολλοὺς μὴ φέροντας ἀβλαβῶς τὴν φλεβοτομίαν. ὥσπερ αὖθις πάλιν ἑτέρους ἐπιδείξω χωρὶς πληθώρας δεομένους φλεβοτομίας. ἐπειδὰν δὲ ταῦτα διορίσωμαι, τόν τε καιρὸν ἐρῶ τῆς φλεβοτομίας καὶ τὸ μέτρον, ἔτι τε πρὸ τούτων τὴν ἐν τοῖς τμηθησομένοις φλεψὶ διαφοράν. εἰρήσεται δὲ

quidem iſtud ille faciens, e medio ſane tollit, ut a nobis alio quoque prius in opere demonſtratum eſt: minus tamen peccat quam illi, qui omnes illos, qui inedia utuntur, ſtatim et venae ſectione opus habere exiſtimant. Ego enim ſequenti commentario oſtendere aperte conabor, quod non ſolum omnes illi venae ſectione non indigeant, verum ne plethorici quidem ipſi, niſi prius qualem illa plenitudo naturam obtineat diſcernatur, huicque acceſſerit de habitudine aetateque aegrotantis, ac de tempore et regione atque conſtitutione conſideratio: tum quaecunque anteceſſerunt, quaeve ipſum aegrotum etiammum moleſtant ſymptomata. Ob ſingula enim haec permultos venae ſectionem, nonnunquam citra noxam experiri non poſſe oſtendam. Praeterea et alios plerosque tibi ob oculos ponam, qui absque repletione quum ſint, venae ſectione nihilominus opus habent. Poſteaquam autem de his ſigillatim diſſeruero, tum et occaſionem et menſuram venae ſectionis ordine explicabo. Addam etiam iſtis eam, quae in ſecandis venis differentia eſt. Declarabitur quoque ſemelne an pluries ſit ſubtrahendum. Ad haec vero non

καὶ περὶ τοῦ πλεονάκις ἢ ἅπαξ ἀφαιρεῖν. ἐπί τε τούτων οὐδὲν ἧττον ὡς τινες ἐν ἦρι φλεβοτομεῖν ἢ καθαίρειν ἔτι ὑγιαίνοντας προσήκει.

minore opera difquiretur, quibusnam, quum adhuc commoda valetudine fruuntur, veris tempore vel purgationem vel venae fectionem ufurpare conferat.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΦΛΕΒΟΤΟΜΙΑΣ ΘΕΡΑΠΕΥΤΙΚΟΝ.

Ed. Chart. X. [428.] Ed. Bas. IV. (17.)

Κεφ. α'. Τοῖς περὶ φλεβοτομίας σκοπουμένοις ἓν μὲν καὶ πρῶτον ἐστὶ πρόβλημα σκέψασθαι τὰς διαθέσεις τοῦ σώματος, ὅσαι δέονται κενώσεως. εἶθ' ἑξῆς δεύτερον ὅσαι τῆς διὰ φλεβοτομίας, ὡς πολλαὶ εἰσὶ διαθέσεις, ἄλλαι μέν τινος κενώσεως, οὐ μὴν φλεβοτομίας δέονται. τρίτον ἐπὶ τούτοις σκέμμα διακρῖναι τοὺς δυναμένους ἀλύπως ἐνεγκεῖν τὴν κένωσιν. εὑρίσκεται γὰρ ἡ μὲν διάθεσις ἐνίοτε δεομένη φλεβοτομίας, ὁ κάμνων δ' οὐ φέρει αὐτὴν ἤτοι δι'

GALENI DE CVRANDI RATIONE PER VENAE SECTIONEM.

Cap. I. Qui de venae fectione fpeculantur unum fibi primumque proponunt, nempe ut quae corporis affectiones evacuatione indigeant, confiderent: ac deinde alterum quaenam ea, quae fanguinis fit detractione: nam multi funt affectus, qui alia quapiam evacuatione quidem indigeant, fed non fanguinis miffione. Tertio poft haec ut dijudicent, qui innoxie hanc ferre evacuationem poffint: quippe quum faepe fiat, ut affectio venae fectionem defideret, caeterum laborans eam ferre nequeat five propter aetatem, five

ἡλικίαν, ἢ δι᾽ ὥραν τοῦ ἔτους, ἢ διὰ τὴν τῆς χώρας φύσιν, ἢ διὰ κάκωσιν τοῦ στόματος τῆς γαστρὸς, ὃ καταχρώμενοι πολλάκις ὀνομάζουσι στόμαχον, ὥσπερ ἀμέλει καὶ νῦν ἐν ὅλῳ τῷ λόγῳ χρώμεθα τῇ προσηγορίᾳ βραχυλογίας ἕνεκεν. εἰσὶ δὲ οἳ καὶ διὰ τὴν ἕξιν ὅλου τοῦ σώματος οὐ φέρουσι φλεβοτομίαν, εἰ καὶ μάλιστα αὐτῆς τυγχάνοιεν ὅσον ἐπὶ τῷ νοσήματι δεόμενοι. ἢν δὲ δὴ καὶ ταῦτα διορίσηταί τις, ἡ περὶ τοῦ μέρους σκέψις ἡμᾶς διαδέχεται, καθάπερ ἐπὶ παντὸς ἄλλου [429] βοηθήματος. εἶθ᾽ ἑξῆς ἡ περὶ τῶν φλεβῶν ἃς χρὴ τέμνειν· ἐζήτηται γὰρ ἱκανῶς καὶ περὶ τούτων, ἆρά γε διαφέρει μηδὲν ἣν ἂν ἐθελήσῃ τις τέμνειν φλέβα, ἅπασαι γὰρ ὡσαύτως ὠφελοῦσιν ἁπάσας τὰς διαθέσεις, ἢ καθάπερ Ἱπποκράτης καὶ οἱ δοκιμώτατοι τῶν ἰατρῶν ὑπειλήφασι πάμπολυ διαφέρειν τὸ τήνδε πρὸ τῆσδε σχάσαι. διορισθέντος δὲ καὶ τούτου τοῦ σκέμματος, ἔσται ἑξῆς ὁ περὶ τῶν σκοπῶν λόγος, οἷς ἄν τις προσέχων τὸν νοῦν στοχάσοιτο τοῦ μέτρου τῆς κενώσεως. ἐπὶ δὲ τούτοις ἅπασιν, ἐπὶ τινῶν μὲν ἅπαξ ἀφαιρεῖν ἄμεινον, ἐπὶ τινῶν δὲ τὴν καλουμένην ἐπαφαίρεσιν ποιεῖσθαι προσήκει,

propter anni tempus, sive propter regionis naturam, sive ob os ventriculi vitiatum, quod persaepe per abusum stomachum appellitant: ac nos sane etiam compendii nimirum causa hac appellatione toto hoc utemur libro. Sed et sunt qui tametsi vel maxime quod ad morbum pertineat sectione venae indigeant, ob totius tamen corporis habitum ferre nequeant. Quae si quis etiam definire aggrediatur, particularis excipiet contemplatio, sicuti in alio quovis auxilio. Mox autem de venis quae veniunt secandae: nam de istis quaesitum est multum nihilne referat quam quis secare venam volet, omnes enim omnibus aeque affectibus prodesse: an sicut Hippocrati ac prope medicorum clarissimo cuique visum est, multum intersit hanc an illam incideris. Porro hac quoque speculatione absoluta succedit de scopis sive intentionibus oratio, quibus videlicet quis animum attendens vacuationis mensuram conjectura queat assequi. Ad haec omnia, in quibus semel auferre praestet, in quibus vero repetitam facere ..lationem, quam *ἐπαφαίρεσιν* nominant, expediat. Tum in

Ed. Chart. X. [429.] Ed. Baf. IV. (17.)

καὶ τινὰς μὲν ἄχρι λειποθυμίας κενοῦν, ἐπὶ τινῶν δὲ φυλάττεσθαι ταύτην, ὡς μέγιστον κακόν. ταῦτα μὲν οὖν ἀναγκαῖόν ἐστιν ἐπισκέπτεσθαι τὸν μέλλοντα καλῶς χρῆσθαι τῷ βοηθήματι.

Κεφ. β'. Καὶ λέλεκται περὶ πάντων αὐτῶν ἤδη κατὰ τὴν τῆς θεραπευτικῆς μεθόδου πραγματείαν, καθάπερ γε καὶ πρὸς Ἐρασίστρατον ἰδίᾳ περὶ τοῦ κακῶς αὐτὸν ἀποστῆναι τοῦ βοηθήματος. εἶτα αὖθις ἄλλο πρὸς ἐκείνους τῶν Ἐρασιστρατείων ὅσοι φασὶ κεχρῆσθαι τῷ βοηθήματι τὸν ἄνδρα. διὸ καὶ μισήσειεν ἄν τις ἤτοι τὴν πανουργίαν τῶν μιαρῶν σοφιστῶν, ὅταν γιγνώσκοντες ὅτι ψεύδονται, ἐπιτεχνάζονται ἐπιθυμίᾳ καινοτομίας, ἢ τὴν δοξοσοφίαν, ὅταν ἀγνοοῦντες τὰ χρησιμώτατα, κατασκευάζουσι τῷ λόγῳ τἀναντία. τούτων γάρ τοι τὸ ἕτερον ὁ Κνίδιος Χρύσιππος ἔπαθεν ἐξελὼν παντάπασι φλεβοτομίαν τῶν βοηθημάτων τῶν ἰατρικῶν. ἠκολούθησαν δ' αὐτῷ καὶ οἱ μαθηταὶ Μήδιός τε καὶ Ἀριστογένης ἔνδοξοι καὶ αὐτοὶ παρ' Ἕλλησι γενόμενοι. τούτων δ' ἐπὶ μᾶλλον ὁ Ἐρασίστρατος εἰς δόξαν ἀρθεὶς λαμπροτάτην ἐφύ-

quibus inanire ad animi conveniat deliquium, in quibus autem id tanquam fummum malum vitandum. Haec igitur profpiciat neceffe eft qui probe hoc uti remedio volet.

Cap. II. Sane de omnibus iftis in medendi methodo tractavimus, ficut et feorfum adverfus Erafiftratum, quod perperam ab hoc abftinuit remedio. Deinde alium etiam librum confcripfimus ad eos Erafiftrateos, qui ufum effe hoc auxilio virum afferunt. Itaque odio fane digniffima eft fceleftiorum fophiftarum tum verfutia, qui quum mentiri fe fciant, aftu tamen contraria prae novarum rerum ftudio adftruant: tum fapientiae vanae aucupium, qui rerum utiliffimarum ignari, contraria tamen verbis afferverant. Horum alterum Chryfippo Cnidio accidit, qui venae incifionem ex omni medicinalium praefidiorum numero tollendam cenfuit. Secuti hunc funt fui difcipuli et ipfi apud Graecos clari, Medius et Ariftogenes. His etiam magis Erafiftratus, ad fum-

λαξε τὴν Χρυσίππου γνώμην. εἶθ' ἑξῆς οἱ τούτου μαθηταὶ τό γε κατ' ἀρχὰς ἠκολούθησαν ἅπαντες τῷ τοῦ διδασκάλου δόγματι, χρόνῳ δ' ὕστερον ἀπέστησαν τινὲς αὐτῶν αἰδεσθέντες ἀναίσχυντον αἰδώ. τί γὰρ ἂν ἄλλο τὶς εἴπῃ πρὸς τοὺς ὑπομείναντας ἀποφήνασθαι προσίεσθαι τὸ τῆς φλεβοτομίας βοήθημα τὸν Ἐρασίστρατον, εἰ καὶ μηδαμόθι φαίνεται τῶν συγγραμμάτων ἐπὶ μηδενὸς πάθους αὐτὸ συμβουλεύων; ἀκόλουθον γὰρ οὖν ἦν φασὶ τῷ τὴν ἀσιτίαν ὡς κενωτικὸν βοήθημα παραλαμβάνοντι καὶ τὴν φλεβοτομίαν πολὺ μᾶλλον ἐκκρίνειν. οἱ δὲ ταῦτα λέγοντες ἅπαντες ἀξιώσουσι φλεβοτομεῖν, ἐφ' ὧν Ἐρασίστρατος ἐκέλευσεν ἀσιτίᾳ χρῆσθαι. γεγραφότος οὖν αὐτοῦ κατὰ τὴν τῶν πυρετῶν πραγματείαν, ἐν ταῖς ἀρχαῖς τῶν νόσων ἀσιτίαν, ἀκόλουθόν ἐστιν ἅπαντας φλεβοτομεῖν, ὡς καὶ ὁ τούτων λόγος ἐν ἐκείνῳ τῷ καιρῷ. ἔστι μὲν δὴ καὶ τοῦτο μέγιστον κακὸν, εἰ πεισθεῖεν οὕτω πράττειν οἱ τὴν τέχνην μανθάνοντες νέοι. πολὺ δὲ τούτων χεῖρον, εἰ μηδὲ τῶν ἄλλων ὧν διορίσασθαι προσῆκεν, ἐπισκέψονται.

mos evectus honores, Chryſippi ſervavit ſententiam. Poſt quem ipſius diſcipuli principio quidem praeceptoris decreto inſiſtebant, ſed temporis ſucceſſu eorum ex numero quidam ab iis defecerunt, pudore affecti impudentiſſimo. Nam quid aliud in illos dicam, qui afferere ſuſtinent phlebotomiae auxilium recipere Eraſiſtratum, tametſi nusquam in commentariis ullo in morbo hoc conſulere conſpicatur? Immo conſentaneum eſt, inquiunt, qui inediam tanquam evacuatorium auxilium adhibeat, multo magis phlebotomiam admittere. At qui haec afferunt, omnes ad ea tundendam eſſe venam ajunt, ad quae Eraſiſtratus cibo abſtinendum praecepit. Cum ergo ille in opere de febribus ſcribat, adhibendam morborum principiis inediam, ſequitur utique omnibus detrahendum eſſe ſanguinem, id quidem ſane iſti etiam arbitrantur illo utique in tempore. Verum maximum id malum fuerit, ſi ita faciendum adoleſcentibus artem diſcentibus perſuadeatur: multoque etiam pernicioſius, ſi non alia quoque, quae diſcernere convenit, reſpiciant. Quocirca alio libro ea exponere

Ed. Chart. X. [429. 430.] Ed. Bas. IV. (17.)

ταῦτ' οὖν ἠναγκάσθην αὐτὰ καθ' ἕτερον γράμμα διελθεῖν, ἐπιδεῖξαί τε τοῖς νέοις Ἐρασίστρατον οὔτε φλεβοτομίᾳ κεχρημένον, ἄμεινον γὰρ τοῦτο πεισθῆναι τοῦ πάντας ἑξῆς φλε-[430]βοτομεῖν, ὅσους ἐκεῖνος ἀσιτεῖν ἐκέλευσε, μεγίστην τε τὴν ὠφέλειαν ἐκ τοῦ βοηθήματος γίγνεσθαι τοῖς κάμνουσιν, ἐάν τις αὐτῷ προσηκόντως ᾖ χρώμενος. οὐκ οὖν ἔτι γε δέη κατά γε τὴν ἐμὴν γνώμην ἄλλο τί μοι γραφῆναι περὶ φλεβοτομίας, ἐν μὲν τῇ θεραπευτικῇ πραγματείᾳ τῆς χρήσεως τοῦ βοηθήματος εἰρημένης, ὥσπερ γε κἀν τοῖς ὑγιεινοῖς. ἐν δὲ τοῖς δύο βιβλίοις, ὧν τὸ μὲν ἕτερον ἐγράφη πρὸς Ἐρασίστρατον αὐτὸν, τὸ δὲ ἕτερον πρὸς τοὺς ἐν Ῥώμῃ Ἐρασιστρατείους, ἐπιδεδειχότος μου τὰ κακῶς ὑπ' αὐτοῦ δοξασθέντα, παρακαλεσάντων δὲ πολλάκις πολλῶν μὲν φίλων ἰατρῶν, οἳ δοκοῦσί μοι τὴν θεραπευτικὴν πραγματείαν ὀκνεῖν ἀναγινώσκειν, ἠναγκάσθην ὕστερον ἐπὶ τὴν ἐνεστῶσαν ἀφικέσθαι σοι διέξοδον, ὅπως μὴ δόξαιμι φθονεῖν αὐτοῖς, ἐφεξῆς δὲ ἅπαντα κατὰ τὴν προσήκουσαν τάξιν ὑπὲρ τοῦ βοηθήματος εἰπεῖν. καὶ τοίνυν ἤδη μοι καιρὸς ἄρξασθαι τοῦ λόγου.

necesse habui, quo videlicet adolescentibus commonstrarem et Erasistratum venae sectione haudquaquam usum, id enim praestat eos credere quam omnibus uno ordine venam incidere, quibus ille ciborum usu interdicit, et maximum laborantibus inde provenire commodum, si quis recte utatur. Itaque aliud mihi denuo mea quidem sententia de phlebotomia scribendum non fuit, quum nimirum remedii hujus usus quidem in medendi sit methodo expositus, simulque in opere de tuenda valetudine: in duobus autem libellis, quorum alter ad ipsum Erasistratum inscribitur; alter ad Romae degentes Erasistrateos, pravas illius opiniones indicarim. Quum tamen precibus me suis obtundere non cessarent complures amicorum, quos piget, ut mihi videtur, curandi librum perlegere, coactus tandem sum ad haec scribenda descendere, ne scilicet invidere illis videar: mox vero serio convenienti omnia, quae de hoc auxilio proferri possint enarrare. Atque adeo jam tempus est orationem ordiri.

Κεφ. γ'. Τὸ μὲν τῆς διαθέσεως ὄνομα, καθότι καὶ δι' ἄλλων ἡμῖν εἴρηται, παρὰ τὸ διακεῖσθαι γεγονὸς, ὁμοίως ἐκείνῳ κατὰ πολλῶν λέγεται πραγμάτων. ἀλλὰ νῦν γε τὰς εἰς τὸ περὶ φύσιν ἐκτροπὰς ὁποῖαι τινὲς ἂν ὦσι, διαθέσεις ὀνομάζομεν ἐν ἅπαντι τῷ λόγῳ. ζητήσομεν δὲ πρότερον ὁπόσαι καὶ ὁποῖαι τούτων εἰσὶν αἱ κενώσεως δεόμεναι, δεύτερον δὲ τίνες ἐξ αὐτῶν αἱ φλεβοτομίας. ἐπεὶ δὲ τὰ ζητούμενα πάντα δύο τῆς εὑρέσεως ὄργανα κέκτηται, λόγον καὶ πεῖραν ἐν ἁπάσαις ταῖς τέχναις, οὐχ ἥκιστά τε καθ' ὅλον τὸν βίον, ἀναγκαῖον οἶμαι καὶ νῦν ἤτοι διὰ τοῦ λόγου μόνου γενέσθαι τῶν προκειμένων τὴν εὕρεσιν ἢ διὰ πείρας μόνης ἢ δι' ἀμφοτέρων. ἐπεὶ δὲ καὶ ὁ λόγος αὐτὸς ὁ μὲν ἐκ τῶν κοινῶν ἐννοιῶν μόνων ἀρχόμενος εὑρίσκεται καὶ ἀποδείκνυσιν, ὁ δὲ καὶ τοῖς ἐκ τούτων εὑρημένοις χρῆται πρὸς ἀπόδειξιν, ἑκατέρων τε τῷ λόγῳ ἐδείχθησαν ἡμῖν αἱ τέχναι πᾶσαι χρώμεναι, καὶ ἡμεῖς νῦν ὁπότερος ἂν αὐτῶν εὑρίσκηται χρήσιμος, ἐκεῖνον προσχειριούμεθα. τῷ μὲν οὖν προτέρῳ τῶν λόγων ἅπαντες

Cap. III. Affectionis vocabulum, velut alibi diximus, ab afficiendo dictum, aeque atque illud de multis effertur rebus. Sed nunc receſſus in ſtatum praeter naturam, qualescunque ii fuerint, affectiones ſive affectus toto hoc libro nominabimus. Quaeremus autem omnium primum, quot qualesque eae ſint vacuationem poſcentes, deinde quaenam ex iis venam incidi poſtulent. Quoniam autem omnia, quae in quaeſtionem veniunt, duo inventionis organa obtinent nempe rationem et experientiam: idque cum in artibus omnibus, tum per omnem prope vitam, neceſſe eſſe arbitror et nunc quoque me aut ratione ſola aut ſola experientia aut junctis ambobus quae propoſita ſunt ſcrutari. Porro quoniam ratio ipſa partim ex communibus tantum notionibus progrediens invenit et demonſtrat, partim vero etiam quae ex iſtis inventa ſunt ad demonſtrationem adhibet, utraque ratione omnes uti artes demonſtravimus: ac nos quoque in praeſentia utra earum utilis reperietur, eam rebus noſtris accommodabimus. Sane priori ratione omnes per totam vitam ho-

ἄνθρωποι χρῶνται καθ' ὅλον τὸν βίον, τῷ δευτέρῳ δ' οὐχ ἅπαντες· ἴδιος γάρ ἐστι τῶν τεχνιτῶν. ὁ γάρ τοι γεωμέτρης τὸ μὲν πρῶτον θεώρημα τῆς αὐτοῦ τέ(18)χνης διὰ τοῦ προτέρου λόγου μόνου δείκνυσιν, εἶτα τῷ δευτέρῳ μόνῳ χρῆται, προσλαμβάνει δὲ εἰς τὴν ἀπόδειξιν αὐτῆς καὶ τὸ ἐκ τοῦ πρώτου κατασκευασθέν. ὅσῳ δ' ἂν ἐπὶ πλέον ἀφίστηται τοῦ πρώτου θεωρήματος, ἐπὶ τοσοῦτον ἀφίσταται καὶ τοῦ προτέρου λόγου καὶ τελευτῶν ἐλαχίστοις χρῆται, διὰ τῶν ἀποδεδειγμένων ἀποδεικνὺς ἕτερα καὶ δι' ἐκείνων αὖθις ἄλλα. καὶ εἶτ' ἂν αὖθις ἄλλα δι' ἐκείνων, ὥστε ἔρχεσθαί ποτε τὴν δεῖξιν αὐτῶν ἄχρι τῶν τοῖς ἰδιώταις ἀπίστων, ἡλίου καὶ σελήνης καὶ γῆς, οὐ μόνον τῶν μεγεθῶν, ἀλλὰ καὶ τῶν διαστημάτων τῆς γνώσεως, ἐξ ὧν εὑρεθέντων ὡρολόγιά τε κατασκευάζουσι καὶ κλεψύδρας οἱ τὴν ὁδὸν ταύτην βαδίσαντες, ἐκλείψεις τε προλέγουσιν ἡλίου καὶ σελήνης. οὕτως οὖν καὶ ἡμῖν ὁ τεχνικὸς λόγος ἀποδεδειγμένος ἐν ἑτέραις πραγματείαις χρήσεται πολλοῖς, ἐνίοις μὲν ὡς δυνάμεις τινές εἰσι διοικοῦσαι τὰ ζῶα πλείους, ὧν τὰς μὲν φυσικάς, τὰς δὲ ψυχικὰς ὀνομάζομεν. αἱ

mines uti affolent, altera vero non omnes, nam proprie ad artifices attinet. Etenim geometra primum artis fua theorema per folam priorem rationem demonftrat, deinde in fecundo non fola ea utitur, fed ad ejus demonftrationem quod ex prima probatum eft una adhibet. Quantum vero deinceps a primo recedit theoremate, tantum etiam a prima ratione abfcedit. Denique vero et pauciffimis utitur, per ea quae demonftrata funt alia demonftrans et per illa rurfum alia et iterum per illa alia, ut tandem demonftratio ad ea, quae plebi incredibila funt, procedat, nempe ad folis, lunae et terrae non folum magnitudinum, fed et diftantiarum cognitionem. Ex quibus tandem inventis horologia conftruunt et clepfydras, qui hac videlicet via incedunt lunaeque ac folis deliquia praedicunt. Sic igitur et noftra artificialis ratio multis utetur, quae in aliis operibus funt demonftrata, puta, quod complures funt facultates quae animalia gubernant, quantum alias naturales, alias animales appella-

δ᾽ ἀρχαὶ [431] τῆς γενέσεως ἅπασι τοῖς οὖσιν ὕλην ἔχουσι τὰ τέτταρα στοιχεῖα, κεράννυσθαί τε πεφυκότα δι᾽ ὅλων ἀλλήλων καὶ δρᾷν εἰς ἄλληλα. διὰ τοῦτο οὐδὲ Ἀσκληπιάδου μνημονεύσομεν ἔτι κατὰ τόνδε τὸν λόγον ἀποδεδεικότες αὐτοῦ τὰ στοιχεῖα ψευδῆ, κατά γε τὸ τρισκαιδέκατον ὑπόμνημα τῶν περὶ τῆς ἀποδείξεως καὶ κατὰ τὴν τῶν Ἀσκληπιάδου δογμάτων πραγματείαν, ἐν ᾗ τὸ πέμπτον τε καὶ ἕκτον ἔλεγχον ἔχει τῶν στοιχείων αὐτοῦ. δέδεικται δὲ κᾀν τῷ περὶ τῶν Ἱπποκράτους στοιχείων ὑπομνήματι περί τε τῶν δραστικῶν ποιοτήτων, ὧν ὀνόματα θερμότης, ψυχρότης, ξηρότης, ὑγρότης, ἥ τε τῶν χυμῶν διαφορά τε καὶ γένεσις. εἴρηται δὲ καὶ περὶ τῶν καθαιρόντων φαρμάκων ἕκαστον τῶν χυμῶν ὀλίγα μέν τινα κᾀν τῷ περὶ τῶν στοιχείων συγγράμματι, καὶ κατὰ μόνας δ᾽ ἐν ἑτέρῳ βιβλίῳ καὶ ἡ περὶ κράσεων δὲ πραγματεία τῇ περὶ τῶν στοιχείων ἑπομένη χρησίμη πρὸς τὸν ἐνεστῶτα λόγον. ἁπάντων δὲ μάλιστα τὸ περὶ πλήθους βιβλίον, ἐν ᾧ δέδεικται τὸ μὲν ὡς πρὸς δύναμιν πλῆθος, τὸ δ᾽ ὡς πρὸς τὴν εὐρυχωρίαν, ἐν ᾗ περιέχεται ὑπὸ τῶν ἰατρῶν τὸ πλῆθος

mus. Generationis autem principia in rebus omnibus pro materia quatuor habent elementa, quae per fefe mutuo tota mifceri inque invicem agere funt nata: Quapropter nulla hoc libro Afclepiadis fiet mentio, ut cujus elementa falfa oftendimus et in decimotertio de Demonftratione commentario et in opere de Afclepiadis placitis, in quo quintus et fextus elementorum ejus confutationem continent. Demonftratum eft etiam et in commentario de Elementis ex Hippocratis fententia confcripto, de qualitatibus effectricibus, quarum nomina funt, caliditas, frigiditas, humiditas et ficcitas, et de humorum tum differentia tum generatione. Porro de medicamentis humorem unumquemque purgantibus paucula quaedam in libro de Elementis, fed feparatim in alio libro tractavimus. Utilis quoque in rem praefentem tractatio de Temperamentis eft, elementorum fequens tractationem: verum omnium maxime liber de Plenitudine, in quo oftenfa eft et ut ad vires plenitudo et ut ad capacitatem in

τοῦτο κατὰ τὸ ἔγχυμα. κάλλιστον οὖν ἐστι τοῖς μέλλουσιν ἐξετάζειν ἐπιστημονικῶς τὰ κατὰ τήνδε τὴν πραγματείαν εἰρημένα τὸ περὶ πλήθους ἀνεγνωκέναι βιβλίον. ὅσων δ' αὖ πάλιν ἐκεῖνο δεῖται προανεγνωσμένων αὐτὸ δηλώσει. θαυμαζέτω δὲ μηδεὶς εἰ τοσούτων δεόμεθα πρὸς τὸ καλῶς ἐπισκέψασθαι περὶ φλεβοτομίας. οὐ γὰρ εἰς τούτου μόνου τοῦ βοηθήματος εὕρεσιν, ἀλλὰ καὶ τὴν τῶν ἄλλων ἁπάντων ἀναγκαία τῶν εἰρημένων ἐστὶν ἡ γνῶσις. ὡς εἴ γε χωρὶς τῆς ἐκείνων ἐπιστήμης ἐνεχώρει θεραπεύειν ὀρθῶς, οὐκ ἂν ἐσπουδάσαμεν αὐτά. ταυτὶ μὲν οὖν ἀναγκαῖα ἦν προειπεῖν. αὐτοῦ δ' ἤδη καιρὸς ἄρξασθαι τοῦ λόγου σκοπουμένοις ὁπόσαι διαθέσεις εἰσὶν αἱ δεόμεναι κενώσεως. ἐὰν μὲν οὖν ἐκ πείρας τις αὐτὰς ἠθροικὼς διέρχηται, μνήμης χρεία μόνης ἐστὶ πρὸς τὴν δήλωσιν· ἐὰν δ' ἐκ λογικῆς ὁδοῦ, τὸ κοινὸν καὶ καθόλου ἀναγκαῖόν ἐστιν εὑρεῖν, ἔπειτ' ἐκ τῆς ἐκείνου τομῆς εἰς εἴδη τε καὶ διαφορὰς ἄχρι τῶν ἐσχάτων εἰδῶν εὑρίσκειν τὸν ἀριθμὸν τῶν ἐνδεικνυμένων τὴν κένωσιν διαθέσεων. οὕτω

qua continetur. Atque haec plenitudo a medicis *κατὰ τὸ ἔγχυμα* nuncupatur. Optimum ergo fuerit, ut qui ſcienter volet expendere quae hoc volumine dicenda veniunt, de Plenitudine librum prius perlegat: quae vero et ille ante perlecta requiret, ipſe indicabit. Nec vero mirum cuiquam videri debet ſi tantis ſit opus, ut probe de vena ſecanda contemplari liceat: non enim ad hujus ſolius auxilii inventionem, ſed et aliorum omnium neceſſaria eſt eorum quae modo recitavimus cognitio. Nam ſi citra illorum notitiam recte curare poſſemus, haud eſſet cur ea tanti faceremus. Sed haec praefari neceſſe fuit. Tempus autem nunc eſt orationem ordiri, conſiderando quot ſint affectiones vacuatione indigentes. Ergo ſi quis eas experientia collectas exponat, ſola opus eſt ad explicationem memoria. At ſi via rationali, commune et generale inveniat neceſſe eſt: ex illius deinde in ſpecies differentiasque ſectione usque ad ſpecies ultimas affectuum numerus vacuationem indicantium inveſtigandus

γὰρ δείξομεν ἅπαντα συνιστάμενα τὰ διὰ λογικῆς ὁδοῦ τὴν εὕρεσιν ἔχοντα.

Κεφ. δ΄. Τῆς οὖν ἰατρικῆς τέχνης ἔργον ἐχούσης ἁπάσας τῶν μορίων τοῦ σώματος τὰς κατὰ φύσιν ἐνεργείας ἀνασώζειν μὲν ὁπότε διαφθείροιτο, φυλάττειν δ᾽ ὁπότε σώζοιντο, τούτων δ᾽ ἑπομένων τῇ φυσικῇ κατασκευῇ, ταύτην ἀναγκαῖόν ἐστι φυλάττειν τε παροῦσαν, ἀνακτᾶσθαι δὲ διαφθειρομένην. ἐπεὶ τοίνυν ἐδείχθησαν ὑπὸ τῶν ὁμοιομερῶν σωμάτων αἱ πρῶται τῶν ἐνεργειῶν ἐπιτελούμεναι, διὰ δὲ τῶν ὀργανικῶν αἱ δεύτεραι, ἐπισκεπτέον ἔστω σοι τὰ κατὰ τὸ σῶμα περιεχόμενα τῶν ὑγρῶν ἥντινα τὴν ὠφέλειαν ἢ τὴν βλάβην ἐργάζεται τοῖς μορίοις αὐτοῦ. δεδειγμένου τοίνυν ἐν τῷ περὶ πλήθους βιβλίῳ διττῶς γίνεσθαί τε καὶ λέγεσθαι τὸ πολὺ, κατὰ μὲν τὸ ἕτερον τῶν σημαινομένων ὡς πρὸς τὴν δύναμιν, κατὰ δὲ θάτερον ὡς πρὸς τὴν εὐρυχωρίαν τῶν περιεχόντων τοὺς χυμοὺς ἀγγείων, ὅπερ ὀνομάζουσιν ἔνιοι κατὰ τὸ ἔγχυμα, κενώσεως δέ ἐστιν ἑκατέρῳ χρεία, κἂν ἐπὶ νοσοῦντος ἀνθρώπου κἂν ἐπὶ ὑγιαίνοντος ἐπιγίγνηται. καθάπερ γε καὶ ὁ τὸ φορτίον βαστάζων οὐκ εὐθὺς ἅμα τῷ

eft. Sic enim conftare univerfa quae per rationalem viam inventionem fortiuntur, monftrabimus.

Cap. IV. Igitur cum artis medicae officium fit, omnes partium corporis functiones ubi corrumpuntur quidem recuperare, tueri autem ubi falvae fuerint, haeque ad conftitutionem fequantur naturalem: necesse eft hanc, dum praefens eft, fervare, intereuntem vero recuperare. Quum ergo primarias actiones a fimilaribus corporibus perfici oftenfum fit, ab inftrumentariis vero fecundarias, videndum eft tibi, qui in corpore continentur humores, quam aut utilitatem aut noxam partibus ejus afferant. Pofteaquam igitur in libro de Plenitudine demonftratum eft bifariam et fieri et dici plenitudinem, nempe uno fignificato ut ad vires, altero ut ad continentium humores vaforum laxitatem, quod quidem vocant κατὰ τὸ ἔγχυμα, utrique evacuatione eft opus, five in homine valetudinario five valente evenerit. Sane quemadmodum qui onus geftat, non protinus ubi gravatur

Ed. Chart. X. [431. 432.] Ed. Baſ. IV. (18.)

βαρύνεσθαί τε καὶ κάμνειν ἤδη καταπέπτωκέ τε καὶ νενίκηται πρὸς αὐτοῦ, κατὰ τὸν αὐτὸν τρόπον, ὅταν ἡ δύναμις ὑπὸ πλήθους βαρύνηται, δυνατόν ἐστι μηδέπω νο[432]σεῖν τὸν ἄνθρωπον. εἰ γοῦν ἔνιοι τῶν ἔτι τὰς συνήθεις πράξεις πραττόντων λέγουσιν ὡς αἰσθάνονται βαρέων ἑαυτῶν καὶ νωθρῶν καὶ ὀκνηρῶν καὶ δυσκινήτων, αὐτὸ τοῦτό ἐστι τὸ πλῆθος τὸ πρὸς τὴν δύναμιν, ὥσπερ καὶ ὅταν ἀπὸ γυμνασίων τετάσθαι δοκῶσιν, ὥσπερ Ἐρασίστρατος ἔφη, παραπίπρανται βραχίονές τε καὶ πήχεις, οὐ μικρὸν γνώρισμά ἐστι θατέρου πλήθους, ὃ κατὰ τὸ ἔγχυμα καλεῖσθαι πρός τινων εἶπον, ἐπειδὴ κατὰ τοὺς ἐγκεχυμένους τοῖς ἀγγείοις χυμοὺς συνίσταται καὶ νοεῖται. λέλεκται δ' ἐν τοῖς ὑγιεινοῖς ἑλκώδους αἰσθήσεως ἐν ὅλῳ τῷ σώματι γιγνομένης, καὶ μάλιστα κατὰ τὰς κινήσεις, κακοχυμίας ἔγγονον εἶναι τὴν τοιαύτην διάθεσιν. ἀλλ' ὅμως καὶ τοῦτο φαίνεται γιγνόμενον οὐκ ὀλίγοις τῶν πραττόντων ἔτι τὰς συνήθεις πράξεις. καὶ κατὰ μόριά δέ τινα τοῦ σώματος οὐχ ὅλον ἐνίοτε τὸν ὄγκον ἐπιφαίνεται τὰ σημεῖα τῶν ἐν ἐκείνοις τοῖς μορίοις ὁμοίων διαθέσεων, ὁποῖαι τοίνυν εἴρηνται καθ' ὅλον τὸ σῶμα συνι-

ac fatigatur jam cecidit et victus ab eo eſt, ad eundem modum ubi virtus a plenitudine gravatur, fieri poteſt ut nondum homo aegrotet. Siquidem nonnulli, qui conſueta etiamnum munia obeunt, ſentire ſeſe graves, pigros, ſegnes atque aegre mobiles referunt, atque ea eſt ut ad virtutem plenitudo: velut ubi poſt exercitia tendi videantur, quemadmodum Eraſiſtratus dixit, implentur brachia et cubitus, non exigua eſt ea alterius plenitudinis nota, quam *κατὰ τὸ ἔγχυμα* vocari a quibusdam propoſui, quandoquidem *κατὰ τοὺς ἐγκεχυμένους*, id eſt infuſis per vaſa humoribus, conſiſtit et intelligitur. Dictum autem eſt in libris de ſanitate tuenda, ubi in toto corpore ſenſus provenit ulceroſus, ac potiſſimum dum movemur, talem affectum mali ſucci eſſe ſobolem. Attamen id non paucis conſuetas etiamdum res agentibus uſu venire conſpicitur. Quamquam autem et in partibus quibusdam corporis, non in tota mole indicia exiſtunt affectionum illis in partibus conſiſtentium, ſimilium iis quas in toto corpore

στασθαι. κεφαλῆς γοῦν μόνης αἰσθανόμεθα ποτὲ βαρυνομένης ἢ ἑλκώδη τινὰ αἴσθησιν ἐχούσης, ἢ τῶν κροταφιτῶν μυῶν τεινομένων ἤτοι γ᾽ ἁπλῶς ἢ μετὰ θερμασίας πλείονος. οὕτω δὲ καὶ καθ᾽ ἧπάρ τε καὶ σπλῆνα καὶ γαστέρα καὶ πλευρὰς καὶ διάφραγμα βάρους αἰσθανόμεθα πολλάκις. ὡσαύτως δὲ καὶ κατὰ τὸ στόμα τῆς γαστρὸς ἤτοι βάρους, ἢ δήξεως, ἢ ναυτίας, ἢ ἀποστροφῆς σιτίων, ἢ ὀρέξεως παραλόγου γίνεταί ποτ᾽ αἴσθησις, πρὸς τούτοις καὶ ὀδύναι καθ᾽ ὁτιοῦν ἐρείδουσαι μόριον, ἢ διὰ χυμῶν πλῆθος ἀθρόως ἐπεγχθὲν ἢ διὰ πνεῦμα φυσῶδες ἐνδείκνυνται κένωσιν, ὥσπερ γε καὶ διὰ χυμὸν δριμὺν ἐσθίοντά τε καὶ διαβιβρώσκοντα τὸ μόριον. ἔνιαι δὲ κατὰ δυσκρασίαν γίνονται. καὶ τούτων αὐτῶν τινὲς μὲν ψιλὴν ἄνευ χυμῶν, ἔνιαι δὲ μετὰ χυμῶν. ἐφ᾽ ἁπάντων μὲν οὖν τῶν εἰρημένων αἱ κενώσεις τῶν λυπούντων χυμῶν καὶ ἀτμῶν ἀπαλλάττουσι τῶν παθημάτων τὸν ἄνθρωπον, οὐ μὴν φλεβοτομίας δεόμεθά γε πάντως, ἀλλ᾽ ἀρκεῖ καὶ καθῆραι καὶ τρῖψαι καὶ λοῦσαι καὶ χρῖσαι τινὶ δια-

confiftere dictum nunc eft. Nam caput aliquando folum gravari fentimus, aut ulcerofam quandam affectionem habere, aut mufculos temporis, quos κροταφίτας nuncupant, intendi, idque aut fimpliciter aut cum majore quadam caliditate. Sic et in jecore, liene, ventre, coftis, fepto transverfo gravitatem faepenumero percipimus. Similiter in ore ventriculi aut gravitatem aut morfum aut naufeam aut ciborum faftidium aut abfurdum appetitum quandoque fentifcimus. Ad haec autem fixi in parte quapiam dolores, idque aut ob humorum copiam confertim ingruentium, aut propter fpiritum flatuofum vacuationem indicant, ficut qui ab acri humore partem exedente rodenteque proveniunt. Sunt autem qui ab intemperie nafcantur, atque inter eos ipfos quidam ab ea fola citra humores, alii vero cum humoribus. In omnibus itaque iftis modo propofitis infeftantium tum humorum tum vaporum evacuationes a pathematis, id eft paffionibus hominem liberant. Non tamen vena fecta prorfum eft opus, fed fufficit purgatio, frictio, balneum et inunctio

φορητικῷ φαρμάκῳ. τίνες οὖν εἰσὶν αἱ διὰ φλεβοτομίας ὠφελούμεναι διαθέσεις ἐφεξῆς λεγέσθωσαν.

Κεφ. ε΄. Οὐ μόνον ἡ τροφὴ τοῖς τοῦ ζώου μέρεσιν ἐξ αἵματός ἐστιν, ἀλλὰ καὶ ἡ κατὰ φύσιν θερμασία τὴν διαμονὴν ἐξ αἵματος ἔχει, καθάπερ ἐκ τῶν ἐπιτηδείων καίεσθαι ξύλων τὸ κατὰ τῆς ἑστίας πῦρ, ὑφ' οὗ καὶ τοὺς οἴκους ὁρῶμεν ὅλους θερμαινομένους. ὥσπερ οὖν τὸ πῦρ τοῦτο βλάπτεται ποτὲ μὲν (19) ἀθρόως ξύλων ἐπιβληθέντων αὐτῷ, ποτὲ δ' εἰ καὶ μὴ πολλῶν, ἀλλ' ὑγρῶν ἱκανῶς, ἐνίοτε δ' οὐδ' ὅλως ἐπιτιθεμένων ἢ παντάπασιν ὀλίγων, οὕτω καὶ ἡ κατὰ τὴν καρδίαν θερμότης ποτὲ μὲν ἐλάττων ἑαυτῆς διά τε πλῆθος αἵματος ἢ ἔνδειαν πολλὴν ἢ ποιότητα ψυχρὰν ἀποτελεῖται, ποτὲ δὲ πλείων ἤτοι διὰ ποιότητα θερμὴν αἵματος ἢ δι' ἔνδειαν ὀλίγην. ὅ τι δ' ἂν ἡ καρδία πάθοι κατὰ ψύξιν ἢ θερμότητα, τούτου καὶ τἄλλα μέρη τοῦ σώματος εὐθέως μεταλαμβάνει. γίγνεται δὲ καὶ καθ' ἕν τι μέρος ἐνίοτε παρὰ φύσιν ἤτοι θερμότης ἢ ψυχρότης, ὡς δέδεικται πολλάκις ἐν ἑτέροις ὑπομνήμασι. καὶ γενέσεις δὲ τούτων ἐν διττῷ

cum digerente medicamine. Ergo qui vena incifa juventur affectus, deinceps dicamus.

Cap. V. Non folum nutrimentum animantis partibus ex fanguine eft, fed calor quoque naturalis perfeverantiam ex fanguine obtinet, quemadmodum ex lignis comburi idoneis, qui in foco eft ignis, a quo aedes totas calefcere confpicimus. Itaque quemadmodum ignis hic offenditur, interdum quidem congeftis in eum confertim lignis, interdum vero tametfi non multis, tamen admodum madentibus, nonnunquam autem omnino impofitis aut valde exiguis: fic qui in corde eft calor interdum fe ipfo minor efficitur aut propter fanguinis copiam, aut propter ingentem inopiam, aut propter qualitatem frigidam: interdum vero major aut propter calidam fanguinis qualitatem, aut propter pauculam inopiam. Quicquid autem cor in caliditate frigiditateque perpetitur, ejus protinus et aliae corporis partes participes fiunt. Evenit autem et una in parte perfaepe praeter naturam tum caliditas tum frigiditas, ficuti faepenumero in aliis commenta-

[433] τρόπῳ, ποτὲ μὲν ἐπὶ χυμοῖς θερμοῖς ἢ ψυχροῖς, ἐνίοτε δὲ καὶ κατὰ δυσκρασίαν μόνην. ἀλλ' αἱ μερικαὶ θερμότητες καὶ ψύξεις, ὅσαι μὲν ἐγγύς εἰσι τῷ πεπονθότι μορίῳ συμμεταβάλλουσιν, εἰς ὅλον δ' οὐκ ἐκτείνονται τὸ σῶμα πρὶν τὴν καρδίαν ἀλλοιῶσαι. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐπεδείχθη καὶ τὸ σῶμα τῆς καρδίας ἀλλοιούμενον διττῶς, ἤτοι κατὰ δυσκρασίαν ἢ διὰ χυμοὺς θερμοὺς ἢ ψυχροὺς ἢ δι' ἔνδειαν τινὸς αὐτῶν. οἱ χυμοὶ δὲ ἐδείχθησαν θερμοὶ καὶ ψυχροὶ γινόμενοι διά τε τὸ ποσὸν τῶν ἐσθιομένων τε καὶ πινομένων καὶ δι' ἡσυχίας τε καὶ κινήσεις σώματός τε καὶ ψυχῆς πλείους. ὥσπερ δὲ ἐν τῇ γαστρὶ πολλάκις αἱ πέψεις γίνονται μοχθηραὶ, φλεγματωδεστέρων ἢ χολωδεστέρων ἀποτελουμένων τῶν ληφθέντων, ἢ τινὰ παρὰ φύσιν ἑτέραν διαφθορὰν ἰσχόντων ἢ ὠμῶν καὶ ἀμεταβλήτων ἄχρι πλείστου μενόντων καὶ πνευματουμένων, οὕτω καὶ κατὰ τὴν τοῦ αἵματος γένεσιν ἀποτυγχανομένων, ἀνάλογον ταῖς ἐπὶ τῆς γαστρὸς ἀποτυχίαις τῆς πέψεως, ἔσονται κατ' αὐτὰς τὰς ἀρτηρίας καὶ τὰς φλέβας κατὰ τοὺς χυμοὺς

riis demonftravimus: idque duplici ratione provenit, interdum ob humores calidos aut frigidos, interdum vero ob folam intemperiem. Caeterum quae membratim accidunt caliditates aut frigiditates, eas quae parti quidem affectae vicinae funt una alterant, at in totum extendi corpus priusquam cor mutent nequeunt. Eundem in modum et cordis corpus duplici modo alterari oftenfum eft, aut per intemperiem aut propter humores calidos vel frigidos aut ob alicujus horum inopiam. Porro humores calidos frigidosque fieri demonftravimus pro cibi potusque modo et ob pleniorem corporis animique tum motum tum quietem. Caeterum quemadmodum in ventre frequenter pravae fiunt coctiones, iis quae affumpta funt in pituitam aut bilem converfis aliamve praeter naturam corruptionem perpeffis, aut crudis et alterationis expertibus plurimo tempore manentibus et in flatum verfis, ita ubi fanguinis fraudamur generatione, humorum in arteriis venisque affectiones proportione refpondebunt iis, quae a fruftrata in ventre concoctione proveniebant. Quo-

διαθέσεις. ἐπεὶ δὲ πάντα τὰ θερμὰ καὶ ὑγρὰ φαίνεται τάχιστα σηπόμενα, καὶ μάλισθ᾽ ὅταν ἐν θερμοῖς ᾖ χωρίοις, ἀναγκαῖον ἔσται καὶ τὴν ἐκ τῆς κοιλίας ἀναδιδομένην τροφὴν, ὅταν μὴ κρατῆται καὶ μεταβάλληται πρὸς τῆς φύσεως εἰς γένεσιν αἵματος χρηστοῦ, σηπεδόνας ἴσχειν ἄλλοτε ἀλλοίας. ἐπεὶ δὲ τοῖς ἐξ ὕλης θερμοῦ σηπομένοις συμβαίνει γίνεσθαι θερμοτέροις, διὰ τοῦτο θερμότερον ἔσται τὸ σηπόμενον αἷμα. τούτου δὲ θερμοτέρου γιγνομένου καὶ τὸ μόριον ἐν ᾧ σήπεται θερμότερον αἰσθητῶς ἔσται. ἐπεὶ δ᾽ ὑπὸ τῶν αἰσθητῶς θερμῶν τὰ πλησιάζοντα συνθερμαίνεται, συνθερμανθήσεται τοῖς οὕτω διακειμένοις μορίοις τὰ πέριξ ἅπαντα, δακνώδει καὶ δριμείᾳ δηλονότι θερμασίᾳ, τοιαύτη γὰρ ἡ ἐκ σηπεδόνος. ἐὰν οὖν ἀξιόλογόν τε τὸ μόριον ᾖ τὸ οὕτως θερμανθὲν, ἐκτείνειν τε τὴν ἑαυτοῦ θερμασίαν ἐπὶ τὴν καρδίαν ἱκανὸν, ἤτοι γε ὅτι πλησίον αὐτῆς ἐστὶν, ἢ ὅτι κύριον, ἢ ὅτι θερμὸν, συνεκπυρώσει κἀκείνην, ἅτε φύσει θερμοτάτην οὖσαν. εἰ δὲ ἅπαξ αὕτη πυρωθείη, ῥᾳδίως ἤδη τὸ πᾶν αὐτῆς σῶμα συνεκθερμαν-

niam autem calida ſimul humidaque omnia celerrime putreſcere apparent, et praecipue ſi in locis calidis ſint, conſequitur neceſſario, quod ex ventre diſtribuitur nutrimentum, quando a natura non ſuperatur, inque ſanguinis boni generationem non convertitur, alias aliam perpeti putredinem. Atqui quum quae ex materia calida putreſcunt calidiora etiam evadant, calidior quoque erit proinde ſanguis putreſcens. Hic autem ubi calidior fuerit, calidior quoque ſenſibiliter pars in qua putreſcit evadet. Porro autem, quoniam a notabiliter calidis una quae vicina ſunt incaleſcunt, una quoque cum ſic affectis partibus quae circumquaque ulterius ſunt incaleſcent, idque calore acri ac mordaci: ejusmodi enim eſt qui a putredine proficiſcitur. Ergo ſi pars, quae hoc pacto incaluit, inſignis ſit et calorem ſuum in eo protendere valeat, ſive quod vicina ipſi ſit, ſive quod ex principalibus, ſive quod calida, una et ipſam accendet, ut quod natura calidiſſimum ſit. Quod ſi ſemel illud accenſum fuerit, facile totum ipſius jam corpus ſimul excalfiet, quemadmo-

θήσεται, καθάπερ τινὸς ἑστίας φλόγα πολλὴν ἐχούσης ὁ περιέχων αὐτὴν οἶκος. ὀνομάζουσι δὲ τὸ τοιοῦτον πάθημα τοῦ σώματος οἱ Ἕλληνες πυρετόν. ἐνίοτε δὲ πρὶν ἄρχεσθαι σήπεσθαι τὸ πλῆθος τοῦ αἵματος, ἐπί τι μόριον ἀθρόως ἀφικόμενον ἤτοι τελέως ἐνέκρωσεν, ὥστε διαφθεῖραι τὴν ἐνέργειαν, ἢ βλάβην ἀξιόλογον ἐνεγκεῖν. αἱ γοῦν ἀποπληξίαι κατὰ τοῦτον γίνονται τὸν τρόπον, ἐπὶ τὴν ἀρχὴν τοῦ ζώου ῥυέντος ἀθρόως αἵματος πολλοῦ. ὡς ὅταν γ᾽ εἰς ἄλλο τι κατασκήψῃ μόριον, ὄγκον ἐν τούτῳ παρὰ φύσιν ἐργάζεται. ἐκ τούτου τοῦ γένους ἐστὶ καὶ ἡ φλεγμονή. ὅταν δὲ παχύτερόν τε καὶ μελαγχολικώτερον ᾖ τὸ κατασκῆψαν αἷμα, σκιῤῥώδης ὁ ὄγκος γίνεται, καθάπερ γε καὶ χαῦνος, ὅταν ᾖ φλεγματικώτερον τὸ ῥεῦμα· χολώδους δὲ ὄντος ἐρυσίπελας ἀποτελεῖται. διωρισμένα δ᾽ ἀκριβῶς ἔχεις ἅπαντα ταῦτα κατὰ τὰς προειρημένας ἄρτι πραγματείας, ἀλλὰ νῦν γ᾽, ὡς ἔφην, ὑποθέσεις τῷ παρόντι λόγῳ τὰ δεδειγμένα ποιούμενος ἀκολούθως αὐτοῖς τὸν περὶ τῆς φλεβοτομίας ἐπιδείκνυμι λόγον. ὄντος οὖν πλήθους διττοῦ, κάλλιστον γὰρ ἐντεῦθεν

dum ab ingenti in foco flamma quae illam continet domus. Vocant autem id pathema Graeci quidem πυρετὸν, *Latini vero febrem.* Sed et nonnunquam priusquam putrefcere incipiat fanguinis multitudo in partem aliquam confertim decumbens aut prorfum eam extinxit, ut actio interiret, aut certe non contemnendam noxam inflixit. Nam hoc pacto apoplexiae proveniunt multo nimirum fanguine in principium animantis confertim incumbente. Nam ubi in aliam partem praeceps ruit, tumorem inibi praeter naturam efficit: ex hoc genere eft phlegmone. At ubi craffior eft, melancholiaeque magis naturam refert, qui decubuit fanguis fcirrhofus tumor efficitur: ficut fi pituitofior fit fluxio, laxus: fin biliofa, eryfipelas exiftit. Difcriminata haec ad unguem habes in iis quae modo recenfuimus operibus. Nunc autem, ut dixi, quae funt demonftrata hypothefium loco, hoc in fermone affumens, confequentem illis effe fermonem de venae fectione demonftro. Igitur quum plenitudo duplex fit, opti-

αὔξασθαι, καὶ τοῦ μὲν ὡς πρὸς τὴν δύναμιν εἰς σηπεδόνα τε ῥᾳδίως ἀφικνουμένου καὶ μέντοι καὶ κατασκήπτοντος ἐνίοτε εἰς μόριά τινα, κἀν τούτοις ἐργαζομένου τοὺς παρὰ [434] φύσιν ὄγκους, ἑτέρου δὲ τοῦ κατὰ τὸ καλούμενον ἔγχυμα, κατασκήπτοντος μὲν καὶ τούτου πολλάκις εἰς μόρια καὶ γεννῶντος ὄγκους, ἀλλὰ καὶ τὰς ἀποπληξίας καὶ τὰς ῥήξεις τῶν φλεβῶν ἐργαζομένου, πειρᾶσθαι χρὴ κενοῦν αὐτὸ διὰ ταχέων, πρὶν αὔξασθαί τι μέγα κακὸν ἐργάσασθαι περὶ τὸν ἄνθρωπον. εἴρηται δ' ἐπὶ πλέον ὅπως τε χρὴ διαγινώσκειν ἄμφω τὰ πάθη καὶ ὅπως ἰᾶσθαι, κατὰ τὴν τῶν ὑγιεινῶν πραγματείαν, ὥσπερ γε κἀπειδὰν ἤτοι πυρετὸς ἢ αἵματος ἀναγωγὴ γένηται διὰ πλῆθος, ἤτοι τῶν ἀποπληκτικῶν ἀῤῥωστημάτων, ὅπως χρὴ καὶ τοῦτο θεραπεύειν ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν εἴρηται. διὸ καὶ περιττὴν ἡγοῦμαι τήνδε τὴν συγγραφήν. εἰ μὲν γὰρ ὡσαύτως καὶ ἐν ἐκείναις ταῖς πραγματείαις ἔγραψα, κἀνταῦθα γράφοιμι, δὶς περὶ τῶν αὐτῶν ἀναγκασθήσομαι διέρχεσθαι, καὶ διὰ ταῦτα μακρὸν ἀποτείνειν τὸν λόγον. εἰ δὲ ἐπὶ τὸ συντομώτερον ἄγοιμι τὸν λόγον τόνδε, κινδυνεύσω παθεῖν δυοῖν θάτερον,

mum enim fuerit hinc aufpicari, et ea quae ad vires refertur facile in putredinem perveniat, atque etiam interdum in partes quasdam ingruens inibi tumores praeter naturam excitet: et altera quoque, quae κατὰ τὸ ἔγχυμα appellatur, faepe in partes decumbat ac tumores erect, immo et apoplexias et ruptiones venarum moliatur: eam celeriter evacuare tentandum, priusquam magnum aliquod malum in homine admittat. Porro fufiffime expofitum eft in tuendae valetudinis volumine, quo pacto utramque affectionem et agnofcere et fanare oporteat: ficut ubi febris aut fanguinis rejectio prae plenitudine invalit, aut apoplecticarum infirmitatum aliqua, quomodo et illas curare oporteat in Curandi methodo diximus. Quare de his nunc confcribere fupervacaneum cenfeo. Nam fi perinde ut illis tractatibus fcripfi, ita et hic fcribam, bis eadem de re verba facere cogar, ac propterea in longum etiam fermonem extendere. Sin in compendium fermonem hunc contraham, duorum alterum fubibo periculum,

ἢ ἀσαφῶς τι διὰ τὴν βραχυλογίαν εἰπεῖν, ἢ διορισμόν τινα τῶν χρησίμων παραλιπεῖν. ἀλλ' ἐπεὶ μὴ κατὰ τὴν ἐμαυτοῦ προαίρεσιν ἧκον ἐπὶ τὸν λόγον τοῦτον, εἴ τι γίγνοιτο τῶν εἰρημένων τούτων ἐν αὐτῷ σφάλμα, τὴν αἰτίαν οἱ ἀξιώσαντες ἕξουσιν, ὥσπερ γε καὶ εἰ κατορθωθείη καὶ φανείη χρήσιμος, ἀποστήσομαι τῶν ἐπαίνων ἐκείνοις.

Κεφ. στ'. Ἧδε οὖν αὖθις ἀρχὴ γιγνέσθω τῷ λόγῳ. τοῖς μὲν τὰ συνήθη πράττουσιν, ἤτοι δὲ τῶν κυρίων τι μορίων καὶ σύμπαν τὸ σῶμα βαρυνομένοις ἢ τεινομένοις, ἀναγκαία μέν ἐστιν ἡ κένωσις· εἰ δὲ κατὰ τὴν ἡλικίαν μήτε παῖδες εἶεν ἔτι μήτε ἤδη γέροντες, ἐπισκέπτου περὶ φλεβοτομίας ἀποβλέπων, μάλιστα μὲν εἰς τοὺς πρώτους σκοποὺς τούσδε, τήν τε ποσότητα τοῦ πλήθους καὶ τὴν ποιότητα καὶ τὴν τῆς δυνάμεως ῥώμην ἢ ἀῤῥωστίαν, ἐφεξῆς δὲ τὴν φυσικὴν ἕξιν ὅλου τοῦ σώματος, ὥραν τε καὶ χώραν καὶ τὸν προγεγενημένον βίον, εἰ πλῆθος ἐδεσμάτων καὶ πομάτων καὶ μάλιστα πολυτρόφων ὁ οὕτως ἔχων προσηνέγκατο τὸ ἔθος τε καὶ παρὰ τὸ ἔθος, κινήσεις τε τίνας ἐκινήθη, ἐκκρίσεις τε τίνας ἔσχεν

aut ut ob brevitatem obfcurus fiam, aut diftinctionem aliquam utilem praeteream. Verum quoniam haud mea voluntate hunc aggreffus fum fermonem, fi quod dictorum peccatum eveniat, ipfi culpam ferent, qui auctores fuerunt ut hoc onus fufciperem: fic ut fi recte atque ex fententia accidat, utilisque appareat, laudem illis omnem cedo.

Cap. VI. Rurfus ergo orationi fumatur principium. Qui res confuetas adhuc factitant, fed princeps illis pars aliqua aut totum corpus gravatur tenditurve, iis neceffaria eft evacuatio. Porro fi aetate nec puerili fint, nec fenili, de fecanda vena confilium inito, prae oculis habens principales hofce fcopos, nempe plenitudinis tum quantitatem tum qualitatem et virium robur atque infirmitatem: deinde naturalem totius corporis habitum tempusque et regionem vitamque anteactam, tum an cibi potusque copia et praecipue affatim nutrientium, qui fic affectus eft, fit ufus, ad haec confuetudinem et res praeter confuetudinem actas, quosque motus exercuerit, quas excretiones habuerit, aut praeter folitum compefcuerit: ad

ἢ ἐπισχέθη παρὰ τὸ ἔθος, ἐπὶ δὲ τούτοις ἅπασι πότερον ἰσχνότερος ἢ παχύτερος ἐγένετο. ἡ μὲν δὴ τοῦ πλήθους ἑκατέρου ποσότης ἐκ τοῦ μεγέθους τῶν ἰδίων ὁρισθήσεται σημείων. εἰς ὅσον γὰρ ἑαυτῷ βαρύτερος ὁ ἄνθρωπος εἶναι δοκεῖ, πρόδηλον ὅτι καὶ τὸ πρὸς τὴν δύναμιν πλῆθος εἰς τοσοῦτον ηὔξηται. κατὰ δὲ τὸν αὐτὸν λόγον εἰς ὅσον ἡ τονώδης αἴσθησις ηὔξεται, κατὰ τοσοῦτον καὶ τὸ ἕτερον πλῆθος, ὃ καλεῖσθαι πρός τινων ἔφην κατὰ τὸ ἔγχυμα. τὴν ποιότητα δ᾽ ἐφ᾽ ἑκατέρου τοῦ πλήθους ἔκ τε τοῦ χρώματος (20) διαγνώσῃ, μεμνημένος ὅτι τὸ χρῶμα χυμῶν ἐστιν, ἐπειδὰν μετρίως ἔχει θερμότητος λείπων σῶμα φύσει. τοῖς μὲν γὰρ ψυχροτέροις ψυχροτέρα τοῦ παντὸς σώματος ἡ αἴσθησις ἕπεται, τοῖς δὲ θερμοτέροις θερμοτέρα, καὶ τοῖς μὲν κατὰ τὰς φλέβας ἠθροισμένοις χυμοῖς ὄγκος καὶ διάθεσις τῶν ἀγγείων, τοῖς δ᾽ ἐν τῇ σαρκὶ, κατ᾽ ἐκείνην ἡ αἴσθησις ἤτοι τοῦ βάρους ἢ τῆς τάσεως, ὥσπερ γε καὶ θερμότητος. αἱ δὲ τῶν διοικουσῶν ἡμᾶς δυνάμεων ἀῤῥωστίαι τε καὶ ῥῶμαι ταῖς οἰκείαις ἐνεργείαις ἐδείχθησαν κρινό[435]μεναι, προαιρετικαῖς μὲν κατὰ

omnia autem haec num gracilior aut craffior evaferit. Sane utriusque plenitudinis quantitas ex propriorum fignorum magnitudine definietur. Quanto enim gravior fibi homo videtur, tantum et plenitudinem quoad vires crevifle conftat. Ad eundem modum quantum auctus fuerit tenfionis fenfus, tantum et alteram inauctam plenitudinem, quam a quibusdam κατὰ τὸ ἔγχυμα vocari diximus. At utriusque plenitudinis qualitatem partim ex coloribus agnofces, memor colorem humorum effe, fiquidem modice a colore frigoreque externo affectum totum corpus fuerit, partim ex iis, quae humorum naturae conjuncta funt. Etenim calidiores calidior totius corporis fenfus fequitur, frigidiores vero frigidior: tum eos qui in venis quidem acervantur humores, tumor, vaforumque diftenfio: qui vero in carne, fenfus in ea aut gravitatis aut tenfionis, ficut certe et caliditatis. Porro difpenfantium nos facultatum infirmitatem ac robur propriis indicari functionibus oftendimus: arbitrariis quidem ea quae in nervis

Ed. Chart. X. [435.] Ed. Baf. IV. (20.)

τὰ νεῦρα καὶ τὴν τούτων ἀρχὴν τὸν ἐγκέφαλον, ταῖς δὲ κατὰ τοὺς σφυγμοὺς κατὰ τὰς ἀρτηρίας τε καὶ τὴν καρδίαν, τῇ δὲ κατ᾽ εὐτροφίαν τε καὶ ἀτροφίαν εὔχροιάν τε καὶ ἄχροιαν ἡ τρίτη δύναμις ἡ θρεπτικὴ, ἣν ἐξ ἥπατος ὁρμᾶσθαι ἐδείκνυεν τὴν διάγνωσιν ἐλάμβανεν. ὅταν οὖν ἐπὶ τοῖς τοῦ πλήθους σημείοις αἱ δυνάμεις ἐῤῥωμέναι τυγχάνουσιν οὖσαι, φλεβοτομήσεις δηλονότι κατὰ μὲν τὴν τονώδη διάθεσιν οὐδὲν ἐπιδιοριζόμενος, ἔτι δὲ μᾶλλον οὐδὲ κατὰ τὴν φλεγμονώδη. τοῦ δὲ βαρύνοντος πλήθους ἐνοχλοῦντος οὐ πάντως αἵματος ἀφαιρετέον. ἐνδέχεται γὰρ ὠμὸν ἠθροῖσθαι κατὰ τὸ σῶμα χυμὸν, ἐφ᾽ οὗ προσέχειν ἀκριβῶς χρὴ μέχρι πόσου μὲν ἡ δύναμις ἔῤῥωται, μέχρι δὲ πόσου αὐτὸς ὁ χυμὸς ἔφυ. προκαταλυθεῖσα γὰρ ὑπὸ τῶν τοιούτων διαθέσεων ἡ δύναμις ἐν ταῖς φλεβοτομίαις εἴωθε καταπίπτειν ἐς ἔσχατον, ὡς μηκέτ᾽ αὐτὴν ἀνακτήσασθαι δυνηθῆναι. τούτου δὲ γενομένου κίνδυνος οὐ σμικρὸς ἕπεται, μάλισθ᾽ ὅταν ἐπιπέσῃ πυρετὸς ἐν καταστάσει θερινῇ στομάχου μοχθηρῶς ἔχοντος, ἢ τοῦ σώματος ὅλου μαλακοῦ τε φύσει καὶ ὑγροῦ τὴν κρᾶσιν ὄντος.

et horum principio cerebro: pulfativis autem ea quae in arteriis et corde: at a functione, quae in bona editur nutritione, aut nutritione abolita, tum colore bono aut malo, tertia facultas, nempe nutrix, quam a jecore proficifci demonftravimus, agnitionem fortita eft. Ubi ergo extantibus plenitudinis fignis valentes facultates fuerint, venam incides, videlicet fi tenfiva quidem fit affectio, nullo difcrimine magisque etiam in phlegmonode: fin infefta fit degravans plenitudo, haud femper fanguinis molienda detractio eft: fieri enim poteft ut crudus per corpus collectus fit fuccus. In quo advertendum diligenter eft quantum valeat robuftaque fit virtus, quantum humor ipfe fit refrigeratus: nam exoluta ab id genus affectibus virtus, adhibita fanguinis miffione, in extremum malum recidere folet, ut nequaquam poftea reftitui poffit. Quod ubi evenit, periculum non leve confequitur, potiffimum fi febris accedat ftatu aeftivo, ftomachoque male affecto, aut toto adeo corpore natura molli et temperie hu-

διαφορούνται γάρ οἱ τοιοῦτοι συγκόπτονταί τε τάχιστα, κἂν μὴ μέγας αὐτοῖς ἐπιπέσῃ πυρετός. εἰ δὲ μηδὲν εἴη τούτων, ἀλλ' ὁ χειμὼν ἢ τὸ χωρίον ὑπάρχει φύσει ψυχρὸν, ἥ τε φύσις τἀνθρώπου ψυχροτέρα, καταψύχονταί τε δεινῶς ὅλον τὸ σῶμα φλεβοτομηθέντες, ἐμπίπτει τέ τινα τῶν διὰ κατάψυξιν ἰσχυρὰν ἑπομένων συμπτωμάτων. τοὺς οὕτω διακειμένους οὐ προσήκει διὰ φλεβοτομίας κενοῦν, ἀλλὰ τρίψεσί τε καὶ χρίσμασι μετρίως θερμαίνουσι καὶ πόμασι τέμνουσι τὸ πάχος τῶν χυμῶν καὶ θερμαίνουσι μετρίως. ὅσα γὰρ σφοδρῶς θερμαίνει καταλύει τὴν δύναμιν ἀθροώτερον, ὡς μηκέτι ἐξαρκεῖν τῇ θεραπείᾳ. πολλάκις δὲ καὶ τὸν πυρετὸν συνηύξησεν, ὥστε κἀντεῦθεν βλάβην γίνεσθαι τῇ δυνάμει. διὸ δὲ τῶν τεμνόντων τὸ πάχος χυμῶν, ἐδεσμάτων τε καὶ πομάτων ἡ κατὰ τὸ θερμαίνειν δύναμις ἔστω μετρία.

Κεφ. ζ'. Ὅσοι δὲ αἷμα πτύσαντες ἐθεραπεύθησαν μὲν τῷ παραυτίκα, τοιαύτην δὲ ἔχουσι κατασκευὴν, ἐν τοῖς κατὰ θώρακά τε καὶ πνεύμονα μορίοις, ὡς εἰ βραχὺ πλέον

mido: ejusmodi enim hominibus multa accidit per halitum digeftio repentinaque fyncopa, etiam fi febris haud magna invadat. Si vero horum nihil fit, caeterum hiems fuerit regiove natura frigida, tum natura quoque hominis frigidior iis per fanguinis miffionem et totum corpus graviter refrigeratur, et accidunt nonnulla quae ad gravem fequuntur refrigerationem fymptomata. Quocirca qui fic affecti funt, eos fanguinis miffione vacuare non convenit, fed frictionibus, mediocriterque excalfacientibus unctionibus, tum potionibus humorum craffitudinem incidentibus, ac modice calfacientibus. Nam quae valenter calfaciunt, nimis fubito vires dejiciunt, ut in reliquam curationem non fufficiant: faepe etiam febrem auxere: itaque et inde viribus noxa obvenit. Quapropter humorum incidentes craffitudinem tum cibi tum potus mediocris funto in excalfaciendo facultatis.

Cap. VII. Porro qui fanguine ex pectore rejecto in praefens quidem curati, caeterum eam fortiti funt corporis ftructuram in thoracis pulmonisque partibus, ut vel pauculo

ἀθροισθῇ θέλοι τὸ αἷμα, πάλιν αὐτοῖς ἤτοι γ' ἀναστομωθῆναί τι τῶν ἀγγείων ἢ ῥαγῆναι, τούτους εἰ καὶ μηδὲν εἴη κατὰ τὸ σῶμα μηδέπω σύμπτωμα, φλεβοτομεῖν χρὴ κατὰ τὴν ἀρχὴν τοῦ ἦρος. ὡσαύτως δὲ καὶ τοὺς εἰς ἐπιληπτικὰ πάθη ῥᾳδίως ἐμπίπτοντος ἢ ἀποπληκτικούς. κατὰ δὲ τὸν αὐτὸν τρόπον, εἰ καί τισι τῶν ἄλλων νοσημάτων εὐάλωτον εἰδείημεν εἶναι τὸν ἄνθρωπον, οἷον ἤτοι περιπνευμονικοῖς ἢ πλευριτικοῖς ἢ συναγχικοῖς, ἄμεινον φθάνειν φλεβοτομοῦντας μὴ περιμένοντας φανῆναί τι σύμπτωμα πλήθους ἐναργές. ὡσαύτως δὲ καὶ οἷς αἱμοῤῥοΐδες ἐπέσχηνται, καὶ μάλιστα εἰ μελαγχολικώτεροι φαίνονται. καὶ ὅσοι δὲ καθ' ἕκαστον ἔτος ἐν θέρει νοσοῦσιν νοσήματα πληθωρικὰ, καὶ τούτους χρὴ κενοῦν εἰσβάλλοντος ἦρος. ὡσαύτως καὶ ὅσοι κατ' αὐτὸ τὸ ἔαρ [436] ἁλίσκονται τοῖς τοιούτοις, ἔνιοι ὀφθαλμοὺς ἔχοντες ἀσθενεῖς, ἢ τοῖς ὀνομαζομένοις σκοτωματικοῖς πάθεσιν εὐάλωτοι καὶ αὐτοὶ κατὰ τὴν ἀρχὴν τοῦ ἦρος δέονται κενοῦσθαι, προσδιασκεψαμένων ἡμῶν ὁποῖόν τι τὸ ἀθροιζόμενον αὐτοῖς εἴη. τινὲς μὲν γὰρ τὸν πικρόχολον ἀθροίζουσι χυμὸν πλέονα τῶν ἄλλων,

plus collecto fanguine protinus, aut vafis alicujus ofculum referetur aut ipfum rumpatur: iis etiam fi nullum in corpore etiam dum fymptoma extiterit, ineunte tamen vere fanguinem mittere oportet. Similiter qui prompte morbum comitialem aut apoplexiam incurrunt. Ad eundem modum fi aliorum morborum cuipiam obnoxium effe hominem cognoverimus, puta peripneumoniae, pleuritidi, anginae, committendum non eft ut expectemus dum aliquod evidens plenitudinis fymptoma appareat, fed antevertere fanguinis detractione praeftat. Eodem modo quibus haemorrhoides retentae funt, potiffimum fi natura fint atrabilaria. Quique quotannis aeftate plethoricis morbis corripi affolent, et hos quoque veris initio vacuare expedit. Eadem ratione et qui ipfo etiam vere illius modi malis vexantur. Sunt autem quidam oculis imbecillioribus aut fcotomaticis, quas vocant, hoc eft vertiginofis obnoxii paffionibus, qui et ipfi principio veris inaniri pofcunt. Sed illud prius videndum, quid fit quod in illis acervetur. Siquidem nonnullis amara bilis

Ed. Chart. X. [436.] Ed. Baf. IV. (20)

τινὲς τὸν μελαγχολικὸν ἢ φλεγματικὸν, ἔνιοι δὲ ὁμοτίμως ἅπαντας ἐφ' ὧν αἷμα πλεονάζειν λέγεται. τούτους οὖν ἅπαντας κενώσεις, ὥσπερ καὶ τοὺς ποδαγρικούς τε καὶ ἀρθριτικοὺς ἐν ἀρχῇ τοῦ ἦρος, ἀλλ' ἤτοι φαρμακεύων ἢ φλεβοτομῶν. ἐγὼ γοῦν πολλοὺς ἐτῶν ἤδη τριῶν καὶ τεττάρων ἐνοχλουμένους ἐκ διαλειμμάτων ἀλγήμασι ποδῶν ἰασάμην, ἤτοι καθαίρων τὸν πλεονάζοντα χυμὸν ἐν ἀρχῇ τοῦ ἦρος ἢ αἵματος ἀφαιρῶν. εὔδηλον δ' ὅτι καὶ μέτριοι τινὲς οἱ τοιοῦτοι κατὰ τὴν ὅλην εἰσὶ δίαιταν, ὡς τούς γε ἀκολάστους οἰνόφλυγάς τε καὶ γαστριμάργους οὐδὲν ὀνήσεις μέγα, φαρμακεύων ἢ φλεβοτομῶν. ἀθροίζουσι γὰρ ἐν τάχει πλῆθος ὠμῶν χυμῶν, ἀκολάστως διαιτώμενοι. τούτους μὲν οὐδὲ ἐπιχειρεῖν χρὴ θεραπεύειν, ὅπη δ' εὐπειθεῖς εἰσὶν ὀνήσεις αὐτοὺς μέγιστα κατὰ τὴν ἀρχὴν τοῦ ἦρος, προκενώσας μὲν πρῶτον, ἐφεξῆς δ' ἐπὶ γυμνάσια καὶ δίαιταν ὑγιεινὴν ἀναγαγών. ἃ δ' ἐπὶ τούτων εἴρηκα, ταῦτά σοι νόμιζε καὶ περὶ πάντων εἰρῆσθαι τῶν ἐπιτηδείων ἁλίσκεσθαι πάθεσιν οἷς ἀρτίως εἶπον, οἷον ἐπι-

ſuccus plus caeteris colligitur, quibusdam bilis atrae aut pituitae, aliis ex aequo omnes in quibus ſanguis abundare dicitur. Hos ergo omnes vacuabis. Sicut etiam podagricos et arthriticos veris principio, exhibito videlicet aut medicamento purgante aut ſanguinis diminutione. Equidem complures ipſe ſanavi, qui tribus quatuorve annis per intervalla pedum laboraſſent doloribus, exundante humore veris initio expurgato aut ſanguine diminuto. Caeterum id neminem latere puto, illos in omni deinceps victus vitaeque ratione agere moderatos. Nam intemperantes vinoſosque ac ventri gulaeque deditos neque purgatione neque ſanguinis miſſione magnopere adjuveris, nam per vitae intemperantiam crudorum humorum copiam ocillime colligunt: verum his ne manum quidem admovere tentandum eſt. Eis vero qui praeceptis ſalutaribus obſequentur, ſummopere profueris, ſi principio veris primum quidem evacuaris, deinde autem ad exercitia victusque rationem ſalubrem deinceps perduxeris. Quae de iſtis dixi, haec tibi dicta putato et de omnibus, qui morbis iis quos modo dice-

ληπτικοῖς, ἢ ἀποπληκτικοῖς, ἢ σκοτωματικοῖς, ἢ αἱμοπτοϊκοῖς, ἢ μελαγχολικοῖς.

Κεφ. η΄. Οὐ μόνον δὲ πλήθους ὄντος, ἢ τοῦ πρὸς τὴν δύναμιν ἢ τοῦ κατὰ τὸ καλούμενον ἔγχυμα, φλεβοτομία μεγάλως ὀνίνησιν, ἀλλὰ καὶ χωρὶς πλήθους ἀρχομένην φλεγμονὴν, ἤτοι διὰ πληγὴν ἢ ὀδύνην ἢ ἀτονίαν μορίων. ἥ τε γὰρ ὀδύνη πρὸς αὐτὴν ἐπισπᾶται τὸ αἷμα καὶ πολλάκις ἀτονία μορίων ἐργάζεται φλεγμονὴν ἄνευ τοῦ καθ᾽ ὅλον τὸ σῶμα πλήθους. ἐδείχθη γὰρ ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, ὅταν ἀσθενὲς ᾖ φύσει μόριον, ἑτοίμως βαρυνόμενον, εἰ καὶ βραχὺ πλεῖον ἀθροισθείη ποτὲ ἐν αὐτῷ περίττωμα. καὶ μέντοι καὶ ὅτι δύναμιν ἔχει πᾶν μόριον ὥσπερ ἑλκτικὴν τῶν οἰκείων, οὕτω καὶ τῶν ἀλλοτρίων ἀποκριτικὴν, ὅτι τε διττὸν εἴη τὸ ἀλλότριον, ἕτερον μὲν τῷ ποσῷ, τῷ ποιῷ δ᾽ ἄλλο. διὸ κἂν μὴ βαρύνοιτό τι μόριον ὑπὸ τῶν καθ᾽ ἑαυτὸ χυμῶν, ἴσχει δέ τινα περιττώματα κατὰ τὴν ποιότητα παρὰ φύσιν, ἐπὶ τὴν ἀπόκρισιν αὐτῶν ὁρμᾷν διὰ τῶν ἐν αὐτῷ φλεβῶν ὥσπερ δι᾽ ὀχετῶν, ἀλλ᾽ εἴθ᾽ αἷμα μοχθηρὸν εἴη τὸ

bam capi funt apti, nempe aut comitiali, aut apoplexia, aut vertigine, aut fanguinis rejectione, aut melancholicis.

Cap. VIII. Porro non folum ubi adeft plenitudo, five ea ut ad vires fit, five ut κατὰ τὸ ἔγχυμα, mirifice prodeft venae fectio, verum etiam citra plenitudinem initio phlegmones, quae aut propter ictum aut propter dolorem aut partium debilitatem provenit: quippe quum dolor fanguinem ad fe trahat et faepe et partium debilitas phlegmonem, absque ut in corpore plenitudo fit, procreet: oftenfum eft enim in virtutum naturalium commentariis, infirmam natura partem prompte gravari, fi vel paulo plus acervetur aliquando in ea excrementi: quin etiam quod pars quaelibet vim poffideat, ficut familiarium attractricem, ita quoque alienorum excretricem: tum quod duplex fit alienum, alterum quantitate, alterum qualitate: itaque partem quamvis, quae licet ab humoribus in fe contentis non gravetur, tamen excrementa quaedam habeat in qualitate praeter naturam, ad eorum excretionem per venas inibi fitas tanquam per cales

ὠθούμενον, εἴτ᾽ ἄλλος χυμὸς, ἀνάγκη μὲν εἴς τι τῶν πλησίον ἀφικέσθαι μορίων αὐτόν. ἐν ἐκείνῳ δὲ δυοῖν θάτερον, ἢ πεφθέντα ἢ καὶ διαφθαρέντα, μηκέτ᾽ εἰς ἄλλο μεταρρυῆναι τρίτον, ἢ μηδετέρου τῶν εἰρημένων τυχόντα πάλιν ἐκ τοῦ δευτέρου μορίου μεταρρεῖν εἰς ἕτερον, εἶτ᾽ ἐξ ἐκείνου πάλιν εἰς ἄλλο. καὶ τοῦτο μὴ παύεσθαι γιγνόμενον, ἄχρις ἂν εἴς τι κατασκήψῃ τοιοῦτον, ὃ μηκέτ᾽ εἰς ἄλλο διώσασθαι δύναται τὸ [437] πλεονάζον ἐν ἑαυτῷ. συμβαίνει δὲ τοῦτο τῶν μορίων ἐκείνοις ὅσα τὴν ἀποκριτικὴν δύναμιν ἀσθενεστέραν ἔχει τῶν πλησιαζόντων ἁπάντων. οὐκέτι γὰρ ἀπώσασθαι τὸ λυποῦν εἰς ἐκεῖνα δύναται τὰ μὴ παραδεχόμενα, διὰ τὴν ἐν αὐτοῖς ἰσχύν. ἐδείχθη γοῦν καὶ τοῦτο ἡμῖν δι᾽ ἐκείνων τῶν ὑπομνημάτων, ὡς οὐ μόνον ὠθεῖ τὸ περιττὸν ἕκαστον τῶν μορίων εἰς τὸ πλησιάζον, ἀλλὰ (21) καὶ ὅτι δέχεται μὲν, πολλάκις δ᾽ ἀντιπέμπει καὶ ἀντωθεῖ μὴ παραδεχόμενον εἰς ἑαυτὰ, κᾂν τούτῳ τὸ ἰσχυρότερον ἐκράτησε. διὸ καὶ τὰ πάντων ἀσθενέστερα μόρια πρῶτα τοῖς περιττωματικοῖς ἁλίσκεται νοσήμασιν. ἐκ τοιούτου δέ τινος τρόπου καὶ τὰς καλου-

infurgere. Porro fi quod propellitur, pravus fit fanguis, five alius quivis fuccus, ad propinquam primum veniat partem neceffe eft: ubi rurfum duorum alterum eveniet, aut enim concoctus aut corruptus in aliam tertiam haud transfluet: aut fi neutrum affequatur, denuo ex parte fecunda in aliam labetur, atque iterum ex illa in aliam: neque ceffabit quoad in talem quampiam illabatur, quae amplius ex fe propellere quod in ipfa redundat nequeat. Accidit autem id illis partibus, quae vim excretricem vicinis omnibus imbecilliorem obtinent: fi quidem haud etiam in illas, quae prae virium robore non admittant, repellere quod moleftum eft valent. Nam et hoc quoque nobis in illis monftratum eft commentariis, quod non folum pars quaelibet recrementum in vicinam protrudat, verum quod et recipiat quidem, fed contra faepe remittat et contra repellat, in fefe haud admittens: quo in certamine victoria potitur validior. Quapropter partes infirmiores omnium primae excrementitiis morbis corripiuntur. Hujusmodi quapiam ratione rheumati-

Ed. Chart. X. [437.] Ed. Baf. IV. (21.)

μένας ῥευματικὰς διαθέσεις ἴσθι γιγνομένας, ἀσθενοῦς μὲν ὅλου τοῦ σώματος ὄντος, ὅπερ ἕν τι τῶν τῆς καχεξίας εἶδός ἐστιν, εἰωθότων τῶν κυρίων αὐτοῦ μορίων βαρύνεσθαι, κἂν ὀλίγον ἐν αὐτοῖς ἐστὶ τὸ αἷμα, διωθούμενόν τε τοῦτο πρὸς τὰ κατὰ τὸ δέρμα μέρη τὰ σαρκώδη, καὶ μᾶλλόν γε εἰς τοὺς ἀδένας ἐπιτηδείους ὄντας ὑποδέχεσθαι τὸ περιττὸν, διά τε τὸ χαῦνον τῆς οὐσίας καὶ ὅτι τῶν ἄλλων μορίων ἀσθενεστάτας ἔχουσι τὰς φυσικὰς δυνάμεις, ὥσπερ γε καὶ ἡ πιμελή. τεττάρων γὰρ αὐτῶν οὐσῶν, ὡς ἐδείχθη, πρώτης μὲν τῆς ἑλκτικῆς, δευτέρας δὲ καθεκτικῆς καὶ τρίτης τῆς ἀποκριτικῆς, καὶ τετάρτης τῆς ἀλλοιωτικῆς, τὰς μὲν ἄλλας τρεῖς ἀσθενεστάτας ἔχουσιν οἱ ἀδένες καὶ αἱ σάρκες, τὴν ἀλλοιωτικὴν δὲ μόνην οὐ πολλῷ μείω τῶν ἄλλων μορίων. ἐφεξῆς δὲ τοῖς ἀδένεσιν ὁ πνεύμων ἐστὶν ἑτοιμότατος δέξασθαι ῥεῦμα. καὶ γὰρ οὗτος ἀσθενεῖς τε τὰς τρεῖς ἔχει δυνάμεις καὶ τὸ σῶμα χαῦνον. εἶθ' ἑξῆς ὁ σπλήν. ὁ δ' ἐγκέφαλος ὅμοιος μὲν τούτοις ἢ καὶ μᾶλλον ἐπιτήδειος δέξασθαι ῥεῦμα. πλεονεκτεῖ δ' αὐτῶν ἐκ τῆς κατασκευῆς εἰς ἀπόκρισιν ἑτοίμης οὔσης ὧν

eos vocatos affectus provenire fcito, toto videlicet corpore infirmo, quae una eft mali habitus fpecies: principibus vero illius partibus, paulum licet infit ipfis fanguinis, gravari tamen folitis, eumque ad carnofas cutis partes protrudentibus potiffimumque ad adenas excipiendis recrementis idoneos, tum ob fubftantiae laxitatem, tum quia omnium partium minime robuftas habeant naturales virtutes, ficut et pinguedo. Nam quum quatuor eae fint, ut oftenfum eft, prima attractrix, fecunda retentrix, tertia excretrix et quarta alteratrix, alias quidem tres imbecillimas, adenes carnesque obtinent: at unam alteratricem haud ita multo caeteris partibus minorem. Poft adenas fequitur pulmo, fluxioni recipiendae promptiffimus. Nam et hic tres facultates infirmas poffidet et corpus ipfum laxum. Deinde eft lien. Porro cerebrum aut perinde ut illi aut etiam plus excipiendo fluxu eft habile: caeterum hoc illis potius eft, quod conftructionem habeat rejiciendis iis quae accepit promptiffimam: habet enim in-

ἐπεδείξατο. κοιλίας μὲν γὰρ ἔχει μεγάλας κατάντεσι πόροις ἐκκενουμένας. οἷς ἂν οὖν φύσει ῥωμαλεώτερος ᾖ τοῦ σαρκώδους γένους ὅ πνεύμων τε καὶ ὁ σπλὴν καὶ ὁ ἐγκέφαλος, ἐπὶ τούτων εἰς τοὺς ἀδένας καὶ τὰς σάρκας ἀφικνεῖται τὰ ῥεύματα καὶ τοῦ σώματος ἕξεως ὅλης ἀσθενούσης, ὡς ἐπὶ τῶν ῥευματικῶν ἐστι διαθέσεων. εἰκότως τοιγαροῦν ἡ θεραπεία τούτων οὐ κένωσιν ἔχει τὸν σκοπὸν, ἀλλὰ τοῦ παντὸς σώματος τὴν ῥῶσιν. ἥ γε μὴν ἀρχὴ τῆς θεραπείας ἀπὸ φλεβοτομίας αὐτοῖς γίγνεται. μοχθηρῶν δὲ τῇ ποιότητι τῶν περιττωμάτων ὄντων καὶ κάθαρσιν παραλαμβάνομεν ἐφ᾽ ὧν μάλιστα σωμάτων οὐδετέρου πλήθους ἀναμένειν χρὴ τὸ οἰκεῖον σύμπτωμα, βάρος μὲν τοῦ πρὸς τὴν δύναμιν, τάσιν δὲ τοῦ κατὰ τὸ ἔγχυμα. κατὰ δὲ τὸν αὐτὸν λόγον ἐπὶ τῶν πληγέντων τι μορίων ἀξιολόγως, ἤτε ἄλλως ὁπωσοῦν ἀρχομένην ἐχόντων φλεγμονὴν, ἐπειδὰν μεγάλην αὐτὴν ἔσεσθαι προσδοκήσωμεν, ἀπὸ κενώσεως ἀρχόμεθα τῆς θεραπείας ἢ καθαίροντες ἢ φλεβοτομοῦντες ὁποτέραν κρίνομεν ἀμείνω κένωσιν ἔσεσθαι.

gentes ventriculos, qui pronis meatibus evacuantur. Quibus ergo carnofo genere pulmo, lien ac cerebrum natura robuftiora funt, in iis ad adenas et carnes fluxiones perveniunt, ubi totus nimirum habitus infirmus fuerit, velut in rheumaticis affectibus accidere folet. Merito ergo his curandis fcopus eft non evacuatio, fed corporis totius roboratio, quamquam tamen curationis initium illis a miffo oriatur fanguine: ac fi excrementa pravam etiam qualitatem habuerint, una adhibeatur purgatio: in quibus maxime corporibus neutrius proprium expectandum plenitudinis fymptoma eft, puta gravitas quidem ejus, quae ut ad vires eft, tenfio vero ejus, quae ut κατὰ τὸ ἔγχυμα. Eadem ratione in iis quibus pars quaepiam graviter icta eft, aut utcunque aliter incipientem habet phlegmonem, eam fi magnam fore fufpicamur, curationem ab inanitione aufpicamur, aut purgatorio medicamine exhibito, aut vena incifa, prout nimirum alterum altero magis convenire judicamus.

Κεφ. θ'. Καλῶς οὖν ἐν τοῖς προκειμένοις τῶν περὶ διαίτης ὀξέων παρῄνηται φλεβοτομεῖν ἡμᾶς, ὅταν ᾖ μέγα τὸ νόσημα καὶ ἀκμάζῃ [ἡ νόσος, ᾖ] ὁ νοσῶν καὶ ῥώμη παρῇ. καὶ κακῶς ὁ Μηνόδοτος ἐπὶ τῇ καλουμένῃ πληθωρικῇ συνδρομῇ μόνῃ τὰς [438] φλεβοτομίας λέγει τετηρῆσθαι. τοὐναντίον γὰρ ἅπαν οἱ σκοποὶ τῆς φλεβοτομίας οὐ περιλαμβάνουσι, πρῶτον ἐν αὐτοῖς τὸ πλῆθος, ἀλλὰ τὴν ὑποψίαν τοῦ γενομένου πάθους. εἰ γὰρ ἔσεσθαι φαίνοιτο μέγα, φλεβοτομήσομεν πάντως, κἂν μηδὲν ᾖ τῶν τοῦ πλήθους γνωρισμάτων, ἐπισκοποῦντες ἡλικίαν τε καὶ χώραν καὶ δύναμιν, ἃ μόνα φαίνεται κἀν τοῖς προκειμένοις τῶν περὶ διαίτης εἰρημένα. τὸν μὲν γὰρ ἀκμάζοντα διὰ τὰ παιδία καὶ τοὺς γέροντας εἰς διορισμὸν παρέλαβεν. οἱ πρῶτοι δ' εἰσὶ καὶ κυριώτατοι σκοποὶ τῆς φλεβοτομίας μέγεθος νοσήματος καὶ ῥώμη τοῦ κάμνοντος, καὶ ταύτην χρὴ πρώτην λέγειν εἶναι συνδρομὴν, οὐ τὴν πληθωρικὴν, ἐφ' ᾗ τετήρηται φλεβοτομία. περιέχεται γὰρ ἐν αὐτῇ κἀκείνη τὸ μέγεθος αὐξάνουσα τοῦ νοσήματος. οὐ μόνον γὰρ ὅταν ἤδη παρῇ τὸ μέγα νόσημα, φλεβοτομίας και-

Cap. IX. Recte ergo admonemur in iis quae adjecta funt libro de victus ratione acutorum, fanguinem mittere, fi magnus fit morbus et aeger florenti fit aetate roburque adfit. Perperamque Menodotus in fola fyndrome plethorica fervari venae fectionem inquit. Contra enim prorfum fanguinis mittendi fcopi primum in fe plenitudinem non comprehendunt, fed *fientis* paffionis fufpicionem. Nam fi eam magnam fore apparet, omnino fanguinem mittemus, etiamfi nulla exiftat plenitudinis nota, tantum infpecta aetate, viribus et regione, quae fola in iis quae adjecta funt libro de ratione victus recenferi confpiciuntur. Vigentes enim aetate propter pueros et fenes in diftinctionem affumpfit. Caeterum primi principesque mittendi fanguinis fcopi funt morbi magnitudo et laborantis robur: et hanc effe primam dicendum eft fyndromen non plethoricam, in qua fervata fit fanguinis miffio: in illa enim et haec comprehenditur, ut quae morbi magnitudinem adaugeat. Quippe non folum ubi jam adfit morbus gravis fanguinis detrahendi

ρὸς, ἀλλὰ κἀπειδὰν ἐπίδοξον ἔσεσθαι. φθάνει γὰρ ἡ παίδευσις ἣν Ἱπποκράτης εἶπε διδάσκων ἡμᾶς, ὅσα παρόντων ἤδη τῶν νοσημάτων ὀρθῶς ἂν πράξαιμεν, ἄμεινον εἶναι ταῦτα κατὰ τὰς ἀρχὰς αὐτῶν ἢ μελλόντων ἄρχεσθαι φθάνειν ποιοῦντας. ὥστε τοὺς εἰρημένους σκοποὺς ἐπὶ τοὺς ὑγιαίνοντας ἔστι μεταφέρεσθαι. καὶ γὰρ καὶ τούτους φλεβοτομήσεις ἐπιδόξους γενομένους ἁλώσεσθαι μεγάλῳ νοσήματι, πρός τε τὴν ἡλικίαν ἀποβλέπων καὶ τὴν ῥώμην. εἰ γὰρ ἐπιτήδειός τις ἐν νοσήματι γενέσθαι μεγάλῳ, κἂν μηδὲν μηδέπω κατὰ τὸ σῶμα παρῇ σύμπτωμα, φλεβοτομεῖν ἀξιοῦμεν. ἀρκεῖ γὰρ τὴν ἡλικίαν ἐπισκέψασθαι μετὰ τῆς δυνάμεως, ὥστε τρία τὰ συνέχοντα τὴν διάγνωσιν εἶναι, μέγεθος νοσήματος, ἤτοι παρὸν ἢ προσδοκώμενον, καὶ ἡλικίαν ἀκμάζοντος καὶ ῥώμην δυνάμεως. ἴσως δὲ μόνον ἀμελέστερον ἑρμηνεύεσθαι δόξει τὸ τῆς ἡλικίας ἐν τοῖς προκειμένοις, ἐν τῷ περὶ διαίτης ὀξέων. οὐ γὰρ τὴν τῶν ἀκμαζόντων εἰρῆσθαι μόνον ὀρθῶς ἔχει, ἀλλὰ καὶ τὴν πρὸ αὐτῆς καὶ μετ᾽ αὐτὴν, ὡς δύο μόνας ἐξαιρεῖσθαι τοῦ διορισμοῦ, τήν τε τῶν παίδων καὶ τὴν τῶν γε-

tempus eſt, ſed ubi futurum ſuſpicamur. Antevertit enim Hippocratis doctrina, qua nos docet quaecunque morbis jam praeſentibus recte perageremus, melius eſſe ut ipſa morbis incipientibus aut imminentibus antevertendo faciamus. Quare et propoſitos ſcopos ad ſanos transferre liceat. Siquidem et his ſanguinem mittere expedit, ubi nimirum magni alicujus morbi metus imminet, ratione habita et aetatis et virium. Nam ſi quis ut magnum incurrat morbum ſit habilis, licet nullum etiam corpore ſymptoma acciderit, venam tamen ſecandam cenſemus. Satis eſt enim aetatem et vires inſpexiſſe. Itaque tria ſunt quae agnitionem continent, morbi magnitudo aut praeſens aut imminens, aetas florens, et virium robur. Forte vero negligentius in iis, quam adjecta ſunt libro de victus ratione acutorum, expoſita videri poſſit una aetatis particula. Nec enim florentem duntaxat dixiſſe recte habet, ſed addenda eſt et quae illam praecedit et quae ſequitur, uti videlicet duae tantum diſtinctioni eximantur,

ρόντων. ἀλλ' ἡ μὲν τῶν γερόντων ἐν τῷ τῆς δυνάμεως λόγῳ περιέχεσθαι δύναται. ῥώμη γὰρ οὐδενὶ τῶν κατ' αὐτὴν τὴν ἡλικίαν ἐστίν. ἐνίοις δὲ τῶν ἰατρῶν οὐδὲ τοῖς παισὶν ἔδοξεν ὑπάρχειν ῥώμην κακῶς ἐγνωκόσιν, ὡς ἐν ἑτέροις ἐπιδέδεικταί μοι. φλεβοτομήσομεν οὖν, εἰ μέγα τὸ νόσημα προσδοκοίημεν εἶναι, ἢ παρὸν ἤδη θεωροίημεν ἢ ἀρχόμενον, ἐπισκεψάμενοι τὴν ῥώμην τῆς δυνάμεως, ἐξελοῦντες τοῦ λόγου μόνα τὰ παιδία, καὶ φήσομεν ἐλλειπέστερον εἰρῆσθαι τὴν ἀπὸ τῆς ἡλικίας διάγνωσιν ὑπὸ τοῦ γράψαντος τὰ προκείμενα τῷ περὶ διαίτης ὀξέων. ἀρκοῦσι γὰρ οὗτοι μόνοι σκοποὶ πρὸς φλεβοτομίαν. οὐδὲ γὰρ ὁπότε πλῆθος ὠμῶν χυμῶν ἤθροισται τοιοῦτον, ὡς κελεύεσθαι φλεβοτομεῖν, ὁ λόγος ἐλέγχεται. ῥώμη γὰρ τούτοις δυνάμεως οὐ πάρεστι. καὶ αὐτό γε τοῦτ' ἐστὶ γνώρισμα τοῦ μὴ δύνασθαι φλεβοτομίαν ἐνεγκεῖν αὐτοὺς, ὅταν ἅμα τῷ χρώματι τοῦ παντὸς σώματος ἐμπεπτωκότι τοῦ δηλοῦντος αἷμα πλεονάζειν, ὁ σφυγμὸς ἀνώμαλος ᾖ κατὰ σφοδρότητα καὶ μέγεθος ἐπικρατούντων κατὰ τὴν ἀνωμαλίαν αὐτοῦ τῶν ἀμυδρῶν τε καὶ

nempe puerorum et ſenum. Verum ſenum aetas in virium verbo comprehendi poteſt: nulli enim qui ea aetate eſt, robur ineſt. Quibusdam vero medicis ne pueris quidem robur ineſſe viſum eſt, ſed perperam rem intelligentibus, ſicut alibi nos oſtendimus. Itaque ſi magnum fore morbum expectamus aut jam praeſentem inſpicimus aut incipientem, venam tundemus virium habita ratione tantumque ex oratione exemptis pueris, dicemusque minus perfecte poſitam aetatis dignotionem ab eo, qui conſcripſit ea quae adjecta ſunt libro de victus ratione acutorum: ſatis enim ſunt ad incidendam venam hi duntaxat ſcopi. Neque enim ubi tanta crudorum humorum copia accumulata eſt, ut ſecandam venam prohibeat, ratio redarguitur: nam iſtis virium robur non adeſt. Eſtque hoc indicium, eos haud poſſe ſanguinis miſſionem praeferre, quando una cum colore corporis totius, qui exciderit ab indicando ſanguinem abundare, pulſus adeſt in vehementia et magnitudine inaequalis, exuperantibus per

μικρῶν. ὡρισμένων οὖν τριῶν σκοπῶν φλεβοτομίας, μεγέθους νοσήματος, ἤτοι παρόντος ἢ προσδοκωμένου ἢ ἀρχομένου, ἡλικίας ἀκμάζοντος, ῥώμης δυνάμεως ἔξω τῆς τῶν παίδων ἡλικίας, ἐπὶ τὰ ἄλλα τὰ πρόσθεν εἰρημένα γνωρίσματα φλεβοτομίας, ἃ προσέθηκαν οὐκ ὀλίγοι τῶν ἰατρῶν ἀφίξομεν, συνενδεικνύμενοι τὸ ποσὸν τῆς ἀφαι[439]ρέσεως, οὐκ αὐτὴν τὴν φλεβοτομίαν, ὥστε ἐκ μὲν τοῦ νοσήματος καὶ τῆς ἡλικίας καὶ τῆς δυνάμεως ὅτι φλεβοτομητέον γνωρίζεσθαι, τὸ ποσὸν δὲ τῆς κενώσεως οὐκ ἐκ τούτων μόνων, ἀλλὰ καὶ τῶν ἄλλων λαμβάνεσθαι. ταῦτα δέ ἐστιν ἥ τε πληθωρικὴ καλουμένη συνδρομὴ καὶ ἡ τοῦ περιέχοντος ἡμᾶς ἀέρος κρᾶσις, εἰς ὥραν καὶ χώραν τεμνομένη καὶ τὰ κατὰ τὸν προηγούμενον βίον γεγονότα περί τε ποιότητα καὶ ποσότητα τῶν ἐδηδεσμένων, ἐκκρίσεις τε καὶ κινήσεις ἤτοι γεγονυίας ἢ μή. περὶ μὲν οὖν τῆς ἐν τούτοις διαφορᾶς ὀλίγον ὕστερον ὀψόμεθα.

Κεφ. ι΄. Περὶ δὲ τῶν ἑκατέρου τοῦ πλήθους γνωρισμάτων ἐν τῷ παρόντι σκεψόμεθα, πότερον ἐπὶ φλεβοτομίαν ἀφιξόμεθα πάντως ὅταν φαίνηται ταῦτα περί τινα τῶν ἔτι

ipfius inaequalitatem imbecillibus et parvis. Definitis itaque tribus mittendi fanguinis fcopis, nempe morbi magnitudine aut praefente aut imminente aut incipiente, aetate florente, virium robore, extra puerorum aetatem: ad alia ante dicta mittendi fanguinis indicia, quae non pauci medici adjicienda cenfuerunt, nunc accedamus. Coindicant autem haec detractionis quantitatem, non ipfam fanguinis detractionem. Itaque ex morbo, aetate et viribus minuendus effe fanguis cognofcitur: at vacuationis quantitas non ex illis modo, fed ex aliis deprehenditur. Ea funt plethorica vocata fyndrome, aëris nos ambientis temperies in tempus et locum divifa, eaque quae in anteacta acciderunt vita circa comeforum tum quantitatem tum qualitatem, excretionesque ac motiones aut factas aut non factas. Sed quaenam fit in his diverfitas paulo poft viderimus.

Cap. X. In praefenti autem de utriusque plenitudinis notis contemplabimur, an ubi eae in homine folita negotia obeunte apparuerint, mittendus illi omnino fanguis fit,

τὰ συνήθη πρατ(22)τόντων, ἢ οὐκ ἀναγκαῖον, ὅταν μηδεμία προσδοκία μεγάλου νοσήματος. ἥντινα τοίνυν ἔχωμεν γνώμην καὶ περὶ τούτου ἴστε πολλάκις αὐτοὶ παραγεγονότες μοι συμβουλεύοντι, ἤτοι ποδαγρικοῖς ἢ ἀρθριτικοῖς ἢ ἐπιληπτικοῖς ἢ μελαγχολικοῖς, ἢ αἷμα πρόσθεν ἐπτυκόσιν, ἢ κατὰ θώρακα πρὸς τοιοῦτον πάθημα κατασκευὴν ἐπιτηδείων ἔχουσιν, ἢ σκοτωματικοῖς, ἢ συνεχῶς ἁλισκομένοις συνάγχῃ ἢ περιπνευμονίᾳ, ἢ πλευρίτισιν, ἢ ἡπατίτισιν, ἢ ὀφθαλμίαις σφοδραῖς, ἢ καθόλου φάναι μεγάλῳ νοσήματι. φλεβοτομίαν γὰρ ἐπὶ τῶν τοιούτων ἁπάντων ἀναγκαῖον εἶναι φημὶ βοήθημα παραχρῆμα προσαγόμενον, ἐπιδιωρισμένῃ τῇ δυνάμει τε καὶ ἡλικίᾳ. ταῦτα εἰ μὴ λεχθείη ποτὲ, προσυπακούεσθαι χρή. τοῖς δὲ μηδὲν τοιοῦτον πεπονθόσιν ἔμπροσθεν ἁπάντων τε τῶν μορίων τοῦ σώματος ἄμεμπτον ἔχουσι κατασκευὴν, ἴστε δήπου διττὴν ὁδὸν τῆς κενώσεως ὑποτιθέμενόν με, διὰ φλεβοτομίας μὲν εἰ ἀκρατεῖς εἶεν τῇ διαίτῃ, χωρὶς δὲ ταύτης εἰ ἐγκρατεῖς. ἔνεστι γὰρ καὶ τρίψει πολλῇ καὶ λουτροῖς καὶ περιπάτοις καὶ ταῖς ἄλλαις κινήσεσι, ἔτι χρίσμασι διαφορητικοῖς, ταχέως ἐκκε-

an id neceffarium non fit, ubi nulla magni affuerit morbi expectatio. Porro quid hac de re fentiam, neminem veftrum ambigere arbitror, ut qui faepe affueritis fanguinis miffionem fuadenti tum podagricis tum arthriticis tum epilepticis, ad haec melancholicis, quique fanguinem antea expuiffent, aut in thorace ftructuram fortiti effent ad id malum idoneam, praeterea vertiginofis, quique affidue corripi folent angina, peripneumonia, pleuritidibus, hepatidibus, ophthalmiis vehementibus, aut, ut in fumma dicam, magno quopiam morbo. Nam in illius modi omnibus neceffarium effe remedium minutionem fanguinis arbitror confeftim adhibitam, pofthabitam virium atque aetatis rationem. Haec enim fi forte aliquando non dicantur, fubintelligere oportet. At qui nihil ejusmodi nunquam antea perpeffi fuerint, omniumque corporis partium inculpatam fortiti conftructionem, geminam me vacuationis viam proponere noftis, per venae fectionem quidem, fi in victu fint intemperantes: citra hanc, fi temperantes. Licet enim frictionibus multis balneisque

νῶσαι τὸ πλῆθος, εἰ μὴ ἄρα σοι δόξει ποτὲ παχέος αἵματος εἶναι πλεονεξίαν. τοιοῦτον δέ ἐστι μάλιστα τὸ μελαγχολικὸν ὡς τὰ πολλά. σπανίως δὲ που καὶ τὸ τῶν ὠμῶν καλουμένων χυμῶν. ἀλλ' ἐπὶ μὲν τῆς μελαγχολικῆς καλουμένης περιουσίας φλεβοτομεῖν ἄμεινον, ἢ πάντως γε φαρμάκῳ χρῆσθαι μελάνων καθαρτικῷ, τῶν δ' ὠμῶν χυμῶν ἐπικρατούντων, πρὶν μὲν ἄρξασθαι νοσεῖν, εὐλαβῶς ἀποκενώσεις, ἤδη δὲ πυρεττόντων, ὡς ἔμπροσθεν εἶπον, οὐδ' ὅλως. ἕξεις δὲ αὐτῶν γνώρισμα τό τε τῆς χροιᾶς μολιβδῶδες ἢ ὠχρόλευκον ἅπαντά τε μᾶλλον ἢ ἐρυθρὸν, καὶ τὴν τῶν σφυγμῶν ἀνωμαλίαν. εἰ δὲ ἱκανῶς ηὐξημένον εἴη τὸ τοιοῦτον πλῆθος, καὶ τὸ βάρος τοῦ σώματος αὐτοῖς σύνεστι καὶ πρὸς τὰς κινήσεις ὄκνος καὶ γνώμης νωθρότης καὶ αἰσθήσεων ἀμαυρότης. ἔμπαλιν δὲ τούτοις τοὺς ἐξ ἐπισχέσεως αἱμοῤῥοΐδων ἠθροικότας αἷμα φλεβοτομήσεις θαῤῥῶν, κἂν μὴ πρότερον ὦσι πεπειραμένοι μεγάλου νοσήματος. ἐνδέχεται μὲν γὰρ αὐτοὺς ἐπιτηδείους μὲν εἶναι πρός τι τῶν τοιούτων, οὐδέπω δὲ πεπονθέναι διὰ τὴν ὑπὸ τῶν

et ambulationibus aliisque motionibus, ad haec unctionibus digerentibus, celeriter plenitudinem exhaurire, fi utique videbitur non effe craffi fanguinis abundantia. Talis eft ut plurimum melancholicus, raro vero crudorum quos vocant humorum. Caeterum in redundantia humoris melancholici fangumem mittere praeftat, aut certe omnino medicamento uti atram bilem expurgante. At ubi crudi fucci exuperant, antequam morbus invaferit, caute vacuabis: fed ubi jam febris corripuerit, ut ante monui, nequaquam. Habebis vero eorum indicium tum colorem veluti plumbeum, aut ex pallido album omniaque potius quam rubrum, tum pulfuum inaequalitatem. Si vero etiam admodum creverit talis plenitudo, tum et corporis illis gravitas ineft, atque ad motus pigritia, tum mentis tarditas et fenfus habetudo. Contra vero fi quibus ex compreffis haemorrhoidibus cumulatus in corpore fanguis extiterit, audacter venam incides, etiam fi antea gravem experti morbum non fuerint. Fieri enim poteft, ut apti quidem ad ejusmodi aliquem fuerit, caeterum ob inanitionem, quae ex hoemorrhoïdibus fit,

αἱμοῤῥοΐδων κένωσιν. ἐὰν [440] δὲ καὶ φαίνωνται τινὰ μόρια κατεσκευασμένοι μοχθηρῶς, καὶ μάλιστα τὰ κατὰ θώρακα, πάντως αὐτοὺς φλεβοτομήσεις ἐν τάχει.

Κεφ. ια΄. Τὴν αὐτὴν δὲ γνώμην ἴστε με καὶ περὶ γυναικῶν ἔχοντα τῶν ἐπεσχημένων τὴν ἔμμηνον κάθαρσιν. οὐδὲ γὰρ οὐδ᾽ ἐπὶ τούτων ἀναβάλλεσθαι χρὴ τὴν κένωσιν. οὐ μὴν ἀναγκαῖόν γε σχάσαι τὴν φλέβα. καὶ γὰρ αἱ τῶν σφυρῶν ἀποχαράξεις ἱκαναὶ κενῶσαι τὸ περιττὸν, ἔχουσαί τι καὶ ἄλλο προτρεπτικὸν εἰς τὴν τῶν ἐμμήνων κίνησιν, ὥσπερ γε καὶ αἱ κατὰ τὰ σφυρὰ καὶ τὰς ἰγνύας φλεβοτομίαι. τὰς γὰρ ἐξ ἐπισχέσεως καταμηνίων ἀπὸ τῶν σκελῶν πάντως κενώσεις, εἴτε φλέβα χρὴ τέμνειν, εἴτ᾽ ἀποσχάζειν. ἀντισπᾷν γὰρ εἴωθεν ἡ ἐξ ἀγκῶνος φλεβοτομία τὰς τῶν γυναικῶν καθάρσεις, ἀθροίζουσι δὲ καὶ τούτων αὐτῶν ὅσαι μὲν λευκότεραι λεπτότερον αἷμα, καὶ διὰ τοῦτο ταῖς ἀπὸ τῶν σφυρῶν ἀμυχαῖς ὀνίνανται μάλιστα. τὰς μελαντέρας δὲ φλέβας τέμνων θεράπευε. παχύτερον γὰρ ἀθροίζουσιν αἷμα καὶ μελαγχολικώτερον, ἔτι δὲ μᾶλλον ἂν μεγάλας ἔχειν φαίνωνται τὰς φλέβας. ὑπάρ-

nondum perpeffi. Porro fi quae illis partes pravam fortitae ftructuram appareant, ac potiffimum in thorace, omnino eis ocifsime fanguinem detrahes.

Cap. XI. Idem me fentire noviftis et de mulieribus, quibus menftrua reftitit purgatio. Neque enim profecto proroganda in his evacuatio eft, non tamen neceffe eft illis venam fcindere: quippe quum malleorum fcarificationes fuperfluitati quandoque evacuandae fatis effe queant: et quae et alioqui hoc etiam habent, quod menfium evacuationem ciere poffunt, ficut etiam in malleolis ac poplitibus incifae venae. Nam plenitudines a fuppreffis menfibus ortas omnino per crura evacuabis, five venam fecare oporteat five fcarificare. Sectae enim in cubito venae mulierum revellere purgationem affolent. Porro quae ex mulieribus albidiores funt, fanguinem acervare tenuem folent: quocirca adhibitis malleorum fcarificationibus maxime juvantur. At quae nigriores funt fecta vena curato: craffiorem enim fanguinem ac magis melancholicum colligunt, magis vero etiam fi magnas habere

χει δὲ τοῦτο ἰσχνοτέραις τε καὶ μελαντέραις. εὐσάρκοις δὲ καὶ λευκαῖς σμικρότης τῶν φλεβῶν, ἐφ' ὧν ἀποσχάζειν ἄμεινον τὰ σφυρὰ τοῦ τέμνειν τὴν φλέβα. καὶ γὰρ καὶ μικρὰς αὗται τὰς ἐν τοῖς σκέλεσι φλέβας ἔχουσιν, ὥστε οὐδὲ ῥεῖ τὸ σύμμετρον, εἰ καὶ καλῶς τμηθείη. οὐ χρὴ δὲ ὑμᾶς καταφρονεῖν φλεβοτομίας ὡς οὐκ ἀντισπαστικοῦ βοηθήματος, ἑωρακότας ἐμὲ πολλάκις ἐπὶ τῆς ἐκ ῥινῶν αἱμοῤῥαγίας, ὅταν ᾖ σφοδρὰ, χρώμενον τῷ βοηθήματι καὶ παύοντα τὴν ῥύσιν αὐτίκα. προσήκει δ', ὡς ἐθεάσασθε, μὴ περιμένειν εἰς ἔσχατον ἀφικέσθαι καταπτώσεως τὴν δύναμιν, ἀλλ' ὅταν ἤδη δοκῇ κεκενῶσθαι μὲν τὸ σύμμετρον, ἡ δ' ὁρμὴ τῆς φορᾶς τοῦ αἵματος ἰσχυρὰ διαμένῃ, τέμνειν ἐν ἀγκῶνι φλέβα, δεξιοῦ μὲν αἱμοῤῥαγοῦντος μυκτῆρος τῇ δεξιᾷ χειρὶ, θατέρου δὲ κατὰ τὴν ἀριστεράν· ἅμα δὲ τοῦτο τῷ ἔργῳ καὶ τοῖς κώλοις περιβάλλειν δεσμοὺς ἐκ ταινίων ἢ ἐρίων καὶ σικύαν ὑποχονδρίῳ προσβάλλειν ὡ καὶ εὐθύ· ταῦτα γὰρ καὶ ἡμεῖς ποιοῦντες, ὡς ἴστε, διαπαντὸς ἐπέσχομεν τὰς ἐκ ῥινῶν αἱμοῤῥαγίας, πειρασθέντες ἔμπροσθεν ὧν

venas appareant, quod illis accidit quae graciliores funt ac nigriores. Carnofis vero et candidis parvae infunt venae, quibus malleolos fcarificare quam venam fecare praeftiterit, quippe quum hae parvas in cruribus venas habeant: itaque etiam fi probe fecentur, quod juftum tamen fit non profluat. Caeterum non contemnenda venae fectio eft, tanquam non fit auxilium revulforium, quum me faepenumero confpexeritis in valida fanguinis a naribus eruptiona eo ufum repente fluxionem fedaffe. Expedit autem, uti vidiftis, non eo usque fanguinem educere, dum ad extremum vires ducantur, fed quoad quod fymmetrum moderatumque fit eductum videatur prorumpentisque fanguinis impetus nondum flaccefcat, fed validus permaneat: fecare in cubito venam, fi ex dextra nare prorumpat fanguis in brachio dextro: fin ex altera, in finiftro. Simul autem cum hoc agis, artubus vincula injicito aut ex lana aut ex canabe: tum hypochondrio directe fuppofito cucurbitam admittito. Nam haec nos faciendo, ut fcitis, femper erumpentem ex naribus fanguinem

γεγράφασιν εἴς τε τὰς ῥῖνας ἐκτιθεμένων φαρμάκων, ἐπί τε τοῦ μετώπου καταχριομένων πάντων ἀσθενῶν. ὥστε πρὸς τοῖς εἰρημένοις περὶ φλεβοτομίας ἔμπροσθεν καὶ τοῦτο καταβάλλει τὸν Μηνοδότου λόγον, ἡγουμένου τὴν πληθωρικὴν ὀνομαζομένην συνδρομὴν ἀναμιμνήσκειν ἡμᾶς τοῦ βοηθήματος. ἡ γὰρ εἰρημένη νῦν διάθεσις ἐναντία σαφῶς ἐστὶ τῇ πληθωρικῇ. παραλαμβάνομεν δ' ἐπ' αὐτῆς τὴν φλεβοτομίαν οὐχ ὡς κενωτικὸν, ἀλλ' ὡς ἀντισπαστικὸν βοήθημα.

Κεφ. ιβ'. [441] Οὐδὲν οὕτω τὴν ἰατρικὴν τέχνην ἐν ταῖς πράξεσιν ἀποφαίνει στοχαστικὸν, ὡς τὸ ποσὸν ἑκάστου τῶν βοηθημάτων. εἰδότες γοῦν ἀκριβῶς πολλάκις ὡς καιρὸς τοῦ δοῦναι τροφὴν ἢ ποτὸν ἤτοι θερμὸν ἢ ψυχρὸν ἐνέστηκεν, ὁπόσον χρὴ δοῦναι βεβαίως οὐκ ἴσμεν. ὡσαύτως δὲ κἀπὶ τῶν καθαιρόντων φαρμάκων, ὅτι ἤτοι χολῆς ξανθῆς, ἢ μελαίνης, ἢ φλέγματος, ἢ τῶν ὀῤῥωδῶν περιττωμάτων ἐστὶ δοτέον τῷ κάμνοντι κενωτικὸν φάρμακον ἀκριβῶς ἴσμεν ἐνίοτε, πόσον δὲ δοῦναι προσήκει οὐκ

compefcuimus, quum antea experiumdo quae fcribunt in nares inferenda medicamenta, atque in frontem illinenda infirma omnia compererim. Itaque ad ea quae fupra de fanguinis miffione dicta funt et hoc quoque Menodoti opinionem convincit, qui putarit plethoricam vocatam fyndromem remedii nos admonere. Nam quae dicta eft affectio, plethoricae plane contraria eft. Adhibemus autem ad eam fanguinis miffionem non ut evacuatorium, fed ut revulforium remedium.

Cap. XII. Nihil aeque artem medicam in agendo conjecturalem efficit, uti cujusque remedii quantitas. Etenim quum frequenter compertum habeamus tempus inftare exhibendi, aut cibi aut potus, ejusque aut calidi aut frigidi quantum tamen dandum fit, certo haud novimus. Idem ufu venit in purgantibus medicinis. Nam quod laboranti praebendum fit medicamen, aut bilem tum flavam tum atram aut pituitam aut ferofum excrementum evacuans, exacte novimus: caeterum quantum praeberi debeat nefcimus.

Ed. Chart. X. [411.] Ed. Baſ. IV. (22.)

ἐπιστάμεθα. ἀλλὰ τοιαύτη μὲν ἡ δόσις ἐπανόρθωσιν οὐδεμίαν ἔχει. τὸ γὰρ ἅπαξ εἰς τὴν γαστέρα καταποθὲν φάρμακον οὐ δύναται μὴ καταπιεσθῆναι πᾶν, οὐδ᾽ ἔστιν οἷόν τε μᾶλλον ἤδη καθαιρομένου τοῦ ἀνθρώπου μέρος ἀφελεῖν τι τοῦ προσενηνεγμένου. ἐπὶ δὲ τῆς φλεβοτομίας ἀγαθὸν τοῦτο μέγιστον ὑπάρχει, παύειν ὁπότε βούλοιο τὴν κένωσιν, εἶτ᾽ αὖθις πάλιν ἐν ᾧπερ ἂν ἐθελήσεις καιρῷ ῥεῖν ἐπιτρέπειν, ἄχρις ἂν ὀρθῶς ἔχειν σοι φαίνηται. διόπερ ἄμεινόν ἐστιν, ἐὰν μηδὲν ἐπείγῃ, τὴν πρώτην ἀφαίρεσιν ἐλλιπέστερον ποιησαμένοι, ἐπαφαιρεῖν αὖθις· εἰ δὲ βούλοιο, καὶ τρίτον. ἐφ᾽ ὧν οὖν ἐστὶ κενώσεως μὲν χρεία πολλῆς, οὐκ ἰσχυρὰ δ᾽ ἡ δύναμις, ἐπὶ τούτων προσήκει ταμιεύεσθαι τὴν κένωσιν, ὥσπερ ἀμέλει κἀπὶ τῶν πλῆθος ἐχόντων ὠμοτέρων χυμῶν ἐθεάσασθέ με πράττοντα. κενώσας γὰρ ὀλίγον αἷμα εὐθέως δίδωμι μελικράτου καλῶς ἡψημένου μετά τινος τῶν λεπτυντικῶν φαρμάκων ἢ ὑσσώπου ἢ ὀριγάνου καὶ ποτὲ καλαμίνθης, ἢ γλήχωνος, ἢ καὶ μετὰ τοῦ μελικράτου, ἢ ὀξυμέλιτος, ἢ ὀξυγλυκέος, εἶτ᾽ αὖθις ἐπαφαιρῶ ποτὲ μὲν ἐπὶ τῆς αὐτῆς ἡμέρας, ἐνίοτε δὲ

Atqui talis exhibitio corrigi poſtea nequit. Nam quod ſemel in ventrem devoratum eſt medicamentum, quo minus omne devoratum ſit fieri non poteſt: neque poſſibile eſt, ubi plus quam conveniat jam purgetur homo partem oblati auferre: At in ſanguinis miſſione ſummum id bonum eſt, evacuationem dum voles poſſe ſiſtere, ac rurſum, quo videatur tempore, fluere ſinere, quoadusque recte habere appareat. Quapropter praeſtat, niſi quid urgeat, priori miſſione minus detrahere, iterumque eam repetere, immo ſi lubet, et tertio. Ubi ergo multa evacuatione eſt opus, verum vires ſunt imbecilliores, in his evacuationem partiri expedit, uti nimirum et me feciſſe vidiſtis in iis, quibus crudiorum inerat humorum copia. Nam pauculo ſanguine detracto, protinus melicratum exhibeo probe coctum cum incidentium medicaminum quopiam, velut hyſſopo, origano, et interim etiam nepita, aut pulegio, aut certe cum melicrato oxymel aut oxyglycy: ac ſic rurſum ſanguinem minuo vel ipſo eodem nonnunquam die, interdum die poſtero, in quo rur-

κατὰ τὴν ὑστεραίαν, ἐν ᾗ πάλιν ὁμοίως διδοὺς τῶν εἰρημένων τι φαρμάκων αὖθις ἐπαφαιρῶ, καὶ κατὰ τὴν τρίτην ἡμέραν δὶς ὡσαύτως. ἀλλ᾽ ὅταν ᾖ ζέοντος αἵματος πλῆθος, ἀνάπτον ὀξύτατον πυρετὸν, ἀθρόας ἐστὶ κενώσεως χρεία. καὶ τοῦτο χρὴ πειρᾶσθαι κενοῦν, ἄχρι λειποθυμίας, ἐπισκεψάμενον τὴν ῥῶσιν τῆς δυνάμεως. ὥστε ἐνίων οἶδα (23) κοτύλας ἓξ ἀφελεῖν εὐθέως ἤτοι κατὰ τὴν δευτέραν ἢ τὴν τρίτην ἢ τὴν τετάρτην ἡμέραν. ἐνίοτε καὶ κατὰ τὴν πρώτην αὐτὴν, ὅταν μὲν πυρετὸς ἄρξηται περὶ τὰ πρῶτα τῆς νυκτὸς ἢ τὰ μέσα, καλῶς δ᾽ ᾖ πεπεμμένα τὰ κατὰ τὴν προτεραίαν ἐδηδεσμένα. τινῶν δὲ κατὰ τὴν προτεραίαν ἀνωμαλίαν ἱδρῶτα ἢ ἄλγημα κεφαλῆς ἢ ἄλλου τινὸς μέρους ᾐτιασμένων, καὶ διὰ τοῦτο ἐνδεῶς διαιτηθέντων, ἀρχομένων δὲ πυρέττειν, νυκτὸς ἤδη προηκούσης, οἶδα κατὰ τὴν πρώτην ἡμέραν τελευτῶσαν ἀφελὼν αἵματος. ἐφ᾽ ὧν γὰρ ἄν σοι φαίνηται ζέοντος αἵματος πλῆθος, ὅτι τάχιστα πειρῶ κενοῦν αὐτὸ πρὶν ἐπί τι κατασκήψει μόριον κύριον, ὥστε καὶ διὰ τῆς νυκτὸς οὐκ ὀκνήσεις τεμεῖν ἐνίοτε φλέβα. γελοῖον γὰρ ὅπερ οἱ πολλοὶ πράττουσιν ἀπὸ

fum exhibito propofitorum medicamentorum quopiam iterum de fanguine quid aufero: ac rurfum tertio die fimiliter bis. Caeterum ubi fervefcentis ineft fanguinis plenitudo, acutiffimam accenderis febrem fubito ac fimul evacuare expedit: eamque inanire tentandum, vel ad animi deliquium usque, virium modo infpecto robore. Itaque memini quibusdam fex detractas protinus cotylas aut poftridie aut tertio quartove: quibusdam primo etiam die, quum febris principio noctis coepiffet, aut medio, ac quae pridie comederant probe fuiffent concocta. Nonnullis autem pridie inaequalitatem aut fudorem aut dolorem capitis alteriusve alicujus partis fe fentire querentibus, ac proinde parce efitantibus, ubi febris praecedente invafiffet nocte, primo etiam die me fanguinem detraxiffe memini. Nam in quibus tibi fanguinis ferventis copia apparet, quam ociffime eum vacuare conator, priusquam in principem aliquam partem ingruat. Quamobrem nec per noctem fanguinem aliquando mittere verearis. Siquidem ridiculum eft quod quidam factitant, a

δευτέρας ὥρας ἡμέρας ἄχρι έ ἢ στ´ ἀφαιροῦντες μόνον αἵματος, ἐν ἄλλῳ δ᾽ οὐδενὶ χρόνῳ οὓς εἰ μὴ καὶ κλυστῆρσι καὶ τροφῆς προσφορᾷ καὶ τοῖς [442] ἄλλοις βοηθήμασιν ἑώρων χρωμένους ἐν ἅπαντι καιρῷ τῆς νυκτὸς, ἐνῆν ἄν μοι χαλεπὸς ὁ πρὸς αὐτοὺς λόγος. ἐπεὶ δὲ πάντα πράττοντες οὐ τὸν ὡρισμένον ἀριθμὸν ὡρῶν ἕνα καὶ κοινὸν ἐπὶ πάντων τῶν νοσούντων, ἀλλ᾽ ὡς ἂν ὑπαγορεύῃ τὸ πάθος ἐπὶ μόνης τῆς φλεβοτομίας τὸν εἰρημένον ἀρτίως ἀεὶ περιμένουσι καιρὸν, εὐφορώτατον ἴσχουσι τὸ σφάλμα. τοὺς οὖν οὕτω διακειμένους ἀῤῥώστους, ὡς εἰρήκαμεν, προσήκει μέχρι λειποθυμίας ἄγειν. ἐνίους γὰρ αὐτῶν οἶδα καταψυχθέντας μὲν ἐξ ἀνάγκης ἐπὶ τῇ λειποθυμίᾳ, προσγενομένων δὲ νοτίδων ἐν ὅλῳ τῷ σώματι καὶ τῆς γαστρὸς καταῤῥαγείσης ἐν τάχει παυσαμένους τῆς νόσου. προσέχειν μέντοι καλῶς ἔχει τῇ καθαιρέσει τῶν σφυγμῶν, ἐφαπτόμενον αὐτῶν ἔτι ῥέοντος τοῦ αἵματος, ὥσπερ κἀπὶ τῶν ἄλλων ἁπάντων εἴωθα πράττειν τῶν φλεβοτομουμένων, ὅπως μή ποτε λάθῃς αὐτὸν ἀντὶ λειποθυμίας θάνατον ἐργασάμενος, ὅπερ οἶδα τρισὶν ἰατροῖς γενόμενον.

fecunda diei hora ad quintam aut fextam folummodo fanguinem mittentes, haud alio quovis tempore, quos fi non clyfteres, cibum aliaque exhibere remedia quocunque tempore noctis vidiffem, graviter profecto in illos inveherer. Quoniam vero omnia agunt, haud praefinito uno horarum numero omnibus morbis communi, fed ut affectus moneat, in fola autem miffione fanguinis dictum modo tempus femper obfervant, tolerabilis eft illorum error. Sic itaque affectis aegrotis, ut diximus, expedit et ad usque animi defectum fanguinem educere. Novi enim ex iis quosdam neceffario ex animi deliquio refrigeratos, ac toto corpore affluentibus madoribus et alvo rupta celerrime morbo liberatos. Utile eft autem pulfuum diminutionibus animum advertere, tangendo eos fanguine etiamnum fluente, ficut in aliis omnibus, dum fanguis mittitur, facere confuevi, ne videlicet nobis nec opinantibus pro animi deliquio mors occupet, quod fane tribus eveniffe medicis novi. Venam fecabat eorum unus mu-

ἐφλεβοτόμησεν εἰς μὲν αὐτῶν γυναῖκα πυρέττουσαν, ἑκάτερος δὲ τῶν ἄλλων ἄνδρα μέχρι λειποθυμίας τοσαύτης ὡς μηκέτι ἀναληφθῆναι. καὶ διὰ τοῦτο αὐτὸ βέλτιόν ἐστι φυλάττεσθαι τὰς ἀθρόας κενώσεις, εἰ μή τις ἀνάγκη μεγάλη κελεύῃ. καὶ μέντοι καὶ ἡ ἀντίσπασις οὐ μικρὸν οὖσα βοήθημα καὶ διὰ φλεβοτομίας γιγνομένη πολλάκις ὅσῳ περ εἰς ἀριθμὸν πλέονα τὰς κατὰ μέρος ἀφαιρέσεις αὐξήσεις, τοσοῦτον δραστικώτερον γίνεται. ταῦτα μὲν οὖν ἀμείνω προεγνῶσθαι.

Κεφ. ιγ΄. Πάλιν δὲ ἐξ ἀρχῆς ἀνελθόντες ἐπὶ τὸ προκείμενον σκέμμα διέλθωμεν ὅσα γιγνώσκομεν ἀναγκαιότατα βουλομένοις ἀβλαβεῖς ἀεὶ τὰς φλεβοτομίας ἐργάζεσθαι. πρῶτον μὲν ἐπίστασθαι προσήκει τοὺς εἰρημένους σκοποὺς τοῦ βοηθήματος αὐξομένους μὲν ἐνδείκνυσθαι πλέονα κένωσιν, ἐκλυομένους δὲ καθαίρειν εἰς τοσοῦτον τὴν ποσότητα τῆς κενώσεως, εἰς ὅσον ἐμειώθησαν αὐτοί. μέγεθος οὖν νοσήματος ἅμα ῥώμῃ δυνάμεως οἱ πρῶτοι σκοποὶ φλεβοτομίας ἦσαν, ὁ μὲν ὡς ἐνδεικνύμενος αὐτὸς ἃ χρὴ πράττειν, ὁ δ᾽ ὡς οὐ κωλύων ἐκεῖνον, ὅπερ ἀντιενδείκνυσθαι καλοῦσιν ἔνιοι τῶν νεωτέρων

lieri febricitanti, aliorum uterque viro, fed ad tantum animi duxere deliquium, ut vires recuperari non poffent. Proinde fatius eft tam copiofis vacuationibus abftinere, nifi magna incumbat neceffitas. Quin et revulfionem, non leve et ipfam auxilium, quodque faepe fecta adhibetur vena, quanto majorem in numerum particulares auxeris detractiones, tanto efficaciorem effeceris. Haec itaque praenoviffe praeftabat.

Cap. XIII. Rurfum autem a principio ad propofitam reverfi fpeculationem exponamus quae fumme neceffaria effe compertum habemus iis, qui innoxie venae fectionem obire femper volent. Primum omnium fcire convenit, dum propofiti fcopi hujus praefidii augentur, majorem indicare evacuationem, dum vero exolvuntur, tantum detrahendum de fanguinis miffione, quanto illi minores evaferint. Morbi itaque magnitudo cum virium robore primi erant mittendi fanguinis fcopi, ille quidem quae facienda funt indicans, hic tanquam illum haud prohibens, id quod contra indicare ju-

ἰατρῶν. ἐνίοτε γὰρ ἡ μὲν διάθεσις ὑπαγορεύει τὴν φλεβοτομίαν, ἡ δ' ἀῤῥωστία τῆς δυνάμεως κωλύει. τούτων δ' ἀμφοτέρων τῶν σκοπῶν ὑπαρχόντων, δῆλον μὲν, ὡς ἐλέχθη πρόσθεν, οὐδὲ πλῆθος ἐστὶ χυμῶν ὠμῶν τοσούτων τε καὶ τοιοῦτον ὡς κωλῦσαι τὸ βοήθημα. συνεπισκέπτεσθαι δ' ἐφεξῆς ὁποία ἡ φυσικὴ κρᾶσίς ἐστι τἀνθρώπου. τοὺς μὲν γὰρ μεγάλας ἔχοντας τὰς φλέβας, ἰσχνούς τε μετρίως καὶ μὴ λευκοὺς μηδ' ἁπαλοσάρκους ἀφειδέστερον κενώσεις, τοὺς δ' ἐναντίους φειδομένως. αἷμά τε γὰρ ὀλίγον ἔχουσιν εὐδιαφόρητόν τε τὴν σάρκα. κατὰ τοῦτον οὖν τὸν λόγον οὐδὲ τοὺς παῖδας φλεβοτομήσεις μέχρι τεσσαρακαιδεκαέτους ἡλικίας, μετὰ δὲ ταύτην ἐὰν αἷμα πάμπολύ τε φαίνηται ποιὲ ἠθροισμένον, ἥ θ' ὥρα τοῦ ἔτους ἐαρινὴ καὶ τὸ χωρίον εὔκρατον φύσει καὶ ἡ τοῦ παιδὸς φύσις εὔαιμος, ἀφαιρήσεις ἔτι μᾶλλον αἷμα, εἰ κίνδυνος ἐφεδρεύει περιπνευμονίας, ἢ συνάγχης, ἢ πλευρίτιδος, ἢ τινὸς ἄλλου [443] ὀξέος καὶ σφοδροῦ νοσήματος. ἀφαιρήσεις δὲ τὸ πλεῖστον ἄχρι κοτύλης τὸ πρῶτον. ἐὰν δέ σοι μετὰ ταῦτα ἐπισκεπτομένῳ δόξῃ τὰ τῆς δυνάμεως

niorum medicorum quidam appellant. Nonnunquam enim affectio mittendum ſanguinem commonet, caeterum virium contra robur prohibet. Quibus ambobus ſcopis praeſentibus conſtat, ut ante diximus, nullam eſſe crudorum humorum tantam talemque plenitudinem, quae hoc inhibere auxilium poſſit. Deinde conſiderandum quae ſit naturalis hominis temperies. Nam quibus amplae ſunt venae, quique modice graciles ſunt nec candidi, neque tenera carne praediti, copioſius evacuabis, contrarios autem parcius, quippe qui exiguum habeant ſanguinis carnemque facile tranſpirabilem. Hac ratione nec pueris venam tundes, usque ad quartum decimum aetatis annum, poſt quem ſi multus congeſtus ſanguis appareat, tempusque anni vernum fuerit, regioque natura temperata et pueri natura bene ſanguinea, ſanguinem minues, multoque magis ſi aut peripneumoniae aut anginae aut pleuritidis aut alterius acuti gravisque morbi periculum incumbat. Detrahes autem primum ut ſummum ad cotylam usque. Quod ſi poſtea perpendenti vires permanere

ἰσχυρὰ διαμένειν, ἥμισυ προσθήσεις κατὰ τὴν ἐπαφαίρεσιν. ἔμαθες δὲ τῷ σφοδρῷ σφυγμῷ μετὰ ὁμαλότητος ὡς ἀψευδεῖ σημείῳ πιστεύειν περὶ δυνάμεως ἰσχυρᾶς, ἐξ ἐπιμέτρου δὲ καὶ τῷ μεγάλῳ. καὶ τοίνυν καὶ τοὺς ἑβδομηκοντούτας φλεβοτομήσεις ὧν εἴρηκα σφυγμῶν παρόντων, ἐπειδὰν ἡ διάθεσις κελεύῃ. εἰσὶ γάρ ἔτι καὶ κατὰ τὴν ἡλικίαν τήνδε πολύαιμοί τινες ἅμα ῥώμῃ δυνάμεως, ὥσπερ ἕτεροι ξηροὶ, καὶ ὀλίγαι μοι καὶ ῥᾳδίως μελαινόμενοι πᾶν τὸ πληγὲν μέρος. οὐ προσέξεις οὖν τῷ ἀριθμῷ μόνον, καθάπερ ἔνιοι προσέχουσιν, ἀλλὰ τῇ τοῦ σώματος ἕξει. καὶ γὰρ ἑξηκοντοῦταί τινες οὐκέτι φέρουσι φλεβοτομίαν, ἑβδομηκοντοῦται δὲ φέρουσιν. ἀλλὰ ἔλαττον ἀφαιρήσεις δηλονότι τούτων, εἰ καὶ τὴν αὐτὴν ἔχειν φαίνονται διάθεσιν ἀκμαστικῷ σώματι.

Κεφ. ιδ'. Κάλλιστον μὲν πρὸ τοῦ διαιρεῖν τὴν φλέβα τὰ τοιαῦτα πάντα ἐπισκέπτεσθαι, καὶ μάλιστα περὶ αἱμοῤῥοΐδων ἐπισχομένων καὶ γυναικείας καθάρσεως. ὁπότε γὰρ σχασθείσης τῆς φλεβὸς ῥέῃ τὸ αἷμα, τῇ μεταβολῇ μὲν

validae videantur, dimidium ejus adjicies reiterata miſſione. Didiciſti autem vehementi pulſui cum aequabilitate, tanquam minime fallaci virium robuſtarum ſigno, ſidem ſemper habendam eſſe, ex abundanti autem et magno. Itaque et ſeptuagenariis modo dicti adſint pulſus, ſi affectus jubeat, venam ſecabis. Sunt enim quidam et in hac aetate multi ſanguinis viresque habent robuſtas, ſicut alii ſicci et pauci ſanguinis et facile areſcentes quavis percuſſa parte. Itaque non numero annorum ſolummodo animum advertes, quod quidam faciunt, ſed et corporis habitui. Nam ſunt qui ſexageſimo aetatis anno venae ſectionem non ſerant, quum quidam qui ſeptuaginta nati ſunt annos perferant. Veruntamen minus his utique detrahes, etiam ſi eandem habere affectionem quam florens corpus appareant.

Cap. XIV. Optimum autem ſuerit, priusquam aperiatur vena, haec omnia conſiderare et maxime haemorrhoïdibus ſuppreſſis aut muliebri purgatione. Ubi vero inciſa vena ſanguis effluit, mutatione ejus et maxime quum adeſt

Ed. Chart. X. [443.] Ed. Baf. IV. (23.)

αὐτοῦ, καὶ μάλισθ᾽ ὅταν ᾖ ἤδη φλεγμονὴ, καὶ τῷ τόνῳ δὲ τῆς ῥύσεως ὀκλάζοντι, μάλιστα δὲ τῇ μεταβολῇ τῶν σφυγμῶν ὡς ψευδεῖ γνωρίσματι προσέχειν δεῖ τὸν νοῦν καὶ παύειν αὐτίκα μεταβάλλοντος ἢ κατὰ μέγεθος ἢ κατὰ ἀνωμαλίαν ἡντινοῦν. περὶ μὲν γὰρ τῆς εἰς ἀμυδρότητα μεταβολῆς τί δεῖ καὶ λέγειν; ἔμαθες γὰρ ἐν τῇ ποιότητι ταύτῃ βεβαίαν γίγνεσθαι διάκρισιν ἰσχυρᾶς τε καὶ ἀσθενοῦς δυνάμεως. ἐφ᾽ ὧν δὲ ἐγγὺς τῆς διαιρουμένης φλεβὸς ἐστί τις φλεγμονὴ μεγάλη, κάλλιστον ἀναμένειν τὴν μεταβολὴν τοῦ αἵματος ἔν τε τῇ χροιᾷ καὶ τῇ συστάσει, καθάπερ καὶ ὁ Ἱπποκράτης ἐδήλωσεν ἐν τῷ περὶ διαίτης ὀξέων, ἐπὶ πλευρίτιδος ποιούμενος τὸν λόγον. ἕτερον γάρ ἐστι τὸ κατὰ φλεγμονὴν αἷμα τοῦ κατὰ φύσιν, ἐπιθερμαινόμενον ἐπιπλέον, εἰ μὲν ἦν ἔμπροσθεν ὠμότερον, ἐρυθρότερον καὶ ξανθότερον γίνεται, εἰ δὲ τοιοῦτον ἦν ἔμπροσθεν, ἐπὶ το μέλαν ἐκτρέπεται κατοπτώμενον, διὰ τοῦτο ἔγραψεν ἐπὶ τῶν πλευριτικῶν ὁ Ἱπποκράτης ὧδε· ὁποίαν δὲ χρὴ τέμνειν τὴν ἐν ἀγκῶνι φλέβα τὴν εἴσω καὶ μὴ ὀκνεῖν

jam phlegmone, labafcentique fluxionis robori, potiffimum autem pulfuum mutationi tanquam indicio haudquaquam mendaci animus diligenter attendendus eft, continuoque quiefcendum pulfu alterafcente aut in magnitudine aut in quavis inaequabilitate. Nam de mutatione in imbecillitatem quid attinet dicere? didicifti enim in hac qualitate certam fieri difcretionem firmarum infirmarumque virium. In quibus autem juxta fectam venam phlegmone eft ingens, optimum eft fanguinis et in colore et in confiftentia mutationem expectare, ficut indicavit Hippocrates in libro de acutorum victu, quando de pleuritide verba facit; alius enim eft qui in phlegmone eft fanguis ab eo qui fecundum naturam utpote plus excalfactus. Nam fi antea crudior erat, rubrior modo et flavior efficitur, fin ejusmodi prius fuerat, ad atredinem vergit aduftione. Proinde Hippocrates de pleuriticis hunc in modum fcripfit: *Secanda vero in cubito vena interna: nec verearis multum detrahere, donec rubrior fla-*

συχνὸν ἀφαιρήσειν, ἔστ᾽ ἂν ἐρυθρότερόν τε καὶ ξανθότεροι πολὺ ῥυῇ, ἢ ἀντὶ καθαροῦ τε καὶ ἐρυθροῦ πελιδνόν. ἀμφότερα γὰρ γίνεται, σημεῖον γὰρ τίθεται τοῦ μετειλῆφθαί τι τοῦ κατὰ τὴν φλεγμονὴν αἵματος εἰς τὴν τετμημένην φλέβα, τῷ φανῆναι μεταβολὴν ἐν αὐτῷ. οὐ μὴν ἐκ παντὸς τρόπου περιμένειν χρὴ ταύτην, ἀλλ᾽ ἔσθ᾽ ὅτε καὶ πρὸ τοῦ γενέσθαι παύεσθαι προσήκει διὰ διττὴν αἰτίαν, ἤτοι δυνάμεως ἀῤῥωστούσης ἢ κακοήθους φλεγμονῆς, ἐνίοτε γὰρ οὐδὲν μεθίησιν, ἀλλὰ ἐσφιγκται σφοδρῶς. εἰ μέντοι ἡ δύναμις μὴ φαίνοιτο καταλυομένη διὰ τῆς κενώσεως, εἴδη δὲ τοῦτο τῶν σφυ(24)γμῶν ἁπτόμενος, ὅταν φλεβοτομούμενος ἀκμάζων εἴη, περιμένειν προσήκει τὴν μεταβολὴν, καὶ μᾶλλον εἰ τὸ περιέχον εὔκρατον εἴη. δύο γάρ ἐστι ταῦτα δι᾽ ἃ μάλιστα γίγνεται στοχαστικὸν [444] τὸ ποσὸν τῆς κενώσεως ἐν τούτῳ τῷ βοηθήματι, τοῦ τε κάμνοντος ἡ φύσις ὁποία τίς ἐστιν ἀδυνατούντων ἡμῶν ἀκριβῶς διαγνῶναι, τοῦ τε περιέχοντος ἡ κρᾶσις ὁποία τις ἔσται μετὰ τὴν φλεβοτομίαν. ὁπόταν γὰρ ἡ μὲν πυρετώδης θερμασία διαφορῇ πολὺ τοῦ αἵματος, ἐνδεῶς δ᾽ ὁ κάμνων ᾖ διαιτώμενος, ἐξ ἀνάγκης ἐπιλείπῃ ταχέως αὐτὸν

viorque multo fluat, aut pro puro et rubro lividus, utrumque enim evenit. Siquidem fignum conftituit affumpti alicujus in fectam venam ex phlegmone fanguinis, mutationem in eo apparere. Non tamen omni ex parte haec expectanda eft, fed eft quando, antequam fiat mutatio, ceffare conveniat, idque duplici nomine, ob infirmas videlicet vires aut phlegmones malignitatem, interdum enim nihil ab ea emittitur, fed inibi fortiter confirictus eft. Si tamen vires exolvi evacuatione nondum videantur, id quod ex pulfu fcies, et fi cui fanguis mittitur, aetate fit florenti, expectanda eft mutatio, potiffimum fi ambiens fit temperatus. Duo enim haec funt, ob quae maxime conjecturalis efficitur evacuationis in hoc auxilio quantitas, laborantis natura qualis fit, quam utique adamuffim noviffe non liceat: et ambientis temperies, qualis fit a miffo fanguine futura. Nam quum febrilis calor multum fanguinis digerit, atque abftinenter laborans victitat, neceffario brevi illum nutrimentum ex fan-

ἡ ἐκ τοῦ αἵματος τροφὴ, κἂν τούτῳ καταλυθῇ ἡ δύναμις. ἐκδαπανᾶται δὲ διὰ μὲν τὴν κρᾶσιν τοῦ νοσοῦντος, ὑγρὰν τε καὶ θερμὴν οὖσαν, οἵα πέρ ἐστι καὶ ἡ τῶν παίδων, διὰ δὲ τὸ περιέχον ἐν χώρᾳ θερμῇ καὶ ὥρᾳ θερμῇ. διὰ τοῦτ᾽ οὖν ἔλαττον ἀφαιροῦμεν ἢ τὸ πλῆθος ὑπαγορεύει, κατὰ μὲν τὰς ἡλικίας ἐπὶ τῶν παίδων, κατὰ δὲ τὰς ἕξεις τοῦ σώματος ἐπὶ τῶν ἁπαλοσάρκων καὶ λευκῶν, οἷοί περ εἰσὶν οἱ Κελτοὶ, κατὰ δὲ τὰς ὥρας ὑπὸ τοῦ κυνός. παραπλησίως δὲ κατὰ τὰ χωρία καὶ τὰς καταστάσεις. καθ᾽ ἕτερον δὲ τρόπον, ὡς εἴρηται καὶ ἔμπροσθεν ἐπὶ τῶν ἐναντίων, ὅπερ ἐστὶν ἐπὶ τῶν ψυχρῶν ὡρῶν τε καὶ χωρῶν, εὐλαβούμεθα κένωσιν δαψιλῆ διὰ τὴν ἑπομένην κατάψυξιν. οὔκουν οἷόν τε διὰ γραφῆς ἐφ᾽ ἑκάστῳ τῶν εἰρημένων ἓν ἀφορίσαι κενώσεως μέτρον. οἶδα γὰρ ἐπ᾽ ἐνίων μὲν αὐτάρκως ἀφελεῖν στ´ λίτρας αἵματος, ὡς τόν τε πυρετὸν αὐτίκα σβεσθῆναι καὶ μηδεμίαν ἀκολουθῆσαι κάκωσιν τῆς δυνάμεως· ἐπ᾽ ἐνίων δὲ μίαν καὶ ἡμίσειαν οὐκ ἄνευ τοῦ βραχύ τι παραβλάψαι τὴν δύναμιν, ἐφ᾽ ὧν εἰ δύο τις ἐκένωσεν, ἔβλαψεν ἂν ἐσχάτως. διὰ τοῦτ᾽ οὖν οἶδα καὶ

guine deſtituit, interimque virtus exolvitur. Abſumitur autem ob laborantis quidem temperiem, ſi calida humidaque ſit, cujusmodi eſt puerorum: ob ambientem vero, ſi regio ſit calida et tempus aeſtivum. Proinde minus detrahimus quam plenitudo commonet, quod et aetates quidem attinet, in pueris, quod ad corporis habitus, in candidis et quibus mollis teneraque eſt caro, quales Galli ſunt, quod ad tempus, ſub cane: ſimiliter etiam in regionibus et conſtitutionibus. Alia vero ratione, ut et ante propoſitum eſt, in contrariis, hoc eſt in frigidis tum temporibus tum locis largam evacuationem fugimus, propter inſequentem nimirum refrigerationem. Quapropter unum deſinire in quoque dictorum vacuationis modum ſcripto non licet. Memini enim quibusdam ad ſex usque libras ſanguinem detractum fuiſſe, ita ut febris protinus extingueretur nec ulla ſequeretur virium afflictio, quibusdam vero ſeſquilibram haud citra leve ſaltem virium detrimentum, quibus ſi quis duas vacuaſſet, extreme laeſiſſet. Quapropter utiliter quibusdam unamquoque detraxi ali-

μίαν ἀφῃρηκὼς λίτραν ἐνίοτε ὠφελίμως, καί ποτε καὶ ταύτης ἐλάττονα, ἀπὸ φλεβὸς κατ᾽ ἀγκῶνα καὶ ἰγνύαν καὶ ἀστράγαλον, ὡς ἔκ τε τῶν παρὰ τοὺς μεγάλους κανθοὺς τῶν ὀφθαλμῶν ἢ ὑπὸ τὴν γλῶτταν, οὐδὲ ῥεῖν εἴωθεν ἀξιόλογον, ὥσπερ οὐδ᾽ εἴ τις ἐν ποσὶν ἢ ἄκραις χερσὶ τέμνει φλέβα, καθάπερ καὶ οἱ σπλῆνα θεραπεύσασθαι νομίζοντες ὑπὸ τῆς παρὰ τὸν δεύτερον τῶν μικρῶν δακτύλων φλεβὸς τμηθείσης, ὑπὲρ ἧς ἐπιπλέον ἐφεξῆς εἰρήσεται.

Κεφ. ιέ. Ὅσα οὖν καὶ περὶ τούτου τοῦ σκέμματος εἴρηται τοῖς ἰατροῖς εἰ γράφοιμι, δεήσει μοι βιβλίου μεγάλου, καθ᾽ ἑαυτὸ δὲ πληρουμένου. καθάπερ δὲ ἐπὶ τῶν ἄλλων ἃ μέχρι δεῦρο τοῦ λόγου διώρισται, τὴν ἐμαυτοῦ γνώμην ὑμᾶς ἀνέμνησα, τεθεαμένους ἐπὶ τῶν ἔργων αὐτὴν μαρτυρουμένην, οὕτω καὶ νῦν πράξω, τὴν ἀρχὴν τοῦ λόγου ποιησάμενος ἐκ τῶν ἐναργῶς ὁσημέραι θεωρουμένων ἐπὶ τῶν καμνόντων, ἃ πρῶτος Ἱπποκράτης ἀκριβῶς παραφυλάξας ἔγραψεν. ἔστι δὲ αὐτῶν ἓν μὲν καὶ πρῶτον κεφάλαιον· ὅσα κατ᾽ ἴξιν αἱμοῤῥαγεῖ, μεγίστην ὠφέλειαν ἐπιφέρειν τοῖς νοσοῦ-

quando, immo vero nonnunquam hac quoque minus, idque ex vena aut cubiti aut poplitis aut tali. Nam ex venis, quae ad magnos oculorum angulos confpiciuntur, aut fub lingua, quod certe mentione dignum fit effluere non folet: ficut nec fi quis fumma in manu aut pede venam fecet, quemadmodum putant qui lienem curari ajunt a venae, quae ad fecundum parvum digitum fita eft, fectione, de qua fufius deinceps differetur.

Cap. XV. Quaecunque igitur de hoc fcemmate five fpeculatione a medicis dicta funt, ea fi fcribere aggrediar, opus erit libro iis fingillatim dicato, eoque ingenti. Caeterum quemadmodum in aliis, quae hactenus definita funt, effeci, ut fcilicet et mentem meam vobis exponerem, qui eam a rebus ipfis probari vidiftis, idem nunc quoque faciam fumpto initio ab iis, quae quotidie in laborantibus videntur, quae quidem Hippocrates diligenter obfervata memoriae prodidit. Eft vero eorum unum primariumque caput, hoc fcilicet: Quibuscunque κατ᾽ ἴξιν eruptio fanguinis accidit,

σιν. τὸ δὲ κατ᾽ ἴξιν ὅτι κατ᾽ εὐθὺ λέγει, πᾶσιν ὡμολόγηται, σαφῶς αὐτοῦ κεχρημένου πολλάκις ἐπὶ τοῦδε τοῦ σημαινομένου τῇ κατ᾽ ἴξιν φωνῇ. τὰ δ᾽ ἀνάπαλιν αἱμοῤῥαγοῦντα μηδὲν ὠφελεῖν ἢ καὶ βλάπτειν ἐνίοτε τῷ καταλῦσαι τὴν δύναμιν ἄνευ τοῦ τὸ πάθος κουφίσαι. οὔτε γὰρ ἐπὶ σπληνὶ μεγάλῳ μυκτὴρ δεξιὸς αἱμοῤῥαγήσας οὔτε ἀριστερὸς ἐφ᾽ ἥπατι φέρει τινὰ ὠφέλειαν, ἀλλὰ ἀντίσπασις μὲν ἐν τοῖς [445] κατ᾽ εὐθὺ ἀντισπωμένοις ἐναργῆ τὴν ὠφέλειαν ἐν τάχει δείκνυσι, ἐπὶ δὲ τοῖς ἀνάπαλιν οὐκέτι. δεξιοῦ μὲν οὖν αἱμοῤῥαγοῦντος μυκτῆρος ἡ κατὰ τὸ ὑποχόνδριον τὸ δεξιὸν ἐρειδομένη σικύα σαφῶς ἵστησιν ἐν τάχει τὴν αἱμοῤῥαγίαν, ὥσπερ καὶ ἡ κατὰ τὸν ἀριστερὸν αἱμοῤῥαγοῦντος ἀριστεροῦ. καὶ φλεβοτομήσας δὲ χάριν ἀντισπάσεως, ἐπὶ μὲν ταῖς κατ᾽ εὐθεῖαν αἱμοῤῥαγίαις ἐν τάχει θεάσῃ σαφῆ τὴν ὠφέλειαν. ἔμπαλιν δ᾽ εἰ τέμνοις, οὐδὲν ὄφελος.

Κεφ. ιστʹ. Οὕτω τοίνυν καὶ σπληνὸς πάσχοντος ἡ τῆς κατὰ τὸν παράμεσον δάκτυλον φλεβὸς διαίρεσις ὀνήσειν ἐξ ἀριστερᾶς χειρὸς, ὡς εἰ καὶ τὴν ἐν ἀγκῶνι φλέβα τέμνῃς

fummum id commodum laborantibus affert. Hoc autem *κατ᾽ ἴξιν* quod in rectum intelligatur, omnibus confeffum eft, quum clariffime faepenumero hac voce *κατ᾽ ἴξιν* in hoc utamur fignificato. Quibus vero contra evenit, nihil juvat, aut etiam interdum nocet, quod vires fcilicet citra morbi levamen dejiciat atque exolvat. Non enim in liene turgente ex dextra nare erumpens fanguis, nec in jecore ex finiftra ullam fert utilitatem: fed revulfio quibus in directum adhibetur, evidentem utilitatem celeriter oftendit: quibus contra, haud etiam. Dextra igitur nare fanguis erumpens ad dextrum hypochondrium fixa cucurbitula clare celeriterque fiftitur, ficut ad finiftrum ex finiftra erumpens. Porro revulfionis caufa, fi venam feces, in directe quidem oppofitis fanguinis eruptionibus citiffime confpicuam videbis utilitatem, at fi contra feces, nihil profuerit.

Cap. XVI. Sic affecto liene haud aeque adjuverit circa anularem digitum finiftrae manus incifa vena, atque fi internam cubiti fecueris, multum enim juvat afflictum lie-

τὴν ἔνδον, ὠφελεῖ γὰρ ἱκανῶς σπλῆνα κακοπραγοῦντα κένωσις αἵματος ἐξ ἀριστερᾶς χειρός, ἄμεινον δὲ μὴ ἅπαξ ἐκκενοῦν τὸ σύμμετρον, ἀλλ' εἰς δύο μερίζοντας ἡμέρας. οὐ μὴν οἶδα κατὰ τί τοῖς ἰατροῖς ἠμέληται τοῦ φλεβοτομεῖν τοὺς σπληνώδεις. ἐγὼ γὰρ ἀεὶ μεγάλην ὠφέλειαν ἔγνων γινομένην, εἰ καὶ λίτραν τις ἐκκενώσειεν μίαν, ἀλλά τό γε ποσὸν τῆς κενώσεως ἐκ τῶν προειρημένων σκοπῶν χρὴ ποιεῖσθαι. καὶ μέν γε κἀπὶ τῶν πλευριτικῶν ἡ κατ' εὐθὺ τοῦ πάσχοντος πλευροῦ φλεβοτομία τὴν ὠφέλειαν ἐναργεστάτην ἐπεδείξατο πολλάκις, ἡ δὲ ἐκ τῆς ἀντικειμένης χειρὸς ἢ πάντως ἀμυδρὰν ἢ μετὰ χρόνον. ὀδύνας τε πολλάκις ὀφθαλμὸν ἰσχυροτάτας ἐντὸς ὥρας μιᾶς ἔπαυσεν ἡ κατ' εὐθὺ φλεβοτομία, τῆς ὠμιαίας καλουμένης φλεβὸς τεμνομένης. πειρᾶσθαι δ' ἐπὶ πάντων παθῶν ἄμεινον ἦν ἐπὶ ταῖς φλεβοτομίαις μετρίαις γινομέναις τὴν καλουμένην ἐπαφαίρεσιν ποιεῖσθαι, ποτὲ μὲν ἐπὶ μιᾶς ἡμέρας, ὅταν οὕτω πράττειν ἐγχωρῇ, ποτὲ δὲ καὶ κατὰ τὴν ὑστεραίαν, πλὴν εἴποτε, ὡς ἔμπροσθεν εἴρηται, μέχρι λειποθυμίας ἄγειν τὴν κένωσιν ἐπιχειροῖμεν. ἐπὶ μὲν

nem fanguinis ex finiftro brachio detractio. Praeftat autem femel quantum conveniat extraxiffe, fed in duos dies id partiri fatius eft. Invenire tamen nequeo, quam ob rem medici lienofis fanguinem detrahere neglexerint, fiquidem ego ingentem perpetuo utilitatem provenire confpexi, fi vel libra duntaxat una detracta foret. Vacuationis tamen menfura ex dictis fcopis conjicienda eft. Quin et pleuriticis quae e directo laborantis lateris adhibita fuit fanguinis miffio clariffimam faepe utilitatem attulit, quae vero ex brachio oppofito aut omnino obfcuram aut certe poft temporis intervallum. Ad haec oculorum perfaepe dolores graviffimos e directo venae, quam humeralem nominant, fectio intra horae unius fpatium compefcuit. Conari autem in omnibus affectibus praeftat, poft modicam fanguinis miffionem iterato mittere, interim eodem die, fi ita expedire videatur, interim poftridie, nifi quando, ut ante dictum eft, ad animi deliquium evacuationem ducere conveniat. Itaque dolentibus oculis hu-

Ed. Chart. X. [445.] Ed. Baf. IV. (24.)

οὖν τῶν ὀφθαλμῶν· ἥ τ᾽ ὠμιαία καλουμένη φλὲψ ἥ τ᾽ ἐπ᾽ αὐτῆς κατασχιζομένη κατ᾽ ἀγκῶνα τμηθεῖσα φανερὰν ἐν τάχει τὴν ὠφέλειαν ἐπιφέρουσιν. ἐπὶ δὲ πλευρᾶς πεπονθυίας, ἢ πνεύμονος, ἢ διαφράγματος, ἢ σπληνὸς, ἢ ἥπατός τε καὶ γαστρὸς, ἡ διὰ μασχάλης ἐπὶ τὴν κατ᾽ ἀγκῶνα διάρθρωσιν ἀφικνουμένη. τέμνειν δὲ καὶ ταύτην, μάλιστα μὲν αὐτὴν τὴν ἔνδον· εἰ δὲ μὴ, τὴν ἀπ᾽ αὐτῆς ἀποσχιζομένην εἰς τὴν καμπὴν τῆς διαρθρώσεως. ἴστε δή που μικρὸν ἔμπροσθεν ἀπὸ τῆς ὠμιαίας φλεβὸς ἀποσχίζεσθαι τὴν προειρημένην συνάπτουσαν αὐτήν. τρεῖς γὰρ οὗτοι τρόποι τῆς κατ᾽ ἀγκῶνα φλεβοτομίας εἰσὶν, ὅ τ᾽ ἔνδον καὶ ὁ ἐκτὸς καὶ ὁ μέσος. ὁ μὲν οὖν ἔνδον ἐπὶ τῶν τὰ κάτω τοῦ τραχήλου πεπονθότων ὠφέλιμος, ὁ δὲ ἐκτὸς ἐπὶ τῶν ὑπὲρ τούτων ἢ προσώπου ἢ κεφαλῆς. ὁ μέσος δὲ τόπος ἐνίοτε μὲν ἀμφοτέρας ἔχει τὰς ἀποσχισμένας φλέβας, εἰς τὸ πρόσω τῆς χειρὸς ἐκτεινομένας, εἶτ᾽ ἐνταῦθα συναπτομένας, ἐνίοτε δὲ διὰ ταχίων εἰς ταυτὸν ἀλλήλαις ἰούσας κατὰ τὴν καμπὴν τῆς διαρθρώσεως, ἔστι δ᾽ ὅτε σαφῆ μὲν τὴν ἑτέραν αὐτῶν, ἀσαφῆ δὲ τὴν ἑτέραν. ὅταν οὖν ἀσαφεστέρας

meralis vocata vena, quaeque ex ea derivata eft in cubito incifae, luculentum celeriter commodum afferunt: affecto vero latere aut pulmone aut fepto transverfo aut liene aut jecore aut ventriculo, ea quae per alas ad cubiti juncturam pertingit. Hoc autem cafu maxime interior fecanda venit, quod fi non, certe ea quae ab ipfa diducta in juncturae apparet flexura. Noviftis fane paulo ante ab humerali vena praedictam diduci, ipfam connectentem. Nam hi tres funt loci mittendi ex cubito fanguinis, interior, exterior, medius. Igitur interior utilis eft in iis, quibus inferiores collo partes patiuntur: exterior vero in iis, quibus quae his fuperiores funt, ut facies aut caput. Medius locus interdum utrasque habet diductas venas in ulteriorem brachii partem tendentes, ac deinde hic coëuntes, interim vero celeriter in unum mutuo congredientes, in ipfo videlicet juncturae flexu, ac nonnunquam obfcuram earum alteram, claram vero alteram. Itaque ubi vena, quae parti affectae propria eft, obfcurior

οὔσης τῆς οἰκείας τῷ πάσχοντι μορίῳ φλεβὸς, ἐπί τινα τῶν μέσων ἥκῃς, πειρῶ τὴν ἀποσχιζομένην τῆς οἰκείας τέμνειν μᾶλλον. ἔστι δ᾽ ὅτε καὶ τὰς κατωτέρας τῆς κατ᾽ ἀγκῶνα διαρθρώσεως, ὅσαι κατὰ τὸν πῆχύν εἰσι, διαιρεῖν οὐδὲν κωλύει μὴ [446] φαινομένων τῶν κατ᾽ ἀγκῶνα. καὶ τούτων αὐτῶν τὰς κατ᾽ εὐθὺ τοῖς πεπονθόσιν, οὕτω δ᾽ ἐναργῆ διὰ ταχέων ἐνίοτε τὴν ὠφέλειαν αἱ κατ᾽ εὐθὺ τῶν πασχόντων μορίων φλεβοτομίαι φέρουσιν, ὥστε καὶ τοὺς πάσχοντας αὐτοὺς καὶ τοὺς οἰκείους αὐτῶν ἐκπλήττεσθαι πολλάκις.

Κεφ. ιζ΄. Ἐγὼ γοῦν οἶδά ποτε παρακληθεὶς ὑπό τινος οἰκοῦντος ἐν προαστείῳ τῆς Ῥωμαίων πόλεως ἀνδρὸς πλουσίου, θεάσασθαι τινὰ τῶν διοικούντων αὐτοῦ τὰ πράγματα, κινδυνεύοντα τυφλωθῆναι, τοῦτο γὰρ ἐκεῖνος ἔλεγεν, ὀδυνώμενόν τε μεγάλως καὶ τοῦτο πάσχοντος σχεδὸν ἡμερῶν κ΄. ἦν δ᾽ ὁ τῆς οἰκίας τοῦ πλουσίου προϊστάμενος ἰατρὸς Ἐρασιστράτειος, ἔργον πεποιημένος ἀπέχεσθαι φλεβοτομίας ἀεί. θεασάμενος οὖν ἐγὼ τὸν πάσχοντα, νεανίσκον ὄντα πο-(25)λύαιμον, ἀνελκώτους μὲν ἔτι τοὺς ὀφθαλμοὺς ἔχοντα,

fuerit et ad mediarum aliquam accedas, conare quae a propria diducitur potius incidere. Eſt vero ubi et quae inferiores ſunt cubiti junctura, eas quae in ulna exiſtunt ſcilicet, nihil ſecare prohibeat, ubi nimirum quae in cubito ſunt non appareant, ſed eas certe quae in rectum ſunt affectis. Porro tam perſpicuum ſaepe celereque remedium, quae e directo affectis partibus venae ſecantur afferunt, ut et qui patiuntur et familiares ipſorum ſaepenumero obſtupeſcant.

Cap. XVII. Itaque ego olim rogatus ſum a divite quopiam in ſuburbiis Romanae urbis, ut rerum ſuarum oeconomum inviſerem, cui caecitatis imminebat periculum, nam ita ille dicebat: certe magno dolore vexabatur idque diebus jam viginti. Divitis autem illius familiae praefectus erat medicus ſectae Eraſiſtrateae, anxie ſemper venae ſectionem refugiens. Ubi ergo laborante inſpecto juvenem eum multi ſanguinis cognoviſſem, ac oculos quidem nondum ulceratos

φλεγμονὴν δὲ μεγίστην ἔχοντα καὶ ῥεῦμα καὶ δασύτητα ἐν ἀμφοτέροις τοῖς βλεφάροις, ἐν θατέρῳ καὶ τραχύτητας ἤδη τινὰς, ὑφ᾽ ὧν ἐπισκοτούμενος ἔτι καὶ μᾶλλον ὠδυνᾶτό τε καὶ παρωξύνετο τὴν φλεγμονὴν καὶ τὸ ῥεῦμα. ταῦτα θεασάμενος ἐγὼ καὶ γνοὺς ἅπασαν ἣν ἐποιεῖτο τῆς θεραπείας ἀγωγὴν ὁ ἰατρὸς, αὐτὸν μὲν οὐκ ἔφη δύνασθαι συνεχῶς εἰς τὸ προαστεῖον ἰέναι, χρῄζειν δὲ τὸν ἄνθρωπον ἄχρι τῶν τριῶν ἡμερῶν τοὐλάχιστον οὐκ ἐκ μακρῶν διαλειμμάτων ὑπ᾽ ἐμοῦ θεωρεῖσθαι. δὸς οὖν αὐτὸν, εἶπον, τὰς τρεῖς ταύτας ἡμέρας ἐμοί. καὶ μὴν, ἔφη, παρακαλῶ τοῦτο καὶ χάριν εἴσομαι καὶ ἤδη πρὸς τὴν σὴν οἰκίαν ἄπαγε τὸν ἄνθρωπον, ἧκέ τέ που ὥρας ε΄ καὶ ἀφῃρέθην τὴν πρώτην ἀφαίρεσιν εὐθέως αἵματος λίτρας γ΄, εἶτα ἄλλην μίαν ὥρας θ΄. ἐν αἷς ἀνακαλύψας μεγάλως ὑπηλείφθη κατὰ τὴν ὑστεραίαν ἐπὶ τῶν ἁπαλῶν κολλυρίων μιχθέντος αὐτοῦ τοῦ δι᾽ οἴνου, καθάπερ εἰώθαμεν ἐπὶ τῶν τοιούτων πράττειν, καθ᾽ ὑπερβολὴν τῆς μήλης τοῦ πυρῆνος ὑπὸ τὰ βλέφαρα τῆς ὑπαλείψεως γιγνομένης. ἐπράχθη δὲ τοῦτο πρῶτον μὲν ἕωθεν, εἶτα τετάρτης ὥρας, εἶτα θ΄. ἐφ᾽

habere, caeterum phlegmonem maximam fluxionemque, tum in ambabus palpebris denfitatem, atque in altera quasdam etiam afperitates, a quibus oborta caligine aegrotus magis magisque dolebat, ac phlegmone fluxioque acerbabantur: his, inquam, confpectis, cognitaque omni ratione curationis, qua medicus ille ufus fuerat: me quidem affidue in fuburbium venire poffe negabam, caeterum ex ufu effe, ut triduum ut minimum hominem parvis temporum intervallis infpicerem. Permitte igitur illum, inquam, mihi, fi videtur, tres hofce dies. Immo vero, inquit, ut facias obfecro, gratiamque habebo: quin jam hominem tecum ad aedes tuas in urbem adduc. Venit autem circiter horam quintam: ac prima protinus detractione tres fanguinis libras exhaufi, deinde hora nona aliam. A quibus mirifice refectus inunctus eft poftero die mollium collyriorum quopiam, cui admiftum erat quod vinum habet, ficuti in ejusmodi facere confuevimus, illitu fub palpebris facto, fpecilli cufpide in fummo medicamen impofitum ferente. Id primum quidem mane faciebam, dein-

αἷς ὑπαλείψεσιν ἐλούσατο περὶ δυσμὰς ἡλίου, κἄπειτα κατὰ τὴν ὑστεραίαν ἐκστραφέντων τῶν βλεφάρων, ὑπηλείψατο δὶς ἐπιμιχθέντος τῷ ἁπαλῷ κολλυρίῳ πολὺ πλείονος τοῦ διʼ οἴνου, καὶ μετὰ ταῦτα εἰς ἑσπέραν ἐλούσατο. κατὰ δὲ τὴν ἑξῆς ἡμέραν ἕωθεν ἀπαντήσας τῷ πλουσίῳ κατά τι χωρίον ἔνθα τῶν ὀχημάτων ἀποβαίνειν εἰσὶν εἰθισμένοι, προσηγόρευσεν αὐτῷ, ἀνεωγόσι τε καὶ ἀφλεγμάντοις καὶ ἀρευματίστοις τοῖς ὀφθαλμοῖς, ὁ πρὸ δύο ἡμερῶν οὐδὲ διανοῖξαι τὰ βλέφαρα δυνάμενος ὑπὸ τοῦ ῥεύματός τε καὶ τῆς ὀδύνης. ἔδοξεν οὖν τὸ πρᾶγμα μαγείᾳ τινὶ γεγονέναι παραπλήσιον, ὥστε ἐκεῖνόν τε αὐτὸν ἀνακραγεῖν θαυμάζοντά τε τὸ τάχος τῆς θεραπείας, ἅπαντάς τε τοὺς μετʼ αὐτοῦ παραπλησίως βοᾷν, οὐχ ἡμῶν μέγα τι ποιησάντων, ἀλλʼ ἐκ τῆς πρὸς τὸν οἰκεῖον ἰατρὸν αὐτοῦ παραβολῆς μέγιστα κακὰ ὁρῶντα διὰ τὸ τῆς φλεβοτομίας δέος. ἔχρηζε μὲν γὰρ ὁ κάμνων ἀποσμηχθῆναι τὰς ἐκ τῶν βλεφάρων δασύτητάς τε καὶ τραχύτητας, ἀδύνατον δʼ ἦν τοῦ[447]το γενέσθαι χωρὶς φαρμάκου δάκνοντος. οὐδὲν δʼ ἐδύνατο φέρειν τοιοῦτον

de ad horam tertiam, poftea ad nonam. Poft quas inunctiones fub occafum folis in balneum ductus eft. Poftero deinde die palpebris extra verfis bis inunctus eft, majore copia collyrii illius quod vinum recipit molli illi collyrio admixta: dein ad vefperam lotus eft. Poftridie vero mane obvius diviti illi egreffus, eo loci ubi ex vehiculis defcendere folent falutavit illum oculis apertis phlegmoneque ac fluxione plane liberis, qui ante biduum illos ne aperire quidem prae fluxione atque dolore potuerat. Itaque res incantationi fimilis vifa eft, adeo ut et ipfe ille curationis celeritatem admiratus exclamaret, unaque qui cum eo erant omnes in clamorem prorumperent, quum nos interim haud magnum quippiam feciffemus, nifi tantum ex medici illius comparatione, qui fummum malum attulerat venae fectionis metu. Porro ex palpebris reftabant extergendae laboranti tum denfitates illae tum afperitates, caeterum id fieri non poterat citra medicamentum mordax. Atqui ferre illud neutiquam potuiffet,

ἄνευ τοῦ προκενωθῆναι. λέλεκται γὰρ ἤδη καὶ δέδεικται πολλάκις ἡμῖν ὡς ἅπαντα τὰ δριμέα φάρμακα προσφερόμενα μορίοις τισὶν, ἐὰν μὴ κενὸν ᾖ τὸ σῶμα πᾶν καὶ ἀκριβῶς ἀπέριττον, ἐπισπᾶται ῥεῦμα καὶ φλεγμονὴν ἐργάζεται. τότε δ᾽ ὁ πλούσιος ἐπυνθάνετο τίς ἡ οὖν μαγεία τῆς θεραπείας ἐγίνετο, καὶ πάντ᾽ ἀκούσας τὰ πραχθέντα, ἀπ᾽ ἐκείνου τὸν Ἐρασιστράτειον ἰατρὸν αἱμοφόβον ὀνόμαζεν. αὕτη μὲν οὖν ἡ διήγησις ἀμφοῖν ἔνδειξιν ἔχει, τοῦ τε χρῆναι φλεβοτομεῖν τὰς τοιαύτας διαθέσεις, ὅπερ οὐκ ἦν ἡμῖν προκείμενον ἐν τῷ παρόντι λόγῳ, τοῦ τε φλεβοτομεῖν χρῆναι κατ᾽ εὐθὺ τῶν πασχόντων μορίων καὶ τὰς ὠμιαίας ἐντέμνειν φλέβας ἐπὶ τῶν ἀνωτέρων μερῶν τοῦ θώρακος πασχόντων.

Κεφ. ιή. Ὥσπερ δὲ τὰ προειρημένα πάντα μόρια ταῖς κατ᾽ ἀγκῶνα φλεβοτομίαις, ὡς εἴρηται, γιγνομέναις ὠφελεῖται, κατὰ τὸν αὐτὸν τρόπον ὅσα κατωτέρω τούτων ἐστὶ ταῖς ἐπ᾽ ἰγνύων τε καὶ σφυρῶν. ἔστι δὲ τῶν προειρημένων κατωτέρω τὰ κατ᾽ ἰσχίον τε καὶ κύστιν καὶ μήτραν. νεφροὶ δὲ ἐπαμφοτερίζουσι κάτω μὲν ὄντες ἤδη τῶν πρό-

nifi prius vacuatus foret: dictum enim ſaepe a nobis demonſtratumque eſt acria omnia medicamenta parti cuivis admota, niſi vacuum corpus omne fuerit atque adamuſſim excrementi expers fluxionem attrahere phlegmonemque efficere. Percontatus itaque tunc dives, quaenam ea fuiſſet incantatio, reque omni intellecta, exinde Eraſiſtrataeum illum medicum αἱμοφόβον, quaſi dicas ſanguiſugum, nominabat. Haec itaque narratio utriusque indicationem continet, tum quod in affectionibus ejusmodi venam ſecare oporteat, quod in praeſenti oratione propoſitum nobis haud erat, tum quod e directo laborantium partium: praeterea humerales venas ſecandas, ubi ſuperiores pectoris partes laborant.

Cap. XVIII. Porro quemadmodum praedictae omnes partes in cubito ſecta vena juvantur, ut dictum eſt, ſic quae his inferiores ſunt illis quae per poplites et malleolos decurrunt. Sunt autem dictis inferiores coxendix, uterus, veſica. At renes cui parti adſcribi debeant ambigunt, ſiquidem inferiores ſunt iis quas prius recenſuimus, ſuperiores vero

τερον εἰρημένων, ἄνω δὲ τῶν δεύτερον, διὸ καὶ ταῖς ἐπ᾽ ἀγκῶνος ἐνίοτε φλεβοτομίαις ὑπακούουσιν, ὅταν ἥ τε φλεγμονὴ πρόσφατος εἴη καὶ πλῆθος αἵματος. ἐφ᾽ ὧν δ᾽ ἡ διάθεσίς ἐστιν ἣν ἰδίως καλοῦσι νεφρῖτιν, τὴν κατ᾽ ἰγνύαν ἐπὶ τούτου χρὴ τέμνειν, ἢ πάντως γε τὰς κατὰ σφυρὰ φλέβας. αἱ δὲ τῆς μήτρας φλεγμοναὶ μᾶλλον ἔτι νεφρῶν ὑπὸ τῶν ἐν τοῖς σκέλεσι φλεβῶν τεμνομένων ὠφελοῦνται. ταῖς γὰρ ἐπ᾽ ἀγκῶνος κενώσεσι καὶ ἄλλο τι πρόσεστι μοχθηρόν. ἐπέχουσι γὰρ ἐμμήνους καθάρσεις, ἀντισπῶσαι τὸ αἷμα πρὸς τὰ τοῦ σώματος ὑψηλότερα. ταῖς δ᾽ ἀπὸ τῶν σκελῶν οὐ μόνον ἀντισπάσαι, ἀλλὰ καὶ προτρέπειν ὑπάρχει τὰ καταμήνια. καὶ ὅταν γε τοῦτο πρᾶξαι βουληθῇς κατὰ τὸν καιρὸν τῆς εἰωθυίας τῇ γυναικὶ περιόδου, προλαβὼν ἡμέρας ὡσεὶ γ΄, ἢ δ΄, ἤτοι φλέβα τεμὼν ἢ ἀποσχάσας τὰ σφυρὰ τοῦ ἑτέρου τῶν σκελῶν ἀποκένωσον ὀλίγον, εἶτα κατὰ τὴν ὑστεραίαν ὡσαύτως ἀπὸ θατέρου σκέλους, αὖθις ὁμοίως κένωσον ἅμα τῷ καὶ προνοεῖσθαι τῆς λεπτυνούσης διαίτης, ἐν αὐταῖς ταῖς ἡμέραις, ἐν αἷς οὕτως κενοῖς, καὶ πρὸ αὐτῶν ἄλλαις ἤδη τέσσαρσιν ἢ πέντε. γέγραπται δέ μοι περὶ τῆς λεπτυνούσης διαίτης εἰς

quam eae quas fecundo loco. Itaque miffo ex cubito fanguini interdum aufcultant, ubi videlicet recens fuerit phlegmone copiaque fanguinis affuerit, quibus vero affectio ineft, quam proprie nephritin nominant, eam quae in poplite eft fecare expedit, aut certe quae in malleolis funt. Porro uteri inflammationes magis etiam quam renum a venis in crure fectis juvantur. Nam quae ex cubito fiunt evacuationes aliud etiam habent adjunrtum malum, nempe quod purgationes menftruas comprimant, fanguinem ad fuperiores corporis partes retrahendo, quae vero fiunt ex cruribus, tantum abeft ut retrahant, ut etiam menfes promoveant, ac ubi id facere volueris, tempus confueti mulieri circuitus tribus quatuorve diebus antevertens, aut vena incifa aut fcarificatis malleolis cruris unius pauculum evacuato, deinde poftero die fimiliter facito in crure altero: ut tamen etiam iftis diebus in quibus vacuas et ante eos quatuor aut quinque extenuantem victum procures. Confcriptus eft autem a nobis feorfum li-

κατὰ ἰδίαν λόγος. ἀλλὰ γυναιξὶ καὶ ἄνευ τοιαύτης διαίτης ἱκανὰ προτρέψαι καταμήνια καὶ καλαμίνθην καὶ γλήχωνα. διδόναι δὲ αὐταῖς ἀφεψῶν ἐν μελικράτῳ καὶ ξηρὰ κόπτων καὶ διάττων λεπτῷ κοσκίνῳ καὶ τρίβων γε πάλιν χάριν τοῦ ποιῆσαι χνοῶδες, ἐπιπάττε τῷ μελικράτῳ. καιρὸς δὲ τῆς πόσεως ἄριστός ἐστι μετὰ τὸ βαλανεῖον, περιβεβλημέναις ταῖς σίνδοσι. ταῦτα μὲν οὖν ἐπιεικῆ φάρμακα, σφοδρότερα δὲ βράθυ καὶ δίκταμον. ἡ δὲ χρῆσις ὁμοία τοῖς προειρημένοις. δίδοται δ᾽ ἐν τούτῳ τῷ καιρῷ καὶ τὸ πικρὸν ἰδίως ὀνομαζόμενον φάρμακον, ὅ τὰς ρ′ ἔχει ⊰ τῆς ἀλόης μιγνυμένας ταῖς τῶν ἄλλων φαρμάκων ἓξ ἑκάστου. κάλλιστον δ᾽ ἐστὶν ὅταν λάβῃ κινάμωμον. ταῦτα [448] μὲν ἐν παρέργῳ λελέχθω, καίτοι γ᾽ οὐκ ὄντα πάρεργα, διότι τῇ τοῦ αἵματος ἐκ μήτρας φορᾷ συνεργεῖ, μετὰ τῆς ἀπὸ τῶν σκελῶν κενώσεως, ἤτοι τῶν σφυρῶν ἀμυττομένων ἢ φλεβὸς τεμνομένης παρὰ τὸν ἀστράγαλον ἢ κατ᾽ ἰγνύαν. οἶδα δὲ καὶ ἰσχιάδας ἐν ἡμέρᾳ μιᾷ θεραπευθείσας ὑπὸ τῆς διὰ τῶν σκελῶν κενώσεως, ὅσαι μὴ διὰ ψῦξιν, ἀλλὰ πεπληρωμένων

ber de victu extenuante. Sed mulieribus fine hujusmodi victus ratione menfes abunde provocant et nepita et pulegium. Exhibebis ea in melicrato cocta, fed antea contufa, arida, cribroque fubtili difcreta, ac rurfum trita usque dum pollinem tenuitate referant, ita denique melicrato infperge. Porro convenientiffimum potui tempus eft balneo, involutis adhuc linteo. Atque haec quidem medicamenta mitia funt. Valentiora funt favina et dictamnum, caeterum ufus ante dictis fimilis. Datur autem et hoc tempore medicamentum, quod et proprie amarum appellatur, centum habens drachmas aloes, mixtis aliorum medicaminum cujusque fex. Optimum eft, ubi cinnamomum acceperit. Sed haec obiter fint dicta, quamquam non a re ipfa aliena, quandoquidem fanguinis ex utero fluxui auxiliantur, cum evacuatione ex cruribus, quae fiat aut malleolis fcarificatis aut incifa in talo aut poplite vena. Memini me ifchiadas five coxendices uno die facta ex crure evacuatione curaffe, nimirum ubi non ex

αἵματος τῶν κατ᾽ ἰσχίον ἀγγείων ἐγένοντο. διὸ καὶ συμφορώτερον τῆς ἀπὸ τῶν σφυρῶν φλεβοτομίας ἡ ἀπὸ τῆς ἰγνύας ἐστὶ τοῖς οὕτω διακειμένοις. ἀποχάραξις δ᾽ αὐτοὺς οὐδὲν ὀνίνησι σαφές.

Κεφ. ιθ΄. Συνελόντι γε μὴν εἰπεῖν τὰς μὲν ἀρχομένας φλεγμονὰς ἀντισπαστικῶς χρὴ κενοῦν, τὰς δὲ κεχρονισμένας ἐξ αὐτῶν, εἰ οἷόν τε, τῶν πεπονθότων· εἰ δὲ μὴ, τῶν ἐγγυτάτω τούτων. ἐπὶ μὲν γὰρ τῶν ἀρχομένων ἀποστρέψαι χρὴ τὸ ἐπιῤῥέον, ἐπὶ δὲ τῶν κεχρονισμένων αὐτὸ μόνον ἐκκενῶσαι τὸ εὐφηνωμένον ἐν τῷ πεπονθότι μορίῳ. κενωθήσεται δ᾽ ἄριστα τοῦτο διὰ τῶν συνημμένων φλεβῶν τοῖς κατ᾽ αὐτά. τούτῳ τῷ λογισμῷ καὶ ἡ πεῖρα μαρτυρεῖ. καὶ διὰ ταῦθ᾽ ὅσα κατὰ φάρυγγα καὶ ἀρτηρίαν φλεγμαίνει μεγάλως, ἐν ἀρχῇ μὲν ἡ κατ᾽ ἀγκῶνα, μετ᾽ ἐκείνην δὲ ἡ ἐπ᾽ αὐτῆς τῆς γλώττης βοηθεῖ μεγάλως, ἐντεμνομένων ἀμφοτέρων τῶν ἐπ᾽ αὐτῆς φλεβῶν. οὕτω δὲ καὶ τὰ κατὰ τοὺς ὀφθαλμοὺς σκιῤῥώδη λείψανα τῶν φλεγμονῶν ἡ παρὰ τὸν μέγαν κανθὸν φλὲψ ὀνίνησι διαιρουμένη, καθάπερ γε τὰ

frigore, fed impletis fanguine, quae in coxa funt, venis provenifient. Quare fecta in poplite vena commodior ita affectis eft quam in malleolo: fcarificatio autem nihil perfpicuo illis prodeft.

Cap. XIX. Porro, ut fummatim dicam, incipientes phlegmonas revulfu evacuare oportet: quae vero inveteratae jam funt, ex ipfis, fi fieri poteft, affectis partibus: quod fi nequeat, faltem ex vicinis. Etenim in incipientibus avertere quod influit expedit, in inveteratis autem ipfum tantum quod affectae parti infixum eft evacuare. Evacuabitur porro id optime per venas conjunctas cum iis, quae in partibus ipfis funt fitae. Huic rationi experientia quoque fubfcribit. Quocirca quae in gutture et arteria gravi torquentur inflammatione, in principio quidem fecta in cubito vena, poft principium autem fub ipfa lingua magnifice prodeft, incifis videlicet venis quae fub ea funt ambabus. Sic induratae phlegmonarum in oculis reliquiae, fecta quae ad magnum de-

Ed. Chart. X. [448.] Ed. Baſ. IV. (25. 26.)

τῆς κεφαλῆς βάρη καὶ τὰς διὰ πλῆθος ὀδύνας κεχρονικυίας ἐν αὐτῇ κουφίζειν εἴωθε σαφῶς ἡ ἐν τῷ μετώπῳ φλὲψ τμηθεῖσα, τὰς δ' ἀρχομένας τε καὶ τὰς ἀκμαζούσας ἡ ἐπ' ἰνίου ἀντίσπασις διὰ σικύας, ἐνίοτε μὲν αὐτῆς μό(26)νης, ἐνίοτε δὲ καὶ μετὰ ἀμυχῶν γιγνομένης. προκεκενῶσθαι δὲ χρὴ τὸ σύμπαν σῶμα. κατὰ δὲ τὸν αὐτὸν λόγον ὄπισθεν τῆς κεφαλῆς ὀδύνας ἀρχομένας καὶ ἀκμαζούσας ἡ ἐν μετώπῳ φλὲψ ὠφελεῖ διαιρουμένη. τὰς μὲν γὰρ ἀντισπάσεις ἅμα τῇ κενώσει ποιεῖσθαι χρὴ μᾶλλον ἐπὶ τῶν ἀρχομένων ῥευμάτων. τὰς δὲ ἀπ' αὐτῶν τῶν πεπονθότων μορίων ἢ τῶν πλησίον αὐτοῖς, ἐπὶ τῶν οἷον ἐσκιῤῥωμένων φλεγμονῶν. ἐφ' ὧν δὲ σωμάτων οὐδὲν πάσχει μόριον οὐδέπω, φθάνομεν δὲ κενοῦν ἦρος εἰσβάλλοντος, ἐπὶ τούτων ἐπὶ μὲν εἰθισμένου τοῦ ἀνθρώπου νοσήμασιν ἁλίσκεσθαι πυρετώδεσιν ὥρᾳ θέρους ἐκκενῶσαι τὴν χορηγίαν αὐτῶν ἐφιέμεθα, πᾶν μέρος εἰς ἀφαίρεσιν αἵματος ὁμότιμον ἐστίν· ὥσπερ γε καὶ εἰ ἀρθριτικὸς εἴη πᾶσι τοῖς ἄρθροις πεπον-

currit angulum vena, mirifice juvantur: ſicut capitis gravitates et inveteratos in eo ex plenitudine dolores levare manifeſte ſolet tuſa in fronte vena: at incipientes aut etiam vigentes per cucurbitam in cervice procurata retractio, interim quidem ſolam, interim cum ſcarificatione. Caeterum praevacuatum eſſe corpus univerſum oportet. Eadem ratione incipientes in occipitio dolores aut etiam vigentes inciſa frontis vena juvat. Quippe revulſiones cum evacuatione adhiberi magis debent in fluxionibus incipientibus: quae vero fiunt, ex ipſis partibus affectis aut illis vicinis in phlegmonis quae velut ſcirrhi naturam referunt. In quibus autem corporibus nulla dum particula affecta eſt, caeterum vacuationem vere ineunte antevertimus, in iis, ſi quidem talis ſit homo, qui quotannis aeſtivo tempore febrilibus morbis obnoxius eſſe aſſolet, atque eorum ſuppeditationem evacuare ſtudemus, aeque pars quaevis in ſanguinis detractionem accommoda eſt, ſicut ſane etiam, ſi arthriticus ſit, omnibus arti-

θώς. οἷς δέ τι μέρος ἐξαιρέτως ἐνοχλεῖται μὴ προκενωθεῖσιν, οὐ χρὴ ποιεῖσθαι τὴν κένωσιν ὁμότιμον ἐξ ἁπάντων, ἀλλ' ὡς ἐπὶ τῶν ἀρχομένων ἤδη πάσχειν. διὸ τοὺς μὲν ποδαγρικοὺς ἐπ' ἀγκῶνος χρὴ κενοῦν, ἐπιληπτικοὺς δὲ καὶ σκοτωματικοὺς ἀπὸ τῶν σκελῶν μᾶλλον. εἰ δὲ δι' αἱμοῤῥοΐδος ἐπίσχεσιν ἐπὶ φλεβοτομίαν ἥκοις, εἰ μὲν ἐπέχειν αὐτὴν βούλοιο, τὰς ἐν ταῖς χερσὶν· εἰ δὲ προτρέψαι, τὰς ἐν τοῖς σκέλεσι χρὴ τέμνειν φλέβας. ἀλλ' ἐπί γε τῶν ἐπεσχημένων καταμήνια, [449] τὰς ἐν σκέλει διαπαντός. οὐ γὰρ ὥσπερ ἐπὶ τῶν αἱμοῤῥοΐδων, ἔνιοι μὲν ἀπηλλάχθαι τῆς τοιαύτης κενώσεως ἐθέλουσιν, ἔνιοι δὲ ἔχειν ἀγαπῶσιν, οὕτω κἀπὶ τῆς ἐμμήνου καθάρσεως. ἡ μὲν γὰρ ἐκ τῶν αἱμοῤῥοΐδων κένωσις ὕποπτός ἐστιν ἀμετρίαν τοσαύτην ἐλθεῖν, ὡς ἤτοι παραχρῆμα τὸν ἄνθρωπον ἀνελεῖν, ἢ ὑδερώδη γε πάντως, ἢ καχεκτικὸν ἀπεργάσασθαι. ταῖς δ' ἐκ τῶν μητρῶν κενώσεσιν ὡς ἂν κατὰ φύσιν οὔσαις οὐδὲν τοιοῦτον συμπίπτει. συμβαίνει μέντοι ἐνίοτε καὶ τὰς μήτρας ἐξ ἀναβρώσεως αἱμοῤῥαγεῖν, ἐφ' ὧν οὐκέθ' ὁ

culis laborans. Quibus autem eximie pars quaepiam, ubi prius evacuati non fuerint, infeftetur, haud aeque liceat ex quavis parte evacuationem moliri, verum ficut in iis, qui pati jam occipiunt. Quamobrem podagricos ex cubito evacuato: comitialibus vero morbis vertiginibusque obnoxios potius ex cruribus. Caeterum fi retentae haemorrhoides mittendi fanguinis occafio fint, fiquidem cohibere eas voles, quae in brachio funt, fin provocare, quae in cruribus funt venas fecare convenit: at in iis, quibus repreffi funt menfes, femper in cruribus. Non enim ut in haemorrhoidibus quidam ejusmodi liberari evacuatione volunt, quidam habere etiam gaudent, ita quoque fe res habet in menfium purgatione. Quippe quum haemorrhoidum evacuationem vereamur, ne in tantam evadat immoderationem, ut hominem vel protinus interimat vel hydropicum aut cachecticum, hoc eft habitus mali reddat: at uteri purgationibus, ut quae fecundum naturam funt, tale nihil evenit. Accedit tamen aliquando ut ex utero per erofionem fanguis erumpat, in qui-

αὐτὸς σκοπὸς τῆς θεραπείας ἐστίν. οὐ γὰρ φέρεσθαι τὸ αἷμα καθάπερ ἐκ τῶν καταμηνίων, ἀλλὰ παντάπασι στῆναι βουλόμεθα. κοινὸς οὖν ἐπὶ τούτων ἁπάντων ἦρος εἰσβάλλοντος ἐπὶ φλεβοτομίαν ἡκόντων ὅδε ὁ λόγος ἐστὶν, εἰ μὲν ἐξαιρέτως ἀσθενές τι μόριον ἔχοιεν, ἐφ᾽ ὃ τὸ ἀθροιζόμενον πλῆθος διήκει, ἀντισπαστικῶς κενοῦν. εἰ δὲ μηδὲν εἴη τοιοῦτον, ὅθεν ἂν ἑκάστῳ φίλον ᾖ, πλὴν τῶν δι᾽ αἱμοῤῥοΐδος ἐπίσχεσιν ἢ καταμηνίων, ὡς ὀλίγον ἔμπροσθεν διώρισται.

Κεφ. κ΄. Εἴρηται μὲν οὖν δυνάμει καὶ περὶ τούτου διὰ τῶν ἔμπροσθεν, ἄμεινον δὲ καὶ νῦν ἅπαντα διελθεῖν, ἀθροίζοντα μὲν εἰς ἕνα λόγον τοῦτον ὅσα πρόσθεν εἴρηται, προσεπιδιορίζοντα δὲ τὰ μὴ διωρισμένα. καθόλου μὲν οὖν τοῦτο γνωστέον, ὡς οὐ χρὴ προσέχειν ἡμερῶν ἀριθμὸν πρῶτον ἐπὶ φλεβοτομίας, ὥσπερ τινὲς ἔγραψαν καὶ ἔνιοι μὲν πάνυ γελοίως μετὰ τὸν τῆς τρίτης παροξυσμὸν, ὁπόταν, ὡς φασὶν, ἤδη τινὰ διάγνωσιν ἔχωμεν ὁποία τίς ἐστι κατά τε τὴν ἰδέαν καὶ τὸ ἦθος, ὅλην τε τὴν

bus non idem eſt curationis ſcopus, ſiquidem haud effluere ſanguinem volumus uti ex menſibus, ſed plane ſiſtere conſilium eſt. Communis ergo in his omnibus, iis qui vere ineunte ad ſanguinis miſſionem accedunt, haec ratio eſt. Siquidem inſigniter infirmam partem aliquam habeant, in quam quae colligitur plenitudo decumbat, per revulſionem evacuare: at ſi tale nihil ſit, qua cuique magis placebit, excepta tamen aut haemorrhoidis, aut menſium retentione, ut paulo ante definivimus.

Cap. XX. De hoc ſane poteſtate et ſupra dictum eſt, veruntamen latius fuerit et hic quoque omnia percurrere, omnibus quae ante dicta ſunt in unum collectis, et ſi qua non diſtincta ſunt, una diſcretis. Igitur univerſim hoc ſciendum, in ſanguinis miſſione dierum numero primum haud eſſe attendendum, ſicut quidam ſcripſere: ac nonnulli admodum ridicule poſt tertiae diei paroxyſmum, quando videlicet, ut ajunt, dignotio quaedam habetur, qualis ſit in

ἑαυτῆς φύσιν ἡ νόσος· ἔνιοι δὲ τὸν μὲν ἐξοχώτατον ὅρον τῆς φλεβοτομίας ὥρισαν εἶναι τὴν τετάρτην ἡμέραν, ἐντὸς δὲ αὐτῆς συγχωροῦσι φλεβοτομεῖν ἐν τοῖς τῶν παροξυσμῶν διαλείμμασι, ὁπότε ἐθελήσαιεν· ἔνιοι δὲ σπεύδουσιν ἀφαιρεῖν ἐφ' ὧν ἂν ὁρίσωσιν αἵματος ἀφαιρέσεως εἶναι χρείαν, ἔτι μεταῤῥέοντος αὐτοῦ, καὶ μηδέπω κατεχομένου βεβαίως ἔν τινι μέρει δεξαμένῳ τὴν περιουσίαν ἓν μόνον ἐπισκοποῦντες, εἰ μὴ διαφθορά τις εἴη γεγονυῖα τῆς ἐν τῇ γαστρὶ πεπτομένης τροφῆς, ἢ βραδυπεψία τις, ἢ καὶ σιτία περιεχόμενα κατ' αὐτήν. ὅτι μὲν οὖν σπεύδειν προσήκει ἐφ' ὧν ἐστι χρεία κενώσεως, εἰ μή που προπεφθῆναι δέον τὰ σιτία καὶ τοὺς κατὰ τὰς πρώτας φλέβας ἡμιπέπτους χυμοὺς, κάλλιστα λέγουσι καὶ πιστέον αὐτοῖς. ἀλλ' ἐπεὶ πολλάκις ἡμέρας πέντε ἤδη ἢ ἓξ ἄγοντός τινος ἀπὸ τῆς ἀρχῆς ἐπὶ τὴν θεραπείαν αὐτοῦ καλούμεθα, καλῶς ἂν ἔχοι φλεβοτομεῖν, εἰ καὶ παρελείφθη τοῦ βοηθήματος ὁ πρῶτος καιρός. ἐν ᾗ γὰρ ἂν ἡμέρᾳ τοὺς σκοποὺς τῆς φλεβοτομίας ἐπὶ

forma et moribus, atque adeo tota natura sua morbus. Alii extremum terminum mittendi sanguinis definiunt diem quartum: intra quem missionem sanguinis concedunt in paroxysmorum intervallis adhibendam, electo quo libeat die. Alii detrahere festinant, quibus sanguinis detractionem ex usu esse statuerint, transfluente etiamnum eo, ac ubi nec dum firmiter in parte aliqua superfluitatem recipiente inhaeserit, unum modo considerantes, num corruptio aliqua cibi in ventre concoquendi sit facta, ut tarda concoctio aut etiam cibi in eo contineantur. Ergo quod maturandum sit in quibus vacuatio ex usu est, nisi prius concoqui aut cibos aut in primis venis contentos semicoctos succos oporteat, rectissime praecipiunt habendaque fides. Verum quoniam quintum saepe diem aut sextum ab initio expectant, priusquam nos ad curandum accersant, expediet nihilo secius quoque sanguinem detrahere, etiamsi hujus auxilii primum tempus sit omissum. Quocunque enim die mittendi sanguinis scopos

Ed. Chart. X. [449. 450.] Ed. Baſ. IV. (26.)

τοῦ κάμνοντος εὑρίσκῃς, ἐν ἐκείνῃ πρᾶξεις τὸ βοήθημα, κἂν εἰκοστὴν ἡμέραν ἀπὸ τῆς ἀρχῆς ἔτυχεν εἶναι. τίνες δ' ἦσαν οἱ σκοποί; μέγα τὸ νόσημα, ῥώμη τῆς δυνάμεως ὑπεξῃρημένης τῆς ἡλικίας παιδικῆς καὶ τοῦ περιέχοντος ἡμᾶς ἀέρος ἱκανῶς θερμοῦ. ἐπεὶ δὲ προκαταλύεται τοῦ χρόνου προϊόντος ἡ δύναμις ἐν τοῖς πλείστοις νοσήμασι, διὰ τοῦθ' ὁ τῆς φλεβοτομίας καιρὸς ἀναιρεῖται τὸ πλῆθος τῶν ἡμερῶν, οὐ πρώτως [450] τοῦτ' ἐργαζομένου, ἀλλὰ διὰ μέσου, πρὶν καταλυθῆναι τὴν δύναμιν. ὥστ' εἰ κατὰ τὴν δευτέραν ἡμέραν μετὰ τὴν ἀρχὴν φαίνεται καταλυομένη ποθ' ἡ δύναμις, ἀφεξώμεθα τῆς φλεβοτομίας.

Κεφ. κα'. Ὅτι δ' ἐν αὐτῇ πάλιν ἐκείνῃ τῇ ἡμέρᾳ, καθ' ἣν φλεβοτομοῦμεν, ἐπιτηρῆσαι χρὴ τὴν παρακμὴν τοῦ πυρετοῦ, πρόδηλον εἶναι νομίζω. καίτοι γ' ἐνίοις ἐστὶν οὐδὲ τοῦτο πρόδηλον, ὅσοι κελεύουσιν ἕωθεν μόνον φλεβοτομεῖν, ἢ τὸ μακρότατον ἄχρι πέντε ἢ ἓξ ὡρῶν. ἀλλ' εἰ τῶν ἔμπροσθεν εἰρημένων ἐν ὅλῳ τῷ γράμματι μνημονεύει

in laborante inveneris, in eo auxilium illud adhibeto, etiamſi vel vigeſimus is ab initio extiterit At quinam fuerint hi ſcopi? Morbus ingens roburque virium, excepta aetate puerili et aëre nos ambiente valde calido. Porro autem quoniam prius exolvitur temporis tractu in plerisque morbis virtus, idcirco et mittendi ſanguinis occaſio dierum numero deperditur, non tanquam primario id dies efficiant, ſed re aliqua intercedente, nempe virium diſſolutione. Itaque ſi quando vel ſecundo a principio die vires exolvi videantur, a vena ſecanda abſtinebimus.

Cap. XXI. Sed enim quod in ipſo rurſum die, in quo ſanguinem mittimus, obſervanda ſit febris declinatio, clarere ſatis arbitror, quamquam quibusdam id non ſatis ſit notum, qui mane tantum tundendam eſſe venam aut ad ſummum in horam usque quintam aut ſextam exiſtimant. Verum ſi quis memoria tenet quae toto ſupra libro ſunt dicta, nihil tale committet, ſanguinem mittens quavis diei

τις, οὐδὲν τοιούτων σφαλήσεται φλεβοτομῶν ἐν ἁπάσῃ μὲν ἡμέρας ὥρᾳ, πάσης δὲ νυκτὸς, σκοπὸν ἔχων ἐπὶ μὲν τῶν πυρεττόντων τὴν παρακμὴν τῶν κατὰ μέρος παροξυσμῶν, ἐπὶ δὲ τῶν ἤτοι δι᾽ ὀφθαλμίαν ἢ δι᾽ ἄλλο τι τοιοῦτον δεομένων τοῦ βοηθήματος χωρὶς πυρετοῦ, οὐ τὴν παρακμὴν, οὐκ ὄντος γε ὅλως τοῦ πυρετοῦ, τὸ μέγεθος δ᾽ αὐτῆς τῆς ὀδύνης ἢ φλεγμονῆς ἢ ὅλης τῆς διαθέσεως, ἐν ᾗ τῆς φλεβοτομίας ἐστὶ χρεία. μηδενὸς δὲ τοιούτου κατεπείγοντος ἢ κωλύοντος ἄμεινόν ἐστιν ἕωθεν φλεβοτομεῖν, οὐκ εὐθέως ἅμα τῷ τῶν ὕπνων ἐξαναστῆναι, προεγρηγορήσαντες δὲ χρόνον ὡς ὥρας μιᾶς, εἴρηται δὲ ὅτι καὶ λούειν τινὰς ἄμεινον, εἰ δὲ τοῦτο, καὶ προπεριπατήσαντας ἐνίους, ἐφ᾽ ὧν δὲ ἦρος εἰσβαλόντος ἐπὶ φλεβοτομίαν ἔρχεσθαι. διὰ προσδοκίαν πυρετῶν οἶδα φλεβοτομήσας ἐνίους καὶ μετὰ τὸ πρᾶξαί τινα τῶν συνήθων ἔργων, ἢ ἐν διδασκαλείοις, ἢ ἐργαστηρίοις, ἢ κατ᾽ ἀγορὰν, ἢ ἐπὶ τῆς οἰκίας. ὅ γε μὴν τῆς ἐπαφαιρέσεως καιρὸς, ἐφ᾽ ὧν μὲν ἁπλῶς κενῶσαι,

noctisque hora, modo respiciat in febrientibus quidem particularium paroxysmorum declinationem: in quibus autem aut ob oculorum lippitudinem, aut aliud simile, citra febrem hoc opus est auxilio, non declinationem omnino, quum omnino febris non adsit, sed magnitudinem aut doloris, aut phlegmones, aut totius affectus, in quo secta opus est vena, inspicere convenit. Quum autem nihil ejusmodi aut urgeat, aut prohibeat, praestat mane venam incidere, haud protinus ex somno excitis, verum circiter horam unam jam antea vigilantibus. Dictum est autem, quod et lavacro uti quibusdam expedit: quod si verum est, et praeeunte quoque ambulatione nonnullis. Caeterum in quibus vere ineunte venam incidere aggredimur, aut propter febris metum aut alterius cujuspiam affectus, scio me sanguinem misisse quibusdam etiam, posteaquam rerum solitarum quippiam obiissent, sive in ludo literario, sive in officinis, sive in foro, sive in aedibus. Iteratae tamen detractionis tempus in quibus simpliciter quidem vacuare conamur, eodem die esto: at in quibus revel-

κἂν δύο ταῖς ἐφεξῆς ἡμέραις γένηται, βέλτιον ἐστί. προσέχειν δ' ἐν ἅπασι τοῖς τοιούτοις σε χρὴ τὴν δύναμιν τοῦ κάμνοντος, ἁπτόμενον τῶν αὐτοῦ ἀρτηριῶν. ἔνιοι γὰρ εὐπαθεῖς εἰσι τὴν δύναμιν, ὡς μὴ φέρειν ἀθρόαν κένωσιν, ἐφ' ὧν ἀνακτησάμενος ἐν τῇ πρώτῃ τῶν ἡμερῶν τὸν κάμνοντα, ἐπαφαιρεῖν ἐν τῇ δευτέρᾳ προσήκει.

Κεφ. κβ'. Ὅτι καὶ τὰς ἀρτηρίας φλέβας ὀνομάζουσιν οἱ παλαιοὶ καὶ ἡμῖν ἑτέρωθι δέδεικται καὶ πρὸ ἡμῶν ἄλλοις ὡμολόγηται. διά τε οὖν αὐτὸ καὶ προσέτι τὴν οἰκειότητα τῶν διδασκαλιῶν καὶ βραχύτητα τοῦ λόγου, κάλλιον ἔδοξέ μοι μὴ γράφειν ἕτερον βιβλίον ὑπὲρ ἀρτηριοτομίας, ἀλλὰ τῷ τῆς φλεβοτομίας συνάψαι λόγῳ, καὶ τοῦτό γε αὐτὸ κατὰ τόδε τὸ μέρος, ἐν ᾧ σκοπούμεθα τίνας ἐπὶ τίσι μέρεσι πεπονθόσι προσήκει διαιρεῖσθαι φλέβας. ὡς γὰρ ἄλλας ἐπ' ἄλλοις ἐδείξαμεν, οὕτω δὴ καὶ τὰς κατὰ τοὺς κροτάφους ἀρτηρίας καὶ τὰς τῶν ὤτων ὄπισθεν ἔθος ἐστὶ τοῖς ἰατροῖς [451] διαιρεῖν, τὰς μὲν ἐν τοῖς κροτάφοις ἐπὶ τοῖς ἐν ὀφθαλμοῖς (27) ῥεύμασιν, ὅσα θερμὰ καὶ πνευμα-

lere, si vel duobus deinceps diebus fiat, melius fuerit. Porro intento semper animo in omnibus id genus in laborantis vires esto, manu jugiter arteriis illius admota: sunt enim quidam tam ad patiendum apti ut confertam inanitionem non ferant, quo casu refecto primo die aegroto iterare secundo detractionem expedit.

Cap. XXII. Quod autem arterias antiqui venas appellabant et a nobis alibi demonstratum est et ante nos aliis confessum extitit. Ob id ipsum ergo ac praeterea ob disciplinarum affinitatem compendii gratia satius mihi visum est haud alium conscribere librum de arteria secanda, sed orationi de secanda vena annectere, atque id ipsum in hac parte, in qua consideramus, quas venas ob quas partes affectas secare oporteat. Sicut enim alias venas ob alias affectas partes ostendimus secandas, sic quoque et quae in temporibus sunt arterias et quae post aures incidere medicis mos est, in temporibus quidem, infestantibus oculos fluxionibus tum calidis

τώδη, τὰς δὲ ὄπισθεν τῶν ὤτων ἐπὶ σκοτωματικοῖς μάλιστα καὶ ὅσοι χρονίοις ἀλγήμασι κεφαλῆς θερμοῖς καὶ πνευματώδεσι κάμνουσιν. ἤδη δὲ καὶ δι' ἄλλα πάθη περὶ τὴν κεφαλὴν συνιστάμενα χρόνια κέχρηνται τινὲς ἀρτηριοτομίᾳ τῶν ὤτων ὄπισθεν. οὐ μὴν ἐφ' ἑτέρου γέ τινος μορίου πάσχοντος ἐχρήσαντο τῷ βοηθήματι, καίτοι τῶν πολλῶν δεομένων αὐτοῦ μᾶλλον ἢ φλεβοτομίας. ἔνθα γὰρ ἐνοχλεῖ θερμὸν αἷμα καὶ πνευματῶδες ἐν ταῖς ἀρτηρίαις ἠθροισμένον, ἐνταῦθα χρεία τῶν κοινῶν τῷ πάσχοντι μορίῳ τεμνομένων ἀρτηριῶν. ἀλλὰ διὰ τὸ δυσεπίσχετον τῆς ἀρτηρίας οὐ τολμῶσιν οἱ ἰατροὶ διαιρεῖν τὰς ἀρτηρίας, ὅπου γε καὶ φλεβοτομοῦντες τινὲς, ὅταν ἀρτηρίαν τρώσωσιν ἐν τῷ παραχρῆμα, δυσχερῶς ἱστῶσι τὴν αἱμοῤῥαγίαν, καὶ ὅταν τὰ βέλτιστα πράξωσιν, εἰς οὐλὴν τῆς διαιρέσεως ἰούσης ἀνεύρυσμα γίνεται.

Κεφ. κγ'. Καὶ μέντοι καὶ ἀποθανόντας τινὰς ἴσμεν ἐκ τῆς ὑποκειμένης ἀρτηρίας τῇ κατ' ἀγκῶνα φλεβὶ τῇ ἔνδον. ἐνίους μὲν ἐν τῷ παραχρῆμα διὰ τὸν περιβλη-

tum fpirituofis: poft aures vero in vertiginofis maxime et iis, qui diuturnis doloribus capitis calidis ac fpirituofis affiguntur. Jam vero et ob alios quoque affectus in capite confiftentes diutinos funt qui arteriarum poft aures utuntur fectione. Non tamen in ulla alia particula patiente eam adhibuerunt, tametfi multae fint, quibus hoc potius auxilio quam venae fectione fit opus: ubi enim calidus fpirituofusque infeftus eft fanguis in arteriis acervatus, illic communibus parti affectae fectis arteriis eft opus: verum propter diffcilem eruptionis fanguinis compreffionem arterias medici incidere metuunt: quippe quum, fi quis in fecanda forte vena arteriam vulneravit, aegre ftatim fanguinis eruptionem compefcat: ac ubi res optime cadat ad cicatricem perducta divifione, tamen aneuryfma fiat.

Cap. XXIII. Quin et interiiffe quosdam novi ab arteria interiori in cubito venae fubjecta, nonnullos quidem protinus ob vinculum circumpofitum, volentibus medicis fi-

θέντα βρόχον, ἐθελησάντων τε τῶν ἰατρῶν ἐπέχειν, ὡς τὴν αἱμοῤῥαγίαν εἰς γάγγραιναν ἐλθεῖν, ἐνίους δ' ὕστερον ἐν τῇ τῶν ἀνευρυσμάτων χειρουργίᾳ διαφθαρέντας. ἀναγκαῖον γὰρ ἐν ταύτῃ βρόχῳ διαλαμβάνεσθαι τὸ ἀγγεῖον. τὰς μὲν οὖν ἀξιολόγους κατὰ τὸ μέγεθος ἀρτηρίας διὰ ταῦτα φεύγουσιν οἱ ἰατροὶ, τὰς δὲ μικρὰς ὡς οὐδὲν μέγα δυναμένας ἀνύσαι. καίτοι καὶ αὗται πολλάκις ἡμῖν ὤφθησαν οὐ μικρὰν ὠφέλειαν ἐπιφέρουσαι μετὰ καὶ τοῦ συνουλοῦσθαι χωρὶς ἀνευρύσματος. καὶ μέντοι κἂν μείζων ἀρτηρία ᾖ, καὶ αὐτὴ χωρὶς ἀνευρύσματος συνουλοῦται διαιρεθεῖσα πᾶσα. καὶ πολλάκις τοῦτο αὐτὸ τὸν ἐκ τῆς αἱμοῤῥαγίας κίνδυνον ἰάσατο. φαίνεται γὰρ σαφῶς ὅθ' ὅλη δι' ὅλης ἑαυτῆς ἐγκαρσίως διακοπῇ, τῶν μερῶν ἑκατέρων ἀνασπωμένων ἑκατέρωσε, τὸ μὲν ἄνω τοῦ μορίου, τὸ δὲ κάτω. τοῦτο μέν γε καὶ ταῖς φλεψὶν, ἀλλὰ μετρίου ὑπάρχει, ταῖς δ' ἀρτηρίαις ἀεὶ μᾶλλον τῶν φλεβῶν. ἔγωγ' οὖν ὅθεν ὁρμηθεὶς ἐπὶ τὸ διαιρεῖν ἀρτηρίας ἧκον ἤδη σοι φράσω. προτραπεὶς ὑπό τινων ὀνειράτων δυοῖν ἐναργῶς μοι γενο-

ſtere ſanguinis eruptionem, in gangraenam incidentes: alios poſtea in aneuryſmate manu curando defunctos; neceſſe enim hic eſt laqueo vaſculum conſtringere. Itaque majuſculas proinde arterias medici refugiunt, parvas autem tanquam haud ita multum profuturas: quamquam et ipſae quoque nonnunquam haud parvum attuliſſe commodum viſae ſunt, quum hoc quod et citra aneuryſma cicatrice claudantur. Quin et ſi major ſit arteria, et ipſa quoque citra aneuryſma cicatrice includi poteſt, tota nimirum diſſecta: idque ipſum ſaepenumero imminens ex ſanguinis profluvio diſcrimen ſuſtulit: clare enim apparet, quum tota transverſim per ſe totam diſcinditur, revulſis utrinque partibus ambabus, unam ſurſum, alteram deorſum concedere. Atque id quidem et venis, verum moderate, uſu venit, ſed arteriis ſemper plus quam venis. Sane vero quae mihi occaſio extiterit ſecandae arteriae, nunc jam tibi ediſſeram. Monitus per quaedam inſomnia, quorum duo perſpicuo mihi viſa ſunt, acceſſi ad

μένων ἧκον ἐπὶ τὴν ἐν τῷ μεταξὺ λιχανοῦ τε καὶ μεγάλου δακτύλου τῆς δεξιᾶς χειρὸς ἀρτηρίαν, ἐπέτρεψά τε ῥεῖν ἄχρις ἂν αὐτομάτως παύσηται τὸ αἷμα, κελεύσαντος οὕτω τοῦ ὀνείρατος. ἐῤῥύη μὲν οὖν οὐδ᾽ ὅλη λίτρα. παραχρῆμα δ᾽ ἐπαύσατο χρόνιον ἄλγημα κατ᾽ ἐκεῖνο μάλιστα τὸ μέρος ἐρεῖδον, ἔνθα συμβάλλει τῷ διαφράγματι τὸ ἧπαρ. ἐμοὶ μὲν οὖν τοῦτο συνέβη νέῳ τὴν ἡλικίαν ὄντι. θεραπευτὴς δὲ τοῦ θεοῦ ἐν Περγάμῳ χρονίου πλευρᾶς ἀλγήματος ἀπηλλάγη δι᾽ ἀρτηριοτομίας ἐν ἄκρᾳ τῇ χειρὶ γενομένης, ἐξ ὀνείρατος ἐπὶ τοῦτο ἐλθὼν καὶ αὐτός. ἑτέρῳ δὲ τραύματος ἐν τῷ σφυρῷ γενομένου διαιρεθείσης ἀρτηρίας, οὐκ ἐπαύετο μὲν ἡ φορὰ τοῦ αἵματος, ἄχρι κληθεὶς ἐγὼ διέτεμον ὅλην αὐτὴν, εἶτα τῷ διὰ τῆς ἀλόης καὶ μάννης καὶ τοῦ λευκοῦ τῶν ὠῶν ἐχρησάμην φαρμάκῳ λαγῴαις ἀναλαμβανομένῳ θριξὶ, καὶ χωρὶς μὲν ἀνευρύσματος ἐθεραπεύθη [452] τὸ τραῦμα περισαρκωθέντος τοῦ στόματος τῆς ἀρτηρίας, ὁ δὲ ἄνθρωπος ἐτῶν ἤδη τεσσάρων ἐκ διαλειμμάτων οὐ μικρῶν ὀδυνώμενος τὸ ἰσχίον, ἐξ ἐκείνου τελέως ὑγιὴς ἐγένετο. ταῦτα οὖν ἔπεισέ με πολλάκις ἐν ἄκροις

dextrae manus arteriam inter indicem et pollicem fitam, fivique fluere, donec fponte fanguis refifteret, nam ita fomnium praeceperat: effluxit autem non tota libra. Subito itaque diuturnus extinctus dolor eft in illa maxime parte fixus, qua jecur fepto transverfo committitur. Mihi quidem hoc aetate juvenili evenit. At minifter dei Pergami diutino lateris cruciatu laborans liberatus eft arteria in fumma manu incifa, aggreffus et ipfe illud infomnii monitu. Porro alteri cui ex vulnere in malleolo inflicto diffecta arteria fuerat, fanguinis quidem curfus haud quievit, donec ego vocatus totam diffecui: ac medicamento ex aloe et manna et ovorum albumine, pilis leporum molliufculis impofito ufus fui: citraque aneuryfma curatum eft vulnus, obducta videlicet arteriae ofculo carne. Vir autem ille quartum jam annum haud exiguis temporum intervallis coxae dolore vexatus exinde prorfum fanus extitit. Haec itaque mihi perfuaferunt, ut fubinde in fummis artubus, immo et in capite arterias fe-

τε τοῖς κώλοις, καὶ μέντοι καὶ κατὰ τὴν κεφαλὴν ἀρτηρίας διαιρεῖν, ἐπὶ πᾶσιν ἀλγήμασιν, ὅσα διὰ θερμὴν οὐσίαν ἢ πνευματώδη τὴν γένεσιν ἔχειν ἔδοξεν, καὶ μάλιστα κατὰ τοὺς ὑμένας, ὧν τὸ ἄλγημα νυγματῶδές τ᾽ ἐστὶ καὶ πλατυνόμενον ἀτρέμα, τῆς μὲν νυγματώδους αἰσθήσεως καθ᾽ ἕν τι μέρος ὡς ἂν κέντρον τοῦ πεπονθότος τόπου γινομένης, τάσεως δ᾽ αἴσθησιν ἴσχοντος τοῦ περὶ τὸ κέντρον τοῦ μυὸς παντός.

carem in omnibus doloribus, qui a calida ſpirituoſaque ſubſtantia naſci videbantur: et maxime in membranis, quarum dolor punctioni ſimilis eſt, ac ſenſim expanditur pungente quidem ſenſu una in parte, tanquam in affecti loci centro infixo, tenſionis vero ſenſum percipiente omni circumcirca ad centrum particula.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΒΔΕΛΛΩΝ, ΑΝΤΙΣΠΑ-ΣΕΩΣ, ΣΙΚΥΑΣ ΚΑΙ ΕΓΧΑΡΑΞΕΩΣ ΚΑΙ ΚΑΤΑΣΧΑΣΜΟΥ.

Ed. Chart. X. [453.] Ed. Baf. IV. (27.)

Κεφ. α'. Θηρῶντές τινες τὰς βδέλλας κατακλείουσι καὶ ἐπὶ πολλοῖς αὐταῖς χρῶνται. αὗται γὰρ ἐκμειλίττουσαι ῥᾳδίως ἅπτονται τῶν σαρκῶν. τὰς δὲ νέον εἰλημμένας φυλάττειν χρὴ ἡμέραν μίαν, αἷμα ὀλίγον εἰς διατροφὴν ἐμβάλλοντας. οὕτως γὰρ διαπιεσθήσεται τὸ ἰῶδες αὐτῶν. ἐπὶ δὲ τῆς χρείας τὸ βδελλισθησόμενον μέρος προεκνιτρούσθω καὶ καταχριέσθω ἢ κνάσθω τοῖς ὄνυξι, ἑτοιμότερον γὰρ ἅψονται. δεῖ δὲ

GALENI DE HIRVDINIBVS, REVVLSIONE, CVCVRBITVLA, INCISIONE ET SCARIFICATIONE.

Cap. I. Hirudines quidam venantes includunt, ac in multis ipfis utuntur. Nam hae cicuratae facile carnibus adhaerent. Recens autem captas diem unum affervare oportet, et pauculum fanguinis in alimoniam injicere. Sic enim quod iis ineft virulentum exprimetur. In ufu autem pars cui hirudo admovenda eft, nitro prius perfricetur delinaturque, aut unguibus fcalpatur: promptius enim adhaere-

ἐμβαλεῖν αὐτὰ εἰς ὕδωρ χλιαρὸν καὶ καθαρὸν ἀγγεῖον εὐρὺ, ἔπειτα σπόγγῳ περιλαβόντες αὐτὰς καὶ τὸ γλοιῶδες ἀποκαθάραντες διὰ τῶν χειρῶν προσέξομεν. μετὰ δὲ τὸ ἐμφῦναι ἔλαιον χλιαρὸν ἐπιχέομεν τῷ μορίῳ, ὥστε μὴ ψυγῆναι. ἐπὶ δὲ χειρῶν ἢ ποδῶν αὐτὸ τὸ μέρος ἐμβαλεῖν χρὴ τῷ ὕδατι, ἔνθα εἰσὶν αἱ βδέλλαι. εἰ δὲ ὀλίγον ἅψοιντο, ψαλίζειν χρὴ τὰς οὐρὰς αὐτῶν. ἐκχεομένου γὰρ τοῦ αἵματος, ἕλκουσαι οὐ παύονται, μέχρις ἂν ἡμεῖς ἅλας ἢ σποδὸν προσπάσσωμεν αὐτῶν τοῖς στόμασι. μετὰ δὲ τὸ ἀποπεσεῖν σικύᾳ χρὴ τὸ ἰῶδες ἐξέλκειν· εἰ δὲ μὴ, πυριατέον σπόγγοις. τὰ δὲ σώματα, εἰ μὲν ὑποδακρύει, κύμινον ἢ ἄλευρον προσπαστέον, ἔπειτα ἐρίῳ ἔλαιον βραχὺ κατειλικτέον. εἰ δὲ αἱμοῤῥαγείη, ὀθόνια ἐπιβλητέον ἐξ ὄξους [454] ἢ κηκίδα κεκαυμένην, ἢ σπόγγον δεύσας ὑγροπίσσῃ καὶ καύσας ἐπιθετέον. γινώσκειν δὲ χρὴ ὡς αἱ βδέλλαι οὐ τὸ ἐν τῷ βάθει ἕλκουσιν αἷμα, ἀλλ' αὐτὸ τὸ παρακείμενον τῇ σαρκὶ ἐκμυζοῦσιν. χρώμεθα δὲ αὐταῖς ἀντὶ σικυῶν, ἀποσπῶμεν δὲ αὐτὰς, ὁπόταν εἰκάσωμεν τὸ

fcent. Injiciendae autem funt in aquam tepidam et vas mundum et amplum; deinde fpongia comprehenfas, fordidoque lentore earum abfterfo, manu admovebimus. Poftquam inhaeferint, fuperfundendum eft parti oleum tepidum, ne refrigeretur. At fi manibus pedibusve admovendae fint, ipfam partem aquae, in qua infunt hirudines, indere oportet. Quod fi pauco tempore adhaeferint, forfice caudam praecidito: nam effluente fanguine trahere non defimunt, donec ipfi aut falem aut cinerem ipfarum ofculis infperferimus. Ubi vero deciderint, cucurbitula virulentum extrahendum eft, aut faltem fpongiis fovendum. Partes autem fi elacryment, cuminum aut farinam infpergito, lanamque deinceps oleo pauxillo madidam involvito. Sin fanguis erumpat, lintea ex aceto injicito, aut gallam uftam aut fpongiam pice liquida madentem pofteaque crematam imponito. Nofcere enim convenit, hirudines non eum, qui in alto eft, fanguinem extrahere, fed eum tantum, quo caro imbuta eft, exfugere. Utimur eis in vicem cucurbitularum. Porro detra-

ἥμισυ μέρος εἱλκύσθαι τοῦ αἵματος. ἐκκωλύομεν δὲ καὶ οὐκ ἐῶμεν ἀποῤῥεῖν ἕως ἂν αὐταρκὲς ἀποκριθῇ, ἐπειδὴ τὸ μόριον ψύχεται ὑπό τε τῶν βδελλῶν φύσει ψυχρῶν οὐσῶν καὶ ὑπὸ τοῦ περιέχοντος.

Περὶ ἀντισπάσεως.

Κεφ. β΄. Τὰς σφοδροτάτας ἐπιῤῥοὰς τῶν χυμῶν ἀντισπαστικοῖς βοηθήμασι κωλύομεν ἀθρόως κατασκήπτειν. ἀντισπαστικὰ δέ ἐστι βοηθήματα ἐπὶ τῆς εἰς θώρακα καὶ γαστέρα ῥοπῆς εἰς χεῖρας· ἔμετοι δὲ ἐπὶ τῆς εἰς τὰ κάτω, καθάπερ καὶ ἡ διὰ τῶν δριμυτέρων κλυσμῶν τῆς ἐπὶ τοὺς ἐμέτους. ἄμφω δὲ ταύτας τὰς ῥοπὰς, λέγω δὲ τὰς (28) διὰ τῆς ἄνω καὶ κάτω γαστρὸς, εἰς οὖρα καὶ ἱδρῶτας ἀντισπάσεις· καὶ μέντοι γε καὶ τὰ οὖρα πρὸς ἱδρῶτάς τε καὶ διαχωρήσεις γαστρός. ἀντισπαστικὸν δὲ βοήθημα καὶ ἡ παρὰ τοὺς τιτθοὺς προβαλλομένη σικύα. ταῖς δὲ καθ᾽ ὑποχόνδριον ἐρειδομέναις ἀντισπάσεις τὴν ἐπὶ τοὺς μυκτῆρας ὁρμὴν τοῦ αἵματος, ὥσπερ γε καὶ τὴν διὰ μήτρας ἄμετρον φοράν. ἀντισπᾷ δὲ καὶ τὰ δριμέα φάρμακα τοῖς κόλποις ἐπιτιθέμενα

himus eas, ubi dimidiam fanguinis partem extractam conjicimus. Non autem finimus decidere, donec quod fatis fit excretum fuerit; quandoquidem pars tum ab hirudinibus natura frigidis tum ab aëre nos ambiente refrigeratur.

Cap. II. Vehementiffimas humorum fluxiones revulforiis praefidiis univerfim ingruere prohibemus. Revulforia funt praefidia humoris, quum is ad pectus aut ventriculum vergit, ad manus retractio; vomitus, cum ad inferiora declinat; ficut cum ad vomitum impetus eft, per acriores clyfteres revulfio. Duas vero has humoris propenfiones, tum quae ad fuperiorem ventrem, tum quae ad inferiorem vergunt, ad urinam fudoresque revelles. Quin et urina ad fudores et alvi dejectiones retrahitur. Revulforium quoque auxilium eft mammis admota cucurbitula. At hypochondriis defixa fanguinis ad nares impetum repellit, ficut et immodicum ex utero effluxum. Porro vergentes ad caput aut vifcera humores retrahunt acria in finus inteftinorum

τὰς ἐπὶ κεφαλὴν καὶ σπλάγχνα ῥοπὰς τῶν χυμῶν. καὶ ἁπλῶς τὴν ἀντίσπασιν ποιητέον ἐπὶ μὲν τοῖς ἄνω ῥέουσι χυμοῖς εἰς τὰ κάτω, ἐπὶ δὲ τοῖς εἰς τὰ κάτω τοὐναντίον, καὶ ἐπὶ μὲν ταῖς ἔσω ῥοπαῖς ἔξω, καὶ πάλιν ἐπὶ ταῖς ἐκτὸς εἴσω, κἂν πρὸς τὰ δεξιὰ ῥέπῃ, ἐπὶ τὰ ἀριστερὰ, καὶ εἰ πρὸς τὰ εὐώνυμα, πρὸς τὰ ἐναντία. οὕτω δὲ καὶ τὰς μὲν ὀπίσω ῥοπὰς πρόσω, τὰς δ᾽ εἰς πρόσω ὄπισθεν.

Περὶ σικύας.

Κεφ. γ΄. Σικύαι προκενωθέντων χρήσιμοι. πληθωρικῶν γὰρ ὑπαρχόντων οὐ χρησόμεθα ταύταις. τῷ δὲ αὐτῷ λόγῳ κἀπὶ τῶν κατ᾽ ἐγκέφαλον καὶ μήνιγγας φλεγμονῶν οὐ χρησόμεθα σικύαις ἐν ἀρχῇ τῶν παθῶν, ὥσπερ οὐδ᾽ ἐπ᾽ ἄλλου μορίου φλεγμαίνοντος οὐδενὸς, ἀλλ᾽ ὅταν μὴ ἐπιῤῥῇ μηδὲν ἔτι καὶ προκενώσωμεν ὅλον τὸ σῶμα, χρεία τε γένηται ἢ κινῆσαί τε καὶ ἐκμοχλεῦσαι τὸ καταφλεγμαῖνον, ἢ πρὸς τοὐκτὸς ἐπισπάσασθαι. γινομένων δὲ ἔτι τῶν παθῶν, οὐκ αὐτοῖς τοῖς ἀρχομένοις κάμνειν μέλεσιν, ἀλλὰ τοῖς συνεχέσιν αὐτῶν ἐπιθετέον τὴν σικύαν ἀντισπάσεως ἕνεκεν. κατὰ τὴν

data medicamenta. Summatim revulſio tentanda eſt humoribus ſurſum fluentibus ad inferiora; deorſum vero in contrarium; intro autem urgentibus foras; ac rurſum foras tendentibus intro. Sin ad dextrum inclinent, ad ſiniſtram; ad ſiniſtram vero recedentibus, in partem oppoſitam. Sic et quae retrorſum recedunt, in anteriorem revelles; quae vero antrorſum vergunt, retrorſum ages.

Cap. III. Cucurbitula prius evacuatis conveniunt; nam in plethoricis illis non utimur. Eadem ratione in cerebri aut meningum inflammationibus per affectuum initia non utimur cucurbitulis, ſicut nec alia in parte nulla inflammatione obſeſſa; verum ubi nihil etiamnum influat, totum autem praevacuatum corpus fuerit, opusque ſit aut movere, aut vehementius agitando amoliri quod in inflammatione obſeſſa parte reſidet, aut foras extrahere. Porro dum naſcuntur adhuc affectibus, non in ipſis jam laborare incipien-

Ed. Chart. X. [454. 455.] Ed. Baf. IV. (28.)

ἀρχὴν δὲ τοῖς ἀποκρουστικοῖς χρηστέον. σικύα δύναται τὴν ὕλην κενῶσαι, ὀδύνην λῦσαι, φλεγμονὴν μειῶσαι, ἐμπνευμάτωσιν διαφορῆσαι, ὀρέξεις ἀνακτήσασθαι, ἄτονον στόμαχον τονώδη ποιήσασθαι, λειποθυμίας ἀπαλλάξαι, τὰ ἐκ τῶν βάθεων μεταφέρειν ῥεύματα καὶ ξηρᾶναι καὶ αἱμοῤῥαγίας ἐπισχεῖν, καὶ ἐμμήνων φθοροποιοὺς δυνάμεις ἑλκύσαι, καὶ ἔμμηνα κουφίσαι.

[455] Περὶ ἐγχαράξεως καὶ κατασχασμοῦ.

Κεφ. δ'. Ἐγχαράξομεν μέρη τοῦ σώματος, ἤτοι φλεγμαίνοντα, ἢ σκιῤῥούμενα, ἢ τεταμένα, ἢ ἐπωδύνως ἔχοντα, ἢ ῥευματισθέντα, ἤδη στάσιν εἰληφότος τοῦ ῥευματισμοῦ, ἢ δριμείας ὕλης παρακειμένης, ἢ ἰώδους δυνάμεως ἔξωθεν ἐμπεσούσης, ἢ βουλόμενοι μεταγαγεῖν ἐξ ἑτέρων μερῶν εἰς ἄλλο τὴν ὕλην. οἷον σκέλη κατασχάζομεν κεφαλῆς πεπονθυίας ἢ πλεοναζούσης ὕλης ἐν τῷ σώματι μειῶσαι θέλοντες. καὶ μάλισθ' ὅταν ὁ πλεονασμὸς γένηται δι' ἐποχὴν ὕλης εἰωθυίας ἀποκρίνεσθαι συνήθως. οἷον αἱμοῤῥοΐδων ἐπισχεθεισῶν ἐγχαράσσομεν σκέλη προλουσάμενοι ἢ ἐν θερμῷ πυριῶν ἢ

tibus partibus, fed continuis ipfis, revulfionis caufa imponenda eft cucurbitula. Cucurbitula poteft materiam evacuare, dolorem folvere, inflammationem minuere, inflationem difcutere, appetitum reftituere, ventriculo infirmo robur adjicere, animi defectione liberare, ex alto fluxiones transferre ac ficcare, fanguinis eruptiones cohibere, corruptrices menfium facultates extrahere et menfes levare.

Cap. IV. Scarificamus partes corporis aut inflammatione fcirrhove affectas, aut tenfas, aut dolore vexatas, aut fluxionem expertas, quae jam radices egerit et confirmata fit, aut acri materia infeftante, aut fi virulenta vis ab externo inciderit, aut ubi materiam ex alia parte in aliam traducere confilium eft; verbi caufa crura fcarificamus affecto capite, aut quum materiam in corpore exuberantem minuere volumus; potiffimum ubi redundantia provenerit a fuppreffione materiae, quae evacuari confueverat; puta haemorrhoidibus fuppreffis crura fcarificamus ante lavacro ufis, aut cali-

σπόγγῳ. τὸ μὲν γὰρ φλέβα διαιρεῖν πολλάκις τοῦ ἔτους οὐκ ἐπιτήδειον ἐνόμισα. ἅμα γὰρ αἵματι πολλῷ συνεκκρίνεται τὸ ζωτικὸν πνεῦμα. τούτου δὲ ἀναλισκομένου πυκνότερον ὅ τε ὅλος ὄγκος καταψύχεται καὶ πάντα τὰ ψυχικὰ ἔργα χεῖρον γίνεται. διὰ τοῦτο ἀπὸ τῶν ἀκυρωτέρων, οἷον σκελῶν, τὴν ἀφαίρεσιν δεῖ ποιεῖσθαι. ὠφελεῖ δὲ ἡ ἐγχάραξις καὶ ὀφθαλμοὺς χρονίως ῥευματιζομένους καὶ κεφαλῆς διαθέσεις καὶ τὰ περὶ θώρακα καὶ μετάφρενα καὶ συνάγχας καὶ σφηνώσεις.

da per ſpongiam fotis. Nam per annum venam ſaepius incidere haud expedire arbitror, quod una cum ſanguine vitalis excernatur ſpiritus. Atqui ſi hic copioſius abſumatur, fit ut tota moles reddatur frigidior, animalesque functiones deterius perficiantur. Quamobrem ab ignobilioribus partibus, puta cruribus, detractio facienda eſt. Prodeſt autem ſcarificatio et oculis diuturna fluxione vexatis, tum capitis affectibus, tum iis qui pectori dorſoque eveniunt, ad haec anginae atque impactis humoribus.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΚΑΘΑΙΡΟΝ-ΤΩΝ ΦΑΡΜΑΚΩΝ ΔΥΝΑΜΕΩΣ.

Ed. Chart. X. [462.] Ed. Baf. II. (484.)

Κεφ. α'. Κατὰ τὴν αὐτὴν αἰτίαν ἐοίκασιν οἱ παλαιότατοι τῶν ἰατρῶν τὰς πονηρὰς δόξας ἀνελέγκτους ἐᾶσαι, καθ' ἣν καὶ τῶν νομοθετῶν οἱ ἀρχαιότατοι τὰ μέγιστα τῶν ἁμαρτημάτων ἀτιμώρητα. μετριωτέρας γὰρ οὔσης κατ' ἐκεῖνον τὸν χρόνον τῆς κακίας καὶ μήτε ἀδικεῖν ἐπιχειρούντων τὰ μέγιστα μήτε ἀναισχυντεῖν ὑπομενόντων τὰ φανερώτατα, πῶς ἄν τις ἢ κόλασιν ὥριζε τοῖς μηδ' ὅλως γεγενημένοις, ἢ ἔλεγχον ἐπῆγεν οἷς οὐδεὶς ὅλως εἶπεν; ἐπειδὴ δ' ἐν τῷ χρόνῳ τῆς κακίας αὐξανομένης οὔτε ἀτόλμητον οὐδὲν ἔτι τοῖς

GALENI DE PVRGANTIVM MEDICAMENTORVM FACVLTATE.

Cap. I. Eadem de caufa medici vetuftiffimi pravas opiniones irreprehenfas omififfe videntur, qua graviffima etiam delicta antiquiffimi legumlatores inulta reliquerunt. Quum enim eo tempore moderatior effet hominum malitia, ut qui neque maxima crimina perpetrare aggrediebantur, neque manifeftiffimis impudenter contradicere, quomodo aliquis punitionem iis quae nondum admiffa erant praefcriberet, vel redargueret ea quae nemo prorfus dixerit? At quia temporis fpatio eo crevit hominum malitia, ut nihil

ἀνθρώποις οὔτε ἄρρητον ἦν, οἱ μὲν νομοθέται πολλοὺς τρόπους καινοὺς ἐξευρίσκουσι τῶν ἐπὶ τοῖς ἀδικοῦσι τιμωριῶν. [463] οἱ δ' ἀλήθειαν τιμῶντες ἐλέγχων ἰδέας πολυτρόπους ἐπὶ τοῖς σοφισταῖς, ὅπερ νῦν ἐοίκαμεν καὶ ἡμεῖς ἂν δράσειν, ἐξελέγχοντες τοὺς ἀναιροῦντας μὲν τῶν καθαιρόντων φαρμάκων τὴν ἑλκτικὴν δύναμιν ὧν ἐκκενοῦσι χυμῶν, μεταβλητικὴν δέ τινα φάσκοντας ἔχειν ἁπάντων ὁμοτίμως τῶν πλησιαζόντων αὐτοῖς. λέλεκται δ' οὐδὲν Ἱπποκράτει πρὸς τὴν τοιαύτην δόξαν. οὔπω γὰρ οὔτ' Ἀσκληπιάδης ἦν κατ' αὐτόν, ὁ προφανῶς ἀναισχυντήσας τε καὶ ὥσπερ ἔπαθλόν τινα κατὰ τῆς ἀληθείας ἀποδυσάμενος, οὔτ' Ἐρασίστρατος, ὁ μετ' αἰδοῦς μέν τινος, ὅλον δ' ἀνατρέψας τὸ κεφάλαιον αὐτό, ὃ περὶ τῶν καθαιρόντων φαρμάκων φανερῶς ὑπάρχει. τὴν γάρ τοι δραστικωτάτην τε καὶ οἰκειοτάτην τῆς φύσεως δύναμιν τὴν ἑλκτικὴν οὐκ οἶδεν Ἐρασίστρατος οὐδαμόθεν τῶν ἑαυτοῦ συγγραμμάτων, ἀλλὰ τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ μᾶλλον ἀντ' αὐτῆς χρῆται. μέρος δέ ἐστι τῆς τῶν οἰκείων

non aut facere aut dicere auſi ſint, legum conditores multas ac novas ſuppliciorum formas adverſus ſceleratos adinveniunt; veritatis autem ſtudioſi varias contra ſophiſtas reprehenſionum ſpecies excogitant. Quod nunc etiam nos in praeſentia facturi videmur, eos qui medicamentorum purgantium facultatem attractricem humorum, quos evacuant, e medio tollunt, commutatricem vero quandam omnium ex aequo ad ipſa prope accedentium habere dicunt, reprehentes. Adverſus quam opinionem Hippocrates nihil prodidit. Nondum enim vel Aſclepiades illius tempore vixerat, qui manifeſtis impudenter refragatus eſt, et ſeu praemium aliquod contra veritatem reportaturus: vel Eraſiſtratus, qui cum pudore aliquo totam illam ſummam, quae de medicamentis purgantibus manifeſto exiſtit, ſubvertere tentavit. Etenim efficaciſſimam familiariſſimamque naturae facultatem attractricem in nullo ipſius commentario Eraſiſtratus cognovit, ſed conſequentia potius ad id quod evacuatur ipſius loco utitur. At familiarium attractricis facultatis pars eſt

ἑλκτικῆς δυνάμεως ἡ ἐν τοῖς καθαίρουσι φαρμάκοις, ὥσπερ γε καὶ καθ᾽ ἣν ἡ χολὴ διακρίνεται καὶ τὸ οὖρον, ἄλλα τε πολλὰ κατά τε τὴν ὑγείαν τῶν ζώων ὑπὸ τῆς φύσεως ἀποτελούμενα καὶ κατὰ τὰς ἰάσεις τῶν νοσημάτων καὶ κατὰ τὰ νοσήματα, ὑπό τε τῶν ἰατρῶν καὶ αὐτῆς τῆς φύσεως οὐχ ἥκιστα. ἐπεὶ τοίνυν Ἱπποκράτης οὐδὲν εἶπεν πρὸς τοὺς ἀναιροῦντας ἐκ τῶν ὄντων τὴν ὁλκὴν, ὅτι μηδὲ προστάτην οὕτως ἰταμὸν ὁ λόγος ἔσχεν, οἷοι πολλοὶ τῶν μετ᾽ αὐτῶν ἐγένοντο, δίκαιον ἂν εἴη περὶ τῆς ἀληθείας ἀνθ᾽ Ἱπποκράτους ἡμᾶς ἀγωνίσασθαι καὶ πρῶτον μὲν οἷόν τι λέγουσιν ἀναμνῆσαι τοὺς ἄνδρας, εἶθ᾽ ἑξῆς ὡς οὐκ ὀρθῶς λέγοντας ἐπιδεῖξαι. ὁ μὲν δὴ λόγος αὐτῶν τοιόσδε. τὸ καθαῖρον φάρμακον, οὗπερ ἂν ψαύσῃ χυμοῦ, τοῦτον εἰς τὴν ἰδίαν ἰδέαν ἀλλοιοῖ, χολὴν μὲν ξανθὴν ἐργαζόμενον, ὅπερ ὀνομάζουσι χολαγωγὸν, ὥσπερ καὶ φλέγμα, ὃ καλοῦσι φλεγμαγωγόν· ὑδατώδη δέ τινα φύσιν ἀποτελοῦν ὃ καλοῦσιν ὑδραγωγὸν, ἄλλο γε μέλαιναν χολὴν ἀποφαῖνον οὗπερ ἂν ἅψηται χυμοῦ.

ea, quae in purgantibus medicamentis continetur; quemadmodum etiam illa, qua bilis et urina fecernitur, aliaque multa, quae in fecunda animalium valetudine a natura obeuntur, et in morborum curationibus morbisque ipfis tum a medicis tum ab ipfa maxime natura perficiuntur. Quoniam igitur Hippocrates nihil dixit adverfus eos, qui ex rerum natura attractionem tollunt, eo quod neque tam audacem patronum oratio tunc habebat, quales multi poft eum extiterunt, aequum fuerit pro veritate Hippocratis loco nos certamen fufcipere. Ac primum fane qualenam dicant admonere viros oportet, deinde non recte ipfos dicentes oftendere. Sententia ipforum ejusmodi eft. Purgans medicamentum quemcunque humorem contigerit, hunc in propriam ipfius fpeciem immutat, bilem quidem flavam efficiens, id cholagogon appellant; quemadmodum et pituitam, quod phlegmagogum dicitur; aquofam vero quandam naturam efficiens, quod nominant hydragogum; aliud fane atram bilem reddens, quemcunque attigerit humorem. In

συνελόντα δὲ φάναι, μεταβολὴ καὶ ἀλλοίωσίς ἐστι τῶν ἐν ταῖς φλεψὶ χυμῶν ἁπάντων, οὐ κένωσις ἑνὸς ἐξ αὐτῶν, ἡ προσαγορευομένη κάθαρσις, ὡς ὁ τούτων λόγος. ἀλλ᾽ εἴπερ ταῦτα βούλεσθε, λέγωμεν ἤδη πρὸς αὐτοὺς, ἄν τε χολῆς ἀγωγὸν, ἄν τε φλέγματος, ἄν τε μελαίνης, ἄν τε ὀῤῥώδους ὑγρότητος λάβῃ τὶς φάρμακον, ἅπαντας κενοῦσθαι τοὺς ἐκ τῶν φλεβῶν χυμούς. καὶ μὴν ταύτῃ μόνον ἄρα διαλλάττει τὸ καθῆραί τινα τοιούτῳ φαρμάκῳ, τοῦ τέμνοντα φλέβα κενῶσαι τὸ αἷμα, καθόσον ἐν μὲν ταῖς φλεβοτομίαις οἷόν περ ἔμπροσθεν ἐνυπάρχει ἐκκρίνεται, κατὰ δὲ τὰς καθάρσεις ἐξαλλαττόμενόν ἐστιν οὐ τῇ χρόᾳ μόνον, ἀλλὰ καὶ τῇ συστάσει. τὸ μὲν γὰρ τῶν ὑδατω(485)δῶν ἀγωγὸν ὑγρὰ καὶ λεπτὰ πάντα ποιεῖται τὰ κατὰ τὰς φλέβας, εἰ καὶ τύχοι πρότερον ὄντα παχύτατα· τὸ δὲ τῆς μελαίνης ἔμπαλιν ἅπαντα παχέα καὶ στάσιμα, κἂν εἰ πρόσθεν ἦν ὑγρότατα. καὶ τοίνυν καὶ ἡ ἔκλεξις ἡμῖν τοῦ φλεβοτομῆσαί τε καὶ καθῆραι κατ᾽ ἄλλους μέν τινας ἔσται σκοποὺς, κατ᾽ αὐτὴν δὲ τὴν ἰδέαν τῶν κενουμένων οὐκ ἔσται. τίνες δ᾽ ἄλλοι σκοποί; πολλοὶ μὲν

ſumma, omnium humorum, qui in venis ſunt, mutatio alteratioque eſt, non unius ipſorum vacuatio, quae appellatur purgatio. Sic horum ſententia habet. Sed age, ſi placet, dicamus jam ad ipſos, ſive bilem ducens, ſive pituitam, ſive atram bilem, ſive ſeroſam humiditatem, aliquis medicamentum aſſumpſerit, univerſos ex venis humores vacuari. Atqui hac ratione ſola purgatio ab ejusmodi medicamento petita differt a ſanguinis evacuatione per venae ſectionem, quod in hac ille qualis prius erat excernitur; in purgationibus autem alteratur, non colore tantum, ſed etiam conſiſtentia. Quod enim aquoſa ducit, liquida et tenuia omnia quae in venis ſunt efficit, etiamſi antea fuerint craſſiſſima; quod autem atram bilem educit, e contrario omnia craſſa firmaque, etiamſi antea fuiſſent liquidiſſima. Proinde nobis venae ſectionis purgationisque ſecundum alios ſane quosdam ſcopos delectus erit; ſecundum ipſam vero eorum, quae evacuantur, ſpeciem non erit. Sed qui alii ſcopi exiſtunt?

ἑτοιμότεροι πρὸς φλεβοτομίαν εἰσὶ τῶν ἄλλων, ἔνιοι δὲ πρὸς κάθαρσιν, ὥσπερ γε καὶ ἄλλοι θᾶττον ὁτιοῦν πάθειεν ἢ φλεβοτομοῖεν. ἔνιοι δὲ ἀποκοπῆναι μᾶλλον ὑπομένουσι μόριόν τι τοῦ σώματος ἢ καταπιεῖν φάρμακον. καὶ μὲν δὴ καὶ τινὲς μὲν ἀνα[464]τρέπονται τὸν στόμαχον ὑπὸ τῶν καθαιρόντων φαρμάκων, ἕτεροι δὲ ἀλύπως λαμβάνουσιν. ἀπὸ τῶν τοιούτων οὖν σκοπῶν ἐνίους μὲν τῶν ἀνθρώπων φλεβοτομήσομεν, ἐνίοις δὲ τὸ καθαῖρον φάρμακον δώσομεν, οὐκ ἀφ᾽ ὧν ἐνόμιζον οἱ Ἀσκληπιάδαι, φλεβοτομίαν μὲν ὁμοτίμως ἐκκενοῦν ἅπαντας τοὺς ἐν ταῖς φλεψὶ νομίζοντες χυμοὺς, τὴν κάθαρσιν δ᾽ οὐχ ὁμοτίμως, ἀλλ᾽ ἕνα μέν τινα καὶ μόνον ἐκεῖνον, οὗπερ ἂν ἀγωγὸν εἶναι λέγεται. διὸ καὶ καθαίρεσθαι φασὶ τὸ αἷμα ὑπὸ τῶν τοιούτων φαρμάκων, οὐ κενοῦσθαι καθάπερ ἐν ταῖς φλεβοτομίαις. ταῦτα ὑμῶν ἕπεται ταῖς ὑποθέσεσιν ἑκόντων τε καὶ ἀκόντων.

Κεφ. β΄. Ἀναμνήσω δ᾽ αὐτῶν τὰ κεφάλαια. κατὰ μὲν τοὺς Ἀσκληπιάδας ἁπάντων τῶν ἐν ταῖς φλεψὶ χυμῶν ὁμότιμός ἐστιν ἡ ἐν ταῖς φλεβοτομίαις κένωσις, οὐχ ὁμότιμος

Multi quidem ad fanguinis miffionem aliis promptiores exiftunt; nonnulli vero ad purgationem, ficut etiam alii quidvis citius patientur quam venae fectionem. Nonnulli vero aliquam corporis partem potius praecidi fibi fuftinent quam medicamentum bibant. Quin etiam aliquibus ftomachus a medicamentis purgantibus fubvertitur: alii citra moleftiam affumunt. Ex hujusmodi itaque fcopis aliis venam fecabimus, aliis purgans medicamentum exhibebimus; non illis aufcultantes opinionibus, quibus Afclepiadae fanguinis miffionem aequaliter omnes in venis humores evacuare putabant; purgationem vero non aeque, fed unum aliquem, eumque folum cuicunque educendo efficax medicamentum effe dicatur. Quare et fanguinem ab hujusmodi medicamentis purgari, non evacuari, ut in venae fectione tradunt. Haec veftras hypothefes fequuntur, velitis nolitis.

Cap. II. Commemorabo autem ipfarum capita. Afclepiadum fententia omnium qui in venis funt humorum aequalis vacuatio per fanguinis miffionem eft; in purgatio-

Ed. Chart. X. [464.] Ed. Baf. II. (485.)

δ' ἡ ἐν ταῖς καθάρσεσιν, ἀλλὰ τῶν ἄλλων ἀφαίρεσις, ὡς καθαρὸν ἀποφῆναι τὸ αἷμα. κατὰ δὲ τοὺς περὶ Ἐρασίστρατον ὁμότιμος ἁπάντων ἐστὶν ὥσπερ ἐν ταῖς φλεβοτομίαις, οὕτω κᾀν ταῖς καθάρσεσιν ἡ κένωσις, ἃς οὐδὲ καθάρσεις ὄντως, ἀλλὰ κενώσεις ἅμα διαφθορᾷ καὶ ἀλλοιώσει τῶν κενουμένων ὑπάρχειν ἐροῦσιν. ἥκοντες τοίνυν ἐπὶ τὸν ἆθλον οἵ τε μετρίως ἀναίσχυντοι τῶν σοφιστῶν οἵ τε ἐσχάτως ἀγωνιζέσθωσαν ὥσπερ ἐν σταδίῳ μὴ λόγοις πρός με μηδὲ λήροις μακροῖς, ἀλλ' αὐτοῖς τοῖς ἔργοις εἰς ἃ προσκαλοῦμαι κατὰ τὴν πολυανθρωποτάτην πόλιν τήνδε, μυρίων ὁσημέραι μὲν κατ' αὐτὴν ἰκτεριώντων εὑρεθῆναι δυναμένων, μυρίων δὲ ὑδερικῶν. ἀρκεῖ γάρ μοι περὶ τούτων πρῶτον ποιήσασθαι λόγον. ἀγέτω τις πρός με τούτων δή τινα χωρὶς πυρετοῦ μεστὸν ἔχων τῆς πικρᾶς χολῆς τὸ σύμπαν σῶμα, καὶ θεασάσθω πῶς μετὰ τὸ παρασκευάσαι τὸν ἄνθρωπον ἡμέραις τισὶν, ὅταν ἤδη μοι καιρὸς εἶναι δοκῇ, δοὺς ὑπήλατόν τι τῶν χολαγωγῶν, εἰς τὸ κατὰ φύσιν ἐκ τῆς τοιαύτης καθάρσεως ἐπανάγω τὸν ἄνθρωπον, οὐδὲν ὅλως ἔτι περὶ τὸ σῶμα πραγμα-

nibus autem non aequalis, ſed aliorum detractio, ut ſanguis purus evadat. Eraſiſtrateorum judicio omnium ex aequo par eſt, ut in ſanguinis miſſione, ita etiam in purgationibus vacuatio; quas neque purgationes revera, ſed evacuationes una cum corruptione et alteratione eorum quae evacuantur eſſe dictitant. Itaque ſophiſtae, tum qui modice tum qui extreme impudentes ſunt, ad certamen venientes pugnent tanquam in ſtadio mecum non verbis neque nugis longis, ſed ipſis operibus. Ad quae in hac urbe populoſiſſima provoco, quum quotidie in ea mille inveniri poſſint, qui arquato laborent, mille qui hydrope. Sufficit enim mihi de his primum ſermonem inſtituere. Ducatur aliquis horum ad me, qui citra febrem totum corpus amara bile refertum habeat, videatque quomodo, poſtquam diebus aliquot hominem praeparaverim, ubi jam tempus eſſe videatur dato aliquo medicamento, quod per avum bilem ducat, ad naturalem habitum hujusmodi purgatione hominem reducam, nihil prorſus adhuc de corpore ſollicitus. Atqui id nos non

τευσάμενος. ἀλλὰ τοῦθ' ἡμεῖς οὐχ ἅπαξ ἢ δὶς, ἀλλὰ πάνυ πολλάκις ἐπεδειξάμεθα τοῖς ἡμιμοχθήροις αὐτῶν, καὶ πολλοὺς ἐπὶ τὰ βέλτια μετεστήσαμεν. οὐ μὴν τούτου γε ἕνεκεν, ὦ σοφιστὰ, πιστεύειν σε κελεύω τοῖς μαρτυροῦσιν, ἀλλὰ σαυτὸν, ὅτε βούλει, θεάσασθαι μιᾷ καθάρσει τὸν ἰκτεριῶντα, τὴν κατὰ φύσιν ἀπολαμβάνοντα χρόαν. ὅταν οὖν ἴδῃς τοῦτο γινόμενον, ὦ γενναῖε, τολμήσῃς ἐν τῷ μέσῳ καταστὰς λαμπρᾷ τῇ φωνῇ, κήρυκος γοῦν δίκην αἴρων αὐτὴν, ἀποτεῖναι λόγον μακρὸν, οἷον πολλάκις τοῖς μαθηταῖς, ὡς οὐχ ἕλκεται τὸ οἰκεῖον ὑφ' ἑκάστου τῶν καθαιρόντων, ἀλλὰ τὸ περιεχόμενον ἐν ταῖς φλεψὶν ἅπαν, ὁποῖον ἂν εἴη, μεταβάλλεται πρὸς ὅπερ ἂν ἡ τοῦ φαρμάκου δύναμις ἀλλοιοῦν αὐτὸ φύσιν ἔχῃ. καὶ νῦν οὗτος ὁ θεραπευθεὶς τὸν ἴκτερον οὐ τῷ κενωθῆναι τὸν χυμὸν, ἀλλὰ τῷ κοινῷ λόγῳ τῆς κενώσεως ὤνητο. θεάσασθε γοῦν ὅπως ἐγὼ τῶν οὕτως ἐχόντων ἕτερον ἤτοι φλεβοτομήσας, ἢ δοὺς ἄλλο τι τῶν ὑπηλάτων ὁμοίως ὠφελήσω. ταῦτ' εἰπὼν ἐφεξῆς μοι δύο τῶν ἰκτεριώντων, τὸν μὲν φλεβοτόμησον, τὸν δὲ διά τινος τῶν τοιού-

femel aut bis, fed admodum oftendimus faepe femimalis iftis ac multos in meliorem fententiam perduximus. Non tamen fophiftis hujus gratia, o fophifta, fidem te vellem accomodare teftimoniis, fed te ipfum cum voles intueri, arquato laborantem ex una purgatione naturalem colorem recipere. Quum itaque id fieri videas, o generofe, audesne in medio confiftens, voce clara praeconis inftar elata longum fermonem producere, qualem faepe difcipulis loqueris, nempe unumquodque purgans non familiare, fed id quod in venis continetur totum, qualecunque fuerit mutare, ad quod medicamenti facultas id alterare natura poteft. Atque nunc ille qui arquatum curavit, non quia humor fit evacuatus, fed communi evacuationis ratione juvit. Videte igitur, quomodo ego ex iis qui ita habent alterum vel fanguinis miffione vel quodam alio quod ventri ducendo eft exhibito, fimiliter juvero. Haec locutus, deinceps e duobus arquato laborantibus alteri venam fecato, alteri ejusmodi quodam

τῶν ὑπηλάτων [465] ἐκκένωσον, ὃ σύμπαντες μὲν ἄνθρωποι τὴν μέλαιναν χολὴν κενοῦν, σὺ δὲ οὐ κενοῦν, ἀλλὰ γεννᾷν πέπεισαι. κἄπειτ᾽ ἐὰν ὠφελήσῃς αὐτὸν, εὔχρουν ἀποφήνας τὸ σῶμα, πᾶν ὁτιοῦν ἂν ἐθελήσας με παθεῖν, συγχωρήσω σοι, μηδὲν μέντοι τὸν ἄνθρωπον ὀνήσας, ἀλλ᾽ εἰς τὸ ἔσχατον ἀγαγὼν βλάβης, ἐπὶ τὰ βελτίω μετάστηθι καὶ τὴν Ἱπποκράτους ζήλωσον τέχνην. ἀλλὰ περὶ μὲν τῶν ἰκτεριώντων ἅλις. ἐπὶ δὲ τὸν ὑδεριῶντα μεταβὰς θέασαι πάλιν καὶ τοῦτον οὐχ ὁμοίως ὑπό τε φλεβοτομίας διατιθέμενον καὶ φαρμάκου τινὸς τῶν ὑδραγωγῶν. εἰ γὰρ μὴ δείξαιμι τὸ κατὰ τὸ ἦτρον ὑδατῶδες ἐκκενούμενον ὑπὸ φαρμάκου, τότ᾽ ἔνεστί σοι καταγνῶναι μὲν τοῦ παλαιοῦ λόγου νομίζοντος οὐ γεννᾶσθαι τὸν τοιοῦτον χυμὸν, ὡς σὺ φὴς, ἀλλ᾽ ἐκ τοῦ σώματος ἕλκεσθαι πρὸς τοῦ φαρμάκου. καθ᾽ ἡμῶν δ᾽ ὅ τι βούλει πρᾶξαι, καὶ μὴν εἰ μελαίνης χολῆς ἢ ξανθῆς ἀγωγὸν δοίης φάρμακον, οὐ κενώσεις τὸν ὄγκον, καὶ οὕτως ἕκαστον τῶν φαρμάκων οἰκείου τινὸς ἑλκτικόν ἐστι χυμοῦ. σὺ δ᾽ εἰ νομίζεις ἅπαντας ὁμοίως

medicamento in alvum ciendam efficaci evacuato; quod universi fane homines atram bilem vacuare, tu autem non vacuare, fed generare perfuafum habes. Deinde fi juveris ipfum, corpus reddens coloratum, quodcunque voles me pati tibi concedam, fin autem nihil homini fueris opitulatus, fed fummam intuleris noxam, in optimum ftatum reftituito et Hippocratis artem imitator. Verum de ictericis fat multa. Ad eos qui hydrope laborant digreffus contemplator rurfus hunc quoque, an fimiliter ex venae fectione et medicamento aquam ducente afficiatur. Nifi enim oftendero aquofam fuperfluitatem in inferiore ventre contentam a medicamento evacuari, tunc vetus dogma damnare tibi licebit, quod docet non hujusmodi humorem generari, ut tu dicis, fed a medicamento ex corpore attrahi. Contra nos autem quod voles facito, fi tamen medicamentum quod atrae bili aut flavae ducendae eft dederis, non molem vacuabis. Atque ita fingula medicamenta proprium quendam humorem attrahunt. Tu fi arbitraris omnes fimiliter im-

Ed. Chart. X. [465.] Ed. Baf. II. (485.)

ἀλλοιοῦσθαι καὶ κένωσιν εἶναι κοινὴν, οὐ κάθαρσιν, τὸ γινόμενον, ἔξεστί σοι τέμνειν τὴν φλέβα. ταῦτα εἰ μὲν ἐν Ἰνδοῖς τις ὢν γράφων προσεκαλεῖτο, χαλεπὸν ἦν ἐξελέγχειν αὐτόν. ἐπεὶ δ᾽ ἄνθρωπος ἑκάστης μὲν ἡμέρας ὑφ᾽ ἡμῶν βλεπόμενος, ἐπ᾽ αὐτὸν δὲ τὸν διὰ τῶν ἔργων ἔλεγχον προσκαλούμενος, οὐκ οἶδα πῶς οὐκ αἰσχύνεσθε φλυαροῦντας. οὐ μέλλω λέγειν, ὅτι παμπόλλων ἰκτεριώντων ἐξεκάθηρα τὸ σῶμα τοῦ χολώδους χυμοῦ καθάρσει μιᾷ· καὶ γὰρ μυρίοι περὶ τούτου μαρτυροῦσιν· εἰ δὲ οἱ ἀναισχυντότατοι σοφισταὶ προσποιήσονται πᾶσιν ἀνθρώποις ἀπιστεῖν, θεασάσθωσαν αὐτοὶ γιγνόμενον αὐτὸ τὸ ἔργον, ὁποσάκις ἂν βουληθῶσι.

Κεφ. γ΄. Καίτοι τί λέγω θεασάσθωσαν; ἐπέδειξα γὰρ ἤδη πολλάκις αὐτοῖς τοῦτο, καὶ μέμνημαί γε τινὰ καὶ τοιαύτης τινὸς ἀντιλαμβανόμενον ἀδολεσχίας. ἔφησε γὰρ οὐχ ἕν δή τι χυμῶν εἶδος ἕλκεσθαι πρὸς ἑκάστου τῶν φαρμάκων, ἀλλὰ ἁπλῶς ἕκαστον μὲν αὐτῶν ἕλκειν ὥσπερ τὰ βδάλλοντα. τῇ δὲ ὁλκῇ πρότερον μὲν ἀκολουθεῖν τὸ λεπτότερον ἐν τοῖς χυμοῖς, ἐφεξῆς δὲ αὐτῷ τὸ παχύτερον, εἶθ᾽ οὕτως τὸ παχύ-

mutari et vacuationem esse communem, non purgationem, id quod fit, integrum tibi est venam secare. Haec siquidem apud Indos aliquis agens scripta citaret, difficile esset eum reprehendere; quoniam vero homo quotidie a nobis conspicitur, praeterea ex operibus reprehensio adducitur, haud novi quomodo vos non pudeat nugari. Omitto dicere quod multorum arquato laborantium corpus una biliosi humoris purgatione purum reddidi; id quod mille etiam testabuntur. At si sophistae impudentissimi fingant se omnibus hominibus fidem non accommodare, videant ipsi id quod fit opus, quomodocunque voluerint.

Cap. III. At quid dico videant? quum jam saepius id ipsis ostenderim meminerimque cujusdam, qui id genus nugacitatem aliquam celebrat. Dixit enim non unam quandam humorum speciem a singulis medicamentis attrahi, verum absolute singulos ipsos trahere hirudinis modo; attractionem vero id quod in humoribus tenuius est prius subsequi; post illud id quod crassius est; deinde ita crassissi-

τατον. ὧν μὲν ἂν οὖν ἡ ῥώμη φαρμάκων ἐκλύηται θᾶττον, ἐπὶ τοῖς ὑδατώδεσιν ἵστασθαι τὴν κένωσιν. ὧν δ' ἂν ἐπὶ πλέον ἐξαρκεῖ, κενοῦσθαι τούτων καὶ τὴν ξανθὴν χολήν. ὅσα δὲ ἰσχυρότατα, τούτων καὶ τὴν μέλαιναν ἐπισπᾶσθαι. παραχρῆμα μὲν οὖν ἔδοξε τοῖς θιασώταις ὁ τοιοῦτος εὖ λέγειν καὶ πάντες ἐπεβόων αὐτῷ καὶ δρόμῳ πολλῷ καταλιπὼν ἡμᾶς ἀπηλλάττετο, γινώσκων, οἶμαι, βεβαίως ὅτι μένων ἐξελεγχθήσεται. δοθέντος μέντοι κατὰ τὴν ὑστεραίαν ὑφ' ἡμῶν τοῖς χορευταῖς αὐτοῦ βιβλίου τινὸς, ἐν ᾧ τῶν οὕτως ἐξαίφνης ἀποτετολμημένων ἦν ἔλεγχος, οὐκέτ' οὐδέποτ' αὐτοῖς ἐκείνοις ἔθ' ὁμοίως ἦν πιθανὸς ἀπορῶν διαλύσασθαι τὰ προβεβλημένα. ταυτὶ γὰρ ἐνεγέγραπτο τῷ βιβλίῳ, χθὲς μὲν ἀπέδρας τὸν λόγον, ὅμοιόν τι ποιήσας ἀγωνιστῇ τὸν στέφανον ἁρπάσαντι καὶ φυγόντι πρὶν ἀγωνίσασθαι, τήμερον δὲ οὐκ ἐκφεύξῃ τὸν ἔλεγχον. ἀκολουθήσει γάρ σοι τουτὶ τὸ βιβλίον, εἰς τὰς χεῖρας ἐμπεσὸν τῶν ἀμφί[466]σε χορευτῶν. οὐδὲ γὰρ ἧττόν τις πρὸς ἐκείνους ὁ λόγος ἐστὶν ἢ πρός σε, τοὺς οὐδέποτε μὲν ἔμπροσθεν ἀκηκοότας σοῦ συγχωροῦντος ὑπάρχειν

mum. Quorum itaque medicamentorum robur citius diſſolvitur, in aquoſis vacuationem ſiſtere; quorum autem diutius perdurat, flavam etiam bilem evacuare; quae valentiſſima inter haec exiſtunt, atram quoque bilem attrahere. Statim igitur talis bene dicere congerronibus viſus eſt, ac omnes ipſi acclamarunt, magnoque curſu relictis nobis diſceſſit, intelligens, opinor, certo, quod ſi maneret, reprehenſum iri. Poſtridie quum librum quendam applauſoribus ipſius exhiberemus, in quo tam ſubita facinora reprehenderentur; dum is poſtea illis ipſis non ſimiliter perſuadebat, non habebant, quo propoſita poſſent diſſolvere. Haec enim in libello continebantur. Heri quidem disputationi te ſubtraxiſti, ſimile quid faciens pugili, qui corona arrepta aufugerit, antequam certaret. Hodie vero reprehenſionem non effugies; comitabitur enim te libellus hic in manus chorum circa te ducentium incidens. Neque enim minus ad illos quam ad te eſt ſermo, qui nunquam ſane antea audiverint te in ullo prorſus eorum, quae in rerum natura ſunt, attra-

ὁλκὴν ἐν οὐδενὶ τῶν ὄντων ἁπλῶς, χθὲς δὲ ὁμολογοῦντος ἠκηκοότας ἕλκεσθαι κοινῇ πάντα τὰ περιεχόμενα κατὰ τὰς φλέβας ὑπὸ τοῦ φαρμάκου. δίκαιον γὰρ ἦν αὐτοὺς μὴ ὅτι θαυμάζειν ἢ ὅλως ἐπαινεῖν τὸ ῥηθὲν, ἀλλὰ προδοσίαν ὑπολαμβάνειν ἃν ἐξ ἀρχῆς ἐτίθετο. περί(486)τε γὰρ οὔρων διακρίσεως καὶ ξανθῆς χολῆς καὶ μελαίνης ἄλλων τε πολλῶν ἐνεργειῶν κατὰ τὸ σῶμα παμπόλλους λόγους ἑκάστοτε ποιεῖσθε, πάντα μᾶλλον ἢ ὁλκὴν εἶναι συγχωροῦντες ἐνέργειαν τινὰ φυσικὴν ἑκάστῳ σώματι τῶν οἰκείων ἑαυτῷ, νυνὶ δὲ οὐ μόνον εἶναι τὴν ὁλκὴν συγχωρήσαντες, ἀλλὰ καὶ πάντων ἁπλῶς, ὅπερ ἐστὶ πολὺ μεῖζον ὁμολόγημα τοῦ τῶν οἰκείων φάναι. τὸ μὲν γὰρ ὥσπερ τις ἀποκριτικὴ τῶν ἀλλοτρίων ἐστὶ δύναμις ἐν τοῖς ζώοις, οὕτως εἶναι τινὰ καὶ τῶν οἰκείων ἑκάστῳ τῶν ὄντων ἑλκτικὴν, εὔλογον εἶναι δοκεῖ πᾶσιν ἀνθρώποις, ὅσοι γε μηδέπω τὴν ἡμετέραν σοφίαν σοφοί· τὸ δ᾽ ἕλκεσθαι πάνθ᾽ ὁμοτίμως ὑπό τινος, ἄν τ᾽ οἰκεῖα ταῖς ποιότησιν ἄν τ᾽ ἐναντιώτατα τύχῃ, θαυμαστῆς ἀλογίας μεστόν. οὕτως οὐ μόνον ὡμολόγησας τὴν ὁλκὴν, ἀλλὰ καὶ

ctionem esse concedentem. Heri autem audiverunt omnia communitur in venis contenta a medicamento attrahi consitentem. Aequum enim erat, ipsos non solum admirari aut dictum plane efferre laudibus, sed expositionem eorum quae ab initio proposita erant expectare. Nam de urinarum secretione flavae bilis et atrae aliisque actionibus corporis multas frequenter habetis orationes, quidvis potius quam in unaquaque corporis parte familiarium sibi attractionem, esse functionem quandam naturalem concedentes, nunc autem non solum attractionem esse admittentes, sed etiam omnium simpliciter; quae multo major est confessio quam si dicas familiarium. Etenim sicut facultas quaedam alienorum expultrix inest animalibus, ita familiarium unicuique rerum attractricem aliquam esse omnibus hominibus consentaneum videtur, qui nondum vestra sapientia sapiunt. At omnia aequaliter a quodam attrahi sive qualitatibus familiaria, sive maxime sint contraria, mirandam fatetur absurditatem; ita non solum attractione concessa, sed etiam multo

πολὺ χεῖρον ἢ ἐχρῆν οὐ μόνον τῶν οἰκείων, ἀλλ' ἁπλῶς ἁπάντων εἰπών. οὕτω μὲν δή μοι δοκεῖς οὐκ ἐπαινεῖσθαι μᾶλλον ἢ παροινεῖσθαι δίκαιος ὑπάρχειν ὑπὸ τῶν περί σε χορευτῶν. ὅτι δὲ οὐδὲ κέχρησαι ποτὲ καθαίρουσι φαρμάκοις, ἀλλ' ἰδιώτης τέ τις εἶ καὶ ἄπορος ἔργων ἰατρικῶν, ἐγώ μοι δοκῶ καὶ τοῦτο διὰ ταχέων ἐπιδείξειν. ὅσα καθαίρειν πέφυκε μέλαιναν χολὴν, εὐθέως ἐξ ἀρχῆς κενοῖ μέλαιναν. διαφέρουσι δ' ἀλλήλων κενώσεις τῷ τὰ μὲν ὑγρότερα, τὰ δ' ἐφεξῆς αἰτίων ἀεὶ καὶ μᾶλλον εἶναι παχύτερα. αὐτὸ τοῦτο καὶ τοῖς τὸ φλέγμα καὶ τοῖς τὴν ξανθὴν χολὴν ἐκκαθαίρουσιν ὑπάρχει. ἕλκει μὲν γὰρ ἐξ ἀρχῆς ἕκαστον αὐτῶν τὸν οἰκεῖον χυμὸν, ἀλλ' ἐν τῷ χρόνῳ παχύτερον, οὐ μὴν ὡς σὺ νομίζεις ἐπλήρωσέ τις πρότερον ὅλην λεκάνην ὀῤῥώδους περιττώματος, εἶθ' ἑξῆς ἄλλην χολῆς ξανθῆς, κἄπειτ' ἄλλην φλέγματος, εἶθ' οὕτως κενοῦσθαι τὴν μέλαιναν. ᾧ δῆλον ὡς ὑπὸ μὲν τοῦ φαρμάκου τὸ οἰκεῖον ἕλκεται, συνέπεται δὲ αὐτῷ τὸ ἐπιπολάζον ὑδατῶδες. ἔνεστι δέ σοι τοῦτο θεᾶσθαι νῦν, εἰ καὶ μὴ πρότερον πλεῖστον μὲν ὑδατῶδες καὶ χολῶδες κενουμένους

deterius quam conveniebat non familiarium duntaxat, fed abfolute omnium admiffa, fic fane videris mihi non magis dignus effe, qui a commilitonibus tuis lauderis quam qui reprehendaris. Porro quod neque unquam medicamentis purgantibus ufus fis, fed imperitus ignarusve operum medicinalium, ego id quoque celeriter demonftrare poffe videor. Quae purgare folent bilem atram, ftatim ab initio atram vacuant. Differunt autem inter fe vacuationes, quod liquidiora primum, deinde quae fequuntur femper magis craffiora fint. Id ipfum et pituitam et flavam bilem purgantibus ineft. Etenim initio haec fingula familiarem humorem trahunt, fed temporis fpatio craffiorem; non tamen, ut tu arbitraris, aliquis prius totam pelvim ferofo excremento implevit, deinde aliam bile flava, poftea aliam pituita, poftremo ita atram inanit. Quo conftat a medicamento familiare attrahi, comitari autem ipfum aquofum quod redundat, id quod tibi etiam nunc videre licet, fi nunquam antea videris, plurimum quidem aquofum et biliofum ex

τοὺς ἀνθρώπους ἐπὶ ταῖς τοιαύταις τῶν φαρμάκων δόσεσιν, ὀλιγίστην δὲ τὴν σύμπασαν αὐτοῖς γιγνομένην κένωσιν ἐπὶ τοῖς τῆς μελαίνης ἀγωγοῖς. ἐχρῆν δὲ ἀεὶ πλεῖστον μὲν τὸ σύμπαν ἐπὶ τοῖς τῆς μελαίνης κενοῦσθαι κατά γε τὴν σὴν ὑπόθεσιν, ἐλάχιστον δὲ ἐπὶ τοῖς ὑδατώδεσίν τε καὶ χολώδεσιν. ἀσθενείᾳ γάρ που καὶ ῥώμῃ τῶν φαρμάκων ὁ λόγος σου διέκρινε τὴν τῶν κενουμένων ἰδέαν, ὡς ἐπὶ τοῖς τῆς μελαίνης ἀγωγοῖς. ἐπεὶ δὲ ῥώμῃ ταῦτα τῶν ἄλλων διαφέρει, παμπόλλη τις ἡ κένωσις γενήσεται, πρώτη μὲν τοῦ ὑδατώδους ἅπαντος, εἶτα τοῦ χολώδους, εἶτα τοῦ φλεγματώδους, εἶτ' αὐτῆς τῆς μελαίνης. ἐπὶ δέ γε τῶν ἀσθενῶν ὑπηλάτων αὐτὰ μόνα κενωθήσεται τὰ ὑδατώδη. φαίνεται δὲ οὐδὲν τούτων γιγνόμενον, ὥστε ταῦτα τὰ φαινόμενα καταβάλλει σοῦ τὸν λόγον. ἄξιον δὲ ἀποκρίνεσθαί σε καὶ διὰ τί τῶν παχυτέρων ἀεὶ μετὰ τὰ λεπτότερα κενουμένων ἡ μέλαινα χολὴ προτέρα τοῦ αἵματος ἕλκεται, καίτοι γε οἷον ἰλύς τις οὖσα τοῦ αἵματος, ὡς ἐν τοῖς οἴνοις ἡ τρύξ.

hujusmodi medicamentorum ufu homines evacuare, paucillimam autem univerfam vacuationem ex iis, quae atram ducunt, ipfis fieri. Conveniebat autem femper plurimum fane totum ex his, quae atram bilem purgant, fecundum tuum inftitutum evacuari; paucillimum vero ex iis, quae aquofa biliofaque movent. Etenim pro medicamentorum imbecillitate et robore ratio tua fpeciem eorum quae evacuantur difcernit, ut in iis quae atram bilem educunt. Quia vero robore haec ab aliis educentibus differunt, permulta erit evacuatio; primo fane totius aquofi excrementi, deinde biliofi, mox pituitofi, dein ipfius atrae bilis. At in blandis ventrem ducentibus *medicamentis* fola ipfa aquofa evacuabuntur, fed nullum horum fieri apparet. Quare haec apparentia rationem tuam fubvertunt. Aequum vero eft refpondere te, cur quum craffiora femper poft tenuiora evacuentur, atra bilis prior fanguine trahitur, etfi veluti limus quidam fanguinis exiftat, veluti in vinis faex.

Κεφ. δ'. [467] Ἴσως οὖν ζητήσεις εἰ ἔστι τι φάρμακον εὐθὺς ἐξ ἀρχῆς αἵματος ἀγωγόν. ἔστιν, ὦ βέλτιστε, χρήσαιτο δ' ἂν οὐδεὶς αὐτῷ. διὰ τί; φήσεις ἴσως. ὅτι σφάξαι τοῦτ' ἂν εἴη τὸν ἄνθρωπον, οὐ καθῆραι. τὰ γάρ τοι καθαίροντα δι' αὐτὸ τοῦτο πρὸς ἁπάντων ὀνομάζεται καθαίροντα, διότι καθαρὸν ἀποφαίνει τὸ αἷμα τῶν εἰρημένων περιττωμάτων. οὐ μὴν οὕτω γέ τις ἐστὶ σοφὸς ἰατρὸς, ὡς ἐθελῆσαι μὲν κενῶσαι ἅπαν τὸ αἷμα, καταλιπεῖν δ' ἐν τῷ σώματι τοὺς ἄλλους χυμούς. ὅθεν ἐν τοῖς δηλητηρίοις ἅπαντα τὰ τοιαῦτα καταριθμοῦσιν, ὅσα κένωσιν αἵματος ἐργάζεται διὰ τῶν κατὰ τὴν γαστέρα τε καὶ τὰ ἔντερα φλεβῶν. ἐχρῆν δὲ οὐδὲ ταῦτα κατὰ τὴν σὴν ὑπόθεσιν ἐξ ἀρχῆς κενοῦν αἷμα. τὰ δὲ ὀνόματα τῶν τοιούτων φαρμάκων, οὐδ' εἰ βεβαίως ἠπιστάμην, ἐδήλουν ἂν ἐν τοῖς γράμμασιν. ἀλλ' ἐκεῖνό γε μόνον ἀσφαλὲς εἰπεῖν μοι τὸ γενόμενον ἐν Θρᾳξὶ Βιθυνοῖς ἔτι παίδων ἡμῶν ὑπαρχόντων. εὗρέ τις ἄνθρωπος τοιαύτην βοτάνην, ὥστε τὸν προσαράμενον αὐτῆς ἀποκρίνειν αἷμα καὶ οὕτως ἀπόλλυσθαι. πολλῶν οὖν ἀποθνησκόντων ὁμοίῳ

Cap. IV. Forſan igitur rogabis, an aliquod ſit medicamentum, quod ſtatim ab initio ſanguinem ducat? Eſt, o praeſtantiſſime; verum nullus eo utetur. Fortaſſis dices; Quid ita? Quoniam hoc jugulare eſſet hominem, non purgare; etenim purgantia ob hoc ipſum ab omnibus nominantur purgantia, quod ſanguinem a commemoratis excrementis purum reddant. Non tamen adeo quis ſapiens eſt medicus, ut totum quidem ſanguinem velit evacuare, alios autem humores in corpore relinquere; unde inter deleteria id genus omnia annumerant, quae ſanguinis vacuationem per venas ventris et inteſtinorum moliuntur. Sed neque haec ſecundum tuam hypotheſin ſanguinem evacuare ab initio oportebat. Nomina hujusmodi medicamentorum, neque ſi certo ſcirem, in libris vellem indicare; ſed illud ſolum tutum eſt dicere, quid mihi cum apud Thraces Bithynos eſſem puero adhuc acciderit. Invenit aliquis homo herbam ejusmodi, ut qui eam aſſumeret excerneret ſanguinem atque ita periret. Quum igitur multi ſimili modo

τρόπῳ, ζητήσεως ἀκριβεστέρας ἀξιώσαντες τὸ γινόμενον, εὗρόν τε τὸν φαρμακέα καὶ πρὸς τὸν ἡγούμενον τοῦ ἔθνους ἤγαγον. ἔργον δὲ ἐκείνου ποιουμένου μὴ μόνον αὐτὸν ἀποκτεῖναι τὸν ἄνθρωπον, ἀλλὰ καὶ εἴ τις ἄλλος ἢ ἐδίδαξεν αὐτὸν ἢ ἔμαθεν παρ᾽ αὐτοῦ, μαθεῖν μὲν παρ᾽ οὐδενὸς ἔφη τὴν πόαν, ἀλλ᾽ ἧπαρ ποτὲ χοίρειον εἴς τι προάστειον κομίζων, πηξάσης τῆς γαστρὸς, ἀποθέσθαι κατὰ βοτάνης αὐτὸ, κἄπειτ᾽ ἀναιρούμενον αὖθις ἰδεῖν ἰχῶρας αἱματώδεις ἐξ ὅλου τοῦ ἥπατος ἐπὶ τὴν βοτάνην ἐκρέοντας, ἐντεῦθέν τε στοχασάμενον εἰκὸς εἶναι τὴν βοτάνην ἕλκειν αἷμα, δοῦναι τινὶ πείρας ἕνεκα τῶν ἐπιτυχόντων ἀνθρώπων, ὡς δ᾽ ἅπερ ἤλπισεν εὗρεν, ἐπὶ κακῷ χρῆσθαι τοῦ λοιποῦ. οὐ μὴν οὐδὲ δεῖξαι ἔφη βοτάνην ἑτέρῳ ἀνθρώπων. ταῦτ᾽ εἶπεν ὁ φαρμακεὺς ἐκεῖνος ἐπὶ πλεῖστον βασανιζόμενος. ὁ δὲ τοῦ ἔθνους ἡγούμενος, ἐπεὶ κατὰ τὴν διήγησιν, ἣν ἐποιήσατο περὶ τῆς βοτάνης, παμπόλλην ἔφη πεφυκέναι πανταχόθεν, δεθέντα τοὺς ὀφθαλμοὺς ἐκέλευσεν αὐτὸν ἀπαχθῆναι τεθνηξόμενον, ὅπως μή τινι μεταξὺ δείξειεν. ὥστε, ὦ βέλτιστε, πολλὰ μὲν εἰκὸς εὑρῆσθαι φάρμακα τοιαύτην

interirent, inquirendum diligentius id quod fieret censuerunt inveneruntque veneficum, duxeruntque ad populi praefectum. Qui ubi studeret non solum ipsum hominem occidere, sed etiam si quis alius vel docuisset vel ab eo didicisset, ille sane dixit a nullo se herbam didicisse, verum jecur quandoque porcinum in suburbium quoddam deferens coagulato ventre ipsum herbae superposuisse; deinde cum rursus attolleret, sanies cruentas ex toto hepate ad herbam diffluentes conspexisse, inde sumta conjectura verisimile esse herbam sanguinem attrahere, dedisse alicui eorum hominum in quos inciderat experimenti gratia; postquam vero quod speravit invenisset, perperam in posterum usum esse. Quin nec se indicasse alicui mortalium herbam affirmavit. Haec dixit veneficus ille diutissime inquisitus. At populi praeses quoniam ex narratione, quam de herba fecit, multam ubique nasci dixit, oculis obtectis neci traducendum jussit, ne alicui interea ostenderet. Quapropter, vir optime, multa sane veri simile est, ejusmodi facultate praedita me-

ἔχοντα δύναμιν, ὥστε εὐθὺς ἐξ ἀρχῆς ἕλκειν αἷμα. σιωπᾶσθαι δ᾽ εὔλογον αὐτὰ, καθάπερ τὰ ἄλλα δηλητήρια πρὸς ἁπάντων σιωπᾶται τῶν ἐχόντων νοῦν. ἐγένοντο γάρ τινες ἤδη καὶ περὶ τὴν τούτων διδασκαλίαν ἄφθονοι, τερατώδη τινὰ κοινωνίαν ἐπιδειξάμενοι καὶ γράψαντες ἑκάστου τῶν δηλητηρίων σκευασίας, ἀλλ᾽ οὐκ ἐκ τῶν νοῦν ἐχόντων οἱ τοιοῦτοι, καθάπερ οὐδὲ ὑμεῖς, ἐὰν ἡμᾶς ἐρωτᾶτε τίνα τῶν φαρμάκων αἵματός ἐστιν ἀγωγά. πάλιν τοίνυν τὸν λόγον ἐπὶ τὸν ἐξ ἀρχῆς ἀναγάγωμεν σκοπόν. ὁ μὲν ἕλκεσθαι λέγων ὁμοτίμως ἅπαντας τοὺς χυμοὺς, ἀλλὰ τοὺς μὲν εὐρουστάτους πρώτους, ἐφεξῆς δὲ τοὺς ἄλλους ἀποκρίνεσθαι, προδίδωσι τὰ φίλτατα, τὴν ἑλκτικὴν δύναμιν ὑπάρχειν ἐν τοῖς οὖσιν ὁμολογῶν. ὑπὲρ ἧς ἀναισχυντεῖ ὁ χορὸς αὐτοῦ, περί τε χολῆς καὶ οὔρου διακρίσεως, ἀναδόσεώς τε καὶ ἄλλων τοιούτων ἀλλόκοτα λέγειν ὑπέμεινεν, ἔτι τε [468] τοῖς φαινομένοις ἐναντία τίθεται, καθάπερ ἐδείξαμεν ἔμπροσθεν. εἰ γὰρ ἀληθὴς ἡ ὑπόθεσις αὕτη, πλείστη μὲν ἡ σύμπασα κένωσις ἐπὶ τοῖς τῆς μελαίνης ἀγωγοῖς, ἐλαχίστη δὲ ἐπὶ τοῖς τῶν ὀῤῥωδῶν

dicamenta inveniri, quae statim ab initio sanguinem traherent; verum ea subticeri ratio est, quemadmodum alia deleteria ab omnibus qui mentem habent supprimuntur. Fuerunt enim nonnulli, qui jam etiam de horum disciplina portentosam quandam communionem indicarunt, scripseruntque cujusque deleterii praeparationem; sed non ex iis qui mentem habeat tales existunt, sicut neque vos sapitis, si nos interrogetis, quae medicamenta sanguinem ducant. Rursus igitur sermonem ad id, quod ab initio institutum est reducamus. Qui omnes ex aequo humores attrahi dicit, sed maxime fluxiles primos, mox alios excerni, grata mihi prodit, dum attractricem facultatem in rerum substantia esse confitetur; pro qua chorus ipsius impudenter de bilis et urinae secretione, distributione, aliorumque ejusmodi absurda dicere sustinet; praeterea apparentibus contraria statuit, quemadmodum supra indicavimus. Si enim vera haec hypothesis, copiosissima sane universa evacuatio ex his, quae atram bilem ducunt, paucissima vero in his quae

περιττωμάτων ἔσται. καὶ μὴν δείξω σοι μυριάκις, ἐὰν θελήσῃς, ὦ σοφιστὰ, κἂν νῦν γοῦν θεάσασθαι τὰ τῆς τέχνης ἔργα, τοῖς μὲν ὑδραγωγοῖς φαρμάκοις ἑπομένην ἀεὶ πλείστην κένωσιν, τοῖς δὲ τὴν μέλαιναν ἐκκαθαίρουσιν ἐλαχίστην. δείξω δὲ καὶ κατ᾽ ἀρχὰς εὐθέως ἐκκενουμένην τὴν μέλαιναν.

Κεφ. ε΄. Ὁ μὲν οὖν ἕλκεσθαι λέγων ὁμοτίμως ἅπαντας τοὺς χυμοὺς εἰς τοσοῦτον ἀναίσθητός τε καὶ ἀμαθής ἐστιν, ὁ δ᾽ ἀλλοιοῦσθαι θεασάσθω πάλιν εἰς ὅσον οὐδὲν διοίσει κατ᾽ αὐτὸν ἢ φλεβοτομεῖν ἢ καθαίρειν χολαγωγῷ φαρμάκῳ τὸν ἰκτεριῶντα. κατὰ δὲ τὸν αὐτὸν τρόπον ὁμότιμόν ἐστι φλεβοτομῆσαί τε τὸν ὑδεριῶντα καὶ κενῶσαι τινὶ τῶν ὑδραγωγῶν, εἶτα οὐκ αἰσχρὰ τὰ τοιαῦτα; καταγελῶσιν οὐκ ὀρθῶς οἱ πολλοὶ τὰ τοιαῦτα ἀκούοντες ἀλλήλοις ἀντιλεγόντων τῶν ἰατρῶν, κατεγνώκασί τε τοῦ λόγου πάντες, ὀνομάζουσί τε τοὺς ὁπωσοῦν τι φθεγγομένους λογιατρούς. ὃ γὰρ εἴωθα λέγειν ἀεὶ, τοῦτο καὶ νῦν εἰπεῖν μοι καιρὸς, ἰδιώτης ἅπας τοῦ τοιούτου (487)σοφιστοῦ κρείττων ἐστίν. εἰ γὰρ καὶ

ferofa excrementa purgant erit. Atqui indicabo tibi millies, fi voles, o fophifta, vel nunc faltem artis opera contemplari, vacuationem fane copiofiffimam medicamenta aquam ducentia comitari, ea quae atram bilem purgant paucisfima; oftendam autem et per initia ftatim atram illam evacuari.

Cap. V. Qui igitur omnes ex aequo humores attrahi pronuntiat, adeo ftupidus imperitusque eft, qui alterari, videat rurfus quam nihil ipfo auctore interfit, fanguinemne mittas, an medicamento, quod bilem ducit, arquato laborantem purges. Eodem modo idem par et aequale eft ex hydropico venam fecare et medicamento quodam aquam ducente eum evacuare. Deinde non indecora haec! Plerique medicos fibi invicem contradicere audientes merito derident damnantque omnes fermonem, atque eos, qui aliquid quomodocunque eloquuntur, nominant logiatros. Quod enim dicere femper confuevi, id nunc quoque occafionem habet, nempe quemlibet idiotam hujusmodi fophifta

μηδὲν ἄλλο, τὰς γοῦν κατὰ φύσιν ἐννοίας οἱ ἰδιῶται διασώζουσιν, ἀπολλύντων καὶ ταύτας διὰ μοχθηροὺς ἐθισμοὺς τῶν σοφιστῶν. ἔναγχος γοῦν τις ἰδιώτης οὐκ ἄφρων ἐξανθημάτων αὐτῷ κατὰ πολλὰ μόρια τοῦ σώματος ἐξαίφνης γινομένων ἑλκωδῶν τε καὶ κακοχρόων ἧκεν ὡς τὸν ἰατρὸν, ἀξιῶν ὅτι τάχιστα καθαρθῆναι. τοῦ δὲ φλεβοτομεῖσθαι μᾶλλον αὐτὸν κελεύοντος, οὐ μαίνου, ἔφη, τῷ γὰρ διεφθαρμένῳ συνεκκενοῦσθαι τὸ χρηστὸν εὔλογον ὑπάρχει. ἀλλ' οἱ πάντα μᾶλλον ἢ τὸν Ἱπποκράτειον λόγον ἀληθεύειν βουλόμενοι καὶ τὰς κοινὰς ἐννοίας προσαπολλύουσι τῇ φιλονεικίᾳ. κᾄπειτ' ἐπιπηδῶσι μὲν ἡμῖν ὡς διασπασόμενοι, τοῖς δὲ ἐπ' αὐτῶν τῶν ἔργων ἐλέγχοις ἄχθονται. δίκαιον δὲ ἦν ὡς ἡμεῖς ἐκείνους ἐπηρεάσοντας ὑπὲρ ὧν οὐκ ἴσασιν Ἱπποκράτην φέρομέν τε καὶ πείθειν ἐπιχειροῦμεν, οὕτω καὶ αὐτοὺς ὑπομένειν τοὺς ἐλέγχους, καὶ μάλιστα μὲν, εἰ οἷόν τε, στέργειν τοὺς διδάξαντας· εἰ δὲ μὴ, ἀλλὰ μὴ μισεῖν γε πάντως. ἀκούσας γοῦν τις τῶν ἀπὸ τῆς τοιαύτης ἐμπληξίας ἰατρῶν, ὡς ἐγὼ παμπόλλους ἐθεράπευσα μόνῃ καθάρσει. τούτων δὴ τῶν τὰς καλουμένας

eſſe praeſtantiorem. Si enim nihil aliud, certe naturales notiones ſophiſtae conſervant, quum ſophiſtae has quoque ex prava conſuetudine perdiderint. Ecce enim idiota quispiam non mentis inops, exortis ſibi derepente in plerisque partibus puſtulis, tum ulceroſis tum diſcoloribus, venit ad medicum, cupiens quam celerrime purgari. Quum autem ille ſanguinem detrahere potius ipſi praecipiat; an inſanis? inquit, nam una cum vitiato bonum ac benignum evacuari conſentaneum eſt. Atqui omnia potius quam Hippocraticum ſermonem verum eſſe volunt, communes notiones prae contendendi ſtudio perdunt; ac deinde nos inſiliunt tanquam diſcerpturi; in ipſis autem operibus reprehendi oderunt, quanquam aequum ſit, ut nos illos incuſantes quod Hippocratem ignorent toleramus, perſuadere aggredimur, ita etiam ipſos ſuſtinere reprehenſiones, ac maxime ſi fieri poſſit, docentes adamare; ſin minus, certe non omnino odiſſe. Nuper enim quum aliquis ex hujusmodi attonitis medicis audiviſſet, me complures qui alopecia laborarunt una pur-

ἀλωπεκίας ἐχόντων τοὐντεῦθεν ἤρξατο μισεῖν με. καί τις ἄλλος ὅτι καρκινώδεις διαθέσεις ἀρχομένας, τούς τε καλουμένους ἐλέφαντας καὶ φαγεδαίνας, ἄλλα τε πολλὰ τῶν κακοήθων ἑλκῶν ὁμοίως ἐμίσησεν, ἄλλος δὲ ὅτι σκοτωματικοὺς ἐθεράπευσα καθάρσεσι μόναις, ἄλλος δ' ὅτι μανιώδεις ἐπιλήπτους τε καὶ μελαγχολικοὺς, ἔτι δὲ καὶ κεφαλαίᾳ κάμνοντας οὐκ ὀλίγους ἐξιασάμην καθάρσεσι μόναις, ὥσπερ γε καὶ ἰσχιαδικούς. οὕτω δὲ καὶ ἀλγήματα χρόνια κατὰ πολλοὺς τόπους ἐσπαρμένα καὶ τοῦτον δὴ τὸν ἔναγχος ὡς κωλικὸν ἤδη τριῶν μηνῶν ὑπὸ τῶν ἰατρῶν θεραπευσάμενον, ἐπὶ τὸ χεῖρον προϊόντα, πάντα [469] ἀποῤῥῖψαι κελεύσας ἐκεῖνα καθάρσεσι μόναις ἰασάμην. ἰασάμην δὲ καὶ ῥοῦν γυναικεῖον, οὐκ ἀφανοῦς τινος τῶν ἐν Ῥώμῃ γυναικῶν καθάρσεσι μόναις, ὥσπερ οὖν καὶ ἄλλων πολλῶν ἀφανεστέρων αὐτό τε τοῦτο τὸ πάθημα καὶ ἄλλα τινὰ τῶν κατὰ μήτραν συνισταμένων. ἐρυσιπελάτων δὲ τί δεῖ καὶ λέγειν, ὡς οὐδέν ἐστι δραστικώτερον βοήθημα χολαγωγοῦ φαρμάκου, καθάπερ ἐναντιώτατον αὐτοῖς τὸ τοῦ φλέγματος ἀγωγόν. δι' ὅλης ἡμέρας ἔχω καὶ ἄλλα

gatione curaffe, inde me odio coepit profequi. Jam alius quidam, quod cancrofas affectiones incipientes et elephantes dictos, phagedaenas aliaque multa maligna ulcera fimiliter odio habuit. Alius autem quod tenebricofa vertigine laborantes folis purgationibus perfanaffem; alius quod mania correptos, epilepticos, melancholicos, praeterea cephalaea laborantes non paucos folis purgationibus medicatus fim, ficut et ischiadicos, pari modo dolores diuturnos multis locis difperfos. Item ex his colicum nuper, quum tribus jam menfibus medici illum curarent et res in deterius vergeret, omnia illa abjicere jubens folis purgationibus curavi. Item fluxum muliebrem non ignobilis cujusdam Romanae mulieris, folis purgationibus curavi; ficut et aliarum multarum obfcuriorum, tum eundem hunc affectum tum alios quosdam in utero confiftentes. Quid opus eft dicere, erifypelatum nullum effe praefentius remedium, quam medicamentum bilem educens, ficut maxime ipfis contrarium quod pituitam movet? Dies me deficeret, fi alia miranda

λέγειν ἔργα θαυμάσια καθάρσεσιν ἑπόμενα, περὶ ὧν ἀγνοεῖν εἰκός ἐστι τοὺς μηδέποτε τὴν περὶ τὰ καθαίροντα φάρμακα τέχνην μεμαθηκότας. ὅπου γὰρ οὐδ᾽ εἶναί τι νομίζουσιν ὅλως καθαῖρον φάρμακον, ἤπου γε ἐπί τινων χρηστέον ἢ καθ᾽ ὅντινα τρόπον ἐπιστήσονται; διὰ τοῦτο θεραπεύουσιν μὲν ἄλλοι τὰ παθήματα ψιλῇ καὶ μόνῃ ποδηγούμενοι τῇ πείρᾳ. σοφοὶ δὲ ἡμῖν οὗτοι καὶ τὸν λόγον, οὐκ ἐφ᾽ ᾧ τι προσθεῖναι τοῖς διὰ τῆς ἐμπειρίας εὑρημένοις, ἀλλ᾽ ἀνατρέψαι καὶ ταύτην μεταχειριζόμενοι, πολὺ χεῖρον ἰατρεύουσι τῶν ἐπὶ ψιλαῖς καὶ μόναις ὁρμώντων ταῖς ἀλόγοις τριβαῖς. ἁπάντων δὲ τούτων ἀρχὴ καὶ πηγὴ μία τὸ πρὸς Ἱπποκράτην μῖσος, ἐξ ἧς πηγῆς ἐῤῥύη μὲν καὶ ἄλλα πολλὰ, καὶ τουτὶ δὲ αὐτὸ τὸ ἐνεστὸς σκέμμα, τὸ περὶ τῆς ἑλκτικῆς δυνάμεως, ἧς μέρος ἢ εἶδος ἢ ὡς ἄν τις ἐθέλοι καλεῖν ἡ τῶν καθαιρόντων φαρμάκων δύναμις.

opera quae purgationes comitantur vellem recenfere, quae ignorare verifimile eft illos, qui nunquam circa purgantia medicamenta artem didicerunt. Ubi enim ne effe quidem prorfus aliquod medicamentum arbitrantur, an in quibus aut quomodo utendum fit fcient? Propter hanc caufam alii nuda folaque experientia ducti affectibus medentur. Sapientes autem hi etiam ratione, non quod aliquid per experientiam inventis adjicere, fed etiam hunc fubvertere conentur, multo deterius medicantur quam qui fimplici foloque ufu citra rationem nituntur; quorum omnium origo et fons unus eft odium quod adverfus Hippocratem conceperunt. Unde cum alia multa, tum haec ipfa praefens confideratio de attractrice facultate emanavit, cujus pars aut fpecies aut quomodocunque appellare lubet, purgantium medicamentorum facultas exifiit.

ΓΑΛΗΝΟΥ ΤΙΝΑΣ ΔΕΙ ΕΚΚΑΘΑΙΡΕΙΝ ΚΑΙ ΠΟΙΟΙΣ ΚΑΘΑΡΤΗΡΙΟΙΣ ΚΑΙ ΠΟΤΕ.

Ed. Chart. X. [470.] Ed. Baf. II. (487.)

Κεφ. α'. Τοὺς ὑγιεινὰ τὰ σώματα ἔχοντας ἐργῶδες καθαίρειν· καὶ γὰρ ἰλιγγιῶσι καὶ στροφοῦνται καὶ δυσχερῶς αὐτοῖς ἡ κάθαρσις προχωρεῖ, καὶ πρὸς τούτοις ἔτι ταχέως ἐκλύονται. γίνεται δὲ ταῦτα πάντα τοῦ καθαρτικοῦ φαρμάκου τὸν οἰκεῖον ἕλκειν ἐφιεμένου χυμὸν, τῷ δ' ἀπορεῖν αὐτοῦ τὸ αἷμα καὶ τὰς σάρκας συντήκοντος, ἵν' ἐξ ἐκείνων ἕλξῃ τὸ οἰκεῖον. τοὺς δ' ὑγιαίνοντας μὲν ἔτι, νοσήσοντας

GALENI QVOS, QVIBVS CATHARTICIS MEDICAMENTIS ET QVANDO PVRGARE OPORTEAT.

Cap. I. Sana fortientes corpora purgare operofum eft: etenim vertigines incurrunt et torminibus cruciantur graviterque ipfis purgatio procedit, ac praeterea etiamnum celeriter exfolvuntur. Haec autem oboriuntur omnia, dum purgans medicamentum familiarem fibi humorem attrahere defiderat; quod autem eo deftituatur, fanguinem carnesque colliquat et abfumit, ut ex illis proprium eliciat. Qui autem

δ' ἂν, εἰ μὴ κενωθεῖεν, φθάνειν δεῖ κενοῦν εἰσβάλλοντος ἦρος ἤτοι διὰ φλεβοτομίας, εἰ τοῖς πληθωρικοῖς ἁλίσκονται νοσήμασιν, ἢ διὰ καθάρσεως, εἰ τοῖς κατὰ διαφθοράν. ἡμεῖς γοῦν καὶ ποδάγραν καὶ ἀρθρῖτιν ἀρχομένην καὶ μήπω περὶ τοῖς ἄρθροις εἰργασμένην πώρους ἐκ τῆς τοιαύτης κενώσεως ἐτῶν δὴ πολλῶν ἐκωλύσαμεν γίνεσθαι. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἀποπληξίαν, ἐπιληψίαν, μελαγχολίαν, ἄλλα τε τοιαῦτα χρόνια πάθη διὰ τῆς εἰρημένης κενώσεως ἐπὶ πολλῶν ἀνθρώπων ἐπαύσαμεν. ἐνίοις μὲν οὖν συμφέρει τοὺς φλεγματώδεις κενοῦσθαι χυμοὺς, ἐνίοις δὲ τοὺς πικροχόλους, ἐνίοις δὲ τοὺς μελαγχολικοὺς, ἐνίοις δὲ τὸ ὀῤῥῶδες περίττωμα κατὰ τὴν τῶν εἰθισμένων αὐτοῖς γίνεσθαι παθῶν οὐσίαν. αὐτίκα καὶ μελαγχολίᾳ τις ἁλίσκεται καθ' ἕκαστον ἔτος, εἰ μὴ καθαρθείη, καὶ καθαίρω γε αὐτὸν οὐκ ἦρος μόνον, ἀλλὰ καὶ φθινοπώρου. οὕτω δὲ καὶ γυναῖκα τινὰ καθ' ἕκαστον ἔτος εἰσβάλλοντος ἦρος ὁμοίως κενῶ, καρκινώδη διάθεσιν ἐν τῷ μασθῷ ἔχουσαν, ἣν ἰασάμην ἰσχυρῶς κενώσας διὰ φαρμάκου καθαίροντος μέλαιναν χολήν. καὶ εἰ μὴ παραληφθείη ποτὲ

fani adhuc funt, fed nifi vacuati fuerint, aegrotaturi, ad praecautionem vacuandi funt, ineunte vere aut venae fectione, fi a plenitudine; aut purgatione, fi ab humorum corruptione oborientibus morbis corripi confueverint. Nos itaque et podagram et arthritidem incipientem, quae nondum circa articulos nodos produxerat, ejusmodi vacuatione annis jam multis fieri prohibuimus. Eodem modo apoplexiam, epilepfiam, melancholiam aliosque ejusmodi diuturnos affectus dicta vacuatione plerisque in hominibus depulimus. Nonnullis itaque pituitofos humores evacuari confert; nonnullis biliofos; quibusdam melancholicos; quibusdam ferofum excrementum pro affectuum, qui ipfis accidere confueverunt, fubftantia. Jam primum melancholia quidam, nifi purgatus fuerit, quotannis corripitur; atque ipfum non folum vere, fed autumno quoque purgo. Ita et mulierem quandam in mamma cancrum affectum habentem, fingulis annis per veris initia fimiliter vacuo, quam medicamento atram bilem purgante vehementer vacuatam perfanavi. Ac

ἡ κάθαρσις, ὀδύνη διὰ βάθους αὐτῇ ἐγγίνεται. ἐλέφαντα δὲ ἀρχόμενον ἑτέρῳ τὰ μὲν πρῶτα διὰ φλεβοτομίας καὶ καθάρσεως ἰασάμην, ἑκάστου δ᾽ αὐτῷ ἔτους αὖθις ἀρκεῖ μία καὶ [471] τούτῳ κάθαρσις, ἐκλειφθείσης δὲ αὐτῆς, αὐτίκα τὸ πάθος ἐπισημαίνει. τὰ μὲν οὖν τοιαῦτα νοσήματα καθάρσεως χρήζει μελάνων χυμῶν· ἐπιληπτικὰ δὲ καὶ ἀποπληκτικὰ καὶ ἀσθματικὰ τῶν φλεγματωδῶν· ἀρθριτικὰ δὲ τὰ μὲν ἅμα θερμασίᾳ πολλῇ τῶν πικροχόλων, τὰ δὲ σὺν ὄγκοις ψυχροῖς τῶν φλεγματικῶν. ἄλλος δέ τις ὥρᾳ θέρους ἀεὶ τριταίοις ἁλισκόμενος πυρετοῖς, ἤδη πολλῶν ἐτῶν οὐκ ἐπύρεξε, χολὴν ὠχρὰν φθάνων ὑφ᾽ ἡμᾶς καθαίρεσθαι κατὰ τὴν τελευτὴν τοῦ ἦρος. οὕτως γὰρ ἄμεινόν ἐστι τοὺς τοιούτους κενοῦν, ὡς τούς γε ἐπιληπτικοὺς, ἀρθριτικοὺς καὶ μελαγχολικοὺς καὶ ὅσοι τ᾽ ἄλλοι διὰ παχεῖς χυμοὺς νοσοῦσιν, εἰσβάλλοντος ἦρος ἄμεινον κενοῦσθαι. χρὴ δὲ προλεπτύνειν καὶ τέμνειν τοὺς παχεῖς χυμοὺς καὶ γλίσχρους καὶ τοὺς πόρους δι᾽ ὧν οὗτοι μεταλαμβάνονταί τε καὶ ἕλκονται πρὸ τῶν καθαρτικῶν φαρμάκων ἀναστομοῦν, εἰ ἡ

fi quandoque purgatio adfumta non fuerit, dolor in alto ipfi oboritur. Elephantem alteri incipientem per initia fane venae fectione et purgatione fanavi; huicque unica purgatio quotannis iterando fufficit; ipfa vero intermiffa quam primum affectus fe prodit. Proinde ejusmodi morbi nigrorum humorum purgatione indigent; epileptici autem, apoplectici et afthmatici pituitoforum; arthritici cum multo calore biliosforum; cum tumoribus frigidis pituitoforum. Alius quidam aeftiva tempeftate tertianis febribus femper corripi folitus multis jam annis non febricitavit, quod fub veris deceffum flavam bilem per nos purgari praeveniret. Ita namque fatius eft tales evacuare, quemadmodum epilepticos, arthriticos, melancholicos; item qui caeteri ob craffos humores aegrotant, eos inchoante vere vacuari praeftat. At ante purgantia medicamenta, tum humores craffos lentosque prius attenuare ac incidere, tum meatus per quos hi trajiciantur trahanturque referare ac aperire decet, fi purgatio modis omnibus fucceffura fit, iis praefertim qui veratrum

κάθαρσις ἀρίστη μέλλει γίνεσθαι κατὰ πάντα καὶ μάλιστα ἐπὶ τῶν ἐλλέβορον λαμβανόντων. ἡ γὰρ συντονία τῶν σπαραγμῶν ἐκβάλλουσα τοὺς ἐσφηνωμένους δυσλύτως τοῖς πεπονθόσι μέρεσι χυμοὺς καὶ κατὰ τοῦτο τὰ χρόνια τῶν παθῶν ὠφελοῦσα, ῥᾷον ἀπεργάσεται τοῦτο προλελεπτυσμένων αὐτῶν. εἰ δὲ ἀμελήσουσι τούτων, δυσχερεῖς ἀπαντῶσιν αἱ καθάρσεις, μετὰ στρόφων ἐνίοτε καί τινων ἰλίγγων, ἄσης τε πολλῆς καὶ κακοσφυξίας, ἐκλύσεώς τε καὶ δυσκολίας. τοὺς μέλλοντας δὲ ἐλλέβορον λήψεσθαι προπειρᾶσθαι χρὴ τῆς φύσεως, ὅπως ἔχῃ πρὸς τὰς ἄνω καθάρσεις, τουτέστι τὰς δι' ἐμέτων. γενέσθω δὲ ἡ πεῖρα διὰ τῶν ἐμετικῶν φαρμάκων, ὅσα μέτρια. ἐὰν γὰρ μὴ ῥᾳδίως φαί(488)νηται καθαιρόμενος, οὐ χρὴ τὸν τοιοῦτον ἄνθρωπον ἐπὶ τὸν ἐλλέβορον ἄγειν, ἄνευ τοῦ προπαρασκευάσαι. γένοιτο δ' ἂν τοῦτο καὶ δι' αὐτῶν καὶ συνεχῶν ἐμέτων, ἐθισθέντος ἑτοίμως ἐμεῖν τοῦ ληψομένου τὸν ἐλλέβορον. γένοιτο δ' ἂν ἄμεινον καὶ διὰ τοῦ προϋγρᾶναι τὰ σώματα. προϋγραίνεται δὲ πλείονι τροφῇ καὶ ἀναπαύσει. τὸ μὲν οὖν

assumunt. Contentio namque turbationum catharticarum quum humores affectis partibus contumaciter impactos ejicit, ob idque diuturnos affectus juvet, id opus facilius attenuatis prius humoribus perficiet. Haec autem si negligant, molestae purgationes occurrent, interdum cum interiorum torsionibus, quibusdam singultibus, caliginosis vertiginibus, multa jactatione, pravo pulsu, virium defectione et molestia. Qui autem elleborum assumturi sunt, eorum natura prius exploranda est, quomodo ad purgationes per superiora, h. e. per vomitus, sese habeat. Exploratio vero fiet vomitoriis medicamentis, quae moderata sint. Nisi enim facile purgari videatur is homo, quin praeparatus fuerit, ad elleborum minime ducendus est. Id autem fiet, si tum illis tum continuis vomitibus elleborum assumturus prompte vomere assueverit. Opportunius quoque fiet praehumectatis corporibus. Haec autem praehumectantur tum uberiore cibo tum quiete. Quod igitur ad quietem spectat patet. Quemadmodum enim exercitia siccare nata sunt, ita etiam quies,

τῆς ἀναπαύσεως δῆλον. ὡς γὰρ τὰ γυμνάσια ξηραίνειν πέφυκεν, οὕτως ἡ ἀνάπαυσις, ὅπερ ἐστὶν ἡσυχία τε καὶ ἀγυμνασία, φυλάττειν τὰς ὑγρότητας. τροφὴ δ' οὐχ ἁπλῶς ἡ πλείων ὑγραίνειν πέφυκεν, ἀλλ' ἥτις ἄνευ ποιότητος ἰσχυρᾶς ᾖ, τουτέστι μήτε στρυφνὴ μήτε δριμεῖα μήθ' ἁλυκὴ μήτε πικρά. δεδώκαμεν δὲ ἐνίοτε ῥαφανῖδας δι' ὀξυμέλιτος πήξαντες αὐτὰς δι' ὅλης ἡμέρας καὶ νυκτὸς ἐλλεβόρου κλῶνας λευκοῦ, καὶ εἴη ἂν ἀσθενὴς ἀφ' ἐλλεβόρου κάθαρσις ἡ τοιαύτη. οἱ δὲ στέρνον ἔχοντε τὸν θώρακα καὶ διὰ τοῦτο καὶ συντεθλιμμένον, ἀνεπιτηδειότατοι τυγχάνουσιν εἰς τὰς διὰ τῶν ἐμετικῶν φαρμάκων καθάρσεις, τάς τε ἄλλας καὶ μάλιστα τὰς δι' ἐλλεβόρου τοῦ λευκοῦ. ῥήγνυται γὰρ αὐτοῖς ἀγγεῖόν τι τῶν ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις. χρὴ δὲ καὶ τὸν πικρόχολον χυμὸν ἄνω, τὸ δὲ φλέγμα κάτω κενοῦν· ἔστιν ὅτε μὴν ἔμπαλιν, εἰ κατὰ μὲν τὴν γαστέρα φλεγματικὸς, ἐν δὲ τοῖς ἐντέροις πικρόχολος ἀθροισθείη, τὸν μέντοι μελαγχολικὸν ἀεὶ κάτω. γέγραπται δὲ κατὰ τοὺς Ἱπποκράτους ἀφορισμοὺς περὶ τῶν ὡρῶν· θέρεος φαρμα-

h. e. otium et ab exercitiis vacatio, humiditates fervare. At alimentum non fimpliciter uberius humectare folet, fed quod vehementis qualitatis expers, h. e. quod neque acerbum neque acre, neque falfum, neque amarum fit. Nonnunquam radiculas ex oxymelite dedimus, ipfis ellebori albi ramufculis per integrum diem ac noctem transfixas; fueritque haec imbecilla ex elleboro facta purgatio. Caeterum qui anguftum habent pectus, ob idque *pulmonem* compreffum, ad eas, quae vomitoriis medicamentis fiunt purgationes, cum ad alias, tum maxime ex albo veratro comparatas ineptiffimi funt; his enim vas fpirabilium organorum aliquod rumpitur. Praeterea biliofum humorem per fuperiora, pituitam per inferiora purgare decet; licet interdum contrarium moliendum fit, fi in ventriculo quidem pituitofus, in inteftinis vero biliofus acervatus fit. At melancholicus perpetuo per inferiora educendus. De anni autem tempeftatibus in Hippocratis aphorismis fcriptum eft: *Aeftate fupe-*

κενοῦν τὰς ἄνω κοιλίας, χειμῶνος δὲ τὰς κάτω. τὸ δὲ ἀνάλογον ταῖς ὥραις ἐπὶ τῶν χωρῶν σκοπεῖσθαι χρὴ, θερμότητί τε καὶ ψυχρότητι διαιρουμένους· οὕτω δὲ κἀπὶ τῶν ἡλικιῶν. καὶ μὴν καὶ τὸ ἔθος οὐ σμικρὰ μοῖρα πρὸς ἔνδειξιν κενώσεως. οἱ μὲν γὰρ ἐμεῖν εἰθισμένοι φέρουσιν ἀλυπότερον τὰς διὰ τῆς ἄνω κοιλίας καθάρσεις, οἱ δὲ ἀήθεις οὐκ ἄνευ κινδύνου, [472] καὶ μᾶλλον ἐπὶ ἐλλεβόρου. καὶ τὸ τοῦ νοσήματος δὲ εἶδος σκοπεῖσθαι προσήκει. ἐπὶ μὲν γὰρ τοῦ φλεγματίου ὑδέρου φλέγματος ἀγωγῷ δεῖσθαι τῷ φαρμάκῳ πρότερον μὲν διὰ τῆς κάτω γαστρὸς, εἶτα δι' ἐμέτων, εἶτα δι' ἀποφλεγματισμῶν. δι' ὅλου γὰρ τοῦ σώματος ἐκτεταμένου τοῦ πλεονάζοντος ἁπάσας κενώσεις παραληψόμεθα. ἐπὶ δὲ τοῦ ἀσκίτου ὑδέρου τῶν ὑδραγωγῶν τι δώσομεν φαρμάκων, ὥσπερ γε κἀπὶ τῶν ἰκτερικῶν τῶν χολαγωγῶν. ἐκκαθαίρειν δὲ χρὴ καὶ τούτων πολυειδῶς τὴν χολὴν ἄνω τε καὶ κάτω καὶ διὰ οὔρων καὶ ὑπερώας καὶ διὰ ῥινῶν. οὕτω δὲ κἂν ὁ μελαγχολικὸς πλεονάσῃ χυμὸς, ὡς ἐν μελαγχολίᾳ καὶ καρκίνῳ καὶ

riores, hieme inferiores ventres purgandos esse. Quod anni tempestatibus regionum est analogum, calore et frigore distinguentes considerare oportet: ita quoque de aetatibus sentiendum. Ac certe etiam consuetudo ad vacuationis judicationem non parum confert. Nam qui vomere consueverunt, purgationes per superiorem ventrem minus moleste ferunt; insueti vero haud citra periculum magisque in veratro. Praeterea morbi speciem spectare conducit. Nam in leucophlegmatia hydrope medicamento pituitam educente opus est, primo sane per ventrem inferiorem, deinde vomitionibus, postremo apophlegmatismis. Quum enim redundans *humor* per universum corpus est diffusus, omnes evacuationes promovebimus. At in ascite hydrope hydragogum aliquod medicamentum dabimus, quemadmodum etiam in ictericis cholagogum. Atque his multifariam bilis sursum, deorsum, per urinas, per palatum et per nares purganda est. Pari modo si melancholicus humor redundaverit, ut in melancholia, cancro, et elephantiasi quod atram

ἐλέφαντι, τὸ τῆς μελαίνης χολῆς κενωτικὸν φάρμακον διδόαμεν, ἐπιληψίας δὲ φλεγματαγωγοῖς καθαίρομεν. ἐξ ὧν δῆλον ὅτι ἡ κατάστασις τῆς νόσου καὶ τὸν κενωθησόμενον δηλοῖ χυμὸν καὶ τὸν τόπον δι᾽ οὗ χρὴ κενοῦν αὐτόν. ἀμέλει καὶ τῶν κατὰ τὸ ἧπαρ φλεγμαινόντων, ὅταν πεφθῶσι, τὴν ἀποκάθαρσιν ποιούμεθα· διὰ μὲν τῆς κάτω γαστρὸς, ὅταν ἐν τοῖς σιμοῖς αὐτοῦ γίνηται τὸ πάθημα, δι᾽ οὔρων δὲ ὅταν ἐν τοῖς κυρτοῖς. οὕτω δὲ κἀπὶ τῶν ἄλλων ἐπισκέψῃ, τόν τε πλεονάζοντα χυμὸν καὶ τὸν πεπονθότα τόπον, ἐξ οὗ καθάπερ αἰτίας ὁρμᾶται τὸ νόσημα. ταῦτα γάρ σοι καὶ τὸν κενωθησόμενον ἐνδείξεται χυμὸν καὶ τὸν τρόπον τῆς κενώσεως καὶ τὸν τόπον δι᾽ οὗ χρὴ κενοῦσθαι, καὶ πρὸς τούτοις ἅπασι τὸν καιρόν. ἐν ἀρχῇ μὲν γὰρ τοὺς ὀῤῥώδεις τε καὶ λεπτοὺς κενώσεις χυμούς. ἀναμενεῖς δὲ πέψιν ἐπὶ τῶν παχέων καὶ γλίσχρων, οἷοι τὴν φύσιν εἰσὶν ὅ τε τοῦ φλέγματος καὶ ὁ τῆς μελαίνης χολῆς. καὶ ἀπὸ τῶν παροξυσμῶν δὲ σκοπὸν εἰς ἔνδειξιν τοῦ τρόπου τῆς κενώσεως ἕξεις, ἐκ μὲν τῶν ἄνω ποιούμενος τὰς κενώσεις ἐν τοῖς παροξυσμοῖς, ἐκ δὲ τῶν

bilem medicamentum evacuet offerimus. Epilepfias vero pituitam educentibus purgamus. Ex quibus confiat, morbi conftitutionem tum humorem vacuandum, tum locum per quem his humor vacuandus eft, prodere. Exempli gratia, iis quibus hepar inflammatur, ubi concocti fuerint *humores*, purgationem moliuntur; per inferiorem fane ventrem quum in concavis ipfius partibus fuerit affectus; per urinas, quum in convexis. Ita et in caeteris confiderabis et humorem qui exuberat, et locum affectum, ex quo tanquam caufa morbus ortum ducit. Haec enim tibi et humorem vacuandum et vacuationis modum et locum, per quem vacuare deceat, et cum his omnibus *vacuandi* occafionem indicabunt. Per initia namque ferofos tenuesque humores vacuabis; in craffis autem ac lentis, quales natura funt et pituitae et atrae bilis, concoctionem expectabis. *Jam* ab acceffionibus confilium fumes ad modi vacuationis indicationem; per fuperiora quidem in acceffionibus vacuationes moliens, per infe-

Ed. Chart. X. [472.] Ed. Baf. II. (488.)

κάτω κατὰ τὰς καλουμένας ἀνέσεις. καὶ γὰρ αὐτόματα οὕτως ὠφελεῖ, ἐν μὲν τοῖς παροξυσμοῖς ἐμούντων τε πολλῶν καὶ διὰ ῥινῶν αἱμοῤῥαγούντων, ἐν δὲ ταῖς ἀνέσεσιν οὔρων τε καὶ διαχωρημάτων ἀποκρινομένων. φυλάττεσθαι δὲ χρὴ μάλιστα τὸν χρόνον τῶν παροξυντικῶν καὶ κριτικῶν ἡμερῶν, ὁπόταν ἐπιχειρῇς κάτω καθαίρειν πολλά. τῆς γὰρ ῥοπῆς τῶν χυμῶν ἄνω γενομένης ἡ τοῦ καθαίροντος φαρμάκου δύναμις ἐμποδισθήσεται. ἐπὶ δὲ τῶν ἤδη νοσούντων ἐν μὲν τοῖς χρονίοις ἀεὶ δεῖ τὸν πεπασμὸν ἀναμένειν, ἐν δὲ τοῖς ὀξέσιν, ὅταν ὀργᾷ, κατ᾽ ἀρχὰς οἷόν τε φαρμακεύειν· καὶ αὐτὸ τοῦτο μετὰ πολλῆς εὐλαβείας καὶ περισκέψεως ποιεῖν. κίνδυνος γὰρ οὐ μικρὸς ἐν ὀξεῖ νοσήματι κακῶς φαρμακεῦσαι τῷ πάντα μὲν τὰ καθαίροντα φάρμακα θερμὰ ταῖς δυνάμεσιν εἶναι, δεῖσθαι δὲ τὸν πυρετὸν ᾗ πυρετός ἐστι κατὰ τὸν αὐτοῦ λόγον οὐχ ὅπως τῶν ξηραινόντων καὶ θερμαινόντων, ἀλλὰ καὶ τῶν ἐναντιωτάτων αὐτοῖς, τῶν ὑγραινόντων τε καὶ ψυχόντων. οὔκουν οὐδ᾽ αὐτῆς ἕνεκα πυῤῥώδους θερμότητος ἡ κάθαρσις ἡμῖν παραλαμβάνεται. ταύτην γὰρ ἴσμεν ὅσον ἐφ᾽ ἑαυτῇ

riora in remiſſionibus quas appellant. Etenim quae ſua ſponte moventur, ita juvant; quum in acceſſionibus multi et vomant et per nares ſanguinem fundant; in remiſſionibus autem urinae et dejectiones excernantur. At maxime tempus dierum acceſſoriorum et criticorum, quum deorſum copioſa purgare aggrederis, cavere oportet. Ubi enim humorum impetus ſurſum vergit, medicamenti purgantis facultas impedietur. In iis autem qui jam aegrotant, ſi morbi diuturni ſunt, ſemper eorum maturatio exſpectanda eſt: ſin autem acuti quum turgent humores, per initia medicamentis uti licet; idque ipſum multa cum religione et circumſpectione efficiendum eſt. Nam in morbis acutis male purgari periculum haud leve eſt. Quod omnia purgantia medicamenta calida facultatibus exiſtant, febris autem, qua febris eſt, ſui ratione non ſolum non ſiccantibus et calidis, ſed maxime ipſis contrariis, nempe humectantibus refrigerantibusque indigeat. Quare nec ipſius febrilis caloris gratia purgatio nobis aſſumitur; hunc enim quantum per ſe laedat

βλαπτομένην, ἀλλὰ τῶν ἐργαζομένων αὐτὴν ἕνεκα χυμῶν. χρὴ τοίνυν μείζονα τὴν ὠφέλειαν ἐκ τῆς τῶν λυπούντων χυμῶν κενώσεως γίνεσθαι τῆς βλάβης, ἣν ἐξ ἀνάγκης βλάπτεσθαι τὸ σῶμα πρὸς τῶν καθαρτικῶν φαρμάκων. ἔστι δὲ ἡ ὠφέλεια μείζων, ἐὰν ἀλύπως τε καὶ πᾶς ὁ βλάπτων κενωθῇ χυμός. ἵνα δὲ τοῦτο γένηται, πρῶτον μὲν δεῖ περισκέψασθαι εἰ ἐπιτηδείως ὁ κάμνων ἔχει πρὸς τὴν τοιαύτην κάθαρσιν. οἵ τε γὰρ ἐξ ἀπεψιῶν πολλῶν ἢ γλίσχρων ἢ παχέων ἐδεσμάτων ὄντες, ὡσαύτως δὲ οἷς ὑποχόνδρια τέταται καὶ πεφύσηται, ἢ ὑπερβαλλόντως ἐστὶ θερμὰ καὶ πυῤῥώδη, ἢ καί τις αὐτόθι σπλάγχνων [473] φλεγμονὴ, πάντες οὗτοι πρὸς τὰς καθάρσεις ἀνεπιτήδειοι. χρὴ τοίνυν ἀπεῖναί τε ταῦτα καὶ τοὺς χυμοὺς ὡς ἔνι μάλιστα τοῦ κάμνοντος εὐρουστάτους εἶναι, τουτέστι λεπτούς τε καὶ ἧττον μετέχοντας γλισχρότητός τινος, ἀναπεπταμένους τε τοὺς πόρους δι' ὧν ἡ κάθαρσις μέλλει γενήσεσθαι. ταῦτα γὰρ καὶ ἡμεῖς προπαρασκευάζομεν, ἐπειδὰν μέλλομεν τινὰ καθαίρειν. ἀλλ' ἔν γε τοῖς ὀξέσι νοσήμασι κατ' ἀρχὰς εὐθὺς, ἤτοι κατὰ τὴν πρώτην ἡμέραν, ἢ οὐκ ἐξωτέρω τῆς δευτέρας, μελλόντων ἡμῶν χρῆσθαι

fcimus, fed humorum caufa, qui illum efficiunt. Convenit igitur majus commodum ex noxiorum humorum evacuatione provenire, quam laefionem, quae a medicamentis purgantibus neceffario corpori obvenit: eft autem commodum, fi noxius humor et citra moleftiam et totus evacuetur. Quod ut fiat, primum fane difpiciendum venit, num aeger ad ejusmodi purgationem fit idoneus. Nam qui ex cruditatibus multis aut lentis craffisve cibis laborant; item quibus hypochondria diftenta funt inflataque, aut urina fupra modum calida et ignea, aut fi etiam inibi vifcerum quaedam inflammatio affligat, omnes hi ad purgationes inepti funt. Proinde et haec abeffe et humores quam maxime licet aegrotantis fluidos effe oportet, h. e. tenues et nullius lentoris participes, meatusque, per quos purgatio futura eft, adapertos. Haec enim et nos antea praeparamus purgaturi aliquem. At in morbis acutis ftatim per initia vel primo die vel non ultra fecundum, fi purgationibus ufuri fimus; quum pru-

ταῖς καθάρσεσιν ὅταν ὀργᾷ, τὴν τοιαύτην παρασκευὴν οὐκ ἐγχωρεῖ γενέσθαι, πλὴν εἰ ἄρα σχοίη τις καιρὸν μελίκρατον ἄκρατον δοῦναι ποιεῖν, ἐναφεψήσας ὑσσώπου τι ἢ θύμου, ἢ ὀριγάνου, ἢ τραγοριγάνου, ἢ γλήχωνος, ἤ τινος τῶν οὕτω λεπτυνόντων, ὥστ' εὐλόγως ὀλιγάκις ἐν τοῖς ὀξέσιν νοσήμασι κατ' ἀρχὰς γενήσεται ἡμῖν χρεία φαρμάκων, τῷ μήτε πολλάκις ὀργᾷν ἐν ἀρχῇ τοὺς λυποῦντας, μήτε εἰ καὶ τοῦτο ὑπάρχει, τοῦ τοσοῦτος ἂν ἐπιτηδείου πρὸς τὴν κάθαρσιν ὄντος, ἀλλὰ μηδὲ καιρὸν ἡμῖν παρέχοντος ἐπιτήδειον παρασκευάσαι. ὀργᾷν δ' οἱ χυμοὶ λέγονται, ὅταν ἐν κινήσει σφοδροτέρᾳ γενόμενοι καὶ μεταῤῥέοντες ἀπὸ μορίων εἰς μόρια, κατὰ τὴν ἀρχὴν τοῦ νοσήματος ὀχλῶσι τὸν ἄνθρωπον, ἀλγοῦντες καὶ ἀσῶντες καὶ γαργαλίζοντες καὶ ἡσυχάζειν οὐκ ἐπιτρέποντες. τοὺς οὖν τοιούτους ἐκκενοῦν προσήκει, τουτέστι τοὺς ἐν κινήσει καὶ φορᾷ καὶ ῥύσει. τοὺς δὲ ἤδη καθ' ἕν τι μόριον ἐστηριγμένους, οὔτ' ἄλλῳ τινὶ βοηθήματι χρὴ κινεῖν, οὔτε φαρμακεύειν πρὶν πεφθῆναι. τηνικαῦτα γὰρ καὶ τὴν φύσιν ἕξομεν βοηθοῦσαν τῇ κενώσει. φαίνεται γὰρ αὕτη μετὰ τὰς πέψεις, διακρίνουσά τε τοὺς

riunt, hujusmodi praeparationem fieri non licet, nifi quis tempus forte habeat, ut mulfam meracam potui det, in qua hyffopi aliquid, aut thymi, aut origani, aut tragorigani, aut pulegii, aut cujusdam ita attenuantium decoctum fit. Quapropter bona ratione raro in acutis morbis per initia medicamentorum ufus nobis erit, quod neque frequenter noxii humores per initia turgeant pruriantque, neque fi etiam hoc exiftat, aegrotus ad purgationem fit idoneus; imo qui ne tempus quidem nobis praebeat praeparandi idoneum. At humores turgere dicuntur, quum motu vehementiori agitati et a partibus in partes transfluentes per morbi initia hominem moleftant, dolore afficientes, jactantes, irritantes et quiefcere non permittentes. Tales igitur, h. e. qui in motu funt, agitatione et fluore evacuare convenit. Parti autem alicui infixos, neque alio quodam praefidio movere oportet neque medicamentis folicitare, priusquam fuerint concocti. Tunc enim et naturam vacuationi opitulantem habebimus; fiquidem ea fecundum concoctiones et humores difcernere

Ed. Chart. X. [473.] Ed. Baſ. II. (488. 489.)

χυμοὺς, ἀποθεμένη τε τὸ περιττὸν, ἐν ᾧ δὴ καιρῷ καὶ κρίσεις γίνονται. ἀλλὰ τελέως μὲν αὐτῆς κινουμένης, οὐδὲν δεῖ φαρμακείας· μετριώτερον δὲ καὶ ἀσθενέστερον ἐνεργούσης, τὸ λεῖπον αὐτοὺς χρὴ προστιθέναι φαρμακεύοντας, ἵν᾽ ἐξ ἀμφοῖν ἡ τοῦ λυποῦντος χυμοῦ γένηται κένωσις, ἀπωθουμένης μὲν τῆς φύσεως, ἕλκοντος δὲ τοῦ φαρμάκου. χρὴ δ᾽ εἰδέναι (489) ὡς αἱ μεταῤῥύσεις ἄλλοτε εἰς ἄλλο μόριον τῶν χυμῶν ὀλιγάκις γίνονται, τὰ δὲ πλείω ἡσυχάζει καὶ μένει καθ᾽ ἕν τι μόριον, ἐν ᾧ καὶ πέττεται καθ᾽ ὅλον τοῦ νοσήματος τὸν χρόνον ἄχρι λύσεως. ὅταν οὖν μὴ μόνον ὀξὺ πάθος ᾖ, ἀλλὰ καὶ μετὰ σφοδροτάτου πυρετοῦ, εὐλαβητέον εἰς τὴν δόσιν τοῦ καθαρτικοῦ φαρμάκου, καὶ μάλισθ᾽ ὅταν ἀπείρως ἔχῃ τις τῆς τοῦ κάμνοντος φύσεως. ἔνιοι μέν εἰσι φύσει δυσκάθαρτοι, τινὲς δ᾽ ἐπὶ βραχείᾳ πόσει φαρμάκου καθαίρονται δαψιλῶς. ὅταν οὖν ὁ πυρετὸς ᾖ μὴ σφοδρὸς, ἔμπειρός τε ᾖς τῆς τοῦ κάμνοντος φύσεως, ἐπὶ τὴν τοῦ φαρμάκου δόσιν ἀφίξῃ χρώμενος ἐλλεβόρῳ μέλανι ἤ τινι τῶν ὁμοιοτρόπων, ὧν ἐστι καὶ τὸ διὰ τῆς κολοκυνθίδος, ἱερὰν δ᾽ αὐτὴν συνήθως ὀνομάζου-

et ſuperfluum deponere apparet; quo tempore etiam criſes accidunt. At ubi abſolute quidem ipſa movetur, nihil opus eſt medicamentis; ubi lenius imbecilliusque actionem obit, id quod deeſt nos medicamentis adjicere oportet, quo utriusque, et naturae expellentis et medicamenti trahentis opera fiat humoris moleſti vacuatio. Caeterum ſciendum eſt humorum transfluxiones ex alia in aliam partem raro accedere, ſed ſaepius una in parte quadam ipſos reſidere, in qua per totum morbi tempus ad ſolutionem usque concoquuntur. Quum igitur non acutus modo affectus fuerit, ſed etiam cum febre vehementiſſima, cavendum eſt purgans medicamentum exhibere, praeſertim quum quis laborantis naturam non compertam habeat. Nonnulli ſiquidem natura aegre purgantur, nonnulli vero exigua medicamenti potione abunde purgantur. Quum itaque febris non vehemens fuerit norisque aegrotantis naturam, ad medicamenti doſin deſcendes, elleboro nigro utens aut aliquo conſimili; in quorum grege eſt diacolocynthidos, nominant

σιν. ποικίλως δ' αὐτῆς σκευαζομένης, ἡ τὸν ἐλλέβορον εἰληφυῖα, τὴν σκαμμωνίαν δ' οὐκ ἔχουσα, κάλλιστόν ἐστι φάρμακον ὑπήλατον. μετὰ δὲ τὸ ληφθῆναι τὸ καθαρτήριον συμφέρει τῆς πτισάνης ἐπιῤῥοφεῖν, ὥς φησιν Ἱπποκράτης. αὐτὸ μὲν γὰρ τὸ καθαρτικὸν φάρμακον, ὡς ἂν ὀλίγον ὂν, εἰς τὸν πυθμένα τῆς κοιλίας ἀφικνεῖται, κατὰ δὲ τὴν δίοδον ὅ τε στόμαχος ὅσον περὶ τῆς γαστρὸς ὑψηλὸν, οὐ μόνον τῆς ποιότητος τοῦ καθαίροντος, ἀλλὰ καὶ τῆς οὐσίας προσιζούσης ἐν τῇ διόδῳ μεταλαμβάνων μεγάλως βλάπτεται. χρήσιμος οὖν ὁ χυλὸς τῆς πτισάνης ἐπιῤῥοφούμενος, ὡς ἂν ἀποῤῥύψαι μὲν καὶ κατασῦραι κάτω τὸ προσπεπλασμένον ἐν τῇ διόδῳ δυνάμενος, ἐπικεράσαι δὲ καὶ ὑπαλλάξαι τὴν ἐνιζηκυῖαν τοῖς μορίοις [474] ποιότητα τοῦ φαρμάκου. διὰ ταῦτα μὲν οὖν ἐπὶ τῇ τοῦ καθαρτικοῦ φαρμάκου πόσει κελεύει τῆς πτισάνης ἐπιῤῥοφεῖν. ἀρξαμένης δὲ τῆς καθάρσεως γίνεσθαι οὐκέτι βούλεται δίδοσθαι πτισάνης, εὐλαβούμενος ἐκλυθῆναι τὴν ἐνέργειαν τοῦ καθαίροντος φαρμάκου. οὐκ ἐκκρίνει δ' ἡ γαστὴρ ἐνίοτε καθαρτηρίου δοθέντος, ἤτοι διὰ τὴν ἰδιότητα

ipfam confueto nomine hieram. Quum autem varie ipfa praeparetur, quae elleborum recepit absque fcammonio, optimum eft medicamentum ventri ducendo idoneum. Ubi purgatio affumta fuerit, confert ptifanam fuperforbere, ut ait Hippocrates: ipfum etenim purgans medicamentum ut quod exiguum fit, ad ventriculi fundum pervenit; in tranfitu autem ftomachus, quantum ad fuperiorem ventriculi partem attinet, non modo qualitatis medicamenti purgantis, fed etiam fubftantiae inter transeundum adhaerefcentis particeps factus, vehementer offenditur. Ad quod igitur cremor ptifanae, fi fuperbibatur, conducit, ut qui id quod in tranfitu affixum applicatumque eft, abftergere et deorfum trahere, qualitatem vero medicamenti particulis infidentem contemperare et alterare poffit. Propter haec igitur poft purgantis medicamenti potionem ptifanam fuperforbere jubet. At ubi purgatio fieri inceperit, non amplius ptifanam dari fuadet, timens ne purgantis medicamenti actio diffolvatur. Porro alvus nonnunquam dato medicamento quod

τῆς τοῦ κάμνοντος φύσεως ἢ διὰ τὴν βραχύτητα τοῦ δοθέντος φαρμάκου. πολλάκις δὲ καὶ κόπρος ἐσφηνωμένη σκληρὰ κατά τινα τῶν ἐντέρων, ἐκκενωθῆναι δυναμένη διὰ κλυστῆρος, πρὶν δίδοσθαι τὸ καθαῖρον φάρμακον κωλύει τὴν κένωσιν. δύναται δὲ καὶ τῆς φύσεως ἐπὶ οὖρα τὴν ὁρμὴν πεποιημένης τὸ καθαρτικὸν μηδὲν ἀνύειν. ἐνίοτε μὲν ὅταν ἀποτύχῃ καθαίροντα, πρὸς τὸ βλάπτειν μηδὲν τὸ σῶμα καὶ τροφὴ γίνεται τοῦ ζώου, τὰ δὲ ἐπὶ τὸ φθαρτικὸν καὶ δηλητήριον ἐκτρέπεται. πάντων δὲ τῶν καθαιρόντων φαρμάκων κακούντων τὴν γαστέρα καὶ μάλιστα αὐτῆς τὸ στόμα, διὰ τὸ νευρωδέστατον εἶναι καὶ αἰσθητικώτατον ἡ μίξις ἐπενοήθη τῶν εὐωδῶν, ὅπως μὴ μόνη μηδὲ ἀκραιφνὴς ἡ δύναμις αὐτῶν ἅπτεται τοῦ σώματος τῆς γαστρός. χρὴ δὲ εἶναι τὰ μιγνύμενα σπέρματα τοιαῦτα, ἃ καὶ τὴν κακίαν πέφυκεν ἀμβλύνειν καὶ τὴν ἐνέργειαν αὐτῶν μὴ κωλύειν, λεπτυντικῆς τε καὶ τμητικῆς ὄντα δυνάμεως, ὥστε καὶ τοὺς παχεῖς χυμοὺς τέμνειν καὶ τὰς ὁδοὺς αὐτῶν, δι' ὧν ἐκκενοῦνται, διανοίγειν τε καὶ ἀναστομοῦν. δεῖ δὲ

purget non excernit, vel ob aegri naturae proprietatem, vel ob medicamenti adhibiti paucitatem. Multoties autem et ſtercus impactum, durum, in aliquo inteſtino, quod clyſtere evacuari poſſet, antequam purgans medicamentum exhibeatur, vacuationem impedit. Jam fieri poteſt ut natura impetum ad urinas faciente purgans nihil proficiat. Interdum ſane quum purgantia fruſtrata fuerint actione, praeterquam quod nihil corpus laedunt, etiam alimentum animantis fiunt; quaedam ad corruptionem et deleterium convertuntur. At quum omnia purgantia medicamenta ventriculum vitient et praecipue ipſius os, eo quod maxime ſit nervoſum et ſenſile, odoratorum mixtura excogitata eſt, ne ſola neque ſincera ipſorum facultas os ventriculi attingat. Convenit autem ea quae miſcentur ſemina ejusmodi eſſe, quae et malignitatem poſſint obtundere et actionem ipſorum non prohibere, attenuante et incidente facultate praedita, qua craſſos humores incidat et vias ipſorum, per quas evacuantur, adaperiant recludantque. At purgantia quae miſcen-

ὁμοειδῆ ἀλλήλοις τὰ μιγνύμενα καθαρτικὰ καὶ κατὰ μηδὲν στασιάζειν. ἡ δὲ στάσις αὐτῶν γίνεται, οὐχ ὅταν τὸ μὲν χολῆς, εἰ τύχοι, τὸ δὲ φλέγματος κενωτικὸν, ἀμφότερα γὰρ ἐκκενοῦσθαι δύναται κατὰ τὸν αὐτὸν τρόπον, ἀλλ᾽ ὅταν τὸ μὲν εὐθέως, τὸ δὲ μετὰ πολὺ τῆς προσφορᾶς πεφύκῃ κινεῖν τὴν κάθαρσιν. ἀνώμαλος γὰρ ἡ κένωσις οὕτω γίνεται, προσενεχθέντων ἅμα. λέγω δὲ ἀνώμαλον, ὅταν ἤδη παύεσθαι δοκούσης αὐτῆς ἀρχὴ πάλιν ἑτέρας κινώσεως γίνηται.

tur, ſibi invicem congenera eſſe et nulla ex parte diſſidere oportet. Diſſident autem non quum aliud bilem verbi cauſa, aliud pituitam evacuat: ambo enim eodem modo evacuari poſſunt; verum ubi hoc ſtatim, illud multo poſtquam aſſumptum eſt, purgationem movere ſolet: ita enim inaequalis ſit evacuatio ex illis ſimul aſſumtis. Dico autem inaequalem, quum una jam ceſſante vacuatione altera rurſus incipit.

ΓΑΛΗΝΟΥ ΤΩι ΕΠΙΛΗΠΤΩι ΠΑΙΔΙ ΥΠΟΘΗΚΗ.

Ed. Chart. X. [487.] Ed. Baf. IV. (28.)

Κεφ. α΄. Ἐγὼ μὲν ᾤμην, ὦ Καικιλιανὲ, μηδὲν δεήσεσθαί σε τῶν ἡμετέρων ὑποθηκῶν εἰς τὴν τοῦ παιδὸς νόσον. ὁ γὰρ τεθεαμένος αὐτὸν ἤδη καὶ μέλλων ἅμα σοι πλευσεῖσθαι πάλιν ἐς Ἀθήνας, Διονύσιος, ἱκανός ἐστι καὶ πρᾶξαι παρὼν τὰ δέοντα καὶ χωριζόμενος, αὖθις ὑποθήκας διδόναι τῇ τοῦ νοσήματος ἕξει προσηκούσας. ἐγὼ δὲ μηδέπω ποτὲ τεθεαμένος τὸν παῖδα τάχ᾽ ἂν πολὺ καὶ σφαλείην, οὔθ᾽ ὅπως ἐξ ἀρχῆς ἡ φύσις αὐτῷ πρὸ τοῦ νοσήματος οὔθ᾽ ὅπως νῦν ὑπὸ τοῦ νοσήματος γινώσκων, ἀλλ᾽ ἢ μόνον αὐτὸ παρ᾽

GALENI PRO PVERO EPILEPTICO CONSILIVM.

Cap. I. Ego te, Caeciliane, exiftimabam ad morbum filii tui noftris fubfidiis haudquaquam indigere: nam qui jam ipfum vidit et tecum Athenas iterum navigaturus eft, Dionyfius, quae deceat idoneus eft et praefens facere, et rurfus difcedens ad habitudinem morbi confentanea documenta relinquere. Ego autem, qui nunquam hunc puerum vidi, forfan multum decipi poffem, quum neque a principio, qualis fuerit ante morbum ipfius natura, neque nunc qualis in morbo fit cognoverim, fed a vobis hoc tantum audie-

ὑμῶν ἀκούων, ἐπιληπτικοὺς αὐτῷ γίνεσθαι παροξυσμούς. ἐπεὶ δὲ ὀλιγωροῦντά με μᾶλλον ἢ ἀληθεύοντα νομίζεις ἀποδιδράσκειν τὴν γραφὴν, ὃ μηδέποτε πρότερον ἔπραξα, τοῦτο νῦν ὑπομένω πρᾶξαι σοὶ χαριζόμενος, ὑποθήκας τινὰς γράψαι θεραπείας ἐπιλήπτου παιδός. ἐν αἷς ἀνάγκη τι καὶ παρακοῦσαι τὸν ἰδιώτην καὶ σφαλῆναι περὶ τὸ μέτρον ἢ [488] τὸν καιρὸν τῆς χρήσεως. ἀποδέδεικται γὰρ ἡμῖν ἐν ἑτέροις ὡς οὐκ ἐνδέχεται χωρὶς τοῦ μέθοδόν τινα ἐκμαθεῖν θεραπευτικὴν ἰάσασθαί τι καλῶς οὐδὲ τῶν σμικροτάτων νοσημάτων, μή τί γε τῶν οὕτω μεγάλων ἡλίκον καὶ τὸ τῆς ἐπιληψίας ἐστί. καὶ ὅ γε Διονύσιος ἔφθανεν ἤδη κεκοινῶσθαί τε ἐμοὶ καὶ συνδιεσκέφθαι περὶ τῆς ὅλης θεραπείας τοῦ παιδὸς, πρὶν καί σε κελεῦσαι γράψαι τὰς ὑποθήκας τάσδε. ἀλλ' ἐκείνῳ μὲν ῥᾳδίως τὴν ἐμαυτοῦ γνώμην ἐδήλωσα, συνιέναι τε τῶν λεγομένων δυναμένῳ καὶ παρακοῦσαι μηδενὸς, ὡς ἱκανῶς ἠσκημένῳ περὶ τὴν θεραπευτικὴν μέθοδον. σοὶ δὲ οὐδ' ὅπως διέλθω τὸν λόγον οἶδα. τὸ μὲν γὰρ ἀκριβὲς ἐν αὐτῷ διορισμῶν τε δεῖται πολλῶν καὶ ἀσαφέστερον ἢ κατὰ ἰδιώτην

rim, epilepticas ipſi ſieri acceſſiones. Verum quum me negligentem magis quam veridicum duceres, ſi ſcriptum ſubterſugerem, quod nunquam antea ſeci, id nunc moliri non moleſte ſacio, ut tibi rem gratam ſaciam, ſcribendo quaedam medicinalia praecepta pueri epileptici, in quibus neceſſe eſt medicae artis imperitum decipi et aberrare circa menſuram vel circa tempus utendi. Demonſtratum enim a nobis eſt in aliis libris, quod non contingit quempiam recte mederi ne minimis quidem morbis, nedum adeo magnis, ut eſt epilepſia, niſi methodum aliquem medendi noverit. Atqui Dionyſius mihi jam communicavit et mecum conſideravit de tota pueri curatione, ac priusquam tu me haec documenta conſcribere ſis adhortatus; ſed illi meam ſententiam ſacile maniſeſtavi, quum intelligeret omnia quae dicerem, nihil obaudiret, ceu methodi curativae valde peritus. Tecum vero neque quomodo ſermonem inſtituam novi; nam accuratus in eo diſtinctionibus multis indiget et obſcurior eſt quam

Ed. Chart. X. [488] Ed. Baf. IV. (28. 29.)

ἐστὶ, τὸ δ᾽ αὖ σύντομόν τε καὶ σαφὲς οὐκ ἀκριβὲς ὑπάρχει. ταῦτά τοι καὶ γράφειν ὤκνουν τὰς ὑποθήκας, καίτοι πάνυ χαρίζεσθαί σοι προῃρημένος, ὅμοιόν τι πείσεσθαι προσδοκῶν, οἷον ἂν ἔπαθε καὶ Φειδίας, εἰ μετὰ τὸ τῆς Ἀθηνᾶς ἄγαλμα πλάττειν ἠναγκάζετο δάκτυλον μὲν ἰδίᾳ, ἰδίᾳ δὲ αὖ βραχίονα καὶ πόδα καὶ ῥῖνα καὶ οὖς, ἕκαστόν τε τῶν ἄλλων μορίων. ἐμοὶ γὰρ οἷον ἄγαλμά τι γεγράφθαι νομίζω τὴν θεραπευτικὴν μέθοδον, ἐν ὑπομνήμασι πλείοσιν οὐχ ὅπως ἰδιώτας ὠφελεῖν δυναμένην, ἀλλ᾽ οὐδὲ τοὺς ἐπιτυχόντας τῶν ἰατρῶν. ἐπεὶ δὲ σὺ βιάζεις με περὶ μορίου ἑνὸς τῆς τέχνης ποιήσασθαι τὸν λόγον, ἄνευ τῆς ἄλλης ἁρμονίας, εἴκω τῇ βίᾳ καὶ (29) πείθομαι, καὶ γράφω σοὶ μὲν αὐτάρκεις ὑποθήκας, ἱκανὸν γὰρ ἰδιώτῃ μὴ μέγα τι καὶ ἀνήκεστον ἐξαμαρτεῖν ἐν ταῖς τῶν ἰατρῶν καὶ μάλιστα τῷ νομίμως μεμαθηκότι τοιούτοις ὁμιλεῖν ὑπομνήμασιν. ἐκείνοις μὲν οὖν ἡ τῆς θεραπευτικῆς μεθόδου πραγματεία γέγραπται, σοὶ δὲ καὶ τοῖς ἄλλοις ὅσοι τεχνῶν

imperito homini conveniat; concifus autem et manifeftus haud quaquam accuratus effe poteft. Quapropter fubverebar tibi documenta confcribere, quamvis rem tibi gratam facere percuperem, exiftimans mihi fimile quippiam eventurum, quale Phidiae utique accidiffet, fi, poftquam Palladis fimulacrum abfolvit, quispiam illum coëgiffet feparatim digitum, manum, pedem, nafum, aures fingulasque corporis partes effingere. Ego vero methodum medendi tanquam quoddam fimulacrum in pluribus commentariis a nobis fcriptum fuiffe arbitror, quae non modo imperitos homines, fed ne medicos quidem quoscunque juvare non poteft. Quoniam autem tu cogis me de parte una artis curativae fermonem facere citra aliam compagem, tuae cedo voluntati et pareo atque documenta fcribo quae tibi fufficient; fatis enim eft medicae artis inexperto non magnum aliquid et irremediabile in medicorum praeceptis committere, praecipue cum didiceris legitime verfari in his commentariis. Eruditis illis medendi methodi negotium fcriptum eft, tibi autem et aliis, qui nonnullarum rationalium artium fcientes

μὲν τινῶν ἐστὲ λογικῶν ἐπιστήμονες, ἰδιῶται δὲ τῆς ἰατρικῆς, γένοιτ᾽ ἂν ἴσως, οἶμαι, καὶ παρὰ τοῦδε τοῦ γράμματος ὠφέλεια.

Κεφ. β'. Πειράσομαι δὲ ὡς οἷόν τε σαφέστατα διελθεῖν, ᾧ χρώμενος ὁ παῖς τρόπῳ τῆς διαίτης ὀνίναιτό τε ἂν οὐ σμικρὰ καὶ ἥκιστα βλάπτοιτο πρὸς τῶν ἐφ᾽ ἡμέρᾳ συμπιπτόντων ἀδοκήτως αὐτῷ. φυλάττεσθαι μὲν οὖν καὶ ταῦτα προσήκει, καθ᾽ ὅσον ἐγχωρεῖ. περιπίπτειν γε μὴν ἀναγκαῖον ἐνίοτε καὶ κρύει καὶ θάλπει σφοδρῷ καὶ ἀνέμοις ἰσχυροῖς καὶ λουτροῖς μοχθηροῖς καὶ τροφαῖς ἐκπληκτικαῖς καὶ τροχοῖς περιδινουμένοις καὶ ἀστραπαῖς καὶ βρονταῖς, ἀγρυπνίαις τε καὶ ἀπεψίαις καὶ λύπῃ καὶ θυμῷ καὶ κόπῳ καὶ ἄλλοις τοιούτοις, ὧν τὸ κεφάλαιόν ἐστι, σφοδρῶς κινῆσαι καὶ ταράξαι τὸ σῶμα καὶ τοῦ πάθους ἀναμνῆσαι καὶ παροξυσμὸν γεννῆσαι. ταῦτα δὲ οὖν ἐκ πολλοῦ φυλάττεσθαι προσήκει, καὶ εἴποτε γεγεννημένων αὐτῶν παρακολουθήσει παροξυσμὸς, ἀποσχέσθαι μὲν τελέως τηνικαῦτα πάσης κινήσεως, ἐπὶ δὲ τῆς οἰκίας διατρῖψαι καὶ πάνυ λεπτῶς διαιτηθῆναι, μέχρι περ ἂν ἀπόθηται τὸ σῶμα

eftis, medicinae autem ignari, arbitror, fortaffe nonnihil utilitatis et in his commentariis proveniet.

Cap. II. Conabor autem quantum fieri poterit manifeftiffime enarrare, quanam utens puer victus ratione non parum juvetur et ab accidentibus quotidie ipfum inopinate invadentibus minime laedatur. Convenit igitur quantum fieri poteft haec obfervare. Equidem puerum neceffe eft interdum occurrere magis frigoribus, immenfis caloribus, ventis validis, balneis malis, cibariis *caput* tentantibus, rotarum obvolutionibus, corrufcationibus praeterea et tonitruis et vigiliis et cruditatibus, triftitiaeque etiam et iracundiae et laffitudini atque aliis hujuscemodi rebus, a quibus, ut fummatim dicam, corpus vehementer moveri et perturbari folet, atque in reminifcentiam morbi referri et ad generationem paroxysmi deduci. Haec igitur convenit multo ante caveri. Etfi quandoque his praecedentibus paroxysmus fuccedet, tunc ab omni penitus motu oportet illum removere et domi continere et victu valde tenui illum nutrire,

[489] τὸν ἐκ τοῦ παροξυσμοῦ κάματον. ἥτις δὲ ἡ λεπτὴ δίαιτα καὶ γνώσκειν μὲν οἶμαί σε καὶ διὰ τῶν ἐφεξῆς ἀναγνοὺς, οὐδὲν ἧττον ἀκούσει τί περὶ αὐτῆς. ἄρξασθαι γὰρ οὖν ἤδη μοι τῶν ὑποθηκῶν καιρός.

Κεφ. γ΄. Εἰσβάλλοντος τοῦ ἦρος, καὶ γάρ πως οὕτως συμβαίνει κινεῖσθαι τὰ τῆς ἐπανόδου, καθῆραι φημὶ χρῆναι τὸν παῖδα μετρίᾳ καθάρσει. ταύτης δ᾽ ἂν ἐπιστατήσειε καὶ προσταίη παρὼν ὁ Διονύσιος, εἰδὼς ἀκριβῶς ὅπως τε χρὴ παρασκευάσαι πρὸς τὴν κάθαρσιν τὸ σῶμα, καὶ ᾧτινι χρήσασθαι φαρμάκῳ καὶ ἐν πόσῳ καὶ ὁποίῳ καιρῷ· καὶ μὲν δὴ καὶ μεθ᾽ ἡμῶν ὑπὲρ τούτων ἤδη διέσκεπται. ὥστε τὸ μὲν σῶμα παρὸν ἔχεις Ἀθήνησι τοῦ Διονυσίου, τὴν ψυχήν τε καὶ τὴν γνώμην ἅμα ἐκείνῳ καὶ τὴν ἐμήν. μετὰ δὲ τὴν κάθαρσιν, ὅταν ὅ τε Διονύσιος οἴχηται καὶ ὁ παῖς ὑπολείπηται κατὰ τὰς Ἀθήνας, ὧδε χρὴ διαιτᾷν αὐτόν. ἕωθεν μὲν ἐκ τῆς κοίτης ἀναστὰς, πρὶν τοῖς διδασκάλοις φοιτᾷν, περιπατείτω μετρίᾳ μὴ σφόδρα συντόνῳ βαδίσματι. τὸ δ᾽ ἀπὸ τοῦδε μέχρι τοῦ τῆς παλαίστρας καιροῦ τοῖς

donec a paroxysmi labore corpus liberetur. Quis autem fit tenuis victus, quamvis arbitrer te cognofcere, tamen fi ea quae fequuntur perlegeris, aliquid etiam de ipfo percipies. Tempus itaque eft ut ego documenta jam aggrediar.

Cap. III. Accedente vere (nam morbos quae reverti folent, quodam modo tunc moveri contingit) puerum purgandum affirmo mediocri purgatione. Huic autem purgationi Dionyfius praefens moderabitur et quae opus erunt imperabit, accurate cognofcens quonam modo ad purgationem corpus praeparare oporteat et quo uti debeat medicamento, quave quantitate et in quo tempore; nam de his inter nos faepe confultum eft. Quare Athenis praefentem habes Dionyfium, fed nihilominus cum ipfo mentem fimul et confilium habes meum. Poft purgationem autem quum receflerit Dionyfius et puer Athenis remanferit, hanc oportet ipfum victus rationem obfervet. Quum a cubili mane furrexit, antequam ad praeceptorem accedat, moderate deambulet greffu non admodum frequenti; pofthac autem usque ad

μαθήμασι σχολαζέτω, καθότι σύνηθες, ἐπειδὰν δὲ πρῶτον αὐτῶν ἀπαλλαγῇ, περιπατήσας αὖθις, οὕτως εἰς τὸν παιδοτρίβην ἀπίτω. χρὴ δὲ τοῦτον, εἴπερ τινὰ καὶ ἄλλον τῶν προνοησομένων τοῦ παιδὸς, ἱκανῶς εἶναι φρόνιμον. ἔστι δὲ οὐ πάνυ τι ῥᾴδιον εὑρεθῆναι τοιοῦτον, ὡς ἂν ἐξ ἀνθρώπων τῆς ἐκλογῆς γινομένης ἀπαιδεύτων τοὐπίπαν καὶ οὕτως ὀνωδῶν τε καὶ παχέων τὴν ψυχὴν, ὥσπερ καὶ τὸ σῶμα. μὴ τοίνυν ὡς μικρὸν τοῦτο παρέλθοι σε, μηδὲ ἐπιτρέψεις τὸν παῖδα τῷ προστυχόντι, γινώσκων ὡς τὸ μὲν κεφάλαιον τῆς θεραπείας ἐν δυοῖν τούτοιν ἐστὶ τῇ χρήσει τοῦ δοθέντος σοι πρὸς ἐμοῦ φαρμάκου καὶ τοῖς γυμνασίοις. τὰ δ' ἄλλα πάντα παρασκευή τις ὑπάρχει πρὸς ταῦτα. τὸν μὲν δὴ παιδοτρίβην συνεκλέξοιτό σοι Διονύσιος. ἔστωσαν δ' αὐτῷ σκοποὶ τῶν γυμνασίων, ἐν μὲν τῇ ποσότητι τό τε πρὶν κάμνειν ἀναπαύειν τὸν παῖδα καὶ τὸ θερμῆναι σύμπαν τὸ σῶμα καὶ κενῶσαι συμμέτρως. ἄμφω δ' εἰς ἕνα καιρὸν τὸν αὐτὸν συμβαίη· ἡνίκα γὰρ αὐτάρκως ἐκκενοῦται τὸ περιττὸν, ἐκτεθέρμανται δὲ ἱκανῶς ἤδη τὸ

palaeſtrae tempus diſciplinis vacet quibus aſſuevit: quum primum autem ab illis diſceſſerit, ubi rurſus deambulaverit, ſic ad paedotribam accedat. Hunc autem *praedotribam,* ſi quem alium ex iis, qui puero praeſunt, multum oportet eſſe prudentem; ſed talem invenire difficile eſt, praeſertim quum electio fieri debeat ex hominibus ineruditis et ignaris, non minus animam quam corpus hebetem et craſſam habentibus Non igitur tanquam parvum hoc te fugiat; neque cuivis e populo pueri curam tradas, probe cognoſcens quod ſumma curationis in hisce duobus verſatur, in uſu a me tibi dati medicamenti et in exercitii modo; caetera vero omnia ad haec praeparatio eſt quaedam. Paedotribam igitur hunc tecum ſimul Dionyſius eliget. Sint autem ipſi exercitiorum ſcopi, quibus ad quantitatem quidem, ut puerum, antequam defatigetur, ceſſare faciat, nec non ut univerſum corpus calefaciat et mediocriter evacuet. Ambo autem in eodem tempore contingent; quod quum enim ſufficienter evacuatur et quantum jam ſatis ſupervacaneum eſt, corpus

σῶμα, τηνικαῦτα καταπαύων τις τὰ γυμνάσια πρὶν ἄρχεσθαι πονεῖν ἀναπαύσεται, τὸ δ' ἐπέκεινα τοῦδε τοῦ καιροῦ γυμνάσιον ἅπτεται μὲν ἤδη τῶν στερεῶν σωμάτων καὶ συντήκει τὴν ἕξιν, ἀθροίζει δ' ἔν τε τοῖς ἄρθροις μάλιστα καὶ τοῖς μυσὶ τὰ συντήγματα. κἀντεῦθεν ὅ τε κάματος ἕπεται τῆς δυνάμεως, εἶθ' ἑλκώδης αἴσθησις, ἐπειδὰν κινῆσαί τι μόριον ἐπιχειρήσωσι, καὶ τοῦτ' ἐστὶν ὁ κόπος. οὐ μόνον τοίνυν φρόνιμον, ἀλλὰ καὶ τρίβωνα μετρίου γυμνασίου εἶναι χρὴ τὸν παιδοτρίβην, ὡς μήτε θᾶττον τοῦ δέοντος καταπαύοι, δεδιὼς τὸν ἀκολουθήσοντα κάματον, μήτε θερμῆναι καὶ κενῶσαι τελέως ἅπαν τὸ περιττὸν ὀριγνώμενος τῷ κόπῳ περιβάλλοι τὸν παῖδα. τοῦ μὲν δὴ μετρίου τῶν γυμνασίων οὗ[490]τοι σκοποί· τῆς ποιότητος δὲ ῥῶσαι σύμπαντα τὰ μόρια, καὶ μάλιστα κεφαλὴν καὶ γαστέρα, καὶ ταύτης ἐξαιρέτως τὰ κατὰ τὸ στόμα τῆς γαστρός. ὅπως δ' ἄν τις καὶ τούτου τυγχάνοι καὶ δὴ φράσω. πρῶτον μὲν ἐπειδὴ τὰ σφοδρὰ γυμνάσια πληροῖ τὴν κεφαλὴν, ἀπέχεσθαι τῶν τοιούτων κελεύω. δεύτερον, εἰ καὶ δεήσειέ ποτε

incalefcit, tunc fi quis ab exercitio ceffaverit, quiefcet antequam in defatigationem incurrat. Exercitium vero ab hoc tempore ultra, in folida jam agit membra et corporis habitum colliquat; accumulat autem colliquamenta in articulis maxime et mufculis; hincque fequitur facultatis laffitudo, poftea ulcerofus fenfus, quum aliquam corporis partem movere tentaverit, et hoc eft ipfa laffitudo. Non folum igitur paedotribam prudentem effe oportet, fed etiam mediocris exercitii expertum, ne citius quam par eft puerum ab exercitio ceffare faciat, fecuturam timens laffitudinem; neve fatagens calefacere et prorfus quod fuperflui eft evacuare, in laffitudinem puerum ducat. Mediocrium igitur exercitiorum in quantitate hujuscemodi funt fcopi: in qualitate vero, ut corroborentur omnes corporis partes et maxime caput et ventriculus et hujus praecipue quod ori circumftat. Ut autem quispiam iftud affequi poffit, nunc dicam. Primo quoniam exercitia vehementia caput replent, ab his abftinere praecipio. Secundo fi quando his uti neceffe fuerit,

χρήσασθαι, τῆς κεφαλῆς ὀρθίας ἀνεστηκυίας κινείσθω τὰ κάτω, καὶ τούτων μάλιστα τὰ σκέλη, καὶ τρίτον ἐπὶ τούτοις ἀπὸ σμικρῶν καὶ βραδέων κινήσεων ἀρξάμενος ὁ παιδοτρίβης ἐπὶ τὸ σφοδρότερόν τε καὶ θᾶττον οὕτως ἀναγέτω. τὸ δ' ἀθρόως ἐπὶ τὸ σύντονον ἔρχεσθαι γυμνάσιον οὐ τοῖς ἀσθενέσι μόνον, ἀλλὰ καὶ τοῖς ἰσχυροῖς σώμασιν ἐσχάτως βλαβερόν. ἡγεῖσθαι δὲ χρὴ καὶ τὴν τρῖψιν εἶναι γυμνάσιον καὶ μάλιστα τοῖς ἀσθενεστέροις σώμασι, καὶ πολλάκις γε καὶ μόνη καλῶς γιγνομένη, τῶν γε ἄλλων κινήσεων οὐδὲν ἔτι προσδεῖται. χρὴ δὲ τὰ μὲν πρῶτα διὰ σινδόνων ἀτρέμα ἄνωθεν κάτω τῶν χειρῶν φερομένων ἐρυθραίνειν τὸ σῶμα, τὴν ἀρχὴν ἀπὸ βραχιόνων τε καὶ χειρῶν ποιουμένοις, εἶθ' οὕτως ἐπὶ τὰ στέρνα τε καὶ γαστέρα προϊόντας, ἑξῆς δὲ καὶ τὰ σκέλη τρίβειν ἱκανώτερον, ὡς ἐκ τῶν ἄνω τι μεταῤῥέοι τῇδε, κἄπειθ' οὕτως ἅπτεσθαι τῆς κεφαλῆς. τὸ δ' εὐθὺς ἐξ ἀρχῆς ἐπὶ ταύτην ἰέναι σφαλερὸν, ἔτι γὰρ μεστοῦ τοῦ σώματος ὄντος ἐπὶ τὸ πρῶτον θερμανθὲν ἕλκεται τὰ περιττώματα. χρὴ τοίνυν τῶν ἄλλων ὑστάτην

capite erecto, quae infra funt moveantur et ex his maxime crura. Tertio a parvis et tardis motionibus incipiat paedotriba et fic ad vehementiores et celeriores motus ita deveniat: nam fubito ab intenfis exercitiis incipere non folum imbecillibus, fed etiam robuftis corporibus fumme periculofum eft. Confiderare praeterea oportet, quod fricationes exercitii loco habentur, maxime in corporibus imbecillibus; imo faepenumero folae, modo recte fiant, aliarum motionum vicem fupplent. Opus autem eft primum manibus molliter cum fidone a fupernis partibus ad infernas delatis corpus ad rubedinem deducere, initio a brachiis et manibus facto atque ad pectus et ventrem devenire; fubinde etiam crura multum fricare convenit, ut fi quid ex fupernis partibus illuc fuerit derivatum, commode abfumatur; poftremo ad caput deveniendum eft, nam ftatim a principio ad ipfum accedere periculofum; corpore enim adhuc pleno exiftente, ad id quod primo calefacit fuperfluitates attra-

μορίων τρίβεσθαι τὴν κεφαλὴν, ὡς εἴρηται νῦν, χωρὶς τοῦ λίπους. ἐπειδὰν δὲ καὶ τὸ ἔλαιον προσαγάγῃς, οὐδὲν κωλύει σὺν καὶ τοῖς ἄλλοις, ὥστε τὸν μέν τινα τὴν κεφαλὴν, ἑτέρους δὲ δύο τὰ περὶ τὰ στέρνα τε καὶ τὴν γαστέρα καὶ τοὺς ἄλλους δύο τὰ σκέλη τρίβειν. οὕτως δὲ καὶ μετὰ τὰ γυμνάσια, καὶ μᾶλλόν γε τηνικαῦτα τρίβειν ἅμα σύμπαντα τὰ μέλη. θᾶττόν τε γὰρ οὕτως ἀναπαύεται τὸ σῶμα καὶ ἧττον περιψύχεται. χρὴ δὲ, εἴπερ τινος ἄλλου, καὶ τούτου φροντίζειν. ἀλουτεῖν δὲ προσήκει τὰ πολλὰ καὶ ταῖς παλαίστραις μὴ εὐθὺς ἐξιέναι μετὰ τὸ γυμνάσιον, ἀλλ' ἐπειδὰν ἀκριβῶς καταστῇ τὸ πνεῦμα καὶ παύσηται τελέως ἡ ἐκ τοῦ γυμνασίου ταραχὴ, τηνικαῦτα δή που καὶ τὴν κεφαλὴν ἐπιπλεῖστον τρίβειν σινδόνι, πολλάκις δὲ καὶ κτενὶ προχρῆσθαι.

Κεφ. δ'. Μετὰ δὲ ταῦτα πρὸς τὸ ἄριστον ἰέναι, καί τι πρό γε αὐτοῦ τῶν λαπαττόντων τὴν γαστέρα λαχάνων, ἢ καὶ ταρίχους, ἢ πτισάνης, ἢ ἐλαίων ἅμα τῷ τρίτῳ μέρει τοῦ ἄρτου προσενεγκάμενον, εἰς τὸ δεῖπνον ἀποθέσθαι

huntur. Ultimo igitur loco poſt alias corporis partes caput confricari oportet, ut nunc diximus, absque oleo: quum autem et oleum applicare libuerit, nihil prohibet capitis fricationem ſimul cum aliis fieri membris, ut unus caput fricet, duo alii pectus et ventrem et totidem alii crura. Sic autem et poſt exercitia, imo vero magis tunc omnia ſimul confricentur membra; ita enim celerius ad quietem corpus deducitur et minus refrigeratur. Oportet autem ſi de quapiam alia re, de hac ipſa magnam curam habere. Non lavari autem ut plurimum convenit, neque ſtatim poſt exercitium palaeſtram exire, ſed poſtquam plane quieverit ſpiritus et ab exercitiis commotio prorſus ceſſaverit: atque tunc etiam ſindone caput multum fricare convenit et ſaepenumero pectine uti.

Cap. IV. Poſt haec autem ad prandium eat, et ante ipſum aliquid ex iis, quae ventrem molliunt, aſſumat, vel olus, vel ſalſamentum, vel ptiſanam, vel olivas cum tertia parte panis; reliquas vero duas in coenae tempus ſeponat

τὰ λοιπὰ δύο μέχρι μετὰ τῶν ἰσχυροτέρων ὄψων. εἰρήσεται δὲ τὰ ἰσχυρότερα μικρὸν ὕστερον, (30) ἐπειδὰν πρότερον ἅπαντα διέλθω τὰ χωρὶς βλάβης λαμβανόμενα. λαχάνων οὔτε θριδακίνης οὔτε μαλάχης οὔτε ἀτραφάξυος οὔτε βλίτου τὸ σύμπαν εἴργεσθαι κελεύω, λαμβάνειν δ᾽ οὐκ ἀεὶ μὲν [491] ταυτὸ, ἄλλοτε δὲ ἀπ᾽ ἄλλου τὸ μέτριον. ἐκ ταὐτοῦ δὲ γένους ἐστὶ καὶ τὸ τεῦτλον καὶ κράμβη. χρὴ γὰρ καὶ τούτων ἀπογεύσασθαι τὰ σύμμετρα. πράσου δὲ καὶ σελίνου καὶ σμυρνίου προσάψασθαί ποτὲ συνοίσει καὶ τῶν ὀπωρῶν ὅσαι μὴ παντάπασιν ὠμαὶ καὶ δύσπεπτοι τὴν φύσιν εἰσίν. ἴσχουσί τε γὰρ τὰ περιττώματα σφῶν αὐτῶν καὶ τῶν ἄλλων σιτίων. τά τε οὖν μόρα καὶ τὰ πραικόκκια καλούμενα καὶ τὰ σῦκα καὶ εἴ τινα τούτοις ἔοικεν, ἀλύπως διέξεισι, καὶ ἡ καλουμένη κολοκύνθη τῶν μαλακωτάτων λαχάνων οὐδενὸς ἀποδεῖ καὶ οἱ πέπονες οἱ σίκυοι. μοχθηροὶ γὰρ ὅσοι μὴ τοιοῦτοι. καὶ βοτρύων πεπείρων ἅψασθαί ποτε συγχωρῆσαι τῷ παιδὶ, μήλων δὲ καὶ ἀπίων ἐλάχιστά τε καὶ σπανιάκις προσφέρεσθαι, καὶ

cum valentioribus obfoniis. Quae autem hujusmodi exiftant paulo poft dicentur, fi prius enarravero ex olerum genere omnia, quae absque laefione fumi poffunt. Ex oleribus nec a lactucis, nec a malva, nec ab atriplice, nec a blito prorfus illum prohiberi jubeo; non tamen idem femper copiat, verum alias aliud moderate. Ex eodem etiam eft genere beta et braffica; oportet enim ex iis quippiam moderate guftare. Porrum quin etiam interdum et apium et fmyrnium deguftare conferet; et de horariis fructibus quicunque non funt penitus crudi aut fuapte natura difficile coquuntur: ii namque et fua ipforum excrementa et aliorum etiam efculentorum retinere confueverunt. Ergo et mora et quae praecocia nominantur et ficus et fi qui funt ejusmodi notae, fine moleftia defcendunt; et quae cucurbita dicitur, nihil ab oleribus ventrem mollientibus differre videtur; item pepones cucumerini, nam qui tales non funt pravi funt. Maturae etiam uvae aliquantulum quandoque puero concedi poteft; mala vero et pyra raro et in parva quantitate degu-

Ed. Chart. X. [491.] Ed. Baf. IV. (30.)

ταῦτα μὴ μόνον ἐπὶ τοῦ δένδρου κατειργασμένα καλῶς, ἀλλὰ καὶ μετὰ τὴν ἀφαίρεσιν ἐπὶ τῆς οἰκίας. εὖ γὰρ εἰδέναι χρὴ περὶ τῶν εἰς ἀπόθεσιν ἐπιτηδείων ἀκροδρύων ὡς οὐδὲν ὅμοιον ἔχει τοῖς παλαιοῖς τὰ πρόσφατα, δύναται δὲ ἀποτίθεσθαι μῆλά τε καὶ ἄπια καὶ τὰ πλεῖστα τῶν ἀκροδρύων καὶ τὰ δαμασκηνὰ προσαγορευόμενα καὶ αἱ ἰσχάδες. τούτου τοῦ γένους εἰσὶ καὶ αἱ βάλανοι τῶν φοινίκων, ὧν οὐδ' εἴργω τελέως, ἀλλ' ἐν καιρῷ τε καὶ μέτρια προσφέρεσθαι συγχωρῶ. τὸ δὲ καθ' ἑκάστην ἡμέραν ἢ πολλὰ φυλάττεσθαι συμβουλεύω, καθόλου δ' εἰπεῖν ὅσα κακόχυμα τῶν ἐδεσμάτων εἰσὶν, ἢ ἐπέχοντα τὴν κοιλίαν, ἢ φυσώδη καὶ δύσπεπτα συνεχῶς, ἢ πλείω τοῦ καιροῦ προσφερόμενα, βλάπτειν εἴωθεν οὐ τοῦτο τὸ νόσημα μόνον, ἀλλὰ καὶ τἄλλα σύμπαντα. καὶ μέχρι γε τοῦδ' ἥκων ὁ περὶ τῆς διαίτης λόγος ἑτέροις ἂν κοινὸς εἴη πολλοῖς ἀῤῥωστήμασιν. ὁ δὲ τοῦ πάθους ἴδιος καὶ ἐξαίρετος ἐν τῷ φυλάττεσθαι μάλιστα τὰ φλεγματικὰ τῶν ἐδεσμάτων.

ſtet; et haec ipſa non ſolum ut in arbore ſua ſint bene cocta, ſed etiam domi ſervata ad maturationem recte pervenerint. Scire autem oportet eadem poma, quae recenter a matre ſunt decerpta et quae domi depoſita reſervantur, permultum inter ſe differre nullamque inter ſe ſimilitudinem habere. Poſſunt autem conſervari poma pyraque, nec non plurimi etiam alii fructus et pruna, quae vocantur Damaſcena. Ficus etiam, *quas caryeas vocant*, ex hujuscemodi ſunt genere; et ex arbore palma dactyli, quorum comeſtionem penitus illi non interdico, ſed opportune et moderate illis uti permitto; aſſidue autem et multum illis uti minime velim. Atque ut ſemel concludam, quicunque mali ſucci ſunt cibi, vel alvum aſtringunt, vel inflant, vel difficulter concoquuntur, ſi aſſidue vel plus quam conveniat aſſumantur, non ſolum huic morbo, ſed omnibus etiam aliis nocere ſolent. Atque hucusque ſermo de diaetae modo protractus, aliis etiam quam plurimis morbis conveniens erit. Hujusce autem morbi peculiaris et proprius eſt, ut caveamus ab iis praecipue eſculentis, quae pituitam generant. Unde

ὅθεν οὐδὲ τοῖς ἄλλοις μὲν ἀλύποις, γλίσχρον δέ τινα χυμὸν, ἢ ψυχρὸν ἢ παχὺν ἔχουσιν, ἐγχρονίζειν προσήκει. τοιαῦτα δέ ἐστιν ἀτράφαξύς τε καὶ βλίτον καὶ μαλάχη, ὧν οὐκ εἴργομεν ἅπτεσθαι, διὰ παντὸς δ' ἐν αὐτοῖς καταγίνεσθαι κωλύω. τούτου δὲ τοῦ γένους εἰσὶ καὶ αἱ κολόκυνθαι, καὶ πολὺ δὲ μᾶλλον αὐτῶν οἵ τε σικυοὶ καὶ τὰ μῆλα καὶ ἄπια καὶ πάντων ὅσα φλεγματικὸν καὶ παχὺν ἢ γλίσχρον ἔχει χυμὸν, ἢ ἔδεσμα χείριστον, οἵ τε μύκητες ὀνομαζόμενοι. τούτου μέν γε τελέως ἀπέχεσθαι συμβουλεύω, καθάπερ καὶ τῶν γογγυλίδων, ὅσα τε ἄλλα τὴν ῥίζαν ἐδώδιμον ἔχει. παχύχυμά τε γάρ ἐστι καὶ δυσκατέργαστα τούπίπαν, ὅσα τ' ἄλλα τοιαῦτα, πλὴν εἴ τινα τούτων ἔχει τι δριμὺ καὶ θερμὸν ἐν ἑαυτοῖς, οἷον οἵ τε δαῦκοι καὶ αἱ ῥαφανίδες. ἀλλὰ ῥαφανίδων μὲν ἐκ περιόδου τινος ἡμερῶν οὐ κωλύω γενέσθαι. δαύκων δὲ καὶ ἀπέχεσθαι πειρᾶσθαι, καὶ τούτων ἔτι μᾶλλον γογγυλίδων. πλεονάζειν δὲ ἐν τῇ χρήσει τῶν ἐδεσμάτων ὅσα δριμύ τι καὶ τμητικὸν ἔχει χωρὶς ἐπισήμου

in cibariis, quae tametfi in aliis non obfint, vifcofos aut frigidos aut craffos humores generant, haudquaquam effe immorandum cenfeo. Hujusmodi autem funt atriplex et blitum et malva, quos fane ut guftet non prohibeo, affiduum autem eorum ufum vehementer damno. Ex hoc genere funt et cucurbitae multoque magis cucumeres et poma et pyra et demum quaecunque humorem pituitofum gignunt, aut vifcofum aut craffum, vel quaecunque funt in genere peffimorum efculentorum, quales funt qui vulgo appellantur fungi: ab iis enim omnino abftinere confulo, quemadmodum et a rapis et a quibuscunque radicibus, quae mandi folent; craffos enim habent fuccos et male concoquuntur, exceptis quibusdam, quae acrimoniam quandam et caliditatem in fe habent, quemadmodum funt dauci et raphani; fed ex raphanis haudquaquam illum deguftare prohibeo, verum quodam intercedente fpatio; a dauco autem abftinere condifcat magisque etiam a rapis. In efculentorum autem ufu abundent illa, quae acria funt et facultatem incidendi habent,

Ed. Chart. X. [491. 492.] Ed. Baf. IV. (30.)

κακοχυμίας, ἤ τινος ὀδμῆς ἅψασθαι τῆς κεφαλῆς δυναμένης. ἐκ τούτου δὲ τοῦ γένους ἐστὶ καὶ ὅσα διὰ θερμότητα τὴν κεφαλὴν συμπληροῖ, καθάπερ οἶνός τε καὶ νᾶπυ καὶ πετροσέλινον καὶ δαῦκος καὶ κρόμμυον καὶ σμύρνιον. ταῦτα μὲν καὶ πέρα τοῦ δέοντος ἐστὶ καυ[492]σώδη τε κακόχυμα. τὸ δὲ νᾶπυ καίτοι γ᾽ ἐπιτηδειότατον ὑπάρχον ὅσον ἐπὶ τὸ τέμνειν τοὺς χυμοὺς, ὡς ἁπτόμενον τῆς κεφαλῆς παραιτητέον. ὀξυμέλιτι δὲ χρηστέον θαῤῥοῦντα, κἂν εἰ καθ᾽ ἑκάστην ἡμέραν βούλοιο. δύναται δὲ ἥ τε κάππαρις δι᾽ αὐτοῦ λαμβάνεσθαι καί τινα ταρίχη τῶν μικρῶν, ἐλαίου δηλονότι παραχεομένου βραχέος, εἰς ὅσον ἡδῦναι προσήκει τὸ ὄψον. ἀλλὰ τοῦτο μὲν ὥσπερ τι φάρμακόν ἐστιν αὐτῆς τῆς διαθέσεως. καὶ μᾶλλον εἰ καὶ τὸ ὄξος ἐσκευασμένον εἴη διὰ τῶν σκιλλῶν, ὃ δὴ καλοῦσι συνήθως ἅπαντες ἤδη σκιλλητικὸν, ὅπερ ἐγὼ μὲν, εἴπερ τι καὶ ἄλλο, καὶ τούτων θάτερον ἐφ᾽ ἑκάστῃ κελεύω λαμβάνειν ἡμέρᾳ, λέγω δὲ τὴν κάππαριν ἢ τὸ τάριχος ὀξυμέλιτος ἔχον. εἰ δὲ καὶ πίνειν ἐθελήσειεν ὁ παῖς ὀξύμελι, ἔστω μὲν ἐσκευασμένον ἕτοιμον;

dummodo infigniter non fint mali fucci odoremque habeant, qui caput tenet; quorum ex genere funt quaecunque per caliditatem replent caput, quemadmodum vinum et finapi et petrofelinum et daucus et cepe et fmyrnium; haec enim ultra modum aeftuantia funt et malos humores generantia. Sinapi vero licet conveniat ad humores craffos incidendos, tamen ab eo abftinendum eft, quoniam caput tentat. In oxymelitis autem ufu fecure confidat, etiamfi quotidie fumere velit. Poteft autem cappares ex illo comeffe et parva quaedam falfamenta oleo modico fuperinfufo, ut concinnetur obfonium; quod profecto hujuscemodi affectionis veluti medicamentum quoddam reputari poteft, praecipue fi fit acetum fcillis conditum, hoc omnes vulgo jam fcilliticum vocant; quod ego fi quippam aliud in hoc cafu fane laudo; horum vero alterutrum fingulis diebus affumere contenderim, dico autem vel cappares vel falfamenta oxymelite condita. Si vero puer oxymel bibere velit, id fit in promptu

Ed. Chart. X. [492.] Ed. Baf. IV. (30.)

οὐκ αὐτοσχέδιον ἐπὶ τοῦ καιροῦ συντιθέμενον ἐξ ὠμῶν ἀμφοτέρων. ὡς δὲ χρὴ σκευάζειν αὐτὸ, γεγράψεται μετ' ὀλίγον. ὕδατι δὲ κεραννύσθω πλείονι· καὶ γὰρ καὶ ἥδιον οὕτω γένοιτ' ἄν· καὶ χειμῶνος μὲν θερμὸν λαμβανέσθω, θέρους δὲ οὐδὲν ἂν κωλύσειε καὶ ψυχρῷ χρῆσθαι πολλάκις, εἰ θάλπος γε ὑπερβάλλον εἴη καὶ δίψος σφοδρὸν καὶ ὁ λαμβάνων μὴ παντάπασιν ἀήθης πόσεως ψυχροῦ. τά τε γὰρ ἄλλα καὶ ἀδιψότατόν ἐστιν ὀξύμελι τὸ μὴ λίαν γλυκὺ καὶ μᾶλλον εἰ ὕδατι ψυχρῷ κεραννύοιτο. καί μοι πολλάκις ἤρκεσεν ἐπίληπτον παῖδα τελέως ἐξιᾶσθαι μετὰ τὴν πρώτην κάθαρσιν, οὐδὲν τῆς ἀρχαίας διαίτης μεταποιήσαντι, πλὴν τὰ περὶ τὴν δόσιν τοῦ ὀξυμέλιτος καὶ τὴν χρῆσιν τοῦ φαρμάκου. ἀλλ' ἐπεὶ μήτε γινώσκω τὴν φύσιν τοῦ παιδός σου, μήτ' εἰς ὅσον ἰσχύος ἥκει τὸ πάθος οἶδα, μήτ' αὐτὸς ἐφεστάναι μέλλω παρὼν, οὐκ ἔχω μαντεύσασθαι τίνων ἐλαχίστων τὸν ἀριθμὸν δεῖται βοηθημάτων, ἀλλ' ἄμεινον εἶναί μοι δοκεῖ περὶ πάντων ὑποτίθεσθαι. μετὰ τοίνυν τὰ γυμνάσια κατὰ τὸ ἄριστον ὀξυμέλιτί τε χρηστέον, ὡς εἴρη-

et ante praeparatum, et non ex tempore ex utrisque crudis confectum; quo autem modo ipfum praeparare oportet, paulo poft recenfebimus; caeterum plurima aqua commifceatur, nam quod fic factum eft fuavius redditur, ac hieme quidem calidum accipiatur, aeftate vero non prohibebitur etiam plerumque frigidum fumi, fi et vehementes fuerint calores, et ipfe vehementer fitiat, potuique frigido affueverit antea; nam inter alia fitim egregie fedat oxymel non valde dulce, praefertim fi aquae frigidae mifceatur. Mihique non femel contigit puerum a comitiali morbo penitus liberaffe, non immutata priftina victus ratione, quum poft primam purgationem oxymel fumere eoque uti medicamento juffiffem. Verum quoniam neque filii tui naturam novi, nefcioque quantum virium is fibi adfciverit morbus, et ipfe affiftere nequeo, divinare haudquaquam poffum, quam pauciffimis indigeat remediis, melius mihi videtur de omnibus fermonem facere. Igitur poft exercitium in prandio oxymelite,

ται, καὶ λαχάνοις τισὶν ἐλαίαις τε καὶ καρύοις καὶ σύκοις καὶ ἰσχάσιν, οὐχ ἅμα πᾶσιν ἐφ᾽ ἑκάστης ἡμέρας. ἓν γάρ που καὶ ἁπλοῦν ἔστω τὸ λαμβανόμενον, ἀλλ᾽ ὑπὲρ τοῦ ποικίλλεσθαι τὴν δίαιταν ὑπὲρ ἁπάντων διειμι. κατὰ δὲ τὸν καιρὸν τοῦτον, ὡς ἐλέγετο, καὶ τῶν ἄλλων ἀκροδρύων ἁπτέον ἐπιθυμοῦντος τοῦ παιδὸς, ἐπεὶ ἄλλως γε κάλλιον ἀπέχεσθαι μὴ ὅτι νοσήματος ἰάσεως ἕνεκεν, ἀλλὰ καὶ πρὸς τὴν ὅλην ὑγείαν, ὡς καὶ ἡμᾶς ὁρᾷς ἀπεχομένους ἁπάντων σχεδὸν τῶν ὡραίων ἐδεσμάτων. ἀλλὰ γὰρ οὐ φιλοσόφοις γράφομεν ὑποθήκας διαίτης ὑγιεινῆς, ὡς ἔμοιγε τοῦτ᾽ ἂν ἦν εὐκταιότατον, οὐκ εἰς τὴν τοῦ πάθους ἴασιν μόνον, ἀλλὰ καὶ πρὸς τὸν σύμπαντα τοῦ παιδός σου βίον. ἐπιτρεπτέον οὖν αὐτῷ προσφέρεσθαι φανερῶς τε καὶ κατὰ καιρὸν, ὅσα μὴ μεγάλας ἔχει τὰς βλάβας, ἵνα μὴ λαθραίως τε καὶ ἀκαίρως ἀπολαβὼν αὐτῶν βλάπτηται μειζόνως. καὶ γὰρ ἀθρόως καὶ πλειόνως ἐμπίπλανται τῶν ἐπιθυμουμένων οἱ φανερῶς ἐξειργόμενοι μὴ χρῆσθαι. ταῦτά τοι καὶ συγχωρῶ τοῖς παισὶν ἐγὼ πολλὰ τῶν οὐκ ἐπιτηδείων ἐδεσμάτων, ὅσα γε μὴ μεγάλως βλάπτει

ut dictum eſt, utatur, et quibusdam oleribus et olivis et nucibus et ſicubus cum ſiccis tum recentibus; verum non ſimul quotidie omnibus, unum enim ſit et ſimplex quod aſſumat; ſed ut victus ratio variari poſſit, de omnibus verba feci. Eodem etiam tempore, ut dictum eſt, ſi deſideraverit puer, alii etiam fructus concedi illi poſſunt; quum alioqui ab ipſis melius ſit abſtinere, non ſolum morbi illius curandi cauſa, ſed ad integram etiam totius valetudinis incolumitatem, quemadmodum vides nos ferme ab omnibus horariis fructibus abſtinere, Sed enim philoſophis ſalubris victus praecepta non conſcribimus, ut quod mihi perquam optandum erat non ſolum ad hujus aſſectus curationem, ſed ad univerſam pueri tui vitam. Eſt igitur illi concedendum, ut palam et tempeſtive eos comedat fructus, quicunque magni non fuerint nocumenti, ne clam et inteſtive illos comedens magis laedatur. qui enim palam ab aliqua re quam valde appetunt prohibentur, ii quum data eſt facultas plus nimio ingurgitare ſe conſueverunt. Quamobrem pueris

φανερῶς τε καὶ κατὰ καιρὸν καὶ σὺν τῷ προσήκοντι μέτρῳ προσφέρεσθαι μᾶλλον ἢ ὥστε διὰ τὴν σφοδρὰν ἐπιθυμίαν ἀκαίρως ἀναγκασθῆναι πλείω τε ἅμα καὶ λάβρως προσενέγκασθαι. τὰ μὲν δὴ κατὰ τὴν τροφὴν οὕτω διατετάχθω.

Κεφ. ε΄. [493] Μετὰ δὲ ταῦτα διαλιπόντα χρόνον ὀλίγον ἀτρέμα περιπατῆσαι κελεύω πρὶν ἐπὶ τὰ μαθήματα παραγίνεσθαι. καὶ μὲν δὴ καὶ ἀπαλλαγέντα τῶν μαθημάτων, αὖθις ἀξιῶ περιπατῆσαι πρὸ τοῦ δείπνου, κἄπειθ᾽ οὕτως τοῦ μὲν ἄρτου τὰς ὑπολοίπους δύο μοίρας προσφέρεσθαι, τῶν δ᾽ ἄλλων (31) ἕκαστον ὡς εἴρηται, κρέας μὲν ἁπάντων σχεδὸν τῶν πτηνῶν, πλὴν ὅσα λιμναῖαι. τῶν τετραπόδων δὲ μάλιστα μὲν ἁπάντων ἀπέχεσθαι· εἰ δ᾽ ἄρα ποτὲ καὶ δεήσει χρήσασθαι, τοῦ μὲν ἡμέρου συὸς τοῖς ἀκρέοις τε καὶ τῇ γαστρὶ, τοῦ δὲ ἀγρίου καὶ ταῖς σαρξὶ χρῆσθαι, γεύεσθαι δὲ καὶ τῶν ἐρίφων, ἔστι δ᾽ ὅτε καὶ τῶν λαγωῶν, ἁπάντων ἠρτυμένων ἁπλῶς ἢ ὠπτημένων ἄνευ κνίσης. τὸ δ᾽ ἁπλῶς

ego plura efculenta concedere foleo ex iis, quae non valde nocent, ut tempeftive et palam illis moderate utentur potius, quam, ut diximus, propter vehemens defiderium furtim ex his et voraciter affumere feftinent. Atque haec de cibi ratione fufficienter fint dicta.

Cap. V. Poft cibum autem ubi paululum temporis intermiferit, prinsquam ad ftudia difciplinarum accedat, leviter deambulet cenfeo; et rurfum ut id ipfum a ftudiis rediens ante coenam faciat, fane confulo; quo tempore duas reliquas panis portiones, quas refervaverat affumat, item aliorum unumquodque fic, ut dictum eft, carnes quidem ex omni fere avium genere praeter paluftres; ab omnium autem quadrupedum efu praecipue abftineat. Quod fi quando illis uti neceffitas fuerit, domeftici quidem fuis extremitatibus et ftomacho vefcatur, fylveftris vero carnibus univerfis bene uti poteft: haedorum quin etiam carnes deguftet et nonnunquam leporum etiam. *Carnes* autem omnes fint vel fimpliciter conditae, vel fine nidore affae. Simpliciter con-

ἐστὶ δι᾽ ὕδατος ἄνηθον ἔχοντος ἥδυσμα καὶ πράσον, ἔλαιόν τε καὶ ἅλας. ὡς δ᾽ ἄνευ κνίσης ὀπτηθείη κρέας καλῶς, τὸν παρ᾽ ἡμῖν ἐθεάσω κλίβανον. ὅσα δὲ θαλάττια, τὰ μὲν ὄστρεια σύμπαντα μοχθηρὰ, τῶν δ᾽ ἰχθύων οἱ πετραῖοι μὲν ἄριστοι πάντων, ἅπτεσθαι δὲ δεήσει καὶ τῶν πελαγίων. ἡ νάρκη δὲ μόνη σχεδόν τι τῶν μαλακίων ἐπιτήδειος. ὀσπρίων δὲ πτισάνη μὲν πρώτη, φακῆ δὲ καὶ χόνδρος καὶ πίσον ἐφεξῆς τῇδε, τὰ δ᾽ ἄλλα μοχθηρά. καθόλου δ᾽ εἰπεῖν ὅσα γλίσχρα καὶ παχύχυμα καὶ φυσώδη καὶ περιττωματικὰ καὶ δύσπεπτα, καθότι καὶ πρόσθεν ἐλέγετο φυλάττεσθαι πάντα. τὰ μὲν ὄστρεια καὶ τὰ σελάχη καὶ οἱ βολβοὶ καὶ κοχλίαι καὶ τυροὶ καὶ μύκητες καὶ τὰ βόεια κρέα καὶ τῶν ὠῶν τὰ κατεψηθέντα δύσπεπτα μέν ἐστι, ἀλλὰ καὶ παχεῖς ἐργάζεται τῶν ἐσθιόντων ταῦτα τοὺς χυμούς. ὁ χόνδρος δὲ καὶ τὰ χοίρεια κρέα χρηστοῦ μὲν αἵματός ἐστι γεννητικὰ, ἀλλὰ γλίσχρου. τὰ δὲ λιμναῖα πάντα περιττωματικὰ, φυσώδη τε τὰ ὄσπρια, καὶ μάλιστα κύαμοί τε

diuntur, fi aquae incoquantur, anethum, porrum, fal et oleum continenti. Quonam autem modo fine nidore recte affetur caro, clibanum, quod apud me vidifti, exemplo tibi effe poteft. Ex marino autem genere crufta intecta quidem omnia noxia. Ex pifcibus vero optimi funt petrofi; fumere etiam poterit pelagicos. Ex cartilagineo autem torpedo fere fola convenit. Ex leguminibus ptifana quidem praecipua eft; hanc fequitur lens, alica et pifum; caetera mala. Et ut universaliter dicatur, quaecunque lentum et craffum generant fuccum et flatulenta et excrementitia funt et coctu difficilia, prout ante dicebamus, maxime funt cavenda. Oftrea etiam et cartilaginea et fquamis carentia, praeterea bulbi et cochleae et cafei et fungi bovinaeque carnes et ova in aqua durata, quae difficilis funt coctionis, imo craffos his utentibus generant humores. Alica vero et carnes fuillae bonum quidem generant fanguinem, fed vifcofum. Paluftria autem omnia excrementofa funt. Legumina vero omnia flatulenta funt, et praecipue fabae et cice-

καὶ ἐρέβινθοι, καὶ ἡ πτισάνη δὲ μὴ ἀκριβῶς καθεψηθεῖσα φυσώδης ἐστὶν, ὥστε καὶ ταύτην ἕψειν ἢ μὴ χρῆσθαι. καὶ ἡ φακῆ δὲ καλῶς ἑψηθεῖσα πᾶν ἀποτίθεται τὸ φυσῶδες. ἀλλ' οὐ χρὴ πλεονάζειν ἐν αὐτῇ, παχὺν ὑποτρεφούσῃ χυμόν. εἰς μὲν δὴ τὴν ἐφήμερον δίαιταν ἱκανὰ καὶ ταῦτ' ἐστὶ παραγγέλματα.

Κεφ. στ'. Τῷ δὲ διὰ τῆς σκίλλης φαρμάκῳ τῷ πρὸς ἡμῶν σοι διδομένῳ μετὰ τὴν κάθαρσιν, ἣν εἰσβάλλοντος τοῦ ἦρος ἠξίωσα γενέσθαι, χρήσεται καθ' ἑκάστην ἡμέραν ὁ υἱός σου, πρὶν εἰς τὴν παλαίστραν ἀπιέναι, καὶ εἰ μὴ μεγάλη τις εἴη πάνυ καὶ [494] σκιῤῥώδης ἡ νόσος ἐν τεσσαράκοντα ταῖς πάσαις ἡμέραις ἐλπίζειν ἐπὶ τῷδε τῷ φαρμάκῳ τελέως αὐτὴν καταστήσασθαι, ὡς ἔγωγε μυρίους ἤδη παῖδας ἰασάμην οὕτως, μηδὲν δεηθεὶς ἐλλεβόρου. χρὴ δὲ μετὰ τὴν κάθαρσιν πρὸ τοῦ χρῆσθαι τῷ φαρμάκῳ πιεῖν ἀψίνθιον καὶ ἅπαξ που καὶ δίς. ὀξύμελι δὲ τὸ μὲν ὀξύτατον τέταρτον ἔχει μέρος τοῦ ὄξους ὡς πρὸς τὸ μέλι. παραλαμβάνει δὲ τὸ γλυκύτατον ὄγδοον. τὰ δ' ἄλλα

res; ptifanaque non diligenter cocta flatulenta eft, quamobrem bene coquere illam oportet, vel ea non uti; lens quoque bene decocta flatum omnem deponit; verum illa non affidue crebrove uti oportet, quoniam humorem generat craffum. Caeterum ad victus quotidiani rationem haec praecepta abunde fufficiunt.

Cap. VI. Medicamento autem ex fcilla, quod tibi tradidimus purgatione praemiffa, quodque primo vere fieri juffimus, fingulis diebus fecure filius tuus utatur, priusquam ad palaeftram accedat; nam nifi valde magnus fuerit morbus et contumax, fperandum fane eft quadraginta diebus hoc medicamento illum perfecte ceffaturum, ut jam innumeros nulla ellebori opera curavi. Verum poft purgationem prius quam hoc utatur medicamento femel aut bis abfinthium fumere oportet. Oxymel autem, id certe acidiffimum, quod ad mellis proportionem quartam aceti habet partem; dulciffimum vero octavam excipit: aliae autem in-

τὰ μεταξὺ μέτρα καθ᾽ ὅσον ἂν ἑκατέρῳ τῶν ἄκρων προσκεχώρηκε, κατὰ τοσοῦτον ὀξύτητος ἢ γλυκύτητος μετέχει. χρὴ δὲ καὶ ἑψεῖσθαι πάντως αὐτό· καὶ γὰρ ἑνωθείη οὕτως ἂν ἀκριβῶς ἄμφω τὰ μιχθέντα, καὶ τὸ σφοδρὸν τῆς τοῦ ὄξους δυνάμεως καθαιρεθείη καὶ τὸ φυσῶδες ἐν τῷ μέλιτι κολασθείη. καὶ γὰρ δὴ καὶ τὸν ἀφρὸν αὐτοῦ πάντως ὁ ἕψων ἀφαιρήσει. κατὰ δὲ τὴν Ἑλλάδα καὶ τὰς πλείστας τῶν νήσων οἶδα καὶ τὸ ἐκ τῶν κηρίων σκευαζομένων ὀξύμελι. καί σοι καὶ τούτῳ χρῆσθαι πάρεστιν ἀδεῶς καὶ μάλιστα θέρους, Ἀθήνησί γε διατρίβοντος τοῦ παιδός. ὁπηνίκα δὲ χρὴ γλυκύτερον ἢ ὀξύτερον αὐτὸ διδόναι καὶ ὑδαρέστερον καὶ ἀκρατέστερον, οὐκ ἐμὸν ἔτι τοῦτο διελεῖν, ὥσπερ οὐδὲ ἄλλα πολλὰ τῶν κατὰ μέρος, ἀλλὰ τοῦ παρόντος τε καὶ θεωμένου τὸ θεραπευόμενον σῶμα καὶ δυναμένου τεκμήρασθαι περὶ τῆς τῶν χυμῶν διαθέσεως. ἐπὶ μὲν γὰρ τοῖς παχέσι καὶ γλίσχροις ὀξυτέρῳ τε καὶ ἀκρατεστέρῳ χρηστέον, ἐπὶ δὲ τοῖς μὴ τοιούτοις ὑδαρεστέρῳ καὶ γλυκυτέρῳ. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τἄλλα σύμπαντα τὰ

termediae menfurae quanto ad extremorum alterutrum appropinquant, tanto aciditatis aut dulcedinis participant. Oportet autem ipfum penitus decoquere, ita enim mixta accurate in unum ambo deveniunt, et acidae facultatis vehementia, quae in aceto eft retunditur, et quod in melle flatulentum eft reprimitur: fpumam enim illius fane qui decoquit prorfus auferet. Nec me praeterea latet in Graecia et in plerisque infulis oxymel etiam ex favis confici, quo etiam tibi fecure uti licet, puero praefertim aeftivo tempore Athenis degente. Minime autem ad me pertinet declarare, quando dulcius id aut acidius vel dilutius aut meracius exhibere oportet; neque in aliis particuliaribus immorari meum eft, fed illius qui et praefens fuerit et curandum corpus quotidie infpexerit et de humorum habitu recte conjectari poterit. In craffis enim et vifcofis *humoribus* acidiori et meraciori *oxymelite* utendum eft; in iis autem qui hujusmodi non fuerint, dulciori et diluto magis. Eodem etiam modo reliqua quae dicta funt omnia, pro

εἰρημένα ταῖς ἐφημέροις τοῦ σώματος καταστάσεσι, συμμεταβάλλεσθαί τε καὶ ποικίλλεσθαι προσήκει, καθάπερ καὶ τοῖς ἄλλοις ἅπασι νοσήμασιν. ὅθεν οὐδ᾽ εἰ μυρίας τις ὑποθήκας γράφοι μή πω κατὰ τὴν θεραπευτικὴν μέθοδον ἠσκημένῳ, κἀκεῖθεν τετεχνημένῳ τὴν ψυχὴν, ἱκανὸν ἂν ἐργάσαιτο θεραπευτικὴν τὸν τοιοῦτον οὐχ ὅπως οὐ μεγίστων νοσημάτων, ἀλλ᾽ οὐδὲ τῶν σμικροτάτων οὐδενός. ἔδειξα δ᾽ ἐναργῶς αὐτὸ πολλάκις ἐγὼ καὶ ἕλκη χρόνια καὶ ὀφθαλμῶν διαθέσεις, διὰ τῶν αὐτῶν ἰασάμενος φαρμάκων, οἷς οἱ πρόσθεν ἰατροὶ χρώμενοι μηδὲν ἤνυον. ὁ γάρ τοι καιρὸς τῆς χρήσεως ἑκάστου, καθάπερ Ἱπποκράτης ἔλεγε, μέγα τὸ ποσὸν εἰς δύναμιν εὐστόχως συναρμοσθὲν, τὰ λοιπὰ τῆς ὠφελείης ἐστί. τὰ δὲ φάρμακα μᾶλλον βοηθημάτων ὕλαί εἰσιν ἢ βοηθήματα, καθάπερ καὶ τοῦτο τοῖς ἀρίστοις ἰατροῖς ἅπασιν ὡμολόγηται. καί μοι τετελεύτηκεν ὁ λόγος εἰς ταὐτὸν ὅθεν περ καὶ ἤρξατο, μηδὲ τοὐλάχιστον ἐπιδείξασθαι δύνασθαι καλῶς τὸν ἰδιώτην μεταχειρίζεσθαι, ἀλλὰ χρῄζειν ἐπιστατοῦντος τοῦ τεχνίτου. ἐπειδὴ δὲ

quotidianis corporum conftitutionibus commutare et variare convenit, quemadmodum et omnibus aliis morbis. Quapropter fi quis methodi medendi ignaro et inexperto innumera etiam praefcripferit documenta, haudquaquam illum fufficientem efficiet medicum non modo non maximorum morborum, fed ne minimorum quidem. Iftud enim ego faepenumero palam oftendi, quum inveterata ulcera malasque oculorum affectiones ad fanitatem redegiffem iisdem fane medicamentis, quibus plerique ante me ufi nihil profecerant. Et profecto temporis opportunitas in ufu cujusque, ut Hippocrati placuit, poft quantitatem ad vires accurate accommodatam reliquum utilitatis adfert; nam medicamenta potius funt auxiliorum materia quam auxilia, quemadmodum id etiam ab excellentibus afferveratur medicis. Et ut meus quidem unde exordium fumfit finem accipiat fermo, haudquaquam fieri poffe ut minimum quippiam quod ad artem pertinet pertractare valeat is, qui artis penitus fit ignarus, fed illi femper aftantis periti opus effe. Verum

οἱ πολλοὶ φαύλως τὸν χυλὸν τῆς σκίλλης ἐκλαμβάνουσιν, ἀξιώσαντί σοι μαθεῖν ὅπως ἐγὼ τοῦτο πράττω, προσθήσω τῷ λόγῳ τὴν σκευασίαν αὐτοῦ. τῶν μελιτηρῶν ἀγγείων, οὕτως δὲ ὀνομάζουσιν οἱ Ἕλληνες ἐξ ὧν ἐκενώθη μέλι, παρασκευάσας ἐμβάλλω σκίλλαν, εἰς λεπτὰ διατρίψας ταῖς χερσὶν, εἶτα πωμάσας στεγανῷ πώματι καὶ περιθεὶς ἔξωθεν ὅλῳ τῷ σώματι τοῦ ἀγγείου δέρμα καὶ δήσας ἀκριβῶς, ἐν χωρίῳ κατατίθημι πρὸς μεσημβρίαν μὲν ἐστραμμένῳ, σκεπτομένῳ δὲ ὑπὸ τῶν βορείων πνευμάτων, ὡς μηδὲ ὅλως ὑπ᾽ αὐτῶν καταπνεῖσθαι. ποιῶ δὲ τοῦτο κατ᾽ ἐκείνην τοῦ ἔτους τὴν ὥραν, ἐν ᾗ τὴν τοῦ κυνὸς ἐπιτολὴν ἅπαντες Ἕλληνες πεπιστεύκασιν. αὗται δέ εἰσιν ἡμέραι τεσσαράκοντα, πρὸ μὲν αὐτῆς τῆς ἐπιτολῆς εἴκοσι, ἴσαι δὲ αὐταῖς τὸν ἀριθμὸν αἱ μετ᾽ αὐτὴν, ἀτρέμα δέ πως ἔν τισι αὐτῶν ὑπαλλάττων τὴν θέσιν [495] τοῦ κεραμίου, θερμαίνεσθαι κατὰ πᾶν μέρος ὁμοίως αὐτὸ βουλόμενος, εἶτα μετὰ τὸν χρόνον τοῦτον λύσας, εὑρίσκω τὸ ἀγγεῖον ἑψημένῳ παραπλήσιον τὸ σῶμα τῆς σκίλλης ἔχον, ἐξεῤῥυηκότα δέ τινα καὶ χυλὸν αὐτῆς, ὃν ἀνελόμενος ἡδύνω μέλιτι

quoniam plerique fcillae fuccum male excipiunt, tibi difcere poftulanti quomodo id ego facio, fermoni ipfius confectionem adjungam. Vas accipio, a quo extractum fuerit mel, meliterium id Graeci vocant, in quo fcillam conjicio manibus prius illam in exiguas difcerpens particulas; poftea bene apto operculo illud obturans, extrinfecusque pelle circumdans et diligenter colligans in loco quopiam meridiem fpectante colloco, qui a borealibus omnino non perfletur ventis. Id autem facere foleo ea anni tempeftate, in qua caniculam exoriri omnes afleverunt Graeci: quadraginta autem hujuscemodi funt dies, viginti quidem ante, totidemque poft exortum; paulatimque in iis diebus vas illud ad folem convertere foleo, ut ex omnibus fimiliter partibus incalefcat. Transacto poftmodum praeftituto temporis fpatio, vas illud aperiens, in illo reperire foleo fcillae partes elixis fimiles, fuccumque ex illis in vafis fundo quendam defluxum, quem colligens quam optimo melle concinno. Hujus fingulis diebus cui dare voluero, cochlearis pleni menfuram praebeo,

Ed. Chart. X. [495.] Ed. Baf. IV. (31.)

καλλίστῳ καὶ δίδωμι τούτῳ καθ᾽ ἑκάστην ἡμέραν ἓν κοχλιάριον μεστὸν, τοῖς μὲν παιδίοις μικρὸν, τοῖς τελείοις δὲ μέγα. καὶ μέντοι καὶ τὸ σωματῶδες ὅλης τῆς σκίλλης κόψας ἀκριβῶς καὶ λειώσας μετὰ μέλιτος, δίδωμι κἀκ τούτου κοχλιάριον ἓν, ὡς προείρηται. δεύτερον τῇ δυνάμει τοῦτο γίνωσκε τοῦ πρόσθεν εἰρημένου. ὅσοι δὲ ἑψήσαντες ἐν ὕδατι τὴν σκίλλαν λειοῦσιν, ἐκλύουσι τὴν δύναμιν αὐτῆς, ὥσπερ ὅσοι δι᾽ ὄξους, ἰσχυρὸν μὲν σφοδρῶς ἐργάζονται τὸ φάρμακον, οὐκ ἀβλαβὲς δὲ τῶν νεύρων.

pueris quidem minoris, adultis vero majoris. Quin etiam fcillae ipfius carnes accurate contundens, illasque cum melle diffolvens et conterens, ex illis cochleare unum, ut dictum eft, praebere confuevi; quod fane quoad vires et efficaciam fecundum a praedicto locum obtinet. Caeterum quicunque fcillam in aqua elixantes illam poftea conterunt, illius procul dubio vires diffolvunt; quemadmodum, qui iftud ipfum ex aceto faciunt, medicamentum quidem validum admodum conficiunt, verum nervis non innoxium.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΑΣΕΩΣ ΚΑΙ ΔΥΝΑΜΕΩΣ ΤΩΝ ΑΠΛΩΝ ΦΑΡΜΑΚΩΝ ΒΙΒΛΙΟΝ Α.

Ed. Chart. XIII. [1.] Ed. Baſ. II. (5.)

Κεφ. α'. Τὰς τῶν ἁπλῶν φαρμάκων δυνάμεις ἀκριβῶς ἐπίστασθαι πηλίκον ὄφελός ἐστιν εἴς τε τὴν τῶν ποικίλων σύνθεσιν καὶ τὴν τῶν εὑρημένων ἤδη χρῆσιν εὔκαιρον, οὐ νῦν δέομαι δεικνύναι. τὸ μὲν γὰρ ἐν τοῖς τῆς περὶ φαρμάκων συνθέσεως ἀποδειχθήσεται, τὸ δὲ ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν. ἀλλ' ὅπερ ἐστὶν ἐφεξῆς τῆς περὶ κράσεων πραγματείας, τοῦτο ἐνταῦθα λεχθήσεται,

GALENI DE SIMPLICIVM MEDICAMENTORVM TEMPERAMENTIS AC FACVLTATIBVS LIBER I.

Cap. I. Quantum conferat ſimplicium medicamentorum facultates accurate cognoſcere tum ad variorum compoſitionem tum ad jam inventorum opportunum uſum, non opus habeo nunc oſtendere. Nam id partim in opere de medicamentorum compoſitione, partim in medendi methodo demonſtrabitur. Verum quod deinceps ad temperamentorum ſequitur tractationem, id hic dicetur; ubi vide-

πρότερόν γε διαστειλαμένων ἡμῶν τὰ σημαινόμενα τῶν λέξεων καὶ τῶν ὀνομάτων οἷς χρησόμεθα κατὰ τόνδε τὸν λόγον. φάρμακον μὲν δὴ πᾶν ὅ τί περ ἂν ἀλλοιωτικὸν ᾖ τῆς φύσεως ἡμῶν ὀνομάζομεν, ὥσπερ, οἶμαι, καὶ τροφὴν ὅ τί περ ἂν αὐξητικὸν ᾖ τῆς οὐσίας, ἄμφω γὰρ ἐν τῷ πρός τι. τὸ δὲ ἁπλοῦν φάρμακον ὠνόμασται μὲν καὶ αὐτὸ κατὰ τὴν πρὸς τὸ σύνθετον ἀντίθεσιν, ἔστι δὲ τὸ κατὰ τὴν ἑαυτοῦ φύσιν ἔχον εἰλικρινῶς. ἡ δὲ δύναμις αἰτία τίς ἐστιν δραστική. ταύτης δὲ δὴ ἡ μὲν κατ' ἐνέργειαν, ἡ δὲ ἐν τῷ μέλλειν ἐστίν. κατ' ἐνέργειαν μὲν ἡ τοῦ [2] θερμαίνειν ἐν πυρὶ καὶ τοῦ ψύχειν ἐν κρυστάλλῳ, ἐν τῷ μέλλειν δὲ ἡ τοῦ μὲν θερμαίνειν ἐν πυρέθρῳ καὶ καστορίῳ καὶ τοῖς ὁμοίοις, τοῦ δὲ ψύχειν ἐν ὑοσκυάμῳ καὶ μανδραγόρᾳ καὶ τοῖς παραπλησίοις. τὸ μὲν οὖν εἶναί τινα δύναμιν, ἔν τε τοῖς καθαρτικοῖς φαρμάκοις καθαρτικὴν καὶ τοῖς ἐμετικοῖς ἐμετικὴν καὶ τοῖς πταρμικοῖς πταρμικὴν καὶ τοῖς βηχικοῖς βηχικὴν, καὶ καθ' ἕκαστον δὴ τῶν ἄλλων ἔργων παρώνυμον τῷ γιγνομένῳ πρὸς αὐτῶν, σχεδὸν οὐδεὶς ἀμφισβητήσει. τίς δέ ἐστιν ἡ οὐσία τῆς δυνάμεως ταύ-

licet prius dictionum et vocabulorum, quibus in hoc utemur libro, fignificata definierimus. Medicamentum fane omne id dicimus, quod naturam noftram alterat; ficut, puto, et nutrimentum, quicquid fubftantiam auget; refertur enim utrunque ad aliquid. At medicamentum fimplex et ipfum per oppofitionem ad compofitum nuncupatum eft. Eft autem id quod fecundum naturam fuam fincerum eft. At facultas caufa quaedam eft effectrix. Eaque partim actu, partim in futuro eft; actu quidem ut calefaciendi in igne et refrigerandi in glacie; in futuro autem ut calefaciendi et in pyrethro et caftoreo et fimilibus; refrigerandi in alterco et mandragora et affimilibus. Sane quandam effe facultatem in purgatoriis quidem medicamentis purgatoriam, vomitoriis vomitoriam, fternutatoriis fternutatoriam, tuffiicularibus tufficulariam, et in unoquoque alio opere peragendo, quae denominetur ab eo quod ipfa efficit, fere non eft qui ambigat. At quae fit hujus facultatis effentia, quidam certe

της, ἔνιοι μὲν ἄγνωστον ὑπέλαβον, ὥσπερ οἵ τε σκεπτικοὶ φιλόσοφοι καὶ τῶν ἰατρῶν οἱ κληθέντες ἐμπειρικοί. διηνέχθησαν δὲ πρὸς ἀλλήλους καὶ οἱ γνωστὴν εἶναι φάντες. τινὲς μὲν γὰρ εἴς τε τὰ μεγέθη καὶ τὰ σχήματα καὶ τὰς θέσεις τῶν ὄγκων τε καὶ πόρων ἀναφέρουσιν, ἔνιοι δὲ εἰς θερμότητα καὶ ψυχρότητα καὶ ὑγρότητα καὶ ξηρότητα, κατὰ τὴν στοιχείωσιν ἑκάτεροι τὴν ἑαυτῶν, ὥστε καὶ ἡμεῖς διὰ τοῦ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ἐδείξαμεν συγγραμμάτων, ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ τά τε τῶν ἄλλων ἁπάντων σώματα καὶ τὰ τῶν ζώων γεγονέναι. ταύτας οὐσίας θησόμεθα τῶν δραστικῶν δυνάμεων ἔν τε τοῖς ἄλλοις ἅπασι κἀν τοῖς φαρμάκοις. οὕτω γὰρ κἀν τῷ τρίτῳ περὶ κράσεων ἐδέδεικτο· καὶ χρή γε τὸν βουλόμενον ἕπεσθαι τοῖς νῦν λεγομένοις ἐν ἐκείνῃ γεγυμνάσθαι τῇ πραγματείᾳ· καὶ γὰρ δὴ καὶ λέλεκται πάνθ' ὅσα χρὴ καθόλου περὶ φαρμάκων ἐπίστασθαι δι' ἐκείνου τοῦ συγγράμματος. καὶ νῦν μὲν οὐδὲν ἐροῦμεν ἐν ὅλῳ τῷ γένει καινότερον· ὅσα δ' ἐν ἐκείνῳ γέγραπται γενικῶς, ταῦτα ἐν τοῖσδε τοῖς ὑπομνήμασιν ἰδικῶς ἐξεργασόμεθα.

non poſſe cognoſci exiſtimarunt, quales ſunt ſceptici philoſophi et qui inter medicos vocati ſunt empirici. Sed et qui noſci poſſe arbitrantur, inter ſeſe diſſident. Quidam enim ad magnitudines et figuras et poſituras corpuſculorum ac meatuum referunt; alii ad caliditatem, frigiditatem, humiditatem ac ſiccitatem pro ſua videlicet utrique prima elementorum conſtitutione, ut et nos in libro de elementis ſecundum Hippocratem ex calido, frigido, ſicco et humido cum aliorum omnium corpora tum animantium conſtare oſtendimus; has effectricum facultatum eſſentias tum in aliis omnibus tum in medicamentis ſtatuemus. Sic autem et in tertio de temperamentis demonſtratum eſt. Ac qui volet quae nunc dicenda ſunt aſſequi, in eo tractatu ſe prius exerceat oportet; quippe quum illic quae univerſim de medicamentis noviſſe conveniat expoſita ſint. Nec hic toto utique in genere quicquam novi dicemus; verum quae illic generatim ſunt ſcripta, ea hic ſpeciatim elaborabimus.

Ed. Chart. XIII. [2.] Ed. Baf. II. (5.)

Κεφ. β'. Πρῶτον μὲν δὴ καὶ μάλιστα τὴν βάσανον τῆς κρινομένης δυνάμεως ἀπ' αὐτοῦ χρὴ ποιεῖσθαι τοῦ πράγματος, πρὸς ὃ λέγεται. οὐδὲ γὰρ εἰ ἀνθρώπῳ ψυκτικὸν τὸ κώνειον, ἤδη καὶ ψαρὶ, οὐδ' εἰ ψαρὶ ἀνθρώπων τρόφιμον, ἤδη καὶ ἀνθρώπῳ. κατὰ ταυτὰ δὲ οὐδ' εἰ καθαρτικὸς ὁ ἐλλέβορος, ἤδη καὶ ὀρτύγων, οὐδ' εἰ τρόφιμος ἐκείνοις, ἤδη καὶ ἀνθρώποις. ἐφεξῆς δὲ τὸ κατὰ συμβεβηκὸς διορίζεσθαι τοῦ πρώτως τε καὶ καθ' ἑαυτό. τὸ μὲν γὰρ ψυχρὸν ὕδωρ θέρμης ἐπανάκλησίν ποτε ποιεῖται τῷ ψύχειν τὸ δέρμα καὶ συνάγειν καὶ πυκνοῦν. ἕπεται γὰρ τούτῳ θέρμης ἐπανάκλησις, ὡς ἐν τῷ τρίτῳ περὶ κράσεων ἐδείκνυτο. τὸ δὲ αὖ θερμὸν ψύχει πολλάκις τῷ διαφορεῖν τὸν θερμαίνοντα χυμόν. εἰ γὰρ ταῦτά τις διορισάμενος ἀκριβῶς ἐπὶ τὴν ἐξέτασιν ἀφίκοιτο τῆς ζητουμένης δυνάμεως, οὐκ ἄν μοι δοκεῖ σφαλῆναι ῥᾳδίως. ἀλλὰ τὸ μὲν ἀπὸ μηδενὸς ἄλλου ποιεῖσθαι τὴν κρίσιν ἢ τοῦ πρὸς ὃ λέγεται καὶ πάνυ ῥᾴδιον, οὔτ' εἰ φθαρτικόν ἐστιν τῶν ἐντόμων ζώων τοὔλαιον, οὔτ' εἰ

Cap. II. In primis quidem ac maxime fumendum eft judicandae facultatis experimentum ab ea re, ad quam dicitur. Siquidem non protinus, fi hominem refrigeret cicuta et fturnum refrigerabit: aut fi fturnum nutriat, nutriet et hominem. Eadem ratione neque fi hominem purget veratrum, jam purgabit et coturnices; neque etiam fi hos nutrire valeat, confequens ftatim eft ut et homines. Proximum eft ut quod ex accidenti eft, diftinguatur ab eo quod primario ac per fe. Nam aqua frigida calorem quandoque revocat, cutem refrigerando contrahendoque ac condenfando; ad id enim caloris confequitur revocatio, velut in tertio de temperamentis oftendimus. Rurfum calida quoque ipfa faepenumero refrigerat, calefacientem humorem difcutiendo. Nam fi quis his ad amuffim diftinctis ad ejus quae inquiritur facultatis explorationem accefferit, haud facile mea quidem fententia falli queat. Caeterum a nullo alio defumi judicium quam ab eo ad quod dicitur, id quidem perfacile eft; non an infecta animalia oleum interimat,

λιπαρὸν ἢ γλίσχρον ἢ κοῦφον ἐπισκοποῦντας, ὁπότε ζητοῦμεν εἰ θερμαίνειν πέφυκεν, ἢ ψύχειν, ἢ ξηραίνειν, ἢ ὑγραίνειν τὸ ἀνθρώπειον σῶμα. κατὰ δὲ τὸν αὐτὸν τρόπον οὔτ' εἰ τὴν χροιὰν ἐρυθρόν ἐστιν τὸ ῥόδον, οὔτ' εἰ λευκὸν τὸ ψιμμύθιον. οὐ γὰρ ἐξ ἀνάγκης οὔτε τὸ ἐρυθρὸν θερμὸν οὔτε τὸ λευκὸν ψυχρόν ἐστιν, ἀλλ' εἰ προσφερόμενα τοῖς σώμασιν ἡμῶν ἐκθερμαίνει πρώτως καὶ καθ' ἑαυτὰ καὶ μήτε διὰ μέσου τινὸς ἑτέρου μήτε κατὰ [3] συμβεβηκὸς εἴη, κἂν οὕτω γε, θερμὰ τὴν δύναμιν, ὥσπερ εἰ καὶ ψύχει, ψυχρά. ἐπεὶ πόθεν, ὦ πρὸς θεῶν, ἔχομεν εἰπεῖν εἰ θερμόν ἐστιν τὴν δύναμιν τὸ λευκὸν πέπερι καὶ ὁ κόκκος ὁ Κνίδιος καὶ ὁ κνίκος καὶ ἡ τίτανος καὶ ὁ λευκὸς ἐλλέβορος; ἢ πόθεν ὅτι ψυχρὸς ὁ Σάμιος ἀστὴρ καὶ γῆ Σελινουσία καὶ ψιμμύθιον καὶ χιὼν καὶ γάλα; λευκὰ μὲν γὰρ τὴν χρόαν ἐστὶ σύμπαντα τὰ εἰρημένα, κατὰ μέντοι τὰς δυνάμεις αὐτῶν ἐναντιώτατα. ἔστι μὲν οὖν ἡ χιών τε καὶ ἡ τίτανος τὴν χροιὰν ὁμοιότατα, κατὰ δὲ τὰς δυνάμεις αὐτῶν ἐναντιώτατα, ἀλλὰ τὴν ἐναντίωσιν ἡ αἴσθησις κρίνει. τῆς μὲν γὰρ χιόνος προσαγομένης, εὐθύς τε κατὰ

neque an pingue, aut lentum, aut leve ſit conſiderantes, quum an calefacere, aut refrigerare, aut humectare, aut ſiccare corpus humanum valeat inquiritur: eundem in modum, neque an colore ſit rubro roſa, neque an albo ceruſſa; ſiquidem neceſſarium non eſt quicquid rubrum ſit eſſe calidum, neque quicquid album eſſe frigidum: ſed an admota corporibus noſtris primario ac per ſe calefaciant, ac neque interveniente quopiam alio neque ex accidente; ac ſi ita quidem, facultate eſſe calida, ut, ſi refrigerent, frigida. Nam, per deos, undenam dicere poſſumus an calidum ſit facultate album piper et granum Cnidium et cnicus et calx et veratrum album? aut unde quod frigidus ſit Samius aſter et terra Selinuſia et ceruſſa et nix et lac? omnia enim iſta narrata colore quidem alba ſunt, facultatibus vero maxime contraria. Sunt ergo nix et calx colore ſimillima, facultatibus autem maxime contraria; ſed repugnantiam ſenſus dijudicat. Siquidem nivem applicatam protinus ac primo

πρώτην προσβολὴν ψυχρᾶς αἰσθανόμεθα καὶ μέχρι περ ἂν ἅπτηται, ψυχούσης ἀεὶ καὶ μᾶλλον. ὁρῶμεν δὲ μήθ' ὑπομένουσαν ἔτι μήτε σωζομένην, εἰ βραχείας ἐπιλάβηται θερμότητος. ἡ δὲ τίτανος οὔτε κατὰ τὴν πρώτην προσβολὴν φαίνεται ψύχουσα, καὶ μέχρι περ ἂν ἡμῖν πλησιάζῃ, θερμαίνει σαφῶς ἀεὶ καὶ μᾶλλον. ᾧ καὶ δῆλον ὡς τῷ διαπαντὸς ἕν τι ποιεῖν, ἄχρι περ ἂν ἡμῶν ἅπτηται τὸ φάρμακον, ἡ οἰκεία αὐτοῦ δύναμις κριθήσεται.

Κεφ. γ'. Τὸ γὰρ ἀπ' ἀρχῆς ἄχρι τέλους ἔστ' ἂν ὁμιλῇ, θερμαῖνον ἀεὶ καὶ μᾶλλον, οὐ κατά τι συμβεβηκὸς, ἀλλὰ κατὰ τὴν ἑαυτοῦ φύσιν ἐστὶ τοιοῦτον. οὕτω δὲ καὶ τὸ ψῦχον ἀπ' ἀρχῆς μέχρι τέλους ψυχρόν ἐστιν κατὰ τὴν ἑαυτοῦ δύναμιν, οὐ κατὰ συμβεβηκός. εἰ δὲ μήτε ἀναμείνας χρόνον ἐξ ὑστέρου τε μετὰ τὴν πλύσιν ἐξετάσεις τὴν δύναμιν αὐτοῦ, σφαλήσῃ πολλαχόθεν. καὶ ἴσως δέ ποτε καὶ τὸ ψυχρὸν ὕδωρ οὐ ψυχρὸν μόνον ἐρεῖς τὴν δύναμιν, ἀλλὰ καὶ θερμόν. ὅτε μὲν ψῦχον φαίνεται, διὰ παντὸς, ἔστ' ἂν ἡμῖν πλησιάζῃ, ψυχρὸν, ὅτε δὲ πολλάκις ἐπανάκλησιν θερμότητος

ſtatim occurſu frigidam percipimus; et quoad tangatur, magis ſemper magisque frigefacere ſentimus; videmus autem ipſam neque durare neque ſervari poſſe, ſi vel levis calor eam occupet. At calx neque primo occurſu refrigerare percipitur, et usque dum applicata manet, perſpicuo magis ac magis calefacit. Ex quo conſtat, ex eo quod ſemper unum idemque efficiat, quoad nos contingit medicamentum, propriam ejus judicandam eſſe facultatem.

Cap. III. Etenim quod ab initio ad ſinem, usque dum applicatum eſt, magis ſemper calefacit, id non ex accidente, ſed ex ſua natura eſt tale. Sic etiam quod a principio ad ſinem usque refrigerat, ex ſua facultate eſt frigidum, non ex accidente. At ſane ſi nihil moratus atque ex poſteriore, ac poſt ablutionem facultatem ejus expendere voles, ſaepenumero falleris. Ac forte nonnunquam aquam frigidam non frigidam modo, ſed et calidam poſſidere facultatem dices; ubi videlicet frigefacere perpetuo, dum nos contigerit, apparebit frigidam; ubi vero ſaepenumero calorem

ἤνεγκεν θερμόν. οὔκουν χρὴ ταῦτα παραλιπεῖν ἀδιόριστα καὶ τῶν κρινομένων ἕκαστον φαρμάκων, ὡς κἂν τοῖς περὶ κράσεως ἐλέγετο. μηδεμιᾶς ἐπικτήτου ψύξεως ἢ θερμότητος ἔστω μετέχον, ἵνα μὴ νοθεύσῃ τὴν φυσικὴν αὐτοῦ δύναμιν ἡ ἐπίκτητος ποιότης. ἔτι τε πρὸς τούτοις, ὡς καὶ ταῦτ᾽ ἐλέ-(6)γετο, διωρίσθω σοι καὶ τροφὴ φαρμάκου καὶ μνημονευέσθω πρός τι μὲν ἄμφω λεγόμενα, πολλαχόθι δὲ περὶ μίαν οὐσίαν συνιστάμενα, καθ᾽ ὅ τι καὶ τοῦτο ἐπεδείξαμεν. οὐδὲν δὲ ἧττον ὅτι τὰ μὲν ὅλαις ταῖς οὐσίαις εἰς ἄλληλα δρᾷ καὶ πάσχει, τὰ δὲ κατὰ μίαν ἢ δύο ποιότητας· καὶ πρὸς τούτοις τὰ μὲν εἶναι λεπτομερῆ, τὰ δὲ παχυμερῆ· λεπτομερῆ μὲν ὅσα ῥᾳδίως εἰς λεπτὰ καταθραύεται, παχυμερῆ δὲ τἀναντία. ἁπλῶς δὲ εἰπεῖν ἁπάντων μεμνῆσθαι χρὴ τῶν ἐν τῷ τρίτῳ περὶ κράσεων εἰρημένων διορισμῶν, ἵνα κατ᾽ ἐκείνους ἐξετάζηται τῶν πάντων εἴδους φαρμάκων ἡ δυνάμις.

Κεφ. δ΄. [4] Ἔστω δὴ πρῶτον ἡμῖν ὕδωρ εἰς σκέψιν προβεβλημένον, ὅτι καὶ κοινότατον ἅπασιν ἀνθρώποις ἐστὶν

revocabit calidam. Quare haec indefinita relinquenda non funt. Dandaque infuper opera ut quodcunque medicamentum in judicium vocare velis, id quod in libris de temperamentis monuimus, omnis fit expers alienae tum frigiditatis tum caliditatis, ne videlicet nativam ejus facultatem adfcititia qualitas adulteret. Ad haec, quae et ipfa praecepimus, nutrimentum a medicamento diftinguito, atque ea utraque ad aliquid dici memento; tum circa eandem faepe fubftantiam confiftere, velut etiam id quod demonftravimus. Nec fecius, quod quaedam tota fubftantia in fefe mutuo et agant et patiantur, quaedam vero una duntaxat aut duabus qualitatibus. Ad haec alia itidem effe tenuia, alia craffa; tenuia quidem quae contra. Atque, ut femel dicam, omnium meminiffe diftinctionum oportet, quas in tertio de temperamentis pofuimus, ut fecundum illas medicamentorum omnium fpeciei facultas explorari valeat.

Cap. IV. Efto fane prima nobis in contemplationem propofita aqua; quod et communiffima hominibus omnibus

Ed. Chart. XIII. [4.] Ed. Baſ. II. (6.)

ὑγιαίνουσί τε καὶ νοσοῦσιν καὶ ἀναγκαιότατον εἰς τὴν ζωήν. καὶ πρῶτον μὲν εὐκράτῳ σώματι προσφερέσθω μήτε ψυχρὸν ἐπισήμως μήτε θερμόν. ἐφεξῆς δὲ καὶ τοῖς δυσκράτοις φύσει καὶ τρίτοις τοῖς κατὰ πάθος· οὕτω γὰρ ἀκριβῶς ἐπὶ πάντων ἐξετάσαιμεν ἂν αὐτοῦ τὴν οἰκείαν δύναμιν. τῷ μὲν οὖν εὐκράτῳ προσφερόμενον ἐν χρόνῳ πλείονι καταψύξει πάντως αὐτὸ, τῷ δὲ δυσκράτῳ θᾶττον μὲν τὸ ψυχρότερον ψύξει, βραδύτερον δὲ τὸ θερμότερον. ἀεὶ δὲ πάντα ψύξει, κἂν εἰ μὴ πολλαῖς ἐφεξῆς ἡμέραις, ἀλλὰ μιᾷ τις αὐτῷ χρήσαιτο ἢ πλείοσιν ὥραις· οὐδὲ γὰρ ἐπανάκλησιν ἐπ' οὐδενὸς αὐτῶν τόγε τοιοῦτον ποιήσεται θερμότητος. ἀκραιφνὲς γὰρ ψυχρὸν, εὐσάρκῳ καὶ νέᾳ φύσει σώματος ὀλιγοχρονίως ὁμιλῆσαι ἀνακαλεῖται θερμασίαν· ἄλλως δὲ χρωμένων ἀεὶ καταψύξει. καὶ μὲν δὴ κἂν εἰ τοῖς ἁπλῷ τινι νοσήματι νοσοῦσιν ἤτοι θερμῷ τὴν κρᾶσιν ἢ ψυχρῷ προσαχθείη τὸ τοιοῦτον ὕδωρ, ἐμψύξει καὶ τούτους σαφῶς· ἁπλοῦν γὰρ εἶναι χρὴ τὸ πάθος, ὡς κἀν τῷ τρίτῳ περὶ κράσεων διώριστο, χάριν τοῦ μὴ κατὰ συμβε-

ſit, tum ſanis tum aegrotis et ad vitam maxime neceſſaria. Primumque temperamento corpori admoveatur neque frigida inſigniter neque calida. Deinde et natura intemperatis. Tertio ex affectu intemperatis. Nam hoc pacto exacte in omnibus propriam ejus facultatem utique perpenderimus. Igitur temperato admota pluſculo tempore ipſum omnino refrigerabit; intemperato vero citius quidem frigidior refrigerabit, tardius vero calidior. Semper autem omnia refrigerabit, etiamſi non multis deinceps diebus, ſed vel una quis hora aut pluribus ea utatur; nec enim talis in ullo ipſorum calorem revocare poterit. Nam quae ſumme frigida eſt, ſi quadratae ac juvenili corporis naturae pauculo tempore adhibeatur, caloris molietur revocationem; ſin aliter utaris, ſemper refrigerabit. Quin etiam ſi iis quoque qui ſimplici laborant morbo, ſive calido temperatura ſive frigido ejusmodi admoveatur aqua, hos etiam manifeſto refrigerabit; nam ſimplex ſit affectio oportet, quemadmodum in tertio de temperamentis definitum eſt, quo videlicet

βηκὸς, ἀλλὰ διὰ τὴν ἑαυτοῦ φύσιν ἐμψύχειν τὸ προσαγόμενον. ἐπείτοι πολλάκις συνθέτου τῆς διαθέσεως οὔσης πρώτως μὲν ἄλλο τι γίνεται πρὸς τοῦ φαρμάκου, κατὰ συμβεβηκὸς δὲ ἄλλο, καθάπερ ἐν ταῖς φλεγμοναῖς. ἔγγονον μὲν γάρ ἐστι θερμοῦ ῥεύματος καὶ πολλοῦ τὸ πάθος. ὅσα δὲ θερμαίνει μετρίως φάρμακα κενοῦντα τὸ περιττὸν, εὐθὺς οἶμαι καὶ ψυχρότερον τὸ πεπονθὸς ἐργάζεται. ἀλλ᾽ ὅταν ἁπλῆ καὶ μία διάθεσις ᾖ τὸ κατὰ συμβεβηκὸς, ἐπ᾽ αὐτῆς οὐκ ἐγχωρεῖ γενέσθαι. οὕτω γοῦν ἐξετάζοντί σοι πανταχόθεν φανεῖται τὸ πότιμον ὕδωρ ψυχρόν. οὐ μὴν τῶν ἄλλων γε ὑδάτων τῶν αὐτοφυῶν, ὅσα δὴ θειώδη τε καὶ ἀσφαλτώδη καὶ νιτρώδη ταῖς ποιότησίν ἐστιν, ἡ αὐτὴ δύναμις· οὐδὲν γὰρ αὐτῶν ὅταν ἐπικτήτου θερμότητος ἢ ψυχρότητος χωρισθὲν προσφέρηται, ψύχειν φαίνεται. καὶ μέν γε καὶ ἡ θάλαττα καὶ αὐτὴ, πρὶν ἐπίκτητον ψύξιν ἀκραιφνῆ προσλάβῃ, οὐ πάνυ τι φαίνεται ψύχουσα. κατὰ μὲν γὰρ τὸ πότιμον ὕδωρ, εἴ τις δι᾽ ὅλης ἡμέρας ἐννήχοιτο, μὴ πάνυ ψυχρὸν ὑπάρχον, ἀλλ᾽ ὡς ἐξ ἡλίου χλιαρὸν ἐξ ἀνάγκης

quae adhibetur ex sua natura refrigeret, non ex accidente; quippe quum frequenter, ubi compositus fuerit affectus, aliud primario medicamentum efficiat, aliud ex accidente velut in phlegmone, est enim ea affectio calidae copiosaeque fluxionis soboles. At quae modice calefaciunt medicamenta, quum superfluitatem evacuant, protinus, opinor, et quod affectum est frigidius efficiunt. Verum quum simplex unaque fuerit affectio, quod ex accidende fit, in ea provenire non potest. Ergo tibi hac ratione expendenti aqua poculenta undequaque videbitur frigida. Non est tamen eadem aliarum aquarum nativarum, quae sulfur, bitumen aut nitrum qualitatibus suis referunt, facultas. Nam earum nulla, ubi alienae tum caliditatis tum frigiditatis expers adhibita fuerit, refrigerare conspicitur. Quin imo nec marinam ipsam, priusquam ascititium frigus summum acceperit, admodum refrigerare apparet. Nam si quis in poculenta aqua totum diem innatet, ut etiam non admodum sit frigida, sed velut ex sole

ψυχήσεται. θάλατταν δ' ἀλύπως ἤνεγκαν, οὐ δι' ὅλης ἡμέρας μόνον, ἀλλὰ καὶ διὰ νυκτὸς ἐνίοτε πάμπολλοι τῶν νέων. ᾧ δῆλον ὡς τὸ μὲν ὕδωρ τὸ γοῦν πότιμον καὶ γλυκὺ κατὰ τὴν ἑαυτοῦ φύσιν ἀεὶ ψυχρόν ἐστιν, ἡ θάλαττα δ' οὐχ ὁμοίως· εἰ δὲ καὶ μὴ προσθείη μέν ποτε ἐν τῷ λόγῳ τὸ πότιμον, ἀλλ' ἁπλῶς εἴποιμεν ὅσον ἐφ' ἑαυτὸ ψυχρὸν εἶναι τὸ ὕδωρ, οὐ χρὴ συκοφαντεῖν ὡς ἐλλιπῶς ἢ ἀδιορίστως εἰρηκότας. ὅ τι γὰρ ἂν ἀκριβῶς τε καὶ εἰλικρινῶς ὕδωρ ᾖ πάσης ἑτέρας οὐσίας ἄμικτον, ἐξ ἀνάγκης ἐκεῖνο ψυχρόν ἐστι κατὰ τὴν ἑαυτοῦ δύναμιν· εἰ δ' ἤτοι δι' ἀσφαλτώδους, ἢ θειώδους, ἢ νιτρώδους, ἢ στυπτηριώδους χωρίου διηθούμενον ῥύπτοιτό τι τῆς οὐσίας αὐτοῦ καὶ ἅμα ἑαυτῷ παρασύροι, μικτὸν ἤδη τὸ τοιοῦτόν ἐστι καὶ οὐκ ἀκριβῶς ὕδωρ, ὥσπερ εἰ καὶ σὺ βουληθείης αὐτὸς ἢ ἁλῶν, ἢ στυπτηρίας, ἤ τινος ἑτέρου τοιούτου μῖξαι συχνὸν ὕδατι ποτίμῳ, [5] καθάπερ καὶ ποιοῦμεν πολλάκις, ὅταν ἀποροῦντες θαλάττης ἅλμην σκευάσαι βουληθῶμεν. ἐμβάλλομεν γὰρ τηνικαῦτα τῶν ἁλῶν τῷ ὕδατι, καὶ τοσοῦτον

tepens, neceffario tamen refrigerabitur; at mare complures juvenum interdum citra noxam pertulere non per diem modo totam, fed etiam per noctem. Ex quo liquet aquam poculentam certe et dulcem fecundum naturam fuam femper effe frigidam, mare vero non aeque. Quod fi non femper in fermone adjiciam poculentam, fed dicam fimpliciter quantum ex fe eft aquam effe frigidam, haud calumniari oportebit tanquam non plene et indiftincte loquutum. Nam quae exacte ac fincere aqua eft, omnis alterius fubftantiae mixtione vacans, ea ex neceffitate fua facultate eft frigida; fi qua vero per bituminofa, fulfurofa, nitrofa aut aluminofa loca diftillans fubftantiae ejus aliquid abfterferit fecumque traxerit, mixta jam ea eft, non autem exacte aqua; velut fi ipfe quoque volueris aut falem, aut alumen, aut aliud id genus affatim aquae mifcere poculentae; ficut fane faepenumero facimus in marinae inopia, quando muriam facere volumus, tunc enim falem aquae indimus. Ac tan-

ἄρα τὸ διαλλάττον ἐστὶν τῆς δυνάμεως, ὥστε τὸ μὲν ὕδωρ αὐτὸ τὸ γλυκὺ δηλονότι, τὸ μήτε ψυχρὸν ἐπιφανῶς μήτε θερμὸν, ἀλλ' οἷον τὸ καλούμενον εἱληθερὲς, εἰ προσφέροις ἐρυσιπέλατι, βλάβην οὐδεμίαν ἐργάσῃ περὶ τὸ σῶμα τἀνθρώπου. θάλατταν δὲ ἢ ἅλμην ἤ τι τοιοῦτον ὕδωρ ἐπίμικτον, ἀσφαλτῶδες ἢ θειῶδες εἰ προσενέγκῃς, οὕτως βλάψαις τὸν ἄνθρωπον, ὡς ἐπικαῦσαι τὸ μέρος. ὕδωρ μὲν οὖν αὐτὸ καθ' ἑαυτὸ ψυχρὸν τὴν δύναμίν ἐστιν· εἰ δ' ἐπίκτητον αὐτῷ θερμότητα προσάψας ἐθέλοις καταντλεῖν ἀνθρώπου σῶμα, νομιεῖς μὲν ἴσως ἁπλοῦν τι καὶ φυσικὸν προσενηνοχέναι, τὸ δ' ἄρα σύνθετόν πώς ἐστιν, ἤτοι μοῖράν τινα τῆς οὐσίας τοῦ πυρὸς, ἢ τήν γε ποιότητα πάντως προσειληφώς. ὡς γὰρ εἰ καὶ τῶν ἁλῶν ἐμεμίχεις αὐτῷ, σύνθετον ἂν ἦν ὁμολογουμένως, οὕτω καὶ μᾶλλον ἐπειδὴ πυρὸς ἔμιξας εἴτ' οὖν ποιότητος εἴτ' οὐσίας εἰργάσω πως καὶ νῦν σύνθετον. ἔστι δὲ δήπου καὶ τὸ ἰλυῶδες ὕδωρ σύνθετον ὡς καὶ τὸ τοῦ Νείλου καὶ κατ' Αἴγυπτον, ἀλλὰ διὰ τῶν κεραμίων ἀγγείων διηθούμενον ἀκριβῶς γίνεται καθαρόν. χρὴ δὲ μὴ ἅπαξ, ἀλλὰ καὶ

tum ipſa facultate jam diſſidet, ut ſi aqua dulcis videlicet quae neque inſigniter aut calida aut frigida ſit, ſed velut ex ſole tepida eryſipelati perſundatur, noxam omnino nullam hominis corpori ſit allatura; at ſi marinam aquam, aut muriam, aut id genus aquam mixtam, bituminoſam videlicet aut ſulſuream admoveas, usque adeo hominem offenderis, ut partem ipſam ſis aduſturus. Aqua igitur ipſa ex ſeſe frigida eſt facultate. Verum ſi extraneum ſibi calorem adeptam corpori humano perſundas, putabis forſan ſimplex quoddam et naturale adhibitum medicamentum; at ea quodam utique modo compoſita eſt, aut igneae eſſentiae partem aliquam nacta, aut certe omnino ipſam qualitatem. Ut enim ſi ſalem illi miſcueris, ex confeſſo fuerit compoſita: ſic multo magis, quum igneam aut eſſentiam aut qualitatem adjeceris, compoſitam quodammodo et nunc eſſeceris. Eſt porro etiam aqua limoſa quadantenus compoſita, velut eſt aqua Nili, quae in Aegypto eſt; ſed ea per fictilia vaſa per-

δὶς ἢ τρὶς διηθεῖν αὐτὸ, καίτοι καὶ οὕτως ἴσως ἀδύνατον ἀκριβῶς ἐργάσασθαι καθαρόν· ἀλλ' ὅταν ἐκφύγῃ πᾶσαν αἴσθησιν ἡ ἐπιφερομένη τοῖς ὕδασιν ἰλὺς, ἀρκεῖ πρός γε τὴν τοιαύτην χρείαν τὰ τοιαῦτα καθαρὰ καὶ εἰλικρινῆ λέγειν ὕδατα.

Κεφ. ε'. Τρισὶ δ' αἰσθήσεσιν κρίνεται ταῦτα, γεύσει καὶ ὄψει καὶ ὀσφρήσει. γεύσει μὲν καθαρὸν, εἰ μηδεμιᾶς προσλάβοι ποιότητος, ἀλλ' ἀκριβῶς ἄποιον φαίνοιτο· τῇ δ' ὄψει καθαρὸν, ὅταν εἰλικρινὲς ᾖ καὶ διαυγὲς ἀκριβῶς. οὕτω δὲ καὶ πρὸς τὴν ὀσμὴν οὐδεμίαν ἐμφαίνειν αὐτῷ χρὴ ποιότητα, καθάπερ ἔνια τῶν ἐσχάτως μοχθηρῶν ὀξύτητος, ἢ δριμύτητος, ἢ ἅλμης, ἢ σηπεδόνος, ἤ τινος ἄλλης κακίας ἀῤῥήτου προσβάλλει. τὸ τοίνυν ἐκτὸς ἁπάντων τούτων ὕδωρ ἔστι μὲν οὐδ' αὐτὸ πρός γε τὴν φύσιν εἰλικρινὲς ἀκριβῶς, ὥσπερ οὐδ' ἄλλο τι τῶν τεττάρων στοιχείων τῶν αἰσθητῶν, ὡς μέντοι πρὸς αἴσθησίν τε καὶ χρείαν εἰλικρινὲς ὑπάρχει. τὸ γοῦν τοιοῦτόν ἐστι καὶ ψυχρὸν, ὡς εἴρηται, κατὰ τὴν ἑαυτοῦ φύσιν, ἐπεί τοι θερμήνας σφοδρῶς οὐχ ὕδωρ μόνον,

colata plane pura efficitur. Oportet autem non ſemel, ſed bis et ter percolare, quando ne ſic quidem forſan ad amuſſim puram queas efficere; verum quando, qui aquae infertur limus omnem effugerit ſenſum, ſatis tunc eſt ut queas dicere tales ut ad uſus ejusmodi puras et ſinceras eſſe aquas.

Cap. V. Judicantur autem hae tribus ſenſibus, nempe guſtu, viſu et odoratu. Guſtu pura eſt, ſi nullam offerat qualitatem, ſed ad unguem qualitatis expers appareat; viſu pura eſt, quum ſincera fuerit ac plane perlucida. Sic nec odoratu ullam prae ſe ferre qualitatem debet, ut ſunt quaedam extremae pravitatis, quae aut aciditatem, aut acrimoniam, aut ſalſedinem, aut putredinem, aut aliud abditum aliquod vitium praeferunt. Igitur aqua quae absque his eſt omnibus, ut ad naturam certe ne ipſa quidem ad amuſſim ſincera fuerit, ſicut nec aliud ullum ex quatuor elementis ſenſibilibus, ſed ut ad ſenſum et uſum ſincera eſt. Talis ergo, ut eſt dictum, ſecundum ſuam naturam frigida etiam eſt; quippe ſi valde calefactam non modo aquam, ſed

ἀλλὰ καὶ μανδραγόραν καὶ ὑοσκύαμον καὶ κώνειον καὶ μηκώνιον, οὐ μόνον ἂν ἐκθερμήναις προσφέρων, ἀλλὰ καὶ καύσειας ἀνθρώπειον σῶμα. πάντ' οὖν τὰ δοκιμαζόμενα φάρμακα πάσης ἐπικτήτου τε καὶ σφοδρᾶς θερμότητός τε καὶ ψύξεως ἐκτὸς ἔστωσαν, μὴ μόνον ὕδωρ.

Κεφ. στ'. Ὅτι δὲ ψύχει σαφῶς ἅπαν ὕδωρ γλυκὺ μάθοις ἂν κἀνθένδε. κηρωτὴν ὑγρὰν, εἰ δι' ὕδατος ψυχροῦ μαλάξας καὶ ἀναδεύσας ἐπιμελῶς ἐπι[6]θείης θερμῷ τινὶ παθήματι, παραχρῆμα καταψύξεις αὐτό. χρὴ δ' ὡς ὅτι πλεῖστον μιγνύναι τοῦ ὕδατος, γένοιτο δ' ἂν ἡ μίξις ὧδέ πως ἄριστα. καθαρὸν ὡς ἔνι μάλιστα κηρὸν ἐλαίῳ χρὴ τήξαντας ὑγρὰν ποιῆσαι κηρωτὴν, ἔπειτα ψύξαντάς τε καὶ ξύσαντας ἐν θυείᾳ μαλάττειν διὰ τῶν χειρῶν ὕδωρ ψυχρὸν παραχέοντας, εἰς ὅσον ἂν ἡ κηρωτὴ δύνηται δέχεσθαι καὶ μήπως περιῤῥέῃ τὸ ὕδωρ. ἐμψύχει τοῦτο καὶ τοὺς ἐν πυρετῷ καυσουμένους, εἰ κατὰ τῶν ὑπο(7)χονδρίων ἐπιτεθείη καὶ φλεγμονὴν ἅπασαν, ὡσαύτως ἕρπητάς τε καὶ ἄνθρακας, ἐρυσιπέλατα καὶ φύγεθλα καὶ πάντα ἁπλῶς εἰπεῖν τὰ

vel mandragoram, vel altercum, vel cicutam, vel meconium admoveris, non folum calefeceris, fed etiam ufferis corpus humanum. Omnia itaque quae examinanda venient medicamenta, omnis extraneae valentisque tum caliditatis, tum frigiditatis aliena funto, nedum aqua.

Cap. VI. At quod aqua omnis dulcis manifefte refrigeret, hinc quoque didiceris. Ceratum humidum fi ex aqua frigida fubactum accurateque madefactum calido alicui affectui imponas, protinus ipfum refrigerabis. Oportet autem quam plurimum admifcere ipfius aquae mixtioque hoc maxime modo optime perficitur. Ceram quantum fieri maxime poteft puriffimam, oleo liquantes humidum facere ceratum oportet; deinde refrigeratum ac rafum in mortario manibus fubigere, aquam affundendo frigidam quantum nimirum ceratum accipere valet, ac nondum aqua circumfluat. Id refrigerat et eos, qui in febre uruntur, fi hypochondriis fuperponatur, et omnem phlegmonem; fimiliter herpetes quoque et carbunculos, tum eryfipelata et phy-

θερμὰ νοσήματα. μὴ τοίνυν ὕδωρ γλυκὺ, ἀλλὰ καὶ θάλατταν ἢ ἅλμην αὐτῷ παραμίξας ἐφ᾽ ἑνὸς τῶν εἰρημένων οἷου βούλῃ χρήσασθαι, θεάσῃ γὰρ αὐτίκα διαφορὰν οὐ σμικρὰν, οὐ μόνον οὐκ ἐμψύχοντος ἔτι τοῦ γινομένου φαρμάκου τῶν εἰρημένων διαθέσεων οὐδεμίαν, ἀλλὰ καὶ προσεκκαίοντος. οὕτως ἄρα πολλὴ διαφορὰ τῶν ποτίμων ὑδάτων ἐστὶν πρὸς ἅλμην τε καὶ θάλατταν. οὐχ ἧττον δ᾽ ἅλμης καὶ θαλάττης τὰ θειώδη καὶ ἀσφαλτώδη, νιτρώδη καὶ χαλκάνθου καὶ μίσυος καὶ χαλκίτεως, ἤ τινος ἁπλῶς τῶν φύσει θερμῶν φαρμάκων ἐμφαίνοντος τῇ γεύσει, πολέμια πάντα ταῖς θερμαῖς τοῦ σώματος ἡμῶν διαθέσεσιν ὑπάρχει. ᾧ δῆλον ὡς ταυτὶ μὲν ἅπαντα θερμὰ ταῖς δυνάμεσίν ἐστιν. τὸ δὲ πότιμον ὕδωρ μόνον ψυχρόν.

Κεφ. ζ. Ὅτι δὲ καὶ ὑγρὸν τοῦτο μόνον τῶν εἰρημένων ὑδάτων ἀκριβῶς ἐκ τῆς αὐτῆς ἐπιγνώσῃ μεθόδου. τά τε γὰρ ἕλκη τὰ πέρα τοῦ δέοντος αὐχμώδη καὶ ξηρὰ τούτῳ τέγγων, αὐτίκα μάλα ποιήσεις ὑγρὰ καὶ πλαδαρὰ, τῶν ἄλλων ἁπάντων ὑδάτων ξηραινόντων τὰ ἕλκη, τά τε τῶν ἁλιέων

gethla, ac breviter omnes morbos calidos. Ergo fi non aquam dulcem, fed marinam aut muriam illi admifcens in uno praedictorum quovis uti volueris, non parvam omnino differentiam confpicies; quippe quum id medicamentum adeo nullam propofitarum affectionum amplius refrigerabit, ut infuper accendat potius. Adeo multa eft diverfitas inter poculentas aquas et muriam marinamque aquam; aeque autem ac muria marinaque aqua fulfurofae aquae et bituminofae et nitrofae et quae chalcanthum et mify et chalcitim, vel aliquod fimpliciter ex natura calidis medicamentis guftu referunt, inimicae funt omnes calidis corporum noftrorum affectibus. Ex quo conftat has omnes facultatibus effe calidas, folam vero aquam poculentam frigidam.

Cap. VII. Quod autem haec quoque propofitarum omnium aquarum fola fit humida, plane ex eadem difces methodo. Nam ulcera, quae fupra modum fqualllida ficcaque funt, fi hac irriges, flatim admodum humida flaccidaque reddes, quum aliae aquae univerfae ulcera deficcent; tum

Ed. Chart. XIII. [6.] Ed. Baf. II. (7.)

ξηρά τε καὶ τεταριχευμένα φαίνεται, τά τε τῶν βαλανέων ὑγρὰ καὶ πλαδαρά. κἂν εἰ βουληθείης δὲ βρέχων μότον ἐπιτιθέναι τοῖς ἕλκεσιν, ὑγρὰ μὲν ὑπὸ τοῦ ποτίμου, ξηρὰ δὲ ὑφ᾽ ἅλμης τε καὶ θαλάττης εὑρήσεις γινόμενα. τὰ μέντοι στυπτηριώδη τῶν ὑδάτων, οἷον τὰ κατὰ τὴν Ἰταλίαν Ἄλβουλα προσαγορευόμενα, καὶ τοῖς ἄλλοις μὲν ἕλκεσίν ἐστιν ἐπιτήδεια καὶ τὰ ῥευματικὰ δὲ πάντα ξηραίνει ῥᾳδίως. οὕτως ἄρα τῶν ἄλλων ὑδάτων οὐδὲν ὑγραίνειν πέφυκεν, ὅτι μηδ᾽ ὕδωρ ἐστὶν ἀκριβῶς, ἀλλ᾽ ἐπίμικτόν τε καὶ νόθον ἤτοι στυπτηρίας τε καὶ χαλκίτεως, ἢ ἁλῶν, ἤ τινος ἄλλου τοιούτου προσειληφός. ὅθεν αὐτῶν ἔνια παροξυντικὰ τῶν ἑλκῶν ἐστιν, ὅσα τε δριμέα ἱκανῶς ὑπάρχει καὶ δακνώδη. καὶ μὲν δὴ καὶ διψῶντι τὸ μὲν ὕδωρ παρηγορικὸν ἴαμα, τὰ δ᾽ ἄλλα πάντα παροξυντικὰ, καὶ τοῖς ὑδερικοῖς ἐναντιώτατον μὲν καὶ πόμα καὶ λουτρὸν τὸ ὕδωρ τὸ γλυκὺ, τὰ δ᾽ ἁλμυρώδη καὶ νιτρώδη καὶ θειώδη καὶ ἀσφαλτώδη πάντα χρηστά· καὶ μιμήσασθαι δ᾽ ἂν δύναιο, καθάπερ

piscatorum ulcera adeo videntur ficca ac fi forent falita; contra eorum qui in balneis verfantur humida apparent ac flaccida. Quin fi imbutum linamentum ulceribus imponere libeat, humida quidem a potulenta, ficca vero a muria marinaque reddi comperies. Aquae quin etiam aluminofae, quales funt in Italia vocatae Albulae, cum aliis ulceribus idonea funt, tum vero quaecunque fluxionibus tentantur, ea perfacile deficcant. Sic nec caeterarum aquarum ulla humectare poteft, quod videlicet non fit exacte aqua, fed mixta et adulterata, accepto nimirum aut alumine, aut chalcite, aut fale, aut id genus aliquo. Quocirca earum nonnullae ulcera quoque exafperant, nempe quae acres admodum funt et mordaces. Quin etiam fitienti dulcis aqua leniens remedium eft; caeterae vero acerbiorem etiam fitim relinquunt. Tum aqua inter cutem laborantibus adverfiffimum eft et poculum et lavacrum aqua dulcis: falfae vero ac nitrofae et fulfurofae bituminofaeque omnes fane perutiles. Imitari autem potes ficut marinam, fic aliarum quam-

θάλατταν, οὕτω καὶ τῶν ἄλλων ἕκαστον ἐπιμιξίᾳ τῆς οὐσίας, ἥτις ἂν ἐν ἑκάστῳ φαίνηται κρατεῖν. θεῖον μὲν γὰρ ἐμβαλὼν ὕδατι γλυκεῖ θειῶδες ὕδωρ ἐργάσῃ, στυπτηρίαν δὲ στυπτηριῶδες, καὶ τῶν ἄλλων ἕκαστον.

Κεφ. η΄. [7] Αὕτη μὲν οὖν ἡ οἰκεία φύσις τοῦ ὕδατος ὑγρά τε ἐστι καὶ ψυχρά. προσλαμβάνον δ᾽ ἐπίκτητον θερμότητα, θερμαίνει μὲν καὶ ὑγραίνει τὰ πλησιάζοντα, πλὴν οὐχ ὁμοίως ἄμφω πέφυκε δρᾷν ἅμα, ἀλλ᾽ ὑγραίνει μὲν ἄκρως, ἄν τε χλιαρὸν ἄν τ᾽ εὔκρατον ἄν τε καὶ θερμότερον ὑπάρχῃ. θερμαίνει δ᾽ οὐκ ἄκρως τό γε μὴ ζέον ἐσχάτως. ἐξεταζέσθω δ᾽ ὁ λόγος ἐπὶ τῆς εὐκράτου φύσεως πρῶτον. ἂν τοίνυν ταύτῃ προσφέρῃς ὕδωρ εὐκράτως θερμὸν, εἴτε λούων εἴτε καταντλῶν ὅ τι δή ποτε μέρος, ὑγρότερον ἀποδείξεις ἑαυτοῦ καὶ θερμότερον ἐν αὐτῷ τῷ χρόνῳ τῆς καταντλήσεως. εἰ δ᾽ ἐπὶ τούτῳ παύσαιο μὴ συναγαγὼν καὶ πιλήσας καὶ πυκνώσας τὸ σῶμα ψυχροῦ χρήσει, μικρὸν ὕστερον εὑρήσεις αὐτὸ ψυχρότερον ἑαυτοῦ γεγονέναι· ἀραιούμενον γάρ τι τὸ σῶμα ψυχρότερον γίνεται, διαπνεομένης ἀμετρότερον τῆς ἐμφύτου

libet, fubftantia videlicet admixta, quae in quaque vincere confpicitur; nam fulfure in aquam dulcem indito fulfurofam effeceris; alumine aluminofam; ac eodem modo aliarum unamquanque.

Cap. VIII. Haec ergo propria aquae natura humida eft et frigida. Adventitium autem calorem adepta calefacit quidem et humectat eos, quibus eft admota; verum haud fimiliter ambo praeftare fimul poteft; fed fumme quidem humectat, feu tepida fit, feu temperata, feu etiam calidior; fumme vero non calefacit, nifi quae extreme ferveat. Quod dico, in temperata primum exploremus natura. Igitur fi huic aquam afferas temperate calidam, five laves, five perfundas partem aliquam in ipfo quidem perfufionis tempore humidiorem fe ipfa ac calidiorem efficies. Quod fi deinde quiefces, nec corpus frigidae ufu poftea contrahes, conftipabis, ac denfabis, paulo poft fe ipfo frigidius fieri confpicies; quippe quum corpus rarefactum, tranfpi-

θερμασίας. οὐ μὴν ὥσπερ ψυχρότερον ἐς ὕστερον ἡ τοῦ θερμοῦ χρῆσις, οὕτω καὶ ξηρότερον ἀποδείκνυσι τὸ σῶμα. καίτοι καὶ τοῦτ᾽ ἂν δόξῃ γίγνεσθαι διά τε τὴν ἀραίωσιν τῶν πόρων καὶ μαλακότητα τοῦ σώματος καὶ χύσιν τῆς οὐσίας. ἀτμίζειν γὰρ ἀνάγκη πλέον ἐπὶ ταῖς τοιαύταις διαθέσεσιν. ὁ δ᾽ ἀτμὸς ὑγρόν ἐστι λελεπτυσμένον. ἀλλὰ γὰρ οὐχ ὧδ᾽ ἔχει τἀληθές. ἥ τε γὰρ μαλακότης, ἣν ἐπὶ ταῖς θερμολουσίαις ἐπικτᾶται τὰ σώματα, μόνης ὑγρότητος ἴδιον καὶ ἀχώριστον σημεῖον ἐν ζώου σώματι, καθάπερ ἐν τοῖς περὶ κράσεων ἐδείξαμεν, ἥ τ᾽ ἐν τοῖς ἡλκωμένοις μορίοις σὰρξ ἐναργῶς τὸ τοιοῦτον ἐμφαίνει, πλαδαρὰ καὶ βρυώδης ἐπὶ ταύταις ταῖς δι᾽ ὕδατος θερμοῦ καταντλήσεσιν ἀποτελουμένη. κενοῦται μέντοι τὸ σῶμα κατὰ τὰς τοιαύτας διαθέσεις, ὡς ἔλαττον ἴσχειν ὑγρότητος ἐν ἑαυτῷ νῦν ἢ πρόσθεν. καὶ συγγνοίη τις ἂν τοῖς οἰομένοις ἐπί τε ταῖς θερμολουσίαις καὶ ταῖς καταντλήσεσι τοῦ συμμέτρου θερμοῦ ξηραίνεσθαι τὸ σῶμα. παραπλήσιον γάρ τι σφάλλονται τοῖς ὑπολαμβάνουσι τοὺς γέρον-

rante immoderatius calore nativo, frigidius efficiatur. Non tamen ficut frigidius poftea calidae ufus, ita et ficcius corpus efficit; quanquam profecto videri id poffit, tum ob meatuum raritatem, tum ob corporis mollitiem, tum ob fubftantiae fufionem; plufculum fiquidem in his affectibus evaporetur neceffe eft; atqui vapor humor eft extenuatus. Verum non ita habet rei veritas. Nam mollities quam calidae aquae lotionibus acquirunt corpora, folius humiditatis proprium ac infeperabile fignum eft, in animantis videlicet corpore, velut in opere de temperamentis eft demonftratum. Sane ulceratarum partium caro id ipfum perfpicuo oftendit, ut quae in iftis ex aqua calida perfufionibus flaccida atque algae ritu fluida efficitur; quanquam fane corpus illiusmodi affectionibus inanitur, ut minus tunc in fefe habeat humoris quam antea. Viderique venia digni poffunt qui per calidas lotiones atque aquae moderate calidae perfufiones ficcari corpus exiftimant; nam fimilis horum eft error atque illorum qui credunt fenes adolefcentibus effe

τας τῶν νεανίσκων ὑγροτέρους εἶναι. περιττώματα μὲν γὰρ ὑγρὰ πλείω τοῖς γέρουσιν, αὐτὰ δὲ τὰ πεφυκότα καὶ ὀργανικὰ μόρια τοῖς νεανίσκοις ὑγρότερα, καθ᾽ ὅ τι δέδεικται καὶ διὰ τοῦ δευτέρου περὶ κράσεων. οὕτω δὲ κἀπὶ τῶν καταιονήσεών τε καὶ λουτρῶν ἔχει καὶ πάσης ἁπλῶς τῆς δι᾽ ὕδατος θερμοῦ τέγξεως. αἱ μὲν γὰρ ἐν τοῖς ἀγγείοις καὶ ταῖς ἄλλαις χώραις ταῖς κεναῖς ὑγρότητες ἐκκενοῦνται πᾶσαι, τὰ σώματα δ᾽ αὐτὰ τῶν ἀγγείων καὶ σύμπαν τὸ σαρκῶδες γένος ὑγρότερον ἑαυτοῦ γίνεται. καὶ ταύτην μόνην, ὡς ἔοικεν, οὐδέποτε ἀποβάλλει τὴν δύναμιν τὸ ὕδωρ τὸ γλυκὺ δηλονότι. οὐδὲ γὰρ ὅταν ζέον κατακαίσῃ τὰ σώματα, ξηρὰ τὰ καυθέντα γίνεται, ὡς ἐν τοῖς ὑπὸ πυρὸς ὀπτηθεῖσιν. ὡσαύτως οὐδ᾽ ἐπειδὰν ἄκρως ψυχρὸν γενόμενον δι᾽ ὅλης ἡμέρας ἢ καὶ πλείονι χρόνῳ καταντλῆταί τινος μορίου, ξηρότερον ἀπεργάζεται τοῦτο, καίτοι ῥυσσόν γε φαίνεται καὶ πάνυ μικρόν. ἀλλὰ ταῦτα μὲν αὐτῷ διὰ τὸ κεκενῶσθαι τὴν ἐκ τῶν ἀγγείων τε καὶ τῶν ἄλλων [8] χωρίων ὑγρότητα συμβαίνει, τὰ πεφυκότα δ᾽ αὐτὰ καὶ οὐδὲν ἑαυτῶν γίνεται ξηρότερα. καὶ χρὴ

humidiores. Pluribus namque ſenes excrementis humidis redundant, ſed genuinae organicaeque partes adoleſcentibus magis ſunt humidae; ut id quoque in ſecundo de temperamentis monſtravimus. Perinde ſe res habet in perfuſionibus ac lavacris omnique adeo ex aqua calida irrigatione. Siquidem humores qui in vaſis aliisque inanibus ſpatiis ſunt exhauriuntur omnes, at ipſa vaſorum corpora et univerſum genus carnoſum ſe ipſo ſit humidius. Atque hanc ſolam facultatem, ut conſentaneum eſt, nunquam aqua dulcis deponit. Neque enim quum fervens corpora exurit, quae uſta redduntur ſicca, uti quae ab igne ſunt aſſa: rurſum nec quum ſummam adepta frigiditatem per diem totum, aut etiam longiori tempore parti cuipiam perſunditur, eam ſicciorem efficit, tametſi rugoſa atque admodum exilis relinquitur. Verum haec eveniunt, quod qui in vaſis aliisque ſpatiis eſt humor, exhauſtus ſit: at partes genuinae ſolidaeque, nulla ſua parte ſicciores evadunt. Hujusque ſemper meminiſſe oportet; tum toto ſermone perpetuo obſervan-

μεμνῆσθαι καὶ τούτου καὶ παρ᾽ ὅλον ἀεὶ φυλάττειν τὸν λόγον, ὡς ἔκ τε τῶν ἐναργῶς φαινομένων συλλογίζεσθαι τὴν δύναμιν ἑκάστου τῶν φαρμάκων, ἀεί τε πρὸς ὃ λέγεται θερμὸν ἢ ψυχρὸν ἢ ὑγρὸν ἢ ξηρὸν εἶναι, πρὸς τοῦτο δοκιμάζειν.

Κεφ. θ΄. Ἐξ ἐπιμέτρου δ᾽ εἰ βούλοιτό τις ἀπὸ τῶν ἔξωθεν ἐπάγειν τὰς πίστεις, οὐ κωλύω μὲν οὐδὲ τοῦτο, προσέχειν δ᾽ ἀκριβῶς τὸν νοῦν αὐτῷ συμβουλεύω. παραλογισμοὺς γὰρ ἴσχει συχνούς· ἀλλὰ τούτους μὲν ἐν τοῖς ἐφεξῆς ἐρῶ. ὃ δὲ μόνον ἄν τις ἀπὸ τῶν ἔξωθεν εἰς πίστιν τοῦ θερμαίνειν ἢ ψύχειν τὸ κρινόμενον φάρμακον λαμβάνοι, τὸ κατὰ τὴν τοῦ πυρὸς ὁμιλίαν ἐστίν. οὐ γὰρ ἄπο τρόπου τὸ ῥαδίως ἐκπυρούμενον ὑπολαμβάνειν θερμὸν εἶναι δυνάμει. μεμνήμεθα γὰρ, οἶμαι, τῶν τοῦ δυνάμει σημαινομένων ἁπάντων ἐν τῷ τρίτῳ περὶ κράσεων διῃρημένων. ἓν οὖν ἐξ αὐτῶν ἦν καὶ τὸ κατὰ τὴν οἰκείαν ὕλην τοῦ λεγομένου, τόδε τι κατὰ δύναμιν ὑπάρχειν. εἰ δέ τι ῥαδίως εἰς πῦρ μεταβάλλοι, δυνάμει τοῦτο πῦρ ἐστιν, οὐκ ἐνεργείᾳ δηλονότι. τουτὶ

dum, ex evidenter apparentibus colligendam cujusque medicamenti facultatem; ac femper, ad quod quid dicitur calidum, frigidum, humidum, aut ficcum, ad id effe aeftimandum.

Cap. IX. Porro fi quis velit ex fuperabundanti a rebus externis probationes ducere, ne id quidem prohibeo: verum animum diligenter advertat confulo. Nam multos obtinet paralogismos. Sed hos in confequentibus edifferam. Caeterum quod folum quis ab externis rebus fumpferit, ut id quod judicium fubit medicamentum aut calefacere, aut refrigerare probet, id in ignis commercio contactuque confpicitur. Neque enim usque adeo abfurdum eft, quod facile in ignem vertitur, id calidum facultate putare. Memoria enim, opinor, tenemus omnia hujus vocis facultate fignificata, quae in tertio de temperamentis definivimus. Unum igitur ex iis erat et id quod ex propria ejus, quod dicitur, materia tale eft facultate; fi quid enim facile in ignem vertitur, id facultate eft ignis, non actu fcilicet.

μὲν γὰρ τὸ δυνάμει τῷ κατ' ἐνέργειαν ἀντιδιαιρεῖται, θάτερον δὲ τὸ καθ' αὑτὸ τῷ κατὰ συμβεβηκός. ἐν τούτῳ τοίνυν τῷ τρόπῳ τῆς κρίσεως ἐπισκέπτεσθαί τε καὶ διορίζεσθαι προσήκει.

Κεφ. ί. Μεταβαίνειν δ' ἀσφαλῶς βουλόμενον ἀπὸ τῶν ἔξωθεν ἐπὶ τὰ τῶν ζώων σώματα σκοπεῖσθαι πρῶτον μὲν εἰ λεπτομερές ἐστιν, ἢ παχυμερὲς τὸ δοκιμαζόμενον φάρμακον, δεύτερον δὲ εἰ συνεχὲς αὑτῷ καὶ πυκνὸν ὅλον, ἢ διαλείμματ' ἔχον καὶ ἀραιόν. καὶ διὰ (8) τοῦτο χρὴ πλείονα καὶ περὶ τούτου ποιήσασθαι λόγον. ἀρχὴ γάρ τις ἔοικεν εἶναι καὶ αὐτὸ καὶ οἷον στοιχεῖόν τι παμπόλλης θεωρίας δεόμενον.

Κεφ. ιά. Φαίνεται τοίνυν οὐδὲν τῶν ὁμολογουμένων θερμῶν ταῖς δυνάμεσιν ἡμᾶς θερμαῖνον, πρὶν εἰς λεπτὰ καταθραυσθῆναι. πέπερι οὖν ἁδρομερὲς εἴ τις ἐπιπάττοι τῷ δέρματι, θερμότητος οὐκ ἂν οὐδεμιᾶς αἴσθοιτο. κατὰ ταὐτὰ δὲ κἂν εἰ κατὰ γλώττης ἐπιθείη, κἂν εἰ καταπίοι, κἂν ὁπωσοῦν ἄλλως ἁδρομερεῖ χρήσαιτο, μὴ λειώσας ἀκριβῶς καὶ διασήσας καὶ πάνυ λειώσας, ὡς χνοῶδες γενέσθαι. τὸ μὲν γὰρ ὡς

Nam hoc quod eſt facultate, ex adverſo ei dividitur quod eſt actu; alterum vero quod eſt per ſe, ei quod eſt ex accidente. Hanc ergo judicii rationem conſiderare ac diſtinguere convenit.

Cap. X. At quibus conſilium eſt tuto a rebus extraneis ad corpora tranſire animalium, videre primum debent an tenuis ſit eſſentiae an craſſae, quod explorandum venit. Secundo an ſibi continuum denſumque ac ſolidum, an intervallis interceptum ac rarum. Quocirca his immorandum prolixius eſt; videtur enim id quoddam eſſe principium ac velut elementum multam conſiderationem poſtulans.

Cap. XI. Igitur eorum quae in confeſſo eſt facultate eſſe calida, nullum omnino apparet nos calefacere priusquam in tenuia ſit comminutum. Nam ſi quis piper ſolidum cuti inſpergat, nullam plane caliditatem percipiat; eadem ratione ſi quis vel linguae imponat, aut deglutiat, aut alio pacto utatur integro, haudquaquam diligenter trito et cribrato, ac non adeo comminuto ut pollinem tenuitate

Ed. Chart. XIII. [8. 9.] Ed. Baf. II. (8.)
χνοῦς λεπτὸν κατὰ τοῦ δέρματος ἐπιπαττόμενον θερμαίνει, καὶ μᾶλλον, εἰ ἀνατρίψαις αὐτὸ καὶ κατὰ τὴν [9] γλῶτταν ἐπιβαλλόμενον καὶ εἰς τὴν γαστέρα καταπινόμενον· ὁλοσχερὲς δὲ καὶ ἁδρομερὲς ἐπιτιθέμενον οὔτε δέρμα θερμαίνει καὶ τῇ γλώττῃ καὶ τῇ γαστρὶ βραχεῖαν θερμότητος αἴσθησιν ἐπιφέρει. ἐπεὶ τοίνυν λεπτομερὲς μὲν καλεῖται τὸ ῥᾳδίως εἰς λεπτὰ καταθραυόμενον, ἁδρομερὲς δὲ τὸ ἐναντίον, ὑπάρχει δὲ τοῖς μὲν σκληροῖς καὶ γλίσχροις ἢ μόγις καὶ χαλεπῶς ἢ οὐδ' ὅλως εἰς λεπτὰ καταθραύεσθαι, τοῖς δὲ κραύροις καὶ μαλακοῖς ἄνευ γλισχρότητος ἑτοίμως εἰς λεπτότατα λύεσθαι, πρόδηλον, οἶμαι, τοὐντεῦθεν ὡς πολλὰ δυνάμει μέν ἐστι θερμὰ καὶ ῥᾳδίως ἐκπυροῦται, θερμαίνει δὲ οὐ ῥᾳδίως ἡμᾶς. τὸ μὲν γὰρ πῦρ ἁπάντων λεπτομερέστατόν τε ἅμα καὶ θερμότατον ὑπάρχον εἴς τε τὸ βάθος αὐτὸ διικνεῖται ῥᾳδίως καὶ καταθραύει καὶ λεπτύνει καὶ μεταβάλλει καὶ νικᾷ καὶ πρὸς τὴν ἑαυτοῦ μεθίστησι φύσιν, ὁμιλοῦν πάντῃ καὶ κρατοῦν τοῦ πλησιάζοντος, ἡ δ' ἡμετέρα θερμασία πρὸς τῷ παχυμερὴς εἶναι καὶ ἀτμώδης ἔτι καὶ ἀσθενής ἐστιν, ὡς μὴ ῥᾳδίως

referat. Nam quod pollinis inftar tenue cuti infpergitur, calefacit, ac maxime fi affricueris; praeterea quod linguae admotum fuerit, aut in ventrem devoratum, aut quod folidum integrumque imponitur, nec cutem calefacit et linguae ventrique exiguum duntaxat caliditatis fenfum movet. Itaque quum tenuium effe partium dicantur quae facile in tenues partes comminuuntur, craffarum vero partium quae contra; tum dura vifcofaque aegre ac difficile aut omnino in tenues comminui non poffint; friabilia vero et quae citra lentorem mollia funt, prompte in tenuiffimas folvantur; hinc conftare arbitror multa effe facultate calida ac facile accendi, verum nos haud facile calefacere. Nam ignis, ut qui omnium eft tenuiffimus fimulque calidiffimus et in profundum facile penetrat et comminuit et extenuat vincitque et transmutat atque in fuam denique naturam convertit, undequaque fcilicet fimile reddens, atque exuperans id quod contingit. At noftra caliditas fupra quam quod craffae fit effentiae et halituofa infuper infirma eft, ut non facile mutet

Ed. Chart. XIII. [9.] Ed. Baſ. II. (8.)

μεταβάλλειν τὸ πλησιάζον. ἐδείχθη δὲ ἐν τῷ τρίτῳ περὶ κράσεων, οὗ χωρὶς ἕπεσθαι τοῖς ἐν τῷδε λεγομένοις ἀδύνατον, ὡς οὐδὲν τῶν θερμαίνειν ἡμᾶς φαινομένων ὁμοίως τῷ πυρὶ θερμαίνειν πέφυκεν, ἀλλ᾽ ὡς εὐέξαπτος ὕλη. τὴν γὰρ ἀρχὴν τῆς μεταβολῆς ἐκ τῆς ἐν ἡμῖν θερμότητος λαμβάνοντα, καθάπερ οἱ ξηροὶ κάλαμοι παρὰ τοῦ πυρὸς ἀντιθερμαίνει τε ἡμᾶς καὶ οἷον μόρια ἄττα τῆς ἐμφύτου γίνεται θερμασίας, ὡς ἐκεῖνοι τοῦ πυρός. ὃ γὰρ ἦν πρότερον κάλαμος, τοῦτο νῦν γίνεται πῦρ, ὥστε καὶ τὴν οὐσίαν ὅλην αὐξάνειν τοῦ μεταβάλλοντος αὐτὸ πυρός. ἐδείχθη δὲ καὶ ὡς ἔνια βραχείας μεταβολῆς ἔξωθεν τυχόντα κατὰ τὴν ἑαυτῶν ἤδη φύσιν ἐπὶ πλεῖστον ἀλλοιώσεως προέρχεται. ὥστ᾽ οὐδὲν θαυμαστὸν, εἰ τὴν μὲν ἀρχήν τι τῶν φαρμάκων τῆς πρώτης μεταβολῆς ἐκ τῆς ἐν ἡμῖν ἴσχει θερμασίας, ἐπὶ πλέον δ᾽ ἐντεῦθεν καὶ αὐτοῦ τοῦ μεταβάλλοντος προέρχεται. ἡ γὰρ ἰδιότης ἑκάστου τῶν σωμάτων ἡ μὲν εὐφυὴς, ἡ δὲ ἀφυὴς εἰς θερμασίαν ὑπάρχουσα ταῖς ἴσαις ἀρχαῖς οὐκ ἴσην τὴν αὔξησιν ἑπομένην ἴσχει.

quod contingit. Oſtenſum eſt autem in tertio de temperamentis, quo ſine quae hic dicuntur aſſequi eſt impoſſibile, nullum eorum quae nos calefacere apparent perinde ut ignem poſſe calefacere, verum ut materiam accendi facilem, ſiquidem mutationis principium a noſtra caliditate accipientia, ut calami aridi ab igne, nos contra recalefaciunt et velut partes fiunt quaedam caloris nativi, ſicut illi ignis: nam quod prius erat calamus, id nunc fit ignis, ut mutantis ipſum ignis eſſentiam totam adaugeat. Monſtravimus autem quaedam, ubi vel levem fuerunt mutationem extrinſecus adepta, ſecundum naturam deinde ſuam ad plurimam mutationem procedere. Quamobrem mirandum non eſt, ſi quaedam medicamenta primae quidem mutationis principium a noſtro calore nacta, inde jam pergant eum quoque qui mutabat ſuperare. Nam quum corporis cujusque proprietas alia habilis ſit ad ſuſcipiendum calorem, alia inhabilis, ſit ut paria principia non ſequatur par incrementum.

Κεφ. ιβ'. Καὶ μὴν ὅτι γε τὸ μὲν σμικρὸν πάνυ σῶμα ῥαδίως ἀλλοιοῦταί τε καὶ μεταβάλλεται πρὸς τοῦ πλησιάζοντος, τὸ δὲ μεῖζον ἐν χρόνῳ τε καὶ μόλις αἰσθητὴν ἴσχει τὴν ἀλλοίωσιν, οὐ τοῖς φυσικοῖς μόνοις ἀνδράσιν ἀποδεδειγμένον, ἀλλὰ καὶ πρὸς ἁπάντων ἀνθρώπων ἐξ αὐτῆς τῆς τοῦ γινομένου πείρας πεπιστευμένον, ἱκανῶς μαρτυρεῖ τοῖς νῦν λεγομένοις. εἰ γὰρ τὰ τοῦ πεπέρεως μόρια δεῖται ἀρχήν τινα μεταβολῆς λαβεῖν ἐξ ἡμῶν, λαμβάνειν δὲ ῥᾷον ὅσωπερ ἂν ᾖ σμικρότερα, θαυμαστὸν οὐδὲν, εἰ θᾶττον αὐτῶν αἰσθανόμεθα θερμαινόντων, ὅσωπερ ἂν ἐπιμελέστερον εἰς ἐλάχιστα καταθραύσωμεν.

Κεφ. ιγ'. [10] Ἀλλὰ μὴν ὅτι γε τὸ μὲν ἐκτὸς πέρας τοῦ δέρματος καὶ τυλῶδές ἐστι καὶ σκληρὸν καὶ ψυχρὸν, τὸ δ' ὑπ' αὐτὸ βάθος ἅπαν, ὅσωπερ ἂν εἴσω προερχώμεθα, τοσούτῳ θερμότερον, οὐδεὶς ἀμφισβητεῖ. προσθεὶς δὴ τούτῳ τῷ λόγῳ δύο ἑτέρας ἀρχὰς, ἐν ἄλλαις ἡμῖν πραγματείαις ἀποδεδειγμένας, οὕτως ἤδη συλλογίζεσθαι δυνήσῃ τὸ πᾶν. ἡ μὲν ἑτέρα τῶν εἰς τὴν ἀπόδειξιν ἀρχῶν, ἢ λημμάτων, ἢ

Cap. XII. Quin etiam quod corpus admodum exile facilius alteratur mutaturque ab eo cui admotum eſt, quod autem grandius eſt, non niſi temporis ſpatio ac vix tandem etiam ſenſibilem alterationem ſuſtinet, id quum non modo a phyſicis naturam ſcrutantibus ſit demonſtratum, ſed cuivis etiam homini rei ipſius experientia notum, ſatis magnum adfert teſtimonium iis quae modo dicebamus. Quippe ſi piperis particulae a nobis accipere debent mutationis initium, eoque accipiant facilius quo fuerint minutiores, mirandum non eſt, ſi eas tanto citius calefacere experiamur quanto accuratius in minimas fuerint comminutae.

Cap. XIII. Quin etiam quod extima cutis ſuperficies calloſa ſit duraque et frigida, tum quod ſub ea eſt totum quanto profundius ſubeas, tanto eſt calidius, nemo ambigit. Huic ſane rationi, ſi duo etiam principia in aliis a nobis tractationibus demonſtrata adjecero, ita denique univerſum poſſis colligere. Alterum quidem ad demonſtrationem prin-

ἀξιωμάτων, ἢ προτάσεων, ἢ ὅπως ἂν ἐθελήσῃς ὀνομάζειν, ἐν τοῖς περὶ κράσεων ὑπομνήμασιν ἀποδέδεικται, συνεχὲς μὲν ἑαυτῷ τὸ πᾶν εἶναι δέρμα κατὰ τὴν ἐξ ἀρχῆς γένεσιν, ἐν χρόνῳ δὲ κατατιτρᾶσθαί τε καί πόρους ἔχειν παμπόλλους ὁμοίως τοῖς κοσκίνοις. ἡ δ᾽ ἑτέρα τῶν εἰς τὸν συλλογισμὸν χρησίμων προτάσεων ἐστὶ τὸ ἔκπνουν εἶναι καὶ εἴσπνουν τὸ σῶμα πᾶν, ὡς Ἱπποκράτης ἔλεγεν. εἴρηται δὲ καὶ περὶ ταύτης ἐπιπλέον ἐν τῷ περὶ χρείας σφυγμῶν, ἐπιδεικνύντων ἡμῶν ὡς, ἐπειδὰν εἰς ἑαυτὰς ἕλκωσιν αἱ ἀρτηρίαι διαστελλόμεναι πανταχόθεν καὶ διὰ πάντων ἐπισπώμεναι τῶν πόρων, οὐκ ἀέρα μόνον ἢ ἀτμὸν ἕλκουσιν, ἀλλὰ καὶ πᾶν ὅ τι ἂν εὐελκτόν τε καὶ λεπτομερὲς ὑπάρχον τῇ ῥύμῃ τῆς πνευματικῆς οὐσίας ἑτοίμως ἕπεται. τούτων οὕτως ἐχόντων πολλαὶ φλέβες καὶ ἀρτηρίαι ἀναστομοῦνται εἴς τε τοὺς πόρους τοῦ δέρματος καὶ εἰς τὴν ἐντὸς αὐτοῦ ἐπιφάνειαν, εἴς τε τὰς τῶν πόρων κατατρήσεις οὐκ ὀλίγα στόματα διήκειν ἀρτηριῶν τε καὶ φλεβῶν ὑποληπτέον. οὐχ ἧττόν τε πρὸς τὴν ἐκτὸς ἐπιφάνειαν ὡς περαίνειν τοῖς στόμασιν. ὅσον δὲ ἀκριβῶς χνοῦς

cipiorum, five lemmatum, five axiomatum, five propofitionum, five utcunque nuncupare libebit, in commentariis de temperamentis demonftratum eft, cutem videlicet omnem in primo ftatim ortu fibi effe continuam; at temporis fpatio perforari, ac plurima nancifci fpiramenta ritu cribrorum. Alterum utilium ad ratiocinationem propofitionum eft, corpus univerfum expirabile effe ac infpirabile, ut inquit Hippocrates. Fufius autem de hac dictum eft in libro de ufu pulfuum, ubi demonftravimus arterias, ubi fe dilatantes undequaque et per omnes meatus attrahunt, non aërem modo halitumque attrahere, fed quicquid etiam trahi facile ac tenue fit, ad fpiritalis effentiae impetum expedite confequi. Quibus fic fe habentibus multae venae arteriaeque aperiuntur in cutis meatus et in ipfius fuperficiem internam: ac in meatuum perforationes haud pauca pervenire venarum arteriarumque ofcula exiftimandum eft, nihiloque fecius ad extimam fuperficiem, ita ut ipfae ofculis ibi finiant ac terminentur. Tum quicquid piperis ad exactiffi-

ἐγένετο τοῦ πεπέρεως, ἐπισπᾶσθαι τὰς ἀρτηρίας ἅμα τῷ πέριξ ἀέρι, εὐθὺς δὲ καὶ τοῦτο καὶ μεταβάλλεσθαι ὑπὸ τῆς ἐμφύτου θερμότητος, διά τε σμικρότητα καὶ σύμφυτον ἐπιτηδειότητα, πρὸς τὴν ὑπὸ τῆς θερμασίας ἀλλοίωσιν. οὐ γὰρ ἄλλο γέ τι ἦν αὐτῷ τῷ θερμῷ κατὰ δύναμιν ὑπάρχειν, ἔξω τοῦ πεφυκέναι θερμαίνεσθαι ῥᾳδίως. εἰ δ' ἅπαξ ὑπάρξει τοῦτο αὐτῷ, θαυμαστὸν οὐδέν ἐστι πάντη τοῦ σώματος ἐν τῷ χρόνῳ φερόμενον ἀντιθερμαίνειν αὐτὸ, καὶ διὰ τοῦτο πρῶτα μὲν καὶ μάλιστα πρὸς τῶν τοιούτων φαρμάκων θερμαίνεσθαι τὰ πρώτως ψαύσαντα μόρια, δεύτερα δὲ τὰ τούτοις συνεχῆ καὶ οὕτως ἐφεξῆς ἤδη τρίτα τε καὶ τέταρτα κατὰ τὴν τῆς θέσεως ἐγγύτητα συνεκθερμαίνεσθαι τῷ πρώτως θερμανθέντι. ταῦτα ἐπιστημονικὴν μὲν ἔχει τὴν ἀπόδειξιν, οὐ μὴν πιστήν γε τοῖς ἀγυμνάστοις περὶ τὰ πρῶτα. χρὴ γὰρ κἂν τοῖς περὶ στοιχείων λογισμοῖς γεγυμνάσθαι, κἂν τοῖς περὶ κράσεών τε καὶ περὶ χρείας σφυγμῶν ὑπομνήμασιν καὶ πρὸ τούτων ἁπάντων ἐν ταῖς ἀποδεικτικαῖς ἠσκῆσθαι μεθόδοις. ὀλίγοι μέν εἰσιν οἱ διὰ πάντων ἰέναι δυνάμενοι.

mum redactum fuerit pollinem, fimul cum ambiente aëre ab arteriis attrahi, ipfumque protinus a calore nativo transmutari, idque tum ob parvitatem tum ob ingenitam ut a calore alteretur aptitudinem; fiquidem haud aliud illi erat facultate effe calido, quam facile poffe incalefcere. Quod fi femel id illi infit, mirum non eft per omne corpus tempore perlatum, ipfum recalefacere: ac proinde primum maximeque ab id genus medicamentis incalefcere partes, quas primum contigerit: deinde quae his funt proximae et continentes; ac fic deinceps jam tertio quartoque loco, pro fitus videlicet vicinitate, cum iis quae primo incaluerant incalefcere. Haec fcientifica conftant demonftratione, non tamen iis fatis credibili, qui in primis non fuerint exercitati. Oportet enim in iis quae de elementis funt ratiocinationibus effe verfatum, atque in commentariis de temperamentis et ufu pulfuum et ante haec omnia in demonftrandi methodis peritum. Sane paucis datum eft omnia percurrere. Verum his quidem fuffecerit, mea fententia, in evi-

πλὴν καὶ τούτοις ἀρκέσει, κατά γε τὴν ἐμὴν γνώμην, ἐν αὐτοῖς τοῖς ἐναργέσιν ἀναστρέφεσθαι, βραχέων ἐπιλογισμῶν ἁπτομένοις, ὥστε τὴν μὲν αἰτίαν δι᾽ ἣν οὐ θερμαίνει τὰ τῶν ἀνθρώπων σώματα τὰ παχυμερῆ προσαγόμενα, κἂν θερμὰ τὴν φύσιν ὑπάρχῃ, μόνοις τοῖς ἕπεσθαι δυναμένοις εἰρῆσθαι νομιζέτωσαν, αὐτοὶ δὲ διαρκείσθωσαν τῷ φαινομένῳ διὰ τῶν αἰσθήσεων ἐναργῶς. φαίνεται δὲ ἐναργῶς μηδὲν τῶν παχυμερῶν, πρὶν ἀκριβῶς [11] καταθραυσθῆναί τε καὶ λεπτυνθῆναι, μήτ᾽ αὐτὸ πάσχειν ὑπὸ τοῦ σώματος ἡμῶν μήτ᾽ ἀντιδρᾶσαί τι δυναμένου. οὐ γὰρ μόνον ἐπὶ πεπέρεως, ἢ νάπυος, ἢ κάγχρυος, ἢ τῶν ἄλλων ἁπάντων τῶν θερμαινόντων ἡμᾶς, ἀλλὰ καὶ ἐπὶ τῶν ψυχρῶν ταῖς δυνάμεσιν ὡσαύτως ἔχει. μανδραγόρου γοῦν ῥίζης φλοιὸν, εἴ τις εἰς μεγάλα καταθραύσας ἐπιθείη κατὰ τοῦ δέρματος, ἢ καταπλάττοι ἢ καταπίοι παντελῶς, οὐδὲν (9) ἀνύσει, λειουργηθεὶς δ᾽ ἱκανῶς ψύχειν πέφυκε. οὕτω δὲ καὶ τὸ τῆς μήκωνος σπέρμα καὶ τὸ τοῦ κωνείου, καίτοι τοῦτό γε σφοδρότατον ὑπάρχει τῶν ψυχόντων πρὶν ἀκριβῶς καταθραυσθῆναι, πλη-

dentibus duntaxat verfari paucis attactis communibus rationibus, five epilogismis. Itaque caufam quamobrem non calefaciunt corpora humana ea quae craffa adhibentur, etiam fi natura fint calida, iis duntaxat qui rationem affequi valeant dictam effe reputent: fibique fatis effe perfuadeant, quod evidenter fenfibus apparet. Apparet autem evidenter craf-forum omnium nullum prius quam ad unguem comminuatur extenueturque, neque ipfum a corpore noftro quicquam perpeti, neque rurfum in nos poffe agere. Nec enim folum in pipere, napy, canchry caeterisque omnibus quae nos calefaciunt ita fe res habet, fed aeque item in facultate frigidis. Nam fi quis radicis mandragorae corticem in magnas partes confractam cuti imponat, aut illinat, aut deglutiat, plane nihil efficiet; at fi admodum fit comminuta, refrigerare poteft. Sic etiam papaveris femen, et cicutae, quanquam hoc fit omnium refrigerantium valentiffimum, tamen antequam exacte comminuatur, cuti noftrae impofitum plane

σιάζον ἡμῶν τῷ δέρματι, παντάπασιν ἀσθενὲς ὑπάρχει. μὴ τοίνυν θαυμάσῃς, εἰ κάλαμοι ξηροὶ καὶ τρίχες εὐέκκαυτα μὲν οὐ μὴν ἡμᾶς γε θερμαίνει πλησιάζοντα. τὴν ἀρχὴν γὰρ, οὐδὲ μεταβάλλεται πρὸς τῆς ἐν ἡμῖν θερμασίας, ἵνα ἀντιθερμάνῃ διὰ τὸ μὴ δύνασθαι καταθραυσθῆναι χνοωδῶς· ἐπεὶ ὅ γε κάλαμος ὁ ἐξ Ἰνδίας, ὃν καὶ ἀρωματίτην ὀνομάζουσιν, τῷ κοπτεσθαί τε καὶ διασσᾶσθαι καὶ ὅλως τῷ καταθραύεσθαι, μᾶλλον τοῦ παρ᾽ ἡμῖν ἐναργῶς φαίνεται θερμαίνων, ὡς καὶ τοῖς πρεσβυτέροις ἡμῶν ἰατροῖς ὡμολόγηται πᾶσιν.

Κεφ. ιδ΄. Ἐπισκέπτεσθαι δὲ, ὡς εἴρηται, μὴ μόνον εἰ παχυμερὴς ἐστιν ἢ λεπτομερὴς ἡ τῶν ἐξεταζομένων φαρμάκων οὐσία, ἀλλ᾽ εἰ καὶ ἀραιὰ καὶ πυκνή. λέγω δὴ ἀραιὰν ἧς τὰ μόρια διαλαμβάνεται χώραις κεναῖς, ἐπισταμένων ἡμῶν δηλονότι καὶ μεμνημένων ἀεὶ πῶς λέγεται χώρα κενὴ πρὸς τῶν ἡνῶσθαι φασκόντων τὴν οὐσίαν, ὅτι μὴ καθάπερ Ἐπικούρῳ καὶ Ἀσκληπιάδῃ δοκεῖ, ἀλλ᾽ ἔστιν ἀέρος πλήρης ἐν ἅπασι τοῖς ἀραιοῖς σώμασιν ἡ κενὴ χώρα. τοιαύταις οὖν

eſt imbecillum. Ne te ergo magna teneat admiratio, quod calami aridi pilique tametſi accendi promptiſſimi ſunt, non tamen nos contactu calefaciant; quippe qui plane a noſtro calore mutari nequeant, ut ſic recalefaciant, quod videlicet pollinis ritu comminui non valeant; quandoquidem calamus Indicus, quem et aromaticum appellitant, quum tundi, cribrari, ac plane magis quam qui apud nos naſcitur comminui valeat, clare nos calefacere conſpicitur, ſicut uno ore omnes qui aetate nobis majores ſunt medici confitentur.

Cap. XIV. Porro conſiderandum eſt, quemadmodum propoſui, non ſolum ſi craſſarum ſit partium an tenuium explorandum medicamentorum ſubſtantia, verum etiam rarane an denſa. Voco ſane rarum, cujus partes ſpatiis inanibus intercepta ſunt, intelligentibus videlicet nobis ac ſemper recordantibus quo pacto dicatur ſpatium inane ab iis qui unitam eſſe dicunt ſubſtantiam, non quemadmodum Epicuro et Aſclepiadi eſt viſum, imo aëre plenum eſt in raris corporibus ſpatium inane. Ubi ergo ejusmodi ſpatiis

εὐρυχωρίαις πολλαῖς, ὅταν ᾖ διειλημμένον τὸ σῶμα, ῥᾷον ἐκπυροῦται τῶν πυκνῶν, κἂν ὁμοίως αὐτοῖς τῆς κατὰ τὸ θερμόν τε καὶ ψυχρὸν ἔχει κράσεως. ὁ γὰρ ἐν ταῖς εὐρυχωρίαις ἀὴρ εὐπαθέστατος ὑπάρχων ἐκφλογοῦται μὲν αὐτὸς εὐθέως κατὰ τὴν πρώτην τοῦ πυρὸς προσβολὴν, συνεκκαίει δ' αὐτῷ καὶ τὸ πᾶν σῶμα, πανταχόθεν ἕκαστον αὐτοῦ μόριον προσλαμβάνον. εἴπερ οὖν τὰ σμικρὰ σώματα περιεχομένης αὐτοῖς ἐν κύκλῳ φλογὸς ἐξάπτεται ἑτοίμως· φαίνεται γὰρ τοῦτο ἐναργῶς εὐλόγως, τὸ ἀραιὸν σῶμα ταχέως ἐκπυροῦται, τῶν ἐν τῷ βάθει μορίων ἁπάντων αὐτοῦ ψαυούσης τῆς φλογός. οὕτως οὖν καὶ τοὺς ξηροὺς καλάμους τὸ πῦρ ἐκκαίει ταχέως, κἂν ἧττον ἑτέρας οὐσίας ὦσι θερμοὶ, διὰ τὸ πλῆθος τῶν πόρων, οὓς πρότερον μὲν ἀὴρ κατειλήφει, ψαύσαντος δὲ τοῦ πυρὸς ἡ φλὸξ ἐπινέμεται. ἀὴρ μὲν γὰρ ἐκπυρωθεὶς φλόξ ἐστι, γῆ δὲ ἄνθραξ. ὅτι δ' ἀερώδεις πόρους παμπόλλους ὁ ξηρὸς κάλαμος ἔχει μέγιστον τεκμήριον ἡ κουφότης αὐτοῦ. ξηρὸν γὰρ φύσει σῶμα κοῦφον ἄλλως οὐκ ἐγχω-

multis corpus ſuerit diſtinctum, facilius quam denſum accenditur, etiamſi quod ad caliditatis frigiditatisque attinet temperiem, ſimiliter illi ſit affectum. Nam qui in iis ſpatiis continetur aër, quum ſit ad patiendum promptiſſimus, primo ſtatim ignis occurſu accenditur atque inflammatur; una vero ſecum corpus univerſum accendit, unamquamque ejus partem nimirum undequaque occupans. Ergo ſi parva corpora, cingente ea circumquaque flamma prompte accenduntur, nam id clare conſpicimus, non ſine ratione corpus rarum celeriter accenditur, utpote quum profundas ejus partes omnes flamma contingat. Sic itaque calamos aridos ignis celeriter exurit, tametſi minus ſunt alia ſubſtantia calidi, idque ob meatuum multitudinem quos aër quidem prius occupabat: ubi vero ignis contigit, flamma depaſcitur: aër enim accenſus flamma eſt, terra vero carbo. Porro quod aëris plenos meatus multos aridus calamus obtineat, ſummum argumentum eſt ipſius levitas; nam ſiccum natura corpus leve eſſe alioqui nequeat, niſi inanitate ſit praedi-

ρεῖ γενέσθαι, εἰ μὴ ἔχει κενότητα. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ κίσσηρις καὶ σπογγιὰ ξηρὰ καὶ πάνθ᾽ ὅσα σηραγγώδη καὶ πολύκενα, κοῦφα τοῖς σταθμοῖς ἐστιν. οὕτω μὲν καὶ ὁ κάλαμος οὐχὶ τῷ ξηρὸν εἶναι μόνον, ἀλλὰ καὶ τῷ πλείστου μετέχειν ἀέρος, ἑτοίμως ἐκφλογοῦται, τῷ δ᾽ ἡμετέρῳ σώματι δυσθέρμαντός ἐστιν, διὰ τὸ παχυμερὲς τῆς οὐσίας. [12] ὅταν οὖν τινος τῶν φαρμάκων ἐκ τῆς πρὸς τὸ πῦρ ὁμιλίας τεκμαιρόμενοι τὴν κρᾶσιν, εἰ καὶ πρὸς ἡμᾶς φαίνεται τοιοῦτον, ἐθέλομεν ἐξευρεῖν, εἰς τὴν τῆς οὐσίας αὐτοῦ σύστασιν ἀποβλεπτέον. εἰ μὲν γὰρ λεπτομερής ἐστι καὶ συνεχὴς ἑαυτῇ, τὴν αὐτὴν καὶ πρὸς ἡμᾶς ἐπιδείξεται φύσιν, ἥνπερ καὶ πρὸς τὸ πῦρ. εἰ δὲ ἀραιά τε καὶ παχυμερὴς, ἐνδέχεται πρὸς μὲν τοῦ πυρὸς ἀλλοιοῦσθαι ῥαδίως αὐτὴν, οὐ μὴν πρός γε τῆς ἐν ἡμῖν θερμασίας, καὶ διὰ τοῦτο μηδὲ ἀντιθερμαίνειν ἡμᾶς.

Κεφ. ιε. Ὅτε τοίνυν ταῦθ᾽ οὕτω διώρισται, πάλιν ἐπανέλθωμεν ἐπὶ τὸν περὶ τοῦ ὕδατος λόγον. ὅτι μὲν γὰρ λεπτομερές ἐστιν ἐκ τοῦ διαῤῥεῖν ἑτοιμότατα καὶ πλοκάμων καὶ ὑφασμάτων ἔνεστι τεκμήρασθαι. διά τε γὰρ ὑγρότητα

tum. Eundem in modum pumex et fpongia ficca atque omnia adeo quaecunque fiftulofa funt multumque vacui obtinent, pondere funt levia; fic fane et calamus non eo duntaxat quod ficcus eft, fed quod plurimi aëris eft particeps, prompte accenditur; at a noftro corpore aegre proinde calefieri poteft, quod effentiae fit craffae. Quando igitur medicamenti cujuspiam exignis commercio temperiem colligentes fcrutari ftatuimus, an adverfum nos eodem modo fe gerat, fubftantiae ejus refpicienda conftitutio eft. Nam fi tenuis quidem fit, fed fibi ipfi continua, eandem et in nos naturam oftendet quam prius in ignem: fin autem rara fit et craffa, fieri poteft ut ab igne quidem perfacile alteretur, non tamen a calore noftro, ac proinde nec nos recalefaciat.

Cap. XV. Pofteaquam igitur haec eum in modum definita funt, rurfum ad fermonem de aqua redeamus. Nam quod tenuis fit effentiae, argumento eft quod promptiffime per pilos et veftimenta perfluat; nam propter humiditatem

Ed. Chart. XIII. [12.] Ed. Baſ. II. (9.)

καὶ μαλακότητα καὶ τὸ μηδὲν ἔχειν γλίσχρον, εὔθραυστα κέκτηται τὰ μόρια καὶ μέχρι σμικροτάτου, ῥᾳδίως διαιρούμενα· τοιοῦτον δὲ ὂν ὅμως οὐδ' ἡμᾶς θερμαίνει κατὰ τὴν ἑαυτοῦ φύσιν οὔτ' ἔστιν οἰκεία τροφὴ πυρὸς, ἀλλὰ πᾶν τοὐναντίον ἀντίκειταί τε καὶ στασιάζει καὶ κατασβέννυσιν, ὡς ἐναντιώτατον ὑπάρχον αὐτοῦ. καὶ οὐδὲν θαυμαστὸν, εἰ θερμοτάτῳ καὶ ξηροτάτω τὴν φύσιν ὑπάρχοντι τῷ πυρὶ ψυχρὸν καὶ ὑγρὸν ὂν ἀντιτέτακται τὸ ὕδωρ. στοχάζεται τοίνυν, ὡς εἴρηται, κἀκ τῆς πρὸς τὸ πῦρ ὁμιλίας, ὅπως ἔχει θερμότητος ἢ ψύξεως ἕκαστον τῶν φαρμάκων. οὐ μὴν εὐθύς γε καὶ πρὸς ἡμᾶς νομίζειν φαίνεσθαι τοιοῦτον, εἰ καὶ μὴ λεπτομερὲς εἴη καὶ πυκνόν. οὕτω γοῦν καὶ τοὔλαιον, καίτοι ῥᾳδίως ἐκφλογούμενον οὐ πάνυ τι ταχέως οὐδ' ἐναργῶς ἡμᾶς θερμαίνει τῷ γλίσχρῳ καὶ παχυμερεῖ τῆς οὐσίας, δυσαπολύτως ἐμπλαττόμενον οἷς ἂν ὁμιλήσῃ πρώτοις. καὶ διὰ τοῦτο μέχρι πλείστου παραμένει πᾶσιν οἷς ἂν ἐπαλείφηται, μήθ' ὑπὸ τοῦ περιέχοντος λεπτυνθῆναί τε καὶ διαφορηθῆναι ῥᾳδίως δυνάμενον, ἀλλὰ μηδ' εἴσω τοῦ σώματος ἑτοίμως μεταληφθῆναι. τὸ

mollitiemque, quodque nihil habeat adjunctum lentoris, diviſibiles partes obtinet et quae facile in minimas poſſint diſtrahi. Talis quum ſit, tamen neque nos ex ſua natura calefacit, neque proprium eſt ignis nutrimentum, imo omnino contra adverſatur et diſſidet atque extinguit, ut quae illi ſit adverſiſſima: nec mirum eſt, ſi cum igne natura tum calidiſſimo tum ſicciſſimo pugnet aqua, quae frigida eſt et humida. Conjectura igitur, ut dictum eſt, et ex ignis ſumenda commercio, quo pacto quodque medicamentum in calore frigoreque ſe habeat: non tamen protinus exiſtimandum tale et ad nos videri, niſi tenuium ſit partium et ſpiſſum. Sic oleum tametſi facile in flammam vertitur, non tamen admodum celeriter nos calefacit, nimirum lenta craſſaque ſubſtantia ſua tenaciter iis inhaerens quae primum contigit; proindeque longiſſime omnibus perdurat, quibus fuerit illitum, ſcilicet nec ab ambiente facile aut extenuari aut diſcuti potens, nec intro in corpus prompte transumi. Aqua vero

ὕδωρ τοὐναντίον εἰς ἀτμοὺς τάχιστα διαλυόμενον ἑτοίμως διαφορεῖται. καὶ διὰ τοῦτο, κἂν ἕψῃς, εἰς ταὐτὸν ἀγγεῖον ἐμβάλλων ἔλαιον ὕδατι, πρῶτον διαφορεῖται καὶ ἐκδαπανᾶται τὸ ὕδωρ. οὕτω κἂν λιθάργυρον, ἢ ψιμμύθιον ἢ ὁτιοῦν ἄλλο μίξας ἀκριβῶς, ἀμφότερα ἑψεῖν ἐθελήσῃς, πρῶτον ὄψει διαφορούμενον τὸ ὕδωρ.

Κεφ. ιστ'. Οὐκοῦν ἁπλῶς ὅ τι περ ἂν ἐκπυροῦται θᾶττον, εὐθὺς τοῦτο καὶ πρὸς ἡμᾶς φαίνεται θερμότερον. ἐδείχθη γὰρ καὶ πρόσθεν ὡς τῶν ἐνεργείᾳ θερμαινόντων τὸ μὲν ἁπλῶς ἦν θερμὸν, ὥσπερ τὸ πῦρ, τὸ δ' ἐπικρατείᾳ θερμὸν, ὥσπερ τὸ ἐν ἡμῖν. οὕτω καὶ τῶν δυνάμει θερμῶν τὸ μὲν ὡς πρὸς τὸ πρῶτόν τε καὶ ἁπλῶς θερμὸν εἶναι τοιοῦτον, τὸ δ' ὡς πρὸς τὸ κατ' ἐπικράτειαν λεγόμενον. ὥστ' οὐχ ἁπλῶς ἀπὸ τῆς πρὸς τὸ πῦρ σχέσεως τῶν κρινομένων φαρμάκων προσήκει μεταβαίνειν ἐφ' ἡμᾶς, ἀλλὰ μετὰ τὸ διορίσασθαι τὸν εἰρημένον διορισμόν.

Κεφ. ιζ'. [13] Ὁ δ' αὐτὸς οὗτος διορισμὸς ἀναγκαῖός ἐστι κἀπειδὰν ἐκ τοῦ πήγνυσθαί τι ῥᾳδίως ψυχρὸν εἶναι

e contrario et celerrime in halitum folvitur atque expedite difcutitur, proinde etiamfi in idem vas conjectam aquam oleumque decoquas, prior tamen aqua refolvitur et abfumitur. Sic item fi lithargyro, aut ceruffa, aut id genus aliquo cum aqua diligenter commixto, fimul ambo decoquere voles, priorem difcuti aquam experiere.

Cap. XVI. Non ergo fimpliciter quod citius accenditur, protinus id etiam ad nos apparet calidius. Siquidem ante oftenfum eft, ut calefacientium actu aliud fimpliciter erat calidum, ut ignis; aliud exuperantia calidum, velut qui in nobis eft calor: fic eorum quae facultate funt calida aliud effe ejusmodi, ut ad id quod primo et abfolute eft calidum; aliud vero ut ad id quod per exuperantiam dicitur. Quamobrem non abfolute ab ea quae adverfus ignem eft, in judicium venientium medicamentorum difpofitione, ad nos tranfire expedit, fed adjecta limitatione propofita.

Cap. XVII. Eadem haec limitatio itidem neceffaria eft, quoniam ex eo quod quid facile conglaciatur frigidum

συλλογιζώμεθα. τῶν γὰρ ὡσαύτως ἐχόντων κατὰ λεπτομερὲς ἢ παχυμερὲς τῆς συστάσεως τὸ θᾶττον ὑπὸ τοῦ ψυχροῦ πηγνύμενον ψυχρότερόν ἐστι τὴν κρᾶσιν. ὡς εἴη τὸ μὲν λεπτομερέστερον, ὡς οἶνος εἰ τύχοι, τὸ δὲ παχυμερέστερον, ὡς ἔλαιον, οὐκ ἀναγκαῖόν ἐστι θᾶττον ἢ μᾶλλον πήγνυσθαι τὸ ψυχρότερον. ἀλλ' εἰ μὲν ὅσῳ θάτερόν ἐστι ψυχρότερον, τοσούτῳ θάτερον εἴη παχυμερέστερον, ἅμα μὲν ἄμφω παγήσεται, μᾶλλον δ' ἂν δόξειε πεπῆχθαι τῇ σκληρότητι τῆς συστάσεως τὸ παχυμερέστερον. εὔλογον γὰρ οἶμαι τῶν ὁμοίως πεπηγότων τὸ παχυμερέστερον καὶ σκληρότερον γίνεσθαι. εἰ δ' ἤτοι πλέον ψυχρότερον εἴη θάτερον, ἢ παχυμερέστερον τὸ λοιπὸν, ἢ ἔμπαλιν ἧττον ψυχρότερον τὸ ἕτερον αὐτῶν, παχυμερέστερον δὲ τὸ λοιπὸν, οὐκ ἔτ' ἐν ἴσῳ χρόνῳ πήγνυσθαι τούτοις δυνατὸν, ἀλλὰ τὸ μὲν πλέον ψυχρότερον ἢ παχυμερέστερον θάτερον, ἐν ἐλάττονι χρόνῳ, τὸ δ' ἧττον ψυχρότερον ἢ παχυμερέστερον τὸ λοιπὸν ἐν πλείονι. οὕτω δὲ καὶ τὸ μᾶλλον ἢ ἧττον φαίνε-

esse colligimus. Nam in iis quae eandem habent aut tenuitatem aut crassitudinem consistentiae, quod ocius a frigore congelatur, temperamenti est frigidioris. Nam si alterum sit tenuius, puta exempli causa vinum, alterum crassius, ut oleum: non est necesse aut citius aut magis concrescere quod est frigidius. Verum si quanto alterum est frigidius, tanto alterum quoque crassius sit, sic similiter ambo concrescent. Caeterum magis concretum videatur, ipsa videlicet consistentiae duritia, quod fuerit essentiae crassioris. Nam rationabile est, reor, similiter congelatorum quod crassioris fuerit essentiae, itidem fieri durius. At si vel alterum plus sit frigidius quam reliquum essentiae crassioris: aut contra minus frigidius quidem ipsorum alterum, reliquum vero crassioris essentiae, haud etiam pari tempore congelascere est possibile; verum quod plus est frigidius quam alterum essentiae crassioris, minori temporis spatio; quod vero minus est frigidius quam reliquum essentiae crassioris, majori. Sic magis minusque utrumvis ipsorum

Ed. Chart. XIII. [13.] Ed. Baf. II. (9. 10.)

σθαι σκληρὸν ὁπότερον αὐτῶν, ἀνάλογον τῷ μεγέθει τῆς ὑπεροχῆς ἀναγκαῖον ἀποβαίνειν.

Κεφ. ιη΄. Τούτων οὖν μεμνῆσθαι χρὴ, καὶ ὡς οὐ ταὐτόν ἐστι τὸ ψύχεσθαι τῷ πήγνυσθαι, κἂν ὅτι μάλιστα διὰ τὸ ψύχεσθαι γίγνηται. τὸ μὲν γὰρ ψύχεσθαι ψυχρὰν ἐστιν ἐπιδέχεσθαι ποιότητα, τὸ δὲ πήγνυσθαι σκληρύνεσθαι διὰ ψύξιν. ὅσα τοίνυν ἐστὶ λεπτομερῆ σώματα, τῷ πάσχειν ῥᾳδίως ἑτοίμως μὲν θερμαίνεταί τε καὶ (10) ψύχεται, πήγνυται δὲ οὐκ ἔθ᾽ ἑτοίμως, ὥσπερ ἀήρ τε καὶ πῦρ. τὸ μὲν γὰρ ὅλως οὐ πήγνυται, ὁ δ᾽ οὐχ ὁμοίως ὑάλῳ καὶ πίττῃ καὶ κηρῷ καὶ ῥητίνῃ καὶ ἀσφάλτῳ, καίτοι θερμοτάτη γε ἡ ἄσφαλτος, ἀλλὰ τὸ παχυμερὲς αὐτῆς καὶ γεῶδες εἰς τὸ πάχος τῆς πήξεως συντελεῖ. καὶ ἁψάμενος ἂν εὕροις ἔτι θερμὴν ἤδη πεπηγυῖαν τελέως, ὥσπερ, οἶμαι, καὶ ὁ μόλυβδος καὶ ὁ κασσίτερος ἔτι ζέοντα πέπηγεν ὁμοίως. οὕτω τοι καὶ τὸ ὕδωρ Ἱπποκράτης ἔλεγεν, τὸ ταχέως θερμαινόμενον καὶ ταχέως ψυχόμενον ἀεὶ κουφότατον. ὅσῳ γὰρ ἂν ᾖ λεπτομερέστερον, τοσούτῳ ῥᾷον πά-

videri durum, id pro exceffus proportione evenire eft neceffe.

Cap. XVIII. Haec ergo memoriae mandare oportet, tum quod non idem fint congelari et refrigerari et quod illud maxime a refrigeratione proveniat. Nam refrigerari eft frigidam accipere qualitatem, at congelari eft durefcere prae frigore. Ergo quaecunque corpora tenuis funt effentiae, quum facile perpetiantur, prompte tum incalefcunt tum refrigerantur; at non aeque prompte congelantur, ut aër et ignis. Nam hic plane non congelatur: ille autem nempe aër non perinde ut vitrum, ut pix, ut cera, refina, bitumen; tametfi bitumen fit vel calidiffimum, verum quod ejus craffum eft ac terreum, ad congelationis celeritatem adjuvat; ac fi tetigeris, calidum etiamnum, plane tamen congelatum reperias: ficut, puto, et plumbum et ftannum non aliter concreta funt etiamnum ferventia. Sic aquam Hippocrates, quae celeriter et incalefceret et refrigeraretur, femper effe leviffimam retulit: nam quanto tenuior fuerit,

σχει. λεπτομερέστερον δὲ τὸ γεώδους ἰλύος ἥκιστα μετέχον. οὐχ ἁπλῶς οὖν οὐδ' ὡς ἔτυχεν ἐκ τῶν πρὸς τὸ πῦρ παθῶν τῆς ὕλης τεκμαίρεσθαι χρὴ τὴν πρὸς ἡμᾶς δύναμιν αὐτῆς, ἀλλὰ μετὰ τῶν εἰρημένων διορισμῶν. ὅθεν οὐδ' ἀσφαλὴς ἡ κρίσις ὁμοίως τῆς πρὸς ἡμᾶς αὐτούς. ἡ δὲ καὶ ταύτης ἔτι προσωτέρω μετάβασις παντάπασιν σφαλερά· καίτοι γε χρῶνται ταύτῃ πάμπολλοι τῶν ἰατρῶν, οἱ μὲν πᾶν τὸ γλίσχρον θερμὸν εἶναι λέγοντες, οἱ δὲ πᾶν τὸ στῦφον, οἱ δὲ πᾶν τὸ γλυκὺ, τὸ δ' αὐστηρὸν ἢ τὸ στρυφνὸν ἕτεροι. τινὲς δὲ καθ' ἕκαστον αὐτῶν τἀναντία τιθέμενοι. περὶ μὲν δὴ τῶν ἐν τούτοις σφαλμάτων ἐφεξῆς ἐρῶ. [14] νυνὶ δὲ συντελέσαι βούλομαι τὸν ἐνεστῶτα λόγον, ὡς εἰ κἀκ τῆς πρὸς τὸ πῦρ κοινωνίας ἐθέλοι τις κρίνειν τὴν ὕλην, οὐχ ἁπλῶς οὐδ' ἀορίστως προσήκει κρίνειν, οὐδ' ὡσαύτως ἔχειν ἡγεῖσθαι τῶν κρινομένων ἕκαστον, πρός ἄνθρωπόν τε καὶ πῦρ. ὕδωρ μὲν οὖν ἐναντιώτατόν ἐστιν πυρὶ, ψυχρὸν καὶ ὑγρὸν ὑπάρχον τὴν δύ-

tanto pati promptior eſt: atqui quae tenuior eſt, minimum habet limi terreſtris. Non ergo abſolute, nec temere ex materiae paſſionibus ad ignem, conjicere ejus ad nos facultatem oportet, verum adjunctis limitationibus ſuprapoſitis. Quare nec aeque ſecurum hoc judicium ac id quo ad nos ipſos quid examinamus: at qui hoc etiam ulterius transeunt, plane in multis errorum periculis verſantur. Quamquam id faciunt medicorum complures, alii omne quod viſcoſum eſt, calidum aſſerentes: alii quicquid adſtringit: nonnulli quicquid eſt dulce, quidam vero etiam quod auſterum acerbumve eſt: ſunt autem qui ſingulis illorum contraria defendant. Sed qui in illis errores committantur poſtea narrabo. Nunc autem praeſentem ſermonem conſilium eſt abſolvere: nempe ut ſi quis ex ignis commercio materiam judicare velit, non abſolute, neque citra limitationem id faciendum: neque perinde ad ignem et hominem habere quicquid judicatur putandum. Nam aqua igni adverſiſſima eſt, ut quae facultatem ſortita ſit frigidam et humidam: muria vero, marina

ναμιν. ἅλμη δὲ καὶ θάλαττα καὶ τὸ ἀσφαλτῶδες ὕδωρ καὶ τὸ θειῶδες οὐκ ἔθ᾽ ὡσαύτως. ἀποκεχώρηκε γὰρ ἅπαντα τὰ τοιαῦτα τοῦ ὕδατος ἐπὶ τὸ θερμότερον. ἀλλὰ περὶ μὲν τῶν αὐτοφυῶν ὑδάτων ἱκανὰ καὶ ταῦτα. καθ᾽ ἕκαστον γὰρ τῶν φαρμάκων, ὧν τὰς ποιότητας αὐτὸ τὸ ὕδωρ δέδεκται, τὸν λόγον ποιούμενοι, κἂν εἴ τι νῦν ὑπὲρ αὐτῶν ἀσαφέστερον ἢ ἐλλιπέστερον εἴρηται προσθήσομεν.

Κεφ. ιθ΄. Ἐπὶ δὲ τὰ λοιπὰ τῶν ὑγρῶν φαρμάκων ἤδη μεταβαίνωμεν, ὧν ἐν τοῖς μάλιστα περὶ ὄξους ἠμφισβήτηται, τῶν μὲν ψυχρὸν εἶναι λεγόντων αὐτὸ, τῶν δὲ θερμὸν, ἐνίων δὲ τινὰ μὲν θερμότητα διδόντων αὐτῷ, τινὰ δ᾽ ἀφαιρουμένων. ὥσπερ οἱ λέγοντες οἶνον τεθνεῶτα καὶ νεκρὸν εἶναι τὸ ὄξος. οὗτοι γὰρ ἀπολωλεκέναι μὲν αὐτό φασι τὴν οἰκείαν οἴνου θερμότητα, σηπεδονώδη δέ τινα προσειληφέναι. καὶ ἔγωγ᾽ ἂν ἐπῄνεσα τὴν γνώμην αὐτῶν, κἀξ ἑτοίμου προσηκάμην καὶ συνεκινδύνευσα περὶ τὴν ἀπόφασίν τε καὶ δόξαν, εἴ τινα μηχανὴν ἐξευρεῖν ἠδυνάμην, ὥσπερ ἐν γάλακτι τῶν

bituminoſaque et ſulfuroſa aqua, non aeque, quippe quum id genus omnes ab aqua ad calidius receſſerint. Verum de ſponte natis aquis vel haec ſufficiant. Siquidem ubi medicaminum uniuscujusque quorum qualitates accipere aquam oſtenſum eſt ſermonem ſigillatim tractabimus, ſi nunc aut obſcurius quippiam aut imperfectius ſit dictum, id tunc adjicietur.

Cap. XIX. Sed ad reliqua nunc liquidorum medicaminum tranſibimus, inter quae vel maxima eſt controverſia de aceto, aliis frigidum, aliis contra calidum adſtruentibus: nonnullis calorem quidem quendam illi concedentibus, ſed quendam etiam auferentibus, velut qui acetum vinum eſſe mortuum aſſerunt. Nam hi propriam vini caliditatem perdidiſſe quidem, verum putredinoſam aſſumpſiſſe aliam quandam contendunt. Atque ego ſane non multum abeſt quin illorum laudem ſententiam, in eamque prompte accedam, proque hac aſſertione atque opinione pericula omnia ſubeam, ſi quam machinam aut artem invenire queam, ſicut in lacte

ἐναντίων μορίων τῆς διακρίσεως, οὕτω κἀνταῦθα. νυνὶ δ' ὅτι μὲν τὸ γάλα μὴ σύμπαν ὁμοιομερές ἐστι, μηδὲ ταὐτὸν ἑαυτῷ πάντη, σαφῶς ἐπιδείκνυσιν ἡ σχίσις αὐτοῦ πολλῶν τοῖς ἀνθρώποις ἐξευρημένων τρόπων εἰς τὴν διάκρισιν τῶν τυρωδῶν μορίων ἀπὸ τῶν ὀῤῥωδῶν. οὐ μὴν ἐπί γε τοῦ ὄξους οὔθ' εὕρηταί τι τοιοῦτον οὔτ' ἐναργῶς ἀποδεῖξαι δυνατὸν ὡς ὅσον μὲν αὐτοῦ λεπτὸν καὶ ὑγρὸν ἀκριβῶς ἐστιν, τοῦτο μὲν ψύχει, τὸ δὲ κατὰ τὴν τρυγὸς οὐσίαν ἐμφερόμενον αὐτῷ, καθάπερ κἀν τοῖς οἴνοις θερμαίνει· μόνως γὰρ ἂν οὕτως ἐναργῶς ἐπιδείξειέ τις ἐξ ἐναντίων ταῖς δυνάμεσι συγκείμενον αὐτὸ μορίων, ὥσπερ τὸ γάλα. πᾶσι μὲν οὖν τοῖς ἐκ καρπῶν ἀποθλιβομένων γιγνομένοις ὑγροῖς ἐμφέρεταί τι παχυμερὲς, ὃ δὴ καὶ ὑφιζάνει τῷ χρόνῳ, τρὺξ μὲν ἐπὶ τῶν οἴνων, ἀμόργη δ' ἐπ' ἐλαίου καλούμενον. ἀνάλογον δὲ κἀπὶ τῶν ἄλλων ἁπάντων ὑπάρχει, κἂν εἰ μὴ τέτευχεν ἰδίων ὀνομάτων, ἢ οἷον τρὺξ ἐν αὐτοῖς. ἔστι δή τι τοιοῦτον κἀν τῷ ὄξει καὶ τάχα, τὸ μὲν τῆς θερμότητος μετέχον ἐστὶ τοῦτο τὸ δὲ τῆς ψύξεως, τὸ λεπτόν. ἴσως δὲ καὶ κατ' αὐτὸ τὸ λεπτὸν

contrariarum partium feparationis, ita hic quoque. Nunc autem quod lac univerfum non fit homoeomeres et fimilare, neque undequaque fibi idem, clare monftrat ejus fciffio excogitata videlicet multis hominibus ratione, qua partes cafeofae a ferofis feparari poffint. Atqui neque tale quid repertum in aceto eft: neque manifefto demonftrare poffis, quod quantum ejus eft tenue atque humidum exacte, hoc quidem refrigeret: quod vero fecundum faecis fubftantiam in eo defertur, velut in vinis calefaciat; nam ea folum ratione aperte quis probaverit ipfum ex partibus facultate contrariis confiftere ficut lac. Sane in omnibus liquoribus, quos exprimendis fructibus conficiunt, craffum defertur quippiam, quod et temporis fpatio fubfidit: faex vocatur in vino, in oleo autem amurca; fed et in omnibus aliis ineft, quod illis proportione refpondet, tametfi proprium nomen fortitum non fit, quod velut faex eft in illis; utique et in aceto eft ejusmodi quippiam et forfan ipfum eft quod caloris eft particeps: quod vero frigoris, id quod tenue eft; for-

ἐμφέρεταί τι σμικρὸν ἐν πολλῷ παρεσκευασμένον, τῆς ἑτέρας φύσεως ἢ τὸ ὅλον ἐστίν. ὅτι μὲν γὰρ πλείονι μοίρᾳ ψυχρὸν ἢ θερμόν ἐστιν, ἐναργῶς οἶμαι φαίνεσθαι τοῖς ἀληθῶς ἐξετάζουσιν τὴν αὐτοῦ δύναμιν.

Κεφ. κ'. Καὶ θαυμάζω γε ὅπως εἰς τοσοῦτόν τινες ἀπεφήναντο θερμὸν εἶναι τὸ ὄξος, ὡς καυτῆρι προσεοικέναι. [15] ταύτῃ γοῦν φασι καὶ τὰς αἱμοῤῥαγίας ἐπέχειν αὐτό. πρῶτον μὲν γὰρ οὐκ ἂν ἐλάνθανε τὴν αἴσθησιν ἡμῶν ἡ τοσαύτη θερμότης. ἔπειτα δὲ καὶ κατὰ τὴν αὐτῶν ἐκείνων τῶν θερμῶν εἰκόνα πάντως ἄν που τοιοῦτον ὑπάρχον ἐσχάραν εἰργάζετο τοῖς θερμοῖς φαρμάκοις ὁμοίως. ὁρῶμεν γὰρ ἐπὶ τούτων ἐναργῶς, ὅταν αἷμα δι' αὐτῶν ἐπισχεῖν βουληθῶμεν, ἐσχάραν οὐ μικρὰν γενομένην, ὡς εἴ γε μὴ ποιήσῃς ἐσχάραν, οὐδ' ἐπέχεις τὸ αἷμα. γίγνεται γὰρ οἷον ἐπίθεμά τι τῶν αἱμοῤῥαγούντων σωμάτων αὕτη. καὶ διὰ τοῦτο καὶ τὰ καυτήρια προσφέρομεν αὐτοῖς ἀκριβῶς ἐκπεπυρωμένα, γινώσκοντες, οἶμαι, τὰ μὴ τοιαῦτα πρὸς τῷ μηδὲν ἀνύειν ἔτι καὶ βλάπτοντα καὶ παροξύνοντα τὰς αἱμοῤῥαγίας. οὐ γὰρ

tallis vero et in ipso tenui exiguum quiddam defertur multo tempore praeparatum alterius naturae quam ipsum sit totum; nam quod majori parte frigidius sit quam calidius, liquido iis apparere arbitror, qui vere facultatem ejus expenderint.

Cap. XX. Ac miror qua ratione ducti quidam ita calidum esse acetum dixerint, ut cauterio ipsum assimilarint; nam, hac, inquiunt, ratione sanguinis eruptiones reprimit. Primum enim tanta caliditas sensum nostrum non fugeret. Deinde ad illorum calidorum imaginem omnino utique crustam efficeret, calidis medicamentis similiter. Nam id plane in his conspicimus, ubi per ea sanguinem sistere statutum est, crustam relinqui haud exiguam: siquidem, nisi crustam effeceris, sanguinem haud represseris, nam ea velut operculum sit corporibus sanguinem profundentibus. Proinde sane etiam cauteria plane candentia illis applicare consuevimus, compertum nimirum habentes, quae non sunt ejusmodi praeterquam quod nihil proficiant, insuper laedere ac sanguinis profluvium irritare. Nec sane ignis ex

δὴ κατὰ τὸν ἑαυτοῦ λόγον οὐδὲ τῷ θερμαίνειν τὸ πῦρ ἐφίστησιν αὐτὰς, ἀλλὰ τὸ κατακαῦσαν οἷς ἂν ἐπιπέσοι, τὸ οἷον ὑπόλειμμα τῆς καύσεως ἀπεργάζεται πῶμα τῶν ὑποκειμένων, ὅπερ ἔθος ὀνομάζειν ἐστὶ τοῖς Ἕλλησιν ἐσχάραν. ἀλλά τό γε ὄξος οὐδενὶ τῶν ἐσχαρούντων φαρμάκων ὁμοίως, ἀλλὰ μᾶλλον, ὡς τὰ στύφοντα χωρὶς ἐσχάρας ἐπέχει τὰς αἱμοῤῥαγίας, ὥστε ταύτῃ μὲν οὖν οὐ θερμαίνειν ἄκρως, ἀλλὰ ψύχειν ὑποληφθείη. κάλλιον μέντοι, καθότι καὶ πρόσθεν εἴρηται, τῶν τοιούτων ἀποχωρῆσαι τεκμηρίων· οὐ γὰρ ἐπὶ τὴν αἴσθησιν ἀνάγει τὴν κρίσιν, οὐδ᾽ ἐκ τῶν παρακειμένων οὐδ᾽ ἐγγύθεν, ἀλλὰ πόῤῥωθέν τε καὶ διὰ μακρῶν λημμάτων συλλογίζεται. καὶ δείξω τὴν ἀτοπίαν αὐτῷ ἐπὶ πλέον ἐν τοῖς ἑξῆς λόγοις.

Κεφ. κα΄. Ἡμεῖς μὲν οὖν κατὰ τὴν ἐξ ἀρχῆς μέθοδον ἐπί τε τῶν ἀμέμπτως ὑγιαινόντων πειρασόμεθα τῆς δυνάμεως αὐτοῦ, κἄπειτ᾽ ἐφεξῆς ἐπὶ τῶν δυσκράτων, εἶτα καὶ τῶν νοσούντων. σπόγγον οὖν ἢ ἔριον ὄξει βρέξαντες ἐπιθήσομεν ὁτῳδήποτε μορίῳ τῶν ὑγιαινῶν σωμάτων, εἶθ᾽

ſua ratione aut quod calefaciat, ipſum ſiſtere poteſt: verum idcirco, quia quum urat quae contigerit, quod ex uſtione reliquum eſt, operculum ſubjectis partibus relinquat, id quod Graecis appellari conſuevit *ἐσχάρα*. At acetum haud perinde ut cruſtam facientia medicamenta, ſed potius ut adſtringentia et refrigerantia citra cruſtam ſanguinis fluores cohibet: itaque hac quidem ratione non calefacere extreme, ſed refrigerare putetur. Praeſtat autem, ut et ſupra monuimus, a talibus conjecturis recedere, utpote quae judicium ad ſenſum haud referant, neque ex prope poſitis aut vicinis, ſed e longinquo et longis ſumptionibus rationem colligant. Aperiam autem copioſius illarum abſurditatem in libris ſequentibus.

Cap. XXI. Nos autem ſecundum methodum ab initio poſitam vim ejus experiemur, primum in iis quibus inculpata conſtat ſanitas, mox in intemperatis, deinde et in aegrotantibus. Itaque ſpongiam aut lanam aceto madentem cuivis ſani corporis parti ſuperpone-

Ed. Chart. XIII. [15.] Ed. Baf. II. (10. 11.)

ὥσπερ εἴρηται ἔμπροσθεν, ἔν τε τῷ παραχρῆμα πευσόμεθα τῶν ἰδιωτῶν, ἀδεκάστως γὰρ ἐκεῖνοι τὰ τοιαῦτα κρινοῦσιν τῷ μὴ δουλεύειν δόγματι, πότερα ψύξεως ἢ θερμασίας αἰσθάνονται. δῆλον δ᾽ ὡς οὔτε ψυχρὸν ἄκρως οὔτε θερμὸν αὐτὸ προσοίσομεν. εἴρηται γὰρ ἤδη καὶ περὶ τούτου πρόσθεν. εἰ δὴ τοιοῦτον εἴη τὸ προσφερόμενον ὄξος, καὶ μάλιστα εἰ μὴ παλαιὸν σφόδρα μηδ᾽ ἐσχάτως δριμὺ, σαφοῦς αἰσθήσονται ψύξεως, ἐκ τοῦ παραχρῆμα καὶ μετὰ μίαν ὥραν καὶ δύο καὶ τρεῖς καὶ τέτταρας, ἐξ ὑστέρου μέντοι καὶ θερμασίας τινὸς ἤδη κατὰ βραχὺ γεννωμένης ἐν τῷ μορίῳ, φαντασίαν τινὰ ἕξουσιν. δριμέος δ᾽ ἰσχυρῶς ὄντος τοῦ ὄξους κατὰ μὲν τὴν ἀρχὴν κἀπὶ τούτῳ ψύχεσθαι φήσουσιν, ταχέως μέντοι τῆς ὑποστρεφομένης αἰσθήσονται θερμασίας καὶ οὐ μετὰ πολὺν χρόνον, ὡς ἐπὶ τοῦ νεωτέρου τε καὶ μὴ πάνυ δριμέος ὄξους. ἐξ ὧν δῆλον ὡς ἔστι ψυχρὸν μὲν πάντως, ἤδη δὲ καὶ θερμασίας τινὸς (11) ὀλίγης μετέχον, ἢ τῷ λόγῳ τῆς δριμύτητος κατά τι συμβεβηκὸς ἐν τῷ χρόνῳ μετρίως ὑποθερμαίνει τὰ

mus: deinde ut ante eſt poſitum, protinus rogabimus, idiotas ſcilicet atque ex plebe aliquem, nam illorum in ilthusmodi incorruptum eſt judicium, quia nulli videlicet dogmati ſerviliter ſunt addicti, nunquid calorem an frigus percipiant. Id vero ſatis conſtat, quod illud nec ſumme frigidum nec calidum admovebimus: nam et de hoc ſupra verba fecimus. Sane ſi tale fuerit quod applicatur acetum; potiſſimum ſi non admodum inveteratum, neque extreme acre, maniſeſtum principio frigus percipient; itidem et poſt unam, duas, tresve ac quatuor horas: poſtea vero poſt ſublationem ſcilicet ſenſim naſcentis in parte caloris opinionem habebunt. Porro ſi vehementer acre acetum extiterit, et hoc etiam refrigerari ſe principio dicent; celeriter tamen recurrentem calorem ſentient, non autem longo poſt tempore, velut in recentiore ac non valde acri aceto. Ex quibus conſtat omnino frigidum quidem eſſe acetum, ſed quendam etiam obtinere calorem, qui acrimoniae ratione per aliquod accidens ſpatio temporis mediocriter corpora

Ed. Chart. XIII. [15. 16.] Ed. Baf. II. (11.)

σώματα, καίτοι γ' οὐδὲ τοῦτο διαπαντὸς, ἀλλ' ἐπ' ἐνίων πέφυκε δρᾷν. ὅσα οὖν χαῦνα καὶ ἀνώδυνα τῶν οἰδημάτων οὔτ' ἐν [16] τῷ παραχρῆμα θερμασίας αἴσθησιν, οὔτ' εἰς ὕστερον ἔχει χρωμένων ὄξει. κνῆσις μέντοι ἐπ' αὐτῶν γίγνεται, δι' ἣν καὶ πολλάκις τοῖς ἄκρως χρωμένοις ἔρευθος ἐπιτρέχει λεπτὸν, ὥστ' οὐδὲ πρώτως, οὐδὲ κατὰ τὴν οἰκείαν τάξιν ὑποθερμαίνειν δόξειεν ἂν, ἀλλ' ἐρεθίζειν τῇ δήξει τῆς δριμύτητος. ἐπεὶ δὲ ἅπαξ ἐπὶ τὰ παθήματα μετέβημεν ἀπὸ τῶν ὑγιαινόντων σωμάτων, ἀναμνήσωμεν ὅσα πέφυκε δρᾷν ἐπὶ ταῖς θερμοτάταις τε καὶ ψυχροτάταις διαθέσεσιν. ὅταν οὖν τις ὑπὸ θαψίας ἐπαλειφθείσης διακαίηται, κατασβέννυσιν ὄξος τὸ καῦμα. καὶ τοῦτ' ἔξεστι τῷ βουλομένῳ πείρᾳ μαθεῖν, ὥσπερ καὶ ἡμεῖς ἐποιήσαμεν ἐφ' ἡμῶν αὐτῶν, ἐπὶ τῷ βάσανον ἀκριβῆ λαβεῖν τῆς τοῦ φαρμάκου δυνάμεως, ἐπαλείψαντες πολλαχόθι τὰς κνήμας, ἡνίκα μετὰ τέτταρας ὥρας καὶ πέντε διακαίεσθαί τε καὶ φλεγμαίνειν ὑπήρξατο, τῷ μὲν ὄξους, τῷ δ' ὕδατος προσεῤῥαίνομεν, ἑτέρῳ δ' ἔλαιον, ἄλλο δὲ ῥοδίνῳ ἐπηλείφομεν, ἄλλῳ δ' ἄλλο τι τῶν ἢ δριμύτητας ἀμβλύνειν

excalefaciat, tametsi id non ubique, sed in quibusdam duntaxat possit efficere. Nam laxis ac doloris expertibus tumoribus neque protinus neque postea caloris sensum aceti usus commovet, mordicatio tamen in illis quaedam percipitur, ob quam saepenumero iis qui vehementer utuntur tenuis quidam recurrit rubor. Itaque neque primario neque proprio ordine calefacere videri possit, sed acrimoniae morsu irritare. Porro quandoquidem a sanis corporibus ad affectus semel delapsi sumus, suggeramus quae in calidissimis et frigidissimis affectibus efficere queat. Ergo si quis ab illita thapsia uratur, ardor aceto restinguitur; id quod cui libitum est experientia discere licet, velut nos profecto fecimus in nobis ipsis, quo accurate medicamenti potentiam experiremur. Illitis enim multis in locis tibiis, ubi post quatuor quinqueve horas accendi et inflammari coepissent, huic quidem parti acetum, illi aquam inspersimus; alii vero oleum, alii rosaceum inunximus; et aliis atque aliis alia atque alia quae aut acrimoniam hebetare, aut calorem refri-

ἢ θερμότητας ἐμψύχειν πεπιστευμένων, καὶ πάντων αὐτῶν ἐνεργέστερον τὸ ὄξος ηὑρίσκετο. δῆλον οὖν ὡς οὐχὶ τῷ τὰς δριμύτητάς τε καὶ δήξεις ἀμβλύνειν, ὁμοίως ἐλαίῳ τε καὶ ῥοδίνῳ, καὶ γὰρ καὶ αὐτὸ πέφυκε ποιεῖν ταῦτα, ἀλλὰ τῷ ψύχειν. εἰ γὰρ οὐκ ἐνδέχεται μὲν ἄλλως ἰᾶσθαι τὰς ἀπὸ τῆς θαψίας φλεγμονὰς αὐτὸ, πλὴν ἢ τῷ ψύχειν ἢ τῷ τὰς δήξεις τε καὶ δριμύτητας ἀμβλύνειν, οὐχ ὑπάρχει δ' αὐτῷ θάτερον, ἀνάγκη ἄρα κατὰ τὸ λοιπὸν ἰᾶσθαι· καὶ τῶν ἄλλων δὲ τῶν θερμῶν ἁπάντων παθημάτων, τῶν μὲν μᾶλλον, τῶν δ' ἧττον ἐμψυκτικὸν ὑπάρχει, φλεγμονῶν, ἑρπήτων, φυγέθλων, ἐρυσιπελάτων, ἀνθράκων. ὥστε εἰ μὴ τὸ σφοδρόν τε καὶ τραχὺ τῆς δυνάμεως αὐτῷ λυπηρὸν ἦν, οὐκ ἂν ἄλλῳ τινὶ πρὸς ἔμψυξιν ἐχρώμεθα.

Κεφ. κβ'. Καίτοι τινὲς αὐτὸ δὴ τοῦτο μέγιστον γνώρισμα τίθενται τῆς θερμότητος αὐτοῦ. μὴ γὰρ ἂν φασιν μήτε δριμὺ μήτε δακνῶδες εἶναι μήτε διαβρωτικὸν μήτε τραχυντικὸν, εἰ μή γε θερμότητος αὐτῷ μέτεστι δαψιλοῦς. ὡς γὰρ τοῦ ψυχροῦ τὸ συνάγειν τε καὶ πυκνοῦν, οὕτω τοῦ θερμοῦ

gerare creduntur; fed eorum omnium acetum compertum eft efficaciffimum. Quocirca manifeftum eft, non eo quod acrimoniam ac mordacitatem obtundat, ficut oleum et rofaceum, nam id praeftare haec poffunt, fed quia refrigeret tale effe. Quippe fi excitatas a thapfia phlegmonas aliter fanare non liceat, nifi aut refrigerando aut morfum five acrimoniam obtundendo: nec alterum praeftare valeat acetum: confequitur utique neceffario per reliquam vim fanaffe. Alias porro reliquas calidas paffiones omnes, phlegmonas pura, herpetes, phygethla, eryfipelata, carbunculos, alias plus, alias minus refrigerare confuevit. Quapropter nifi vehementia illi atque afperitas facultatis molefta ineffet, haud alio fane utendum ad refrigerandum foret.

Cap. XXII. Tametfi quidam reperiantur qui maximum id caliditatis ejus argumentum conftituunt. Non enim, inquiunt, neque acre, neque mordax, neque afperum, neque erodens foret, nifi affatim illi ineffet caliditas. Nam ficut frigidi proprium eft contrahere ac condenfare, ita ca-

τὸ τέμνειν τε καὶ διαιρεῖν ὑπάρχον ἴδιον, ὅπερ οὐχ ἥκιστα προσεῖναι τῷ ὄξει. τέμνειν γὰρ αὐτὸ καὶ διαβιβρώσκειν οὐ τὰ τῶν ζώων σώματα μόνον, ἀλλὰ καὶ θρόμβους καὶ πώρους καὶ λίθους καὶ κέραμον καὶ χαλκὸν καὶ σίδηρον καὶ μόλυβδον καὶ σχεδὸν ὥσπερ τῷ πυρὶ καὶ τούτῳ πάντ' εἶναι βάσιμά τε καὶ πόριμα, μηδεμίας οὐσίας ὑπομενούσης αὐτὸ μηδ' ἀντιστῆναι, ἢ ἀντισχεῖν τῷ βιαίῳ τῆς διεξόδου δυναμένης. εἶναι γὰρ δὴ καὶ λεπτομερὲς αὐτὸ, παραπλησίως τῷ πυρὶ, καὶ τούτου μαρτύριον οὐ σμικρὸν μὲν οὐδὲ τὴν ἀφὴν ὑπάρχειν, ἀλλὰ γευομένοις τοιοῦτον φαίνεσθαι καὶ διηθεῖσθαι τῶν λεπτοτάτων ὑφασμάτων, ἑτοιμότερον ὕδατος καὶ πάντα διαβιβρώσκειν, ὡς ὀλίγῳ πρόσθεν εἴρηται. καὶ τί γὰρ ἄλλο ἢ πῦρ τῷ λόγῳ τὸ ὄξος ἀποφαίνουσιν; ὥσπερ ἀμέλει καὶ οἱ τῇ ψύξει φάσκοντες αὐτὸ διαλύειν τοὺς θρόμβους, ἐκ τοῦ θλίβειν τε καὶ πιλεῖν καὶ σφίγγειν, ἅπαντα πανταχόθεν ὥσπερ ἂν εἰ καὶ τοῖς δακτύλοις τις τοῖς ἑαυτοῦ ἔθλασε λαμβάνων. [17] ὑπερεκπίπτουσι δὲ καὶ αὐτοὶ πάλιν εἰς τοσοῦτον, ὡς καὶ τῆς χιόνος ἀποφαίνειν αὐτὸ ψυχρότερον. ἀλλὰ τῆς μὲν

lidi secare atque dividere: id quod in primis efficere acetum valet, quippe quod secet atque erodat non modo animantium corpora, sed et grumos, callos, lapides, fictile, aes, ferrum, plumbum; ac tantum non velut ignis cuncta pervadat ac penetret, nec ulla possit substantia penetrationis ejus vehementiam aut sustinere, aut illi reluctari ac resistere; nam subtile haud secus esse atque ignem, non levi testimonio illi tactum esse: quin et gustantibus ita videri et per subtilissima vestimenta promptius aqua perfluere omniaque exedere, uti paulo supra diximus. Et quidnam obsecro aliud ipsum actum his verbis quam ignem pronunciant? Non aliter quam qui frigore grumos ipsum solvere contendunt, premendo videlicet, densando ac omnia undequaque stringendo, ac si quis digitis amplectens compresserit. Nam hi rursum adeo excedunt, ut et nive frigidius ipsum adstruant. Sed utrorumque castiganda immoderatio est.

ἀμετρίας ἑκατέροις ἐπιτιμῆσαι δίκαιον. οὔτε γὰρ εἰ ψυχρὸν, ἤδη καὶ χιόνος ἀποφαίνειν αὐτὸ ψυχρότερον· οὔτε εἰ θερμὸν, θερμότατον. οὐδὲ γὰρ οὐδ᾽ ἂν ἠμφισβητεῖτο περὶ τῆς δυνάμεως αὐτοῦ, μὴ παρὰ τὸ μέσον πως τεταγμένου καὶ πολὺ τῶν ἄκρων ἑκατέρων ἀποκεχωρηκότος. οὔτε γὰρ περὶ κωνείου τις ἢ μανδραγόρου τῆς δυνάμεως ἠμφισβήτησεν οὐθ᾽ ὑπὲρ καρδαμώμου καὶ κάγχρυος, ἀλλὰ τὰ μὲν ἅπασι τοῖς ἰατροῖς ὡμολόγηται ψυχρὰ, τὰ δὲ θερμά. κατὰ δὲ τὸν αὐτὸν τρόπον ὑοσκύαμος μὲν καὶ μηκώνιον ψυχρὰ, πέπερι δὲ καὶ νᾶπυ θερμά. καὶ πρὸς τούτοις ἕτερα μυρία τὰ μὲν δυνάμει θερμὰ, τὰ δὲ ψυχρὰ, πᾶσι τοῖς ἰατροῖς συμπεφώνηται.

Κεφ. κγ΄. Τὸ δ᾽ ὄξος, ὥσπερ οὖν καὶ τὸ ῥόδινον, ὅτι μὲν οὔτ᾽ ἄκρως ψυχρὸν οὔτε θερμόν ἐστιν, ἐξ αὐτοῦ τοῦ διστάζεσθαι πρόδηλον. οὐδέτερον δέ πως ἑκάτερον αὐτῶν ἀναγκαῖον εἶναι. τριχῶς δὲ τῶν οὐδετέρων λεγομένων, ὥσπερ καὶ Ἡρόφιλος διῃρεῖτο, τῶν μὲν τῷ μετέχειν ἴσον ἀμφοτέρων τῶν ἄκρων, τῶν δὲ τῷ μηδετέρου, τῶν δὲ νῦν μὲν τοῦδε, νῦν δὲ τοῦδε, πάντως που καὶ ταῦτα ἢ κατά τι τῶν σημαι-

Neque enim ut frigidum fit, jam nive frigidius; neque ut calidum, omnium calidiffimum pronunciandum eft; fiquidem nifi juxta medium foret ac longe ab extremorum utroque diffitum, non tanta incidiffet de facultate ejus controverfia. Nam de cicutae aut mandragorae viribus nemo ambigit, neque de nafturtii et canchryos: verum illa omnibus medicis in confeffo eft facultate effe frigida, haec vero calida· eundem in modum altercum et meconium frigida, piper et napy calida. Ad haec innumera funt alia, quae facultate aut effe calida aut frigida, uno ore medici omnes fatentur.

Cap. XXIII. Caeterum acetum, ficut utique et rofaceum, neque effe fumme calidum, neque rurfum fumme frigidum, ex ipfa dubitatione fatis conftat: neutrum vero quodam modo, utrumque horum fit neceffe eft. Siquidem quum neutra tripliciter dicantur, uti divifit Herophilus, partim amborum extremorum participatione, partim neutrius, partim nunc illius, nunc hujus, omnino et haec aut aliquo

νομένων, ἤ τινα τῆς τῶν οὐδετέρων ἐστὶ φύσεως. ἐμοὶ μὲν δὴ μᾶλλον δοκεῖ, τῷ μετέχειν ἑκατέρων τῶν ἄκρων καὶ τῷ νῦν μὲν θερμαίνειν αἰσθητῶς δοκεῖν, αὖθις δὲ ψύχειν. οὕτως οὖν οὐδέτερα λεχθείη ἂν καὶ ὄξος καὶ ῥόδινον. εἰ δέ τις καὶ τῷ μηδετέρου τῶν ἄκρων μετέχειν ἐπιχειρήσειεν οὐδέτερα δεικνύειν, εὐπορήσει μὲν ἴσως καὶ οὗτός τινων λόγων πιθανῶν, οὐ μὴν ἀποδεικτικῶν τε καὶ ἐπιστημονικῶν. ἀκριβῶς τοῦτο γινώσκειν μοι δοκῶ, καὶ μάλιστα περὶ ὄξους. τὸ μὲν γὰρ ἑκατέρους εὐπορεῖν ἐπιχειρημάτων πιθανῶν, τούς τε ψυχρότατον ἀποδεικνύντας αὐτὸ καὶ τοὺς θερμότατον, οὐ σμικρὸν τεκμήριόν ἐστι τοῦ μετέχειν ἀμφοτέρων αὐτό. χαλεπὸν μὴν ἱκανῶς πιστώσασθαι τῷ λόγῳ τὴν τῶν ἐναντίων μέθεξιν, οὐκ ἔχοντας λῦσαι καὶ σχίσαι τὴν οὐσίαν αὐτοῦ, καθάπερ ἐπί τε γάλακτος ἐργαζόμεθα καὶ ἄλλων παμπόλλων, ἃ προϊὼν ὁ λόγος ἐκδείξει πάντα. καὶ διὰ τοῦτο ἐναργεστέρας καὶ ἀκινδυνοτέρας ἀρχῆς ἐπιλαβέσθαι ποθοῦμεν. ἔστι δὲ, ὡς ἐμοὶ φαίνεται, τὴν ἀρχὴν ἐκείνην θηρατέον, ἐκ τῆς λεπτο-

fignificatorum aut aliquibus, ex neutrorum natura fuerint. Mihi fane magis videntur utriusque extremorum participatione; et quod nunc fenfibiliter calefacere videantur, nunc rurfum refrigerare. Sic ergo neutra dici poffint acetum et rofaceum. Quod fi quis ea neutra oftendere conetur, quia neutrum extremorum participent, ne illi quidem etiam forte probabiles quaedam rationes deerunt, fed non erunt demonftratoriae ac fcientificae. Id me exacte compertum habere confido et maxime de aceto. Nam quod fuae utrisque fint rationes probabiles, tum iis qui frigidiffimum demonftrant tum iis qui calidiffimum, non parvum indicium eft ipfum utriusque effe particeps: admodum tamen difficile eft rationi contrariorum participationem concedere, quum non liceat fubftantiam ejus aut folvere, aut fcindere, velut in lacte facimus et aliis compluribus quae omnia fermonis progreffus aperiet. Proinde evidentius magisque periculo vacans principium optamus affequi. Porro ut mihi quidem videntur, indagandum illud principium eft ex na-

μερους τε καὶ παχυμεροῦς φύσεως, ὑπὲρ ἧς εἴρηται μέντοι μοι καὶ πρόσθεν, ἀλλὰ καὶ νῦν ἄμεινον ἐπιπλέον ὑπὲρ αὐτῆς διελθεῖν, ἐπειδὴ καὶ Πλάτων φησὶ, περὶ τῶν ἀρχῶν χρὴ τοὺς πλείστους γίγνεσθαι λόγους.

Κεφ. κδ΄. Τὸν ἀέρα τοίνυν οὐκ ἔστιν ὅστις οὐκ εἶπε λεπτομερῆ, τῷ καταθραύεσθαι δηλονότι ῥᾳδίως εἰς λεπτὰ μόρια καὶ διὰ πυκνοτάτων σωμάτων ἑτοίμως διέρχεσθαι, [18] ἢ, εἴπερ ἐξ ἄλλου τινὸς ἐπιφέρουσιν αὐτῷ τὸ λεπτομερὲς ὄνομα, διδασκόντων ἡμᾶς σαφῶς. οὐ γὰρ δὴ ἐξ ὄγκων γε λεπτῶν, ὡς οἱ τῆς ἑτέρας αἱρέσεως εἴποιεν ἂν ἡγεμόνες, ἐροῦμεν καὶ ἡμεῖς συγκεῖσθαι τὸν ἀέρα. συνεχὴς γάρ ἐστιν καὶ εἷς ὅλος, οὐδαμόθι κενὸν ἐν ἑαυτῷ περιέχων οὐδέν. ἐν δὲ τοιαύτῃ φύσει σώματος ἡ λεπτομέρεια, τῷ τάχει τῆς εἰς μικρὰ διαιρέσεως ἐπινοεῖται μόνῳ. ἀλλ' εἴπερ διὰ τοῦτο λεπτομερὴς ὁ ἀὴρ, οὐχ ἅπαν πῦρ ἔσται λεπτομερές. ἔστι μὲν γὰρ δήπου καὶ χαλκὸς καὶ σίδηρος καὶ λίθος καὶ ξύλον καὶ πᾶν ὅπερ ἀνθρακωθῇ πῦρ, οὐ μὴν λεπτομερέστερον νῦν ἢ πρόσθεν. αἱ μέντοι φλόγες,

turae tum tenuitate tum craſſitie, de qua dictum quidem ſupra eſt, verum nunc quoque copioſius de illa diſſerere expedit, quandoquidem et Plato de principiis longum haberi ſermonem oportere prodidit.

Cap. XXIV. Igitur nemo aërem non dicit eſſe tenuium partium, quod videlicet in tenues facile partes comminuatur, quodque per corpora denſiſſima expedite penetret, aut ſi ex alia re quapiam tenuitatis partium vocabulum illi attribuant, clare nos doceat. Nec enim ex corpuſculis exilibus tenuibusque, ut alterius ſectae principes aſſerunt et nos quoque aërem conſtitui fatebimur: nam continuus eſt totusque unus, nihil usquam in ſe vacui continens. Porro in ejusmodi corporis natura tenuitas partium intelligitur ex ſola in tenuia diviſionis celeritate. Verum ſi ea ratione aër eſt tenuium partium, haud omnis ignis tenuium erit partium, quippe quum aes, ferrum, lapis, lignum atque adeo quicquid in carbonem verti poteſt, ſit ignis, non tamen quam antea tenuiorum partium: flammae tamen, quum aliud ſint

Ed. Chart. XIII. [18.] Ed. Bas. II. (11. 12.)
ἕτερόν τι γένος πυρὸς, ὄντως εἰσὶ λεπτομερεῖς. οὔτ' οὖν πᾶν πῦρ λεπτομερὲς οὔτε λεπτομερὲς ἅπαν πῦρ. ὅτε γὰρ ἄνθραξ πῦρ μὲν, οὐ λεπτομερὲς δὲ, ὅ τε ἀὴρ λεπτομερὴς μὲν, οὐ πῦρ δὲ, τί ποτε ἐξ ἑτοίμου λαμβάνουσιν ὀλίγου δεῖν ἅπαντες ἰατροί τε καὶ φιλόσοφοι τὰς προτάσεις πάσας, τήν τε τὸ πῦρ ἅπαν ἀποφαίνουσαν λεπτομερὲς τήν τε τὸ λεπτομερὲς ἅπαν πυ(12)ρῶδες; εἰ γὰρ ἐπιστήσειέ τις ἀκριβῶς καὶ προσέχοι τοῖς πράγμασιν τὸν νοῦν, οὐκ ἂν εἴποι τὸν ἄνθρακα λεπτομερέστερον ἀέρος. ἀναμνησθῶμεν γὰρ ἐν κρύει σφοδρῷ καὶ βορείᾳ καταστάσει τὸ καθαρὸν τοῦ περιέχοντος ἡμᾶς ἀέρος καὶ παραβάλλωμεν αὐτὸν, εἰ βούλει, σιδήρῳ διαπύρῳ· γνωσόμεθα γὰρ ἐκ τῶν τοιούτων παραδειγμάτων, ὡς ἔστι τι καὶ ψυχρὸν ἀκριβῶς λεπτομερὲς καὶ θερμὸν παχυμερές.

Κεφ. κέ. Ὥσθ' ὅταν ἐπὶ τοῦ δακνῶδες εἶναι τὸ ὄξος, ὅτι λεπτομερές ἐστι καὶ θερμὸν ἀναλογίζονταί τινες,

ignis genus, re vera tenuium partium sunt. Quocirca non omnis ignis est tenuium partium, neque quicquid tenuium partium, protinus et ignis fuerit: siquidem et pruna ignis quidem est, sed non tenuium partium, et aër tenuium partium, verum non ignis. Quid ergo tam in promptu habent hasce propositiones utrasque tum medici tum philosophi paulo minus omnes, omnem ignem esse tenuium partium et quicquid tenuium partium sit esse igneum? Nam si acrius quis attenderit animumque diligenter advertat, haudquaquam dixerit prunam aëre tenuiorum esse partium. Memoria namque repetamus ambientis nos aëris puritatem, ac partium tenuitatem in vehementi frigore et boreali constitutione: ipsamque, si lubet, cum ferro componamus ignito: manifesto enim ex illiusmodi exemplis cognoscemus frigidum quid esse quod sit exacte tenuium partium, et calidum quod sit crassarum.

Cap. XXV. Quocirca haud concedendum arbitror quibusdam qui acetum ex eo quod mordax sit, tenuium

οὐ συγχωρητέον αὐτοῖς. οὐ γὰρ ἅπαν τὸ λεπτομερὲς θερμὸν ἴσως μὲν οὖν οὐδὲ τὸ δακνῶδες ἅπαν λεπτομερές. ἀλλ' ἔν γε τῷ παρόντι συγκεχωρήσθω, καίτοι γ' εἴχομεν λέγειν καὶ χιὼν καὶ βοῤῥᾶς καὶ ὕδωρ ψυχρὸν, οὐκ ὀφθαλμοῖς μόνον, ἀλλὰ καὶ τοῖς ἕλκεσι καὶ πᾶσι τοῖς ἀραιοῖς σώμασιν ὑπάρχει δακνῶδες· καθότι καὶ Ἱπποκράτης ἔλεγεν τὸ μὲν ψυχρὸν δακνῶδες· ἀλλ' εἰ καὶ τοῦτό τις, ὡς ἔφην, συγχωρήσειε, τὸ πᾶν δακνῶδες εἶναι καὶ λεπτομερὲς, οὐκ εὐθὺς καὶ θερμὸν εἶναι συγχωρήσει. οὔκουν τὸ ὄξος, ὅτι δακνῶδες, διὰ τοῦτο καὶ θερμὸν, ἀλλὰ λεπτομερὲς μὲν ὥσπερ ἀὴρ βόρειος, οὐ μὴν θερμόν γε.

Κεφ. κστ'. Πόθεν οὖν ἐνίοις αἴσθησις γίνεται θερμότητος ἀμυδρᾶς; τάχα μὲν, ὡς ἔφην καὶ πρόσθεν, ἐξ ἐναντίων σύγκειται δυνάμεων, ὁμοίως τῷ γάλακτι, τάχα δὲ καὶ τῷ θερμότητος ἐπανάκλησιν ποιεῖσθαι. δύναιτο δ' ἂν καὶ τὸ τραχεῖάν τε καὶ ἀνιαρὰν ἔχον τὴν διέξοδον ἄλγημα ποιεῖν, ἐπισπᾶσθαί τε ῥεῦμα θερμὸν τῷ τόπῳ. καὶ γὰρ τοῦτο ἐναργές ἐστιν, ὡς ἐπιῤῥεῖ τι τοῖς ὀδυνωμένοις μορίοις. ἀλλὰ

partium et calidum esse colligunt: nec enim quidquid tenuium partium fuerit, id et calidum est: forte vero nec quicquid mordax fuerit, et tenuium partium. Verum in praesens id illis detur, tametsi afferre liceret nivem, boream, aquam frigidam non oculis duntaxat, sed et ulceribus et raris corporibus omnibus mordaces, uti Hippocrates inquit, *ulceribus frigidum mordax.* Verum etiam si quis et illud, ut dixi, concedat, quicquid mordax fuerit esse tenuium partium, non statim et calidum concesserit. Itaque nec acetum proinde quod mordax sit calidum fuerit, sed tenuium partium, uti aër borealis, non tamen calidum.

Cap. XXVI. Undenam igitur quibusdam obscurae cujusdam caliditatis sensus oboritur? Fortassis, ut ante dixi, ex contrariis facultatibus compositum est perinde ut lac, forte vero caloris ipsius revocatione. Possit etiam, quum asperum molestumque habeat transitum, dolorem inde ciere atque eum in locum calidam elicere fluxionem, siquidem id palam est, partibus dolentibus quippiam influere.

πολὺ μὲν οὐκ ἂν ἐπιῤῥυῇ, τῷ ψυχρὸν εἶναι τὸ ὄξος καὶ ἀποκρούεσθαι τὸ ἐπιφερόμενον. ὅσον δ᾽ ἀκριβῶς λεπτόν ἐστι, [19] διαφεῦγον τοῦτο τὰς λαβὰς τοῦ φαρμάκου παραῤῥεῖ τε καὶ στηρίζεται κατὰ τὸ μόριον, οὐκέτι παλινδρομοῦν, ὥσπερ τὸ παχύτερον, ὀπίσω. φαίνεται γὰρ οὖν δὴ καὶ λεπτὸν ἀκριβῶς ἐπανθοῦν ἔρευθος τοῖς ὑπ᾽ ὄξους ἐρεθισθεῖσι μορίοις. ἴσως δὲ καὶ ἄλλη τίς ἐστιν αἰτία γνωσθῆναι μὴ δυναμένη. δι᾽ αὐτὸ γὰρ δὴ τοῦτο καὶ πόῤῥωθεν ἄρχεσθαι τῆς τῶν δυνάμεων ἐξετάσεως ἐκώλυον, ὅτι περιπίπτειν ἀναγκαῖόν ἐστι φυσικοῖς προβλήμασιν, οὐ σμικρὰς ἔχουσιν ἀπορίας· ἡμῖν δὲ νῦν οὐχ ὡς φυσικοῖς ἀνδράσι πρόκειται πάντων τῶν πραγμάτων τὰς αἰτίας ἐξευρίσκειν, ἀλλὰ τὰς δυνάμεις τῶν φαρμάκων ἐπιγνῶναι, πρὸς τὸ χρήσασθαί τε δεξιῶς αὐτοῖς ἀγαθούς τε δημιουργοὺς γίγνεσθαι τῶν συνθέτων. ὅτι γὰρ οὐχ οἷόν τε καλῶς οὔτ᾽ αὐτὸν συνθεῖναι φάρμακον οὔθ᾽ ὑπ᾽ ἄλλου συγκειμένῳ χρήσασθαι, πρὸ τοῦ τὰς τῶν ἁπλῶν φαρμάκων δυνάμεις εἰδέναι, διά τε τῆς θεραπευτικῆς μεθόδου καὶ τῆς περὶ

Verum multum influere nequeat, quandoquidem acetum frigidum eſt et proinde id quod accurrit repellens. At quod plane tenue eſt, id medicamenti anſas effugiens praeterlabitur atque in parte figitur, haud etiam retrorſum, ſicut id quod craſſum eſt, repulſum. Sane ad unguem tenuis quidam effloreſcere rubor in partibus ab aceto irritatis conſpicitur. Forte vero alia cauſa eſt quae comprehendi nequeat. Nam ob id ipſum procul ordiendam facultatum explorationem prohibuimus, quia in naturalia incidere problemata neceſſe eſt, eaque non levibus ambiguitatibus perplexa. Nobis autem haud ſtatutum nunc eſt, ſicut iis qui naturam rerum ſcrutantur, omnes omnium rerum cauſas exquirere, verum medicaminum facultates cognoſcere, quo et illis dextre uti et boni compoſitorum evadere artifices poſſimus. Nam quod ſit impoſſibile, aut probe ipſum medicamentum componere, aut eo quod ab alio compoſitum eſt idonee uti, antequam ſimplicium medicaminum facultates pernoveris, abunde in libris tum de curandi ratione tum de medicami-

συνθέσεως φαρμάκων ἱκανῶς ἐπιδείκνυται. τοῦτον οὖν τὸν σκοπὸν ἐχούσης τῆς ἐνεστώσης πραγματείας, ἐπειδὰν πρῶτον εὕρωμεν τὸ πρὸς αὐτῶν χρηστὸν, ἀποχωρεῖν δεῖ προβλημάτων φυσικῶν, ἀπορίας ἐχόντων συχνάς. ὑπὸ τίνος γὰρ κράσεως ἐν τῷ καθόλου πέφυκεν ὀξύτης καὶ γλυκύτης καὶ πικρότης, ἁλυκότης τε καὶ αὐστηρότης καὶ δριμύτης, ἑκάστη τε τῶν ἄλλων ποιοτήτων γίγνεσθαι; καὶ αὐτοῖς τοῖς φυσικοῖς ἀνδράσι ζητοῦσιν ἀπορίαι μέγισταί τε καὶ πάμπολλαι κατὰ τοὺς λόγους ἀναφαίνονται. ταύτας οὖν ἐγὼ φυλάττεσθαι παραινῶ καθάπερ τινὰ κρημνὸν, ἔχοντάς γε λεωφόρον ὁδὸν, ᾗ κρίνειν ἐγχωρεῖ τὰ φάρμακα, καὶ πρῶτον μὲν ὅπερ ἤδη μοι καὶ μικρὸν ἔμπροσθεν εἴρηται, λογίζεσθαι τὸ μηδεμίαν ἀμφισβητεῖσθαι δύναμιν τῶν ἰσχυρῶς θερμαινόντων ἢ ψυχόντων φαρμάκων, ἀλλ᾽ οἷς τοῦτο συμβέβηκεν, οὐδετέρας ὑπάρχειν. ἔπειτα δὲ ὡς ἐξ ἐναντίων δυνάμεων σύγκειται πολλὰ τῶν ἁπλῶν ὡς πρὸς αἴσθησιν. οὐ γὰρ τὸ γάλα μόνον, ἀλλὰ καὶ τὰ θειώδη καὶ τὰ ἀσφαλτώδη καὶ τὰ νιτρώδη καὶ πάνθ᾽ ὅσα τοιαῦτα τῶν αὐτο-

num compofitione confcriptis oftenditur. Quum ergo is nobis in hac tractatione propofitus fit fcopus, ubi primum quod ab illis utile eft invenerimus, a phyficis problematis recedendum eft, quae innumeris dubitationibus funt intricata; quippe quum in qua in univerfum temperatura, aciditas, dulcedo, lentor, amaritudo, falfedo, aufteritas, acrimonia et aliarum qualitatum fingulae provenire funt natae, phyfici viri fcrutari nituntur, haefitationes tum plurimae tum maximae in oratione exiftere affolent. Has ego non fecus vitandas cenfeo quam quaedam praecipitia, quum praefertim ad manum fit via regia, qua medicamenta judicare liceat. Primumque, quod paulo ante praecepi, perpendendum nullam in ambiguo effe facultatem eorum medicamentorum quae vehementer aut excalfaciunt aut frigefaciunt: verum de quibus ambigitur neutra fint neceffe effe: deinde pleraque ut ad fenfum fimplicia ex pugnantibus conftare facultatibus; non enim folum lac, fed etiam fulfurofae, bituminofae, nitrofae et quaecunque ejus funt

φυῶν ὑδάτων ἐστὶν, ἐξ ἐπιμιξίας ἐγένετο τῶν ἐναντίων δυνάμεων, εἴ γε ψυχρὸν μὲν καὶ ὑγρόν ἐστι κατὰ τὴν ἑαυτοῦ φύσιν τὸ ὕδωρ, ἄσφαλτος δὲ καὶ θεῖον καὶ μῖσυ καὶ χαλκῖτις καὶ τἄλλα τὰ τοιαῦτα θερμά. μεμνῆσθαι δὲ καὶ τοῦ πολλὰ μὲν τῶν θερμῶν εἶναι παχυμερῆ, πολλὰ δὲ τῶν ψυχρῶν λεπτομερῆ καὶ κατὰ ταύτας τὰς ἀρχὰς ἀσφαλῶς ἀποφαίνεσθαι περὶ τῆς τῶν φαρμάκων δυνάμεως. αὐτίκα γὰρ ἀρκεῖ λεπτομερὲς εἰπεῖν. καὶ ψυκτικὸν καὶ ξηραντικὸν τὸ ὄξος, ἀποχωρήσαντα τῶν φυσικωτέρων ὑπὲρ αὐτοῦ λογισμῶν. ἐκ γὰρ τοῦ ταῦτα γινώσκειν εἴσεταί τις ὅπως χρὴ μιγνύναι τοῖς ἄλλοις φαρμάκοις αὐτό.

Κεφ. κζ'. Ταῦτα μὲν οὖν μέμφομαι τοῖς ἀδολεσχήσασιν περὶ τῆς δυνάμεως αὐτοῦ μακρὰ, καὶ τούτων ἔτι μᾶλλον ὀλίγου δεῖν ἅπασι τοῖς ἰατροῖς, ὅτι μὴ διεστήσαντο κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον ἁπάντων τῶν ἁπλῶν φαρμάκων ἤρκεσεν αὐτοῖς ταυτὶ μὲν, εἰ τύχοι, θερμαίνειν φάναι, ταυτὶ δὲ ψύχειν, καὶ ταυτὶ μὲν ξηραίνειν, ταυτὶ δὲ ὑγραίνειν, οὐ γὰρ τοῦτο χρήσι[20]μον ἁπλῶς οὑτωσὶ γνω-

generis fponte provenientium aquarum, ex pugnantium facultatum mixtura nafcuntur; fiquidem aqua ex fua natura frigida eft et humida, bitumen autem, fulfur, mify, chalcitis et ejus generis alia calida. Meminiffe vero etiam oportet calidorum haud pauca craffae effe effentiae: nec pauciora frigidorum tenuis: ac fecundum haec principia tuto de medicaminum viribus pronunciare. Sat igitur fuerit tenuium partium refrigeratorium exiccatoriumque acetum dixiffe, omiffis fuper illis rationibus nimis phyficis, nam ex illorum fcientia, quo pacto aliis medicamentis mifceri ipfum liceat cognoveris.

Cap. XXVII. Quocirca non poffum eos non culpare qui de viribus ejus prolixa quaedam nugantur et garriunt: magis etiam paulo minus medicos omnes quibus curae non fuit fimplicium omnium medicamentorum in majoris minorisque ratione vires difcernere; fed fatis eis fuit haec quidem verbi caufa calefacere dixiffe, illa vero refrigerare; tum haec humectare, ifta exiccare. Nec enim abfolute fic

σθὲν, ἀλλὰ μέχρι πόσου μὲν ψύλλιον ψύχει, μέχρι πόσου καὶ στρύχνος ἢ σκάνδυξ ἢ ψιμμύθιον, ἀνδράχνη τε καὶ θριδακίνη, καὶ μέχρι πόσου μὲν κασία θερμαίνει, μέχρι δὲ πόσου κινάμωμον, ἢ ἄμωμον ἢ ἀμάρακον. οὕτω δὲ καὶ ἐπὶ τῶν ξηραινόντων τε καὶ ὑγραινόντων ταῖς δυνάμεσι φαρμάκων, οὐ τὸ καθόλου μόνον ἐπίστασθαι χρὴ, ἀλλὰ τί μὲν πρῶτον ἀποκεχώρηκεν τοῦ συμμέτρου τε καὶ μέσου τῶν ἐναντίων ταῖς δυνάμεσιν, τί δ᾽ ἐφεξῆς ἐκείνῳ, καὶ τρίτην δὴ καὶ τετάρτην καὶ πέμπτην, εἰ δυνατὸν, ἀπόστασιν οὕτω διαστείλασθαι, σαφέσιν ὅροις ὁρισάμενον. ἐν γὰρ τῇ τοιαύτῃ τῶν δυνάμεων ἐπιγνώσει τό τε τοῖς ἁπλοῖς αὐτοῖς χρῆσθαι τεχνικῶς καὶ τὸ συνθεῖναι δύνασθαι κατὰ μέθοδον ἡμῖν ὑπάρξει, καὶ πρὸς τούτοις καὶ αὐτοῖς ἤδη συγκειμένοις ὀρθῶς χρήσασθαι. ἔστι μὲν οὖν χαλεπώτατον τοῦτο καὶ πολλῆς ἀκριβείας τε καὶ τριβῆς δεόμενον, ἄρχεσθαι μὲν γὰρ ἀπὸ τῆς πείρας ἐν ἅπασι τοῖς τοιούτοις ἀναγκαῖόν ἐστιν, ὥσπερ ἤδη εἴρηται, ἀσφαλῶς δὲ συλλογίσασθαι φυλαττό-

noviffe expedit, fed quatenus pfyllium refrigeret, quatenus folanum, aut fcandix, aut ceruffa, aut portulaca, aut lactuca: tum quatenus excalfaciat cafia, quatenus cinnamomum, aut amomum, aut cardamomum, aut majorana. Sic et in humectantibus et exiccantibus facultate pharmacis; non enim utile eft generale folum noviffe, verum quid primum receſſerit a fymmetro et medio contrariorum facultatibus: deinde quid illi proximum, tum tertium, quartum quintumque, fi fieri poteft, receffum five ordinem planis limitibus difcernentem definire oportet. Quandoquidem in tali facultatum notitia, tum artificialis fimplicium ufus conftitutus eft, tum a ratione proficifcens ac methodo compofitio. Facitque praeter haec, ut quae compofita jam funt, rite ufui accommodare poffis. Sane id quidem difficultatis atque laboris pleniffimum eft multamque pofcens tum diligentiam tum ufum. Ab experientia vero aufpicari in id genus omnibus neceffe eft, velut jam propofitum eft: tum tuto ac diligenter colligere ambiguis quaeftionibus fe impli-

μενον ἐμπλέκειν ἑαυτὸν ἀπόροις ζητήμασιν. ᾧ καὶ θαυμάσειεν ἄν τις τῶν τὰ τοιαῦτα ζητησάντων, ὁρῶν περιπίπτοντας αὐτοὺς ἑαυτῶν χερσὶν ἐν τοῖς πλείστοις οἷς ζητοῦσί τε καὶ γράφουσιν, ὥσπερ Ἡρόδοτον.

Κεφ. κη'. Ἐξ ἁπάσης γὰρ τῆς παλαιοτάτης ἱστορίας ἀρχόμενοι τῶν συνθέτων φαρμάκων, ἐπὶ τὴν ἐξέτασιν ἔρχονται τῶν ἐν αὐτοῖς ἁπλῶν. ἐπειδὴ τοῖσδέ τισι τῶν φαρμάκων θερμαίνουσιν, εἰ τύχοι, μέμικται τὸ ὄξος, οὕτως ἤδη καὶ αὐτὸ θερμὸν ἀποφαίνοντες. οὔτε γὰρ εἰ καλῶς μέμικται δῆλον τῷ πρὶν ἐξευρεῖν αὐτοῦ μόνον τὴν δύναμιν, οὔτ' εἰ καὶ συγχωρηθείη, γινώσκομεν ἤδη τὴν μέθοδον τῆς συνθέσεως τῶν φαρμάκων, ᾗ κρίνοντες ἐξευρήσομεν ᾧτινι μέμικται λόγῳ θερμαίνουσιν πολλοῖς φαρμάκοις ἓν ἐμψυχον, ἢ δὴ διαψύχουσιν θερμαῖνον. ὅτε δὲ καὶ διαθέσεων ἀδήλων μνημονεύωσιν πρὸς ἃς ἁρμόττειν δοκεῖ, κἄπειτα δογματικαῖς ὑπολήψεσιν συνάπτωσιν παραλογισμοὺς ἑτέρους, ἐκ ζητουμένων ζητούμενα καὶ ἐξ ἀδήλων ἄδηλα

care cavendo. Eoque mirari quispiam possit eos qui talia exquirunt, quum illos implicantes sese quaestionibus scriptisque animadvertat, quemadmodum consuevit Herodotus.

Cap. XXVIII. Siquidem ab omni vetustissima compositorum medicaminum historia orsi ad expendenda quae in illis sunt simplicia transeunt. Ac quoniam his, exempli causa, calfacientibus medicamentis admixtum invenitur acetum, proinde et ipsum esse calidum contendunt. Neque enim an recte admixtum fuerit, constare potest priusquam ejus seorsum vim totam perspexeris. Neque si id detur, etiam nota est componendorum medicaminum ratio, per quam judicantes inveniemus qua ratione multis excalfacientibus medicamentis unum admixtum sit frigidum: aut certe refrigerantibus quod calfaciat. Porro ubi etiam latentes affectus memorant, ad quos congruere videantur, ac deinde dogmaticis opinionibus paralogismos connectunt, ex quaerendis quaerenda, ex obscuris obscura invicem colli-

δι' ἀλλήλων συλλογιζόμενοι, τότε δὴ καὶ μάλιστα καταμαθεῖν ἐστιν αὐτῶν τὴν ἀδολεσχίαν.

Κεφ. κθ'. Τῷ γὰρ λέγειν ὅτι καὶ τοῖς ἐμπειρικοῖς ἀφορμὴν ἀντιλογίας πα(13)ρασκευάζουσιν, ἐξ ὧν ἑτοίμως πιστεύουσιν ἁπάσαις ταῖς συνθέτοις δυνάμεσιν, ὥσπερ οὐκ ἐγχωρεῖν ἡμαρτῆσθαί γε πολλὰς αὐτῶν καὶ μοχθηρῶς συγκεῖσθαι. φήσουσι γὰρ οἶμαι καθάπερ καὶ λέγουσι, μάτην ἡμῖν ζητεῖσθαι τὰς πρώτας τε καὶ δραστικὰς δυνάμεις ἑκάστου τῶν φαρμάκων, φθανούσης τῆς ἐμπειρίας ἀναρίθμητόν τι ἔχειν φαρμάκων ἁπλῶν καὶ συνθέτων πλῆθος, ἃ καὶ παρ' αὐτοῖς πεπίστευται τοῖς μάτην ζητοῦσι [21] τὰς πρώτας δυνάμεις. εἰ γὰρ ἅπασαι μὲν αἱ κατὰ μέρος χρήσεις αὐτῶν γινώσκονταί τε καὶ συμφωνοῦνται πᾶσιν, αἱ δ' αἰτίαι καθ' ἃς ἐνεργεῖ μήπω συμπεφώνηνται, δῆλον ὡς οὐκ ἐκ τῆς τῶν πρώτων δυνάμεων γνώσεως οὔθ' ἡ σύνθεσις οὔθ' ἡ χρῆσις εὕρηται τῶν φαρμάκων, ἀλλ' ἡ μὲν ἐμπειρία ταῦτα συνέθηκεν, ὁ λόγος δ' ἄχρι τοῦ πιθανοῦ προέρχεται μόνον. ταῦτα μὲν οὖν καὶ τοιαῦθ' ἕτερα πολλὰ καλῶς δόξουσι

gentes, tum profecto vel maxime aliis fuas produnt ineptias ac nugas.

Cap. XXIX. Nam omitto quod empiricis etiam reprehenfionis locum ipfi exhibent, ex quo prompte compofitis facultatibus omnibus fidem habeant: tanquam fieri non poffet, ut pars magna earum errore non vacaret perperamque effet compofita. Dicent enim, arbitror, ficut fane dicunt, fruftra nos primas effectricesque cujusque medicaminis facultates exquirere, quum ab experientia inventa jam antea fit tum compofitorum tum fimplicium medicamentorum innumera multitudo, quibus et ipfi fidem habent qui fruftra primas facultates exquirunt. Quippe fi particulares eorum ufus omnes comperti fint, eosque unanimiter omnes praedicent, caeterum de caufis ob quas agunt, nondum conveniant, liquet non ex primarum facultatum notitia medicamentorum tum compofitionem tum ufum effe inventa, fed ea compofuiffe experientiam, at rationem ad probabilitatem usque duntaxat procedere. Haec atque ejusmodi alia multa

λέγειν οἱ ἀπὸ τῆς ἐμπειρίας ἰατροὶ πρὸς τοὺς ἅπασι τοῖς ὁπωσοῦν γεγραμμένοις φαρμάκοις πιστεύοντας, αἰτίας τε πιθανὰς ἐφαρμόττειν ταῖς ἐπαγγελίαις αὐτῶν προαιρουμένους. ἐγὼ δὲ πρὸς τούτοις ἔτι κἀκεῖνο εἴποιμ' ἄν, ὡς Ἡρόδοτος μὲν ἁπάσας τὰς ἄλλας αἱρέσεις μοχθηρὰς ὑπολαμβάνων, πλὴν τῆς πνευματικῆς, Μητρόδωρος δὲ πλὴν τῆς Ἀσκληπιάδου, καὶ Ζήνων πλὴν τῆς Ἡροφίλου, καὶ Ἑρμογένης πλὴν τῆς Ἐρασιστράτου, καὶ ἄλλος τις ἄλλος ἁπάσας πλὴν τῆς ἑαυτοῦ, περὶ τῶν συνθέτων φαρμάκων μόνων ἀβασανίστως πιστεύουσιν ἅπασι τοῖς συγγράμμασιν, εἴθ' ὁμοδόξων εἴτε καὶ τῶν ἐπιτυχόντων εἴη, καὶ πολλάκις γε αἰτίας ἀποδιδόναι πειρῶνται πιθανὰς κάκιστα συγκειμένων φαρμάκων· καὶ τὸ τούτου θαυμασιώτερον, ὅτι μηδεμίαν ἔχοντες ὧν ἐπαινοῦσι πεῖραν, ἀλλ' ἑτέροις πεπιστευκότες, ὥσπερ τις ἔναγχος ἐπαίνους μὲν διῄει πολλοὺς καὶ μεγάλους φαρμάκου ποδαγρικοῦ, μεταξὺ δ' αὐτοῦ λέγοντος ἐπιστάντος τινὸς ποδαγρικοῦ μετρίως οὕτως ἔχοντος ὡς βαδίζειν δύνασθαι, καὶ ἡμῶν κελευσάντων ἐπ' ἐκείνου πρώτου

qui experientiam profitentur medici rite in illos dicere videbuntur qui omnibus quomodocunque conscriptis pharmacis fidem habere non verentur, causas tamen probabiles interim titulis virium ac promissis eorum aptare nituntur. At ego nec illud quoque in illos addere gravabor, Herodotum alias sectas omnes pravas reputare praeter eam quae spiritibus omnia tribuit, Metrodorum omnes praeter Asclepiadeam, et Zenonem praeterquam quae ab Herophilo inventa est, et Hermogenem praeter eam quae Erasistratum auctorem habet, et alium atque alium omnes damnantem extra suam. De compositis tantum medicamentis citra probationem atque experimentum scriptis omnibus fidem tribuere, sive a sectae suae hominibus sint scripta sive diversae, sive etiam a quopiam ex plebe. Quin vero etiam causas subinde reddere conantur probabiles medicamentorum pessima ratione compositorum, et quod hoc est mirabilius, etiam si nullum eorum quae laudant fecerint periculum, sed aliis duntaxat

Ed. Chart. XIII. [21.] Ed. Baſ. II. (13.)
πεῖραν αὐτοῦ παρασχεῖν, ὁ μὲν ἐπέθηκε τῷ ποδὶ τὸ φάρμακον, ὁ δ' ἄνθρωπος ἄγρυπνός τε τῆς νυκτὸς ὅλης ἐγένετο καὶ κατὰ τὴν ὑστεραίαν οὐ μόνον οὐ βαδίζειν ὡς πρόσθεν, ἀλλ' οὐδὲ φέρεσθαι δυνατὸς ἦν. οὕτως ἀβασανίστως τε καὶ προπετῶς οἱ μὲν ἑτέροις πιστεύουσιν, οἱ δ' ἑκόντες ἄλλους ἐξαπατῶσιν. εἰ δὲ καὶ πᾶσαι καλῶς εἶχον αἱ συνθέσεις τῶν φαρμάκων ὧν μνημονεύουσιν, ἀλλὰ τήν γε χρεῖαν τῆς θεωρίας αὐτῶν ἀνατρέπουσιν ἐξ ὧν πράττουσιν. φασὶ γὰρ ἕνεκα τῆς τῶν συνθέτων φαρμάκων κατασκευῆς τε καὶ χρήσεως ἐπισκέπτεσθαι τῶν ἁπλῶν τὰς δυνάμεις, καὶ τούτων μάρτυρας ἐπικαλοῦνται σχεδὸν ἅπαντας τοὺς παλαιοὺς, Ἐρασίστρατον, Ἡρόφιλον, Φιλότιμον, Διοκλέα, Πραξαγόραν καὶ αὐτὸν Ἱπποκράτην. παραγενόμενοι δ' ἐπὶ τὴν ἐξέτασιν αὐτῶν, ὡς γινώσκουσιν ἡμῖν ἤδη τὰς συνθέτους δυνάμεις ἁπάσας, οὕτω διαλέγονται. καὶ πῶς οὐ μάτην ζητεῖτε τὰς τῶν ἁπλῶν, εἴποι τὶς οἶμαι πρὸς

credant; quemadmodum quum quidam nuper magnas multasque podagrici medicamenti laudes jactaſſet, atque eo etiamnum loquente ſorte ſortuna adveniſſet podagricus quidam, qui tam mediocriter laborabat ut incedere etiam poſſet, nosque juſſiſſemus in illo primum praeberet experimentum, ille acquieſcens pedi pharmacum appoſuit. At vir ille noctem totam inſomnem egit, ac poſtero die tantum abeſt ut commode ſicut antea incederet, ut ne geſtari quidem poſſet. Adeo citra ullam explorationem ac temere tum aliis quidem fidem habent, tum alios alii ſcientes ac ſponte fallere gaudent. Porro etiam ſi omnes medicamentorum quae memorant compoſitiones probe eſſent comparatae, tamen ſpeculationis eorum uſum iis quae factitant evertunt. Ajunt enim ad praeparanda medicamenta compoſita eaque rite utenda ſimplicium facultates inſpici ac conſiderari, inque eorum teſtimonium tantum non omnes veterum citant, Eraſiſtratum, Philotimum, Dioclem, Praxagoram et ipſum etiam Hippocratem. Porro ubi ad exploranda ea accedunt, ita nobiscum agunt, ac ſi omnes perſpectas jam haberemus facultates compoſitas. Atqui inquiet, opinor, ad eos quis-

αὐτοὺς, εἰ τὰς τῶν συνθέτων ἤδη γινώσκετε; εἰ γὰρ ὧν ἕνεκα τὴν ζήτησιν τῶν ἁπλῶν ἐνεστήσασθε, ταύτας ἤδη γινώσκετε, περιττὸν τὸ ζητεῖν ἐκείνας. εἰ καὶ τοῦτό τις αὐτοῖς συγχωρήσειεν, ἀλλὰ τό γε καὶ πρόσθεν ἤδη λελεγμένον οὐκ οἶδ᾽ ὅπως ἀνάσχοιτ᾽ ἄν τις, ὅταν ἐναντία τοῖς ἐναργῶς φαινομένοις, ἐκ λόγων μακρῶν ἐπιχειρῶσι κατασκευάζειν.

Κεφ. λ'. Ἤδη γάρ τινος εἰς τοσοῦτον ἐμπληξίας ἥκοντος ἐπειράθην, ὡς καταφρονεῖν ἀξιοῦντος τῶν αἰσθήσεων. ὃν εὐθὺς μὲν ἤρετό τις, εἰ τὸ λευκὸν αὐτῷ πέπερι δοκοίη θερμὸν ὑπάρχειν. ὁ δ᾽, ὡς τὸ εἰκὸς, ὡμολόγησεν, εἶτ᾽ αὖθις ἐρωτηθεὶς ὁπόθεν γινώσκεις τοῦτο; καὶ τοιοῦτον φαίνεσθαι φήσας, εἰκότως ὑπὸ τῶν παρόντων κατεγελάσθη μὴ συνιεὶς ὅπερ ἐφθέγγετο. τοῦτο γὰρ αὐτὸ τὸ φαίνεσθαι πιστὴν αὐτῷ τὴν αἴσθησιν ἀπέφαινεν, ἧς ὀλίγον ἔμπροσθεν ὡς ἀπίστου κατεγίνωσκεν. ἐπεὶ πόθεν, ὦ πρὸς θεῶν, ὅτι θερμόν ἐστι τὸ πῦρ ἴσμεν, ἐκ τίνος συλλογισμοῦ μα-

piam: quo pacto non frustra simplicium quaeratis facultates, si omnes compositorum jam noscitis? nam si quorum gratia simplicium facultates inquiritis, eas omnes jam novistis, supervacaneum est illas exquirere. Caeterum si vel hoc quoque quis illis concedat, saltem id quod et supra positum est nescio quo pacto quis perferat, quum pugnantia cum evidenter apparentibus prolixis rationibus adstruere conantur.

Cap. XXX. Siquidem in quendam etiam jam incidi tantae stupiditatis hominem, ut contemnendos esse sensus existimaret. Quem quum rogasset quis, num ipsi piper album videretur calidum, itaque ut par erat annuisset, rursumque alter perconctaretur unde id sciret, ac ille responderet, tale apparere: merito ab iis qui praesentes erant derisus est, qui quod diceret non intelligeret. Ipsum enim hoc apparere fidem haberi ab illo sensui indicabat, quem paulo ante tanquam fallacem contempserat. Nam per deos, unde ignem scimus calidum? aut quo syllogismo docti, aut

θόντες; ἢ διὰ ποίας ἀποδείξεως πιστωσάμενοι; πόθεν δ' ὅτι ψυχρὸς ὁ κρύσταλλος ἄλλοθεν ἢ ἐκ τῆς αἰσθήσεως ἐμάθομεν; εἶτά τις ταύτην ἐάσας ἀναπίμπλησι τὰ βιβλία προβλημάτων φυσικῶν, ἢ οὐκ ἐξ ἐκείνων ἐστὶ καὶ τὸ διὰ τίνα αἰτίαν ἀναζυμοῖ τὴν γῆν τὸ ὄξος; ἔνεστι γὰρ, οἶμαι, λέγειν ἡμῖν ὡς ἀγνοοῦμεν, ὥσπερ καὶ ἄλλα πολλὰ τῶν τοιούτων προβλημάτων. ἢν δέ τις ἐκ προχείρου λαμβάνῃ, διότι θερμὸν ἢ διότι ψυχρὸν, ἑκάτερα γὰρ λέγουσιν, εἰς ἀμφισβητουμένους καὶ εἰς ἀσαφεῖς ἑαυτὸν ἐμβάλλει λόγους.

Κεφ. λά. Ἐγὼ δὲ ἀγαπήσαιμ' ἂν, εἰ καὶ τὰ παρακείμενα τοῖς διὰ τῶν αἰσθήσεων φαινομένοις ἐξευρεῖν ἀκριβῶς δυναίμην, ἀφορίζων ἐν αὐτοῖς καὶ διακρίνων τὸ καθ' ἑαυτὸ τοῦ κατὰ συμβεβηκὸς, οἷον αὐτίκα θέρους ὥρᾳ πιόντες ὀξύκρατον ἔνιοι, σαφῶς ἐμψύχονταί τε καὶ ἄδιψοι διατελοῦσιν, ἀλλ' οὔπω δῆλον εἰ διὰ τὸ ὄξος, ὀλίγον γὰρ πολλῷ τῷ ὕδατι κεραννύντες αὐτὸ καὶ οὐδὲ θερμὸν, ἀλλὰ ψυχρὸν ὡς ἔνι μάλιστα προσφέρονται. τάχα οὖν τις φαίη, διότι βραδύτερόν ἐστι τὸ ὕδωρ καὶ πλεῖστον χρόνον ἐν τοῖς ὑποχονδρίοις δια-

qua demonſtratione perſuaſi? tum unde glaciem frigidam eſſe didicimus niſi ex ſenſu? Ac poſtea reperiantur qui ipſo ſenſu neglecto phyſicis problematis libros impleant. At non illo ex genere eſt, quam ob cauſam acetum terram fermentet: licet enim nobis dicere, quod nos lateat ſicut talium problematum pleraque. Si vero quis prompte dicat, quia aut calidum ſit aut frigidum, utrunque enim dicunt, in ambiguas obſcurasque rationes ſe ipſum conjiciet.

Cap. XXXI. Mecum certe probe actum putem, ſi quae ſenſui apparentibus vicina ſunt atque in propinquo poſita, exacte invenire poſſim, diſcernens in eis ac ſeparans quod ex ſe eſt ab eo quod ex accidente provenit: velut exempli gratia quoniam aeſtivo tempore oxycrati potu quidam plane refrigerantur atque expertes ſitis permanent, ſed nondum conſtat an id aceti gratia eveniat, pauculum ſiquidem ejus copioſae aquae mixtum non calidum, ſed quam fieri poſſet maxime frigidum ebibunt. Nam dixerit forte quispiam, quia tardiuscule permeet aqua et plurimum tem-

μένει, μήθ' ὑποβιβαζόμενον μήτ' ἀναδιδόμενον, διὰ τοῦτο αὐτῷ μίγνυσθαι τὸ ὄξος, οἷον ὄχημά τι τῆς πάντη φορᾶς γενησόμενον. οὕτω δὲ κἂν μετ' οἴνου ποθῇ τὸ ὕδωρ, ἀδιψότερον ὑπάρχειν ἤπερ καθ' αὑτὸ, ποδηγοῦντος αὐτὸ πρὸς τὴν ἀνάδοσιν τοῦ οἴνου. τὴν μὲν οὖν ἔμψυξίν τε καὶ τὴν τοῦ δίψους ἴασιν ἐπὶ τῷ ὕδατι γίγνεσθαι, ψυχρῷ καὶ ὑγρῷ τὴν φύσιν ὑπάρχοντι. βοήθημα δ' αὐτὸ καὶ οἷον πτέρωμα τῆς εἰς πάντα τὰ μόρια τοῦ ζώου φορᾶς, τὸν οἶνόν τε γίγνεσθαι καὶ ὄξος, οὐκ αὐτὰ ψύχοντά τε καὶ ὑγραίνοντα. μόνα γὰρ ἂν οὕτω γε δίδοσθαι μᾶλλον ἢ μετὰ ὕδατος, ὅτι ῥᾳδίως ὑπὸ λεπτότητος ἀναδίδοται καὶ ἀποχωρεῖ τῶν ὑποχονδρίων. ἐπεὶ δὲ ἅπαξ εἰς τοῦτον ἀφικόμεθα τὸν λόγον, οὐ χεῖρον ἀκριβῶς ἅπαντα διελθεῖν αὐτόν. ὅτι μὲν γὰρ ἐγχωρεῖ καὶ ποδηγεῖν τῷ ὕδατι τὸ ὄξος, οὐκ ἐμψύχειν αὐτὸ καὶ μὴ ποδηγεῖν μόνον, ἀλλὰ καὶ ψύχειν, ἄντικρυς δῆλον. ὁπότερον δ' ἀληθές ἐστιν ἐπισκέψεως δεῖται. διορισθείη δ' αὐτό γε τοιοῦτον, εἰ δοίη μὲν

poris moretur in hypochondriis, nec deorſum concedens nec in corpus ſe diffundens, idcirco illi acetum miſceri tanquam in omnem partem ferendae futurum vehiculum: ſic etiam ſi cum vino bibatur aqua, ſitim efficacius extingui, quam ſi ſola, vino ſcilicet ipſam ad diſtributionem promovente: itaque refrigerationem ſitisque ſedationem ab aqua provenire, ut quae frigidae naturae ſit et humidae; caeterum adminiculo eſſe, ac velut alas illi ad omnes corporis partes permeandas addere tum vinum tum acetum, quae ipſa nequaquam frigida ſunt et humida: ſiquidem praeſtare ſic ſola exhiberi potius quam cum aqua, quod ea facile prae tenuitate in corpus diſtribuantur et ab hypochondriis recedant. Porro quoniam ſemel in hunc ſermonem devenimus, nihil obſtat quo minus omnem exacte perſiciamus. Nam quod fieri poſſit, ut et aquam acetum deducat nec tamen ipſummet refrigeret, et non deducat ſolum, ſed etiam refrigeret, certo certius eſt; verum utrum cum veritate conjunctum ſit, id conſiderationem poſtulat. Diſtingui au-

τινι καὶ οἶνον καὶ ὄξος, ἑκάτερον ἰδίᾳ καθ' αὐτό. φαίνεται γὰρ ἐπὶ μὲν τῷ οἴνῳ διψωδέστερος ἀεὶ γιγνόμενος ὁ ἄνθρωπος, ἐπὶ δὲ τῇ τοῦ ὄξους πόσει ποτὲ μὲν διψωδέστερός ἐστιν, ποτὲ δὲ ἀδιψότερος,

Κεφ. λβ'. ὅτι καὶ τὸ δίψος αὐτὸ διττῶς γίνεται, τὸ μὲν ὑγρότητος ἐνδείᾳ, τὸ δὲ πλεονεξίᾳ θερμότητος· ὥστ' οὐδὲν θαυμαστὸν εἰ τὸ μὲν πρότερον οὐκ ἰᾶται, θάτερον δ' ἰᾶται. ὑγραίνειν μὲν γὰρ [23] οὐ δύναται, ψύχει δὲ οὐκ ἀγεννῶς. οὔκουν οὔτε τὴν ἐπὶ ξηρᾷ διαθέσει δίψαν οὔτε τὴν ἐπὶ θερμῇ καὶ ξηρᾷ δύναιτ' ἄν ποτε ἰᾶσθαι πινόμενον ὄξος. εἰ δὲ συνδράμῃ ποτὲ εἰς ταυτὸν ὑγρότης θερμότητι, τῆς τοιαύτης δίψης ἄριστον ἴαμα τὸ ὄξος ἔσται. σπανία δὴ τοιαύτη διάθεσις, ἐν ὑδρωπικαῖς ἐνίοτε παρεγχύσεσιν γι(14)γνομένη, πλήθους ὑγροῦ ἁλμώδους ἠθροισμένου κατὰ τὴν γαστέρα καὶ ὅσοις ἁλμυρὸν φλέγμα κατ' αὐτὴν ἐμπέπλασται. τοῖς δ' ἄλλως διψώδεσιν ἔν τε καύσοις πυρετοῖς καὶ τοῖς περικαέσιν ἅπασιν καὶ τοῖς ἐν θέρει καὶ θάλπει σφοδρῷ

tem id poffit tantummodo, ficut exhibeas acetum et vinum, utrumque feorfum et per fe. Apparet enim a vino homini femper fitim increfcere, ab aceto vero epoto interim quidem augeri, interim vero fedari.

Cap. XXXII. Quippe quum et fitis duplici ratione provenire foleat, partim humoris inopia, partim caloris copia. Quamobrem mirum videri non debet, fi priorem quidem fanare nequeat, alteram poffit; fiquidem humectare nequit ac refrigerat non inftrenue. Quapropter neque a ficca difpofitione provenientem fitim, neque a calida et ficca unquam fanare queat epotum acetum; at fi quando in unum coëant humiditas atque caliditas, ejusce quidem fitis optima medela acetum eft. Rara fane ejusmodi affectio eft, in aquae inter cutem affufionibus nonnunquam proveniens, congefta nimirum in ventre falfi humoris copia; tum etiam fi quibus pituita falfa ventri illita inhaeferit. At qui aliter fiti premuntur, puta in febribus ardentibus et aliis omnibus exurentibus febribus, quique aeftate laborant ac gravi aeftu,

σύνθετος ἡ διάθεσίς ἐστιν ἐκ θερμότητός τε καὶ ξηρότητος, ὥστ᾽ εἰκότως αὐτοῖς ἐστι σύνθετον καὶ τὸ ἴαμα, τὸ μὲν ὄξος οὐκ ἀγεννῶς γε ψῦχον καὶ πάντη ῥᾳδίως διϊὸν, τὸ ὕδωρ δὲ πρὸς τῷ ψύχειν ἔτι καὶ ὑγρότατον ἁπάντων ὑπάρχον· οὐδὲν γάρ ἐστιν ὑγρότερον ὕδατος.

Κεφ. λγ΄. Ὥσπερ οὖν οὐκ ἀσφαλής ἐστιν ὁ πόῤῥω τῆς αἰσθήσεως τοῦ δοκιμαζομένου φαρμάκου συλλογισμὸς, οὕτως οὐδ᾽ ἡ τοῦ μιχθέντος ἑτέρῳ χρῆσις. αὐτὸ γὰρ χρὴ καθ᾽ αὑτὸ μόνον ἐξετάζεσθαι τὸ κρινόμενον ἐπί τε τῶν ὑγιαινόντων σωμάτων εὐκράτων τε καὶ δυσκράτων ἐπί τε τῶν νοσούντων. εὐκράτων μὲν οὖν, ὥσπερ καὶ πρόσθεν εἴρηται· δυσκράτων δὲ, ὥσπερ Ἱπποκράτης ἔλεγε, πικροχόλοις μὲν φύσεσιν χρησιμώτατον ὑπάρχει ὄξος, ἐναντιώτατον δ᾽ εἶναι μελαγχολικοῖς τὴν κρᾶσιν. ἐπὶ δ᾽ αὖ τῶν νοσούντων, εἰ ἁπλοῦν ἐξ ἁπλῆς ἐξετάζοιτο διαθέσεως. εἰ δὲ καὶ μίγνυτό ποτε μετ᾽ ἄλλου, χρὴ τὸ μιγνύμενον αὐτῷ μέσον εἶναι τὴν κρᾶσιν, ὡς ἐφ᾽ ὕδατός τε καὶ κηρωτῆς ὁ πρό-

composita iis est affectio, ex caliditate videlicet et siccitate; quare non injuria composita illis medela est acetum, ut quod strenue refrigeret et quovis expedite permeet; et aqua quae supra quam quod refrigeret, omnium sit vel humidissima; nihil est enim aqua humidius.

Cap. XXXIII. Quemadmodum ergo haud satis secura est procul a sensu ducta de explorando medicamento ratiocinatio, ita nec ipsius alteri cuipiam permixti usus. Siquidem ipsum per se solum quod judicandum venit expendere oportet, tum in sanis corporibus iisque temperatis et intemperatis, tum in morbo alicui obnoxiis. In temperatis quidem, velut supra positum est; in intemperatis sicut dixit Hippocrates, *naturis picrocholis utilissimum esse acetum; qui vero temperaturam fortiti fuerint melancholicam, adversissimum.* Porro in morbo aliquo affectis, si simplex fuerit, in simplici exploretur affectu: sin mixtum alicui, necesse est quod commiscetur temperatura sit medium, sicut in

οθεν λόγος ἀπέδειξεν. εὐλόγως γὰρ, οἶμαι, τὸ τῷ μηδετέρῳ τῶν ἄκρων κατὰ τὴν κρᾶσιν, ἀλλ' ὡς οἷόν τε μέσῳ συμπεπλεγμένον αὐτὸ, τῶν ἀποτελουμένων αἴτιον γίγνεσθαι. τῇ γοῦν ἁπλῇ κηρωτῇ μήτε θερμαινούσῃ μήτε ψυχούσῃ τὸ ψυχρὸν ὕδωρ μιχθὲν ἔψυξεν ὅτι ψυχρὸν ἦν τῇ κράσει. εἰ δέ γε τῶν θερμαινόντων ἔμιξάς τι τῇ τοιαύτῃ κηρωτῇ, θερμαῖνον ἂν σοι τὸ φάρμακον ἐγένετο, καθάπερ πολλάκις εὐφόρβιον, ἢ καστόριον ἐπεμίξαμεν ἐπὶ πολλῶν διαθέσεων. οὕτως οὖν, εἴπερ ὄξος ἀναμίξαις ἀκριβῶς ἁπλῇ κηρωτῇ, ψυχρότερον ἐργάσῃ πολλῷ τῆς κηρωτῆς τὸ φάρμακον, ὡς ἂν ψυχροῦ τοῦ μιχθέντος ὑπάρχοντος. καί σοι τοῦτο πρὸς ἐρυσιπέλατα καὶ φλεγμονὰς ἕρπητάς τε καὶ ἄνθρακας ἀγαθὸν ἔσται φάρμακον· εἰ δέ γε τὸ μικτὸν ὡς ἁπλοῦν ἐξετάζοις, καὶ γὰρ αὖ καὶ τοῦτο ποιοῦσιν, ἁμαρτήσεις τὰ μέγιστα. κολλητικὸν γὰρ ἑλκῶν οὐκ ὄξος χρὴ λέγειν, ἀλλ' ὀξύκρατον, ἕτερόν τι παρὰ πολὺ τὴν φύσιν

aqua et cerato fimplici fuperius declaratum eft. Rationabile quippe arbitror, quod nulli diverfi temperamenti fit mixtum, fed quam fieri queat medio conjunctum, ipfum eorum quae perficiuntur caufam exiftere. Nam fimplici cerato quod neque calefaciebat, neque refrigerabat, aqua admixta frigida refrigeravit, quippe quae temperiem habebat frigidam. Quod fi calefacientium quippiam ejusmodi cerato commifcuiffes, profecto calidum id medicamentum evafiffet, quemadmodum in affectibus compluribus faepenumero euphorbium aut caftorium temperavimus. Sic fi acetum fimplici adamuffim cerato commifceas, cerato ipfo longe frigidius medicamen effeceris: tanquam nimirum quod admixtum eft fit frigidum. Eritque tibi id remedium vel optimum ad eryfipelata, phlegmonas, herpetes, carbunculos. Sin autem quod mixtum eft tanquam fimplex expendas, nam id etiam moliuntur, longe maxime hallucinaberis. Nam ulcerum glutinatorium non acetum, fed oxycratum dicendum eft, aliam multo naturam ab aceto obtinens. Si-

ὄξους ὑπάρχον. ὥσπερ γὰρ οὐδὲ σαρκωτικὸν ἑλκῶν ἰὸς, ἀλλ' ἡ κηρωτὴ προσλαβοῦσα βραχὺ μόριον ἰοῦ, κατὰ τὸν αὐτὸν τρόπον οὐδ' ὄξος κολλητικὸν, ἀλλ' ὕδωρ ὄξους ἐλάχιστον προσλαβὸν, αὐτὸ δὲ καθ' ἑαυτὸ μόνον καὶ ψιλὸν ὄξος ἱκανῶς παροξύνει τὰ κολλήσεως δεόμενα τῶν ἑλκῶν, ὡς ἂν τῇ λεπτομερείᾳ διαβρωτικόν τε καὶ ὀδυνηρὸν ὑπάρχον. οὔτ' οὖν τὰ τοιαῦτα δεόντως λέγουσιν οὔθ' ὅταν ἀγνώστοις ἄγνωστα συνάπτωσιν.

Κεφ. λδ'. [24] Οὐδὲν γὰρ ἀποδείξαντες ἰδίᾳ περὶ τῶν κολληθησομένων, ἢ σαρκωθησομένων, ἢ ἐπουλωθησομένων ἑλκῶν ἐξ ἐπαγωγῆς συλλογίζονται, τὰ στύφοντα πάντα φάσκοντες ἑλκῶν εἶναι κολλητικά. χρὴ δ' οὐκ ἐξ ἐπαγωγῆς, ἀλλὰ δι' ἀποδείξεως ἐν τῷ καθόλου τὰ τοιαῦτα λαμβάνεσθαι, καθάπερ ἡμεῖς ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου ποιήσομεν ὑπομνήμασιν, ἀλλ' ἁπλῶς γε οὕτως ῥηθὲν ὁτιοῦν τῶν τοιούτων οὐ μόνον ἀναπόδεικτον, ἀλλὰ καὶ ψεῦδός ἐστιν. οὔτε γὰρ χαλκῖτις, οὔτε κηκὶς, οὔτε αὐτὰ τὰ λέμματα τῶν ῥοιῶν,

quidem quemadmodum carnem producere in ulceribus nequit aerugo, fed ceratum exiguum quiddam habens aeruginis, ad eundem modum neque acetum conglutinat, fed aqua aceti pauxillum accipiens; ipfum vero per fe ac fincerum acetum ulcera, quae glutinationem defiderant mirum in modum exafperat, utpote partium tenuitate erodens ac dolorem excitans. Quamobrem haud merito nec convenienter talia dictitant nec melius item faciunt, quum ignotis ignota connectunt.

Cap. XXXIV. Quippe quum nihil feorfum de glutinandis, aut carne implendis aut cicatrice obducendis ulceribus demonftrarint, ex inductione tamen colligunt aftringentia omnia dicentes ulcerum effe conglutinatoria. Oportet autem non inductione, fed per demonftrationem in genere talia accipere, quemadmodum nos facturi fumus in curandi rationis commentariis. Imo abfolute quidvis tale dictum non modo indemonftratum eft, fed etiam falfum. Neque enim chalcitis, neque galla, neque malorum punicorum pu-

οὔτε ὀμφάκιον, οὔτε στυπτηρία, πολὺ δὲ μᾶλλον οὔτε χαλκὸς κεκαυμένος, οὔτε λεπὶς, οὔτε μίσυ κολλᾷν ἕλκη πέφυκεν, ἕτερά τε μυρία τῶν στυφόντων ἐστὶν ἀδύνατα κολλᾷν. εἰ δ' ἄρα καὶ μὴ τοῦτό τις, ἀλλὰ τὰ κολλητικὰ πάντα στυπτικὰ λέγοι, δειχθήσεται κἀνταῦθα πολλὰ κολλῶντα χωρὶς τοῦ στύφειν. οὐδέτερος οὖν ἀληθὴς λόγος ἁπλῶς καὶ ἀδιορίστως λεχθεὶς, οὔθ' ὅταν ἅπαντα φάσκωσι τὰ στύφοντα κολλᾷν ἕλκος, οὔθ' ὅταν πάντα τὰ κολλώμενα διὰ τῶν στυφόντων κολλᾶσθαι. πολὺ δὲ δὴ καὶ τούτων ἔτι μᾶλλον ἄτοπά τε καὶ ψεύδη λέγουσιν ἤδη καὶ περὶ τὴν αἴσθησιν, ὅταν καὶ τὰ δακνώδη καὶ τὰ δριμέα καὶ τὰ πικρὰ καὶ τὰ ἁλυκὰ καὶ πρὸς τούτοις ἔτι τὰ μαλακώτατα καὶ ἥδιστα ταῖς ποιότησι στύφειν λέγουσιν, ὥσπερ οὐ τῆς γεύσεως αἰσθητὸν τὸ στῦφον ὑπάρχον, ἀλλ' ἐκ τῆς ἐκείνων νομοθεσίας λαμβανόμενον. ἡ μὲν γὰρ ῥοιὰ καὶ τὸ μῆλον, εἰ τύχοι, καὶ τὸ μέσπιλον, ἀπίων τέ τινα γένη καὶ μύρτα καὶ οὖα καὶ οἶνος Ἀμυναῖος καὶ Μαρσὸς ἐναργῶς ἡμᾶς στύφει. πυροὶ δὲ καὶ ζειαὶ καὶ κέγχροι Ἡρόδοτον μὲν

tamina, neque omphacium, neque alumen, multoque minus aes ustum, neque aeris squama, neque misy ulcera glutinare possunt; aliaque innumera sunt inter adstringentia quae glutinare nequeant. Porro si quis non hoc, sed glutinatoria omnia adstringentia dixerit, proferentur et hic quoque non pauca quae citra adstrictionem conglutinent. Neutra igitur vera oratio est, si simpliciter atque indefinite efferatur, neque quum dicunt adstringentia omnia ulceris glutinatoria: neque quum ajunt, quaecunque glutinantur adstringentium beneficio glutinari. Porro multo sane etiam magis his tum absurda tum falsa, ad haec quae mollissimas jucundissimasque sortita sunt qualitates, adstringere dictitant; tanquam ad sensorium gustus non pertineat quod adstringit, sed ex illorum impositione atque arbitrio debeat accipi. Malum enim granatum et malum verbi causa et mespilum et pyrorum quaedam genera et myrta et sorba vinumque tum Amynaeum tum Marsum evidenter nos adstringunt; at triticum et zea et milium Herodotum forsan adstringebant, aliorum

ἴσως στῦφον, τῶν δ' ἄλλων ἀνθρώπων οὐδένα. μυρίων γὰρ ἐπυθόμην ἐγὼ καὶ περὶ τούτων καὶ πολὺ μᾶλλον ἔτι περὶ ἀμύλου, καὶ γὰρ καὶ τοῦτο στύφειν Ἡρόδοτός φησιν, ὥσπερ οὖν καὶ τὸ πέπερι, στῦφον μηδ' αὐτὸ μηδένα τῶν ἄλλων ἀνθρώπων, ὅσοι καθαρῶς καὶ ἀδεκάστως ἐξετάζουσιν τὰς ποιότητας. ἀλλ' Ἡρόδοτος μὲν συνέχεεν εἰς ταὐτὸν ἅπαντα, καὶ τὰ δριμύτατα ταῖς δυνάμεσιν καὶ τὰ ἄκρως διαβρωτικὰ καὶ τὰ μαλακώτατα καὶ τὰ προσηνέστατα πάντα στύφειν ἔφησεν, ὡς ἐν τῷ καταψεύσασθαί τισι τῆς αἰσθήσεως τὸ τοῦ νικᾷν ὑπάρχοντος. ἀλλ' οὐκ αὐτὸ δὴ τοῦτο μέγιστον δεῖγμα τῆς τῶν λόγων αὐτοῦ μοχθηρίας ἐσόμενον.

Κεφ. λε'. Ὥσπερ δὲ ὑπερβάλλεσθαι βουλόμενος αὐτὸν τοῖς κατὰ τῶν αἰσθήσεων ψεύσμασιν ὁ Ἀσκληπιάδης Μητρόδωρος, ἄλλα τε καὶ ῥητίνην καὶ ἄσφαλτον οὐχ ὁμολογεῖ θερμαίνειν ἡμᾶς, ἅπαντά τε τὰ στύφοντα καὶ ψύχειν φησὶν, εἰ καὶ μηδενὸς ἄλλου χαλκίτεώς τε καὶ χαλκάνθης καὶ μίσυος ἱκανῶς μὲν στυφόντων, εἰς τοσοῦτον δ' ἡκόντων θερμότητος, ὥστε καίειν ἡμᾶς. οὔκουν ἔτι θαυμαστὸν οὐδὲν εἰ

autem omnium neminem. Sexcentos enim quandoque ſuper his ſum perconctatus et inprimis ſuper amylo; nam ipſum adſtringere ait Herodotus, ſicut et piper: quod nec ipſum ullum omnino aliorum hominum, qui ſincere et incorrupte qualitates expendunt adſtringit. At Herodotus cuncta confundere in idem non eſt veritus, aitque et quae acerrima ſunt facultate et quae ſumme rodunt et quae molliſſima ſunt ac mitiſſima, omnia adſtringere: tanquam in hoc ut quosdam ſenſu defraudaret, victoriam ſtatueret. Verum non ita ſe res habet, quum ea vel maxima futura ſit pravitatis dictorum ejus probatio.

Cap. XXXV. Quin vero et Aſclepiades Metrodorus, tanquam illum etiam ſuperare contenderet aſſerendis de ſenſu mendaciis, cum alia quaedam tum reſinam et bitumen calefacere non denegat, atque adſtringentia omnia refrigerare dictitat; quum ſi nihil aliud, ſaltem chalcitis, calchanthos et miſy, quae valenter aſtringunt, tantam aſſequuta ſint caliditatem, ut nos etiam exurant. Nihil eſt ergo mirandum, ſi

ληροῦσί τε πολλὰ καὶ παραλογίζονται σφᾶς αὐτοὺς οἱ ἄνθρωποι, μηδὲ περὶ τῶν ἐναργῶς φαινομένων ὁμολογῆσαι τἀληθὲς τολμῶντες.

Κεφ. λστ΄. Εἶτά τινες ἐξ αὐτῶν, ὥσπερ Ἡρόδοτος καὶ Διοσκουρίδης, ἐκ τοῦ φάρμακα ἄττα διαῤῥοίας τε καὶ δυσεντερίας ὠφελεῖν συλλογίζονται στύφειν αὐτὰ, καίτοι μηδ᾽ ἐλαχίστης μετέχοντα στύψεως, ἀλλ᾽ αὐτὸ τοὐναντίον ἀραιότερα τε καὶ χαλαστικὰ ταῖς δυνάμεσιν ὑπάρχοντα τῶν στυφόντων, συναγαγόντων τε καὶ πιλούντων καὶ πυκνούντων καὶ σφιγγόντων τὰ σώματα. καταφρονήσαντες γὰρ ἅπαξ τῆς αἰσθήσεως ἀνέτρεψαν ἅπαντα καὶ συνέχεαν ἃ σαφῶς ἐστιν αἰσθήσει διαγνῶναι, ταῦτα μοχθηρῷ λόγῳ πιστούμενοι. τὸ γοῦν αἴγειον στέαρ ἐναντιώτατόν ἐστιν τοῖς στύφουσιν ἅπασι καὶ γεύσει καὶ δυνάμει, καθάπερ καὶ τὸ τῶν πυρῶν ἄλευρον, ἄμυλόν τε καὶ ἄλλα μυρία τῶν ἐμπλασάντων τε καὶ παρηγορούντων καὶ δριμύτητας ἀμβλυνόντων καὶ ταύτῃ τοῖς δακνώδη τε καὶ δριμέα διαχωροῦσιν ἀρηγόντων. καὶ εἰ διὰ ταῦτα στύφει, ἔστω δὴ καὶ τὸ ἔλαιον ἡμῖν τῶν στυφόντων,

prolixa quaedam nugentur se ipsosque nonnulli homines fallant, quum de manifesto apparentibus verum fateri non audent.

Cap. XXXVI. Itaque ex iis quidam, puta Herodotus et Dioscorides, medicamenta quaedam ex eo, quod diarrhoeis ac dysenteriis medentur, astringere ea colligunt quanquam ne minimum quidem habeant astrictionis, imo prorsum contra rarefacientia nimirum sint et laxantia, quum alioqui, quae astringunt, corpora contrahant, condensent, constipent atque constringant. Nam semel sensibus pro nihilo habitis, everterunt confuderuntque omnia quae plane sensu dignoscere est, haec prava ratione asserentes. Nam adeps caprinus omnibus quae aut gustu aut facultate sunt astringentia adversissimus est, velut etiam farina triticea et amylum et innumera eorum quae vim habent tum emplasticam tum mitigatoriam atque acrimonias hebetandi, eaque ratione iis qui acria mordaciaque per alvum excernunt auxiliantur. Quod si ob haec astringant, esto sane et oleum ex astringen-

ὅτι δὴ καὶ πολλάκις ὠφέλησεν τοὺς σφοδρῶς δακνομένους ἐνεθέν. ἔσται δὲ καὶ κηρὸς καὶ στέαρ χοίρειον, ὀρνίθειόν τε καὶ χήνειον καὶ χόνδρου καὶ τράγου χυλός. ἐνίεμεν γὰρ καὶ ταῦτα καὶ κηρωτὴν ἐνίοτε τοῖς δακνομένοις ἰσχυρῶς, ὥσπερ καὶ τὸ αἴγειον στέαρ. ἐναργεστέραν δὲ τὴν ὠφέλειαν τὸ αἴγειον ἐπιδείκνυται τῷ ῥᾳδίως πήγνυσθαι ἐπαλείφεσθαί τε τοῖς ἐντέροις καὶ περιμένειν ἐπὶ πλεῖστον. εἴτε δὲ διὰ πάχος, εἴτε δι᾽ (15) ἄλλην τινὰ αἰτίαν πήγνυται ταχέως, οὐδὲν δέομαι τάδε νῦν ζητεῖν ἐναργῶς φαινομένου τοῦ πράγματος. ἀλλ᾽ ὥσπερ ὅτι καὶ πήγνυται τάχιστα καὶ τὰς δήξεις τῶν ἐντέρων ἀμβλύνει, τῷ φαίνεσθαι πιστότερόν ἐστιν, οὕτω δὴ καὶ ὅτι μηδεμιᾶς αὐτῷ μέτεστι ψύξεως ἢ στύψεως. οὗτοι μὲν οὖν ἐξ ἀδήλων ὑπὲρ τῶν φαινομένων συλλογίζονται. μᾶλλον δ᾽, εἰ χρὴ τἀληθὲς εἰπεῖν, παραλογίζονται σφᾶς αὐτούς, ἡμᾶς δὲ τοσῷδε μᾶλλον ἐπὶ τὴν αἴσθησιν ἀνέρχεσθαι προσῆκεν, ἐπιμελῶς τε προσέχειν αὐτῇ διὰ παντός, ὅσῳ καὶ μᾶλλον οὐκ ὀλίγα καταψεύδονται πάντες αὐτῆς οἱ σοφισταί. πάλιν οὖν ἀνα-

tium numero, quoniam faepius iis, qui graviter mordicabantur, infufum profuit. Efto vero etiam et cera et adeps fuillus tum gallinaceus et anferinus chondri tragique fuccus: nam haec quoque infundimus et ceratum quandoque iis qui vehementer mordicantur, ficuti et adipem caprinum. Verum efficacius auxilium affert caprinus, quia fcilicet facilius et concrefcit et inteftinis inungitur, plurimoque tempore inhaeret. Porro five ob craffitiem, five aliam ob caufam celeriter concrefcat, non eft opus in praefentia inquirere, re ipfa evidenter apparente. Verum quemadmodum quod ociffime concrefcat, atque inteftinorum morfus obtundat ex rei evidentia credibilius eft, fic fane etiam quod ei nulla infit aut frigiditas, aut aftrictio. Atque hi quidem ex obfcuris ratiocinantur de apparentibus, imo autem fi verum fatendum eft, fe ipfos potius decipiunt. At nos tanto decet magis ad fenfum accedere, tantoque diligentius perpetuo illi attendere, quanto plura in eo peccent fophiftae omnes falfaque de eo afferant. Rurfum ergo ubi prius in memoriam

Ed. Chart. XIII. [25.] Ed. Baf. II. (15.)

μνήσαντες αὐτοὺς, ὅτι ἃ τοῖς μὲν ἰδιώταις ἐστὶ δῆλα καὶ τούτοις ἦν, ὅτ' οὔπω διὰ φιλονεικίαν ὑπερεφρόνουν τῶν αἰσθήσεων, ὕστερον δ' ἀπώλετο διὰ περιττὴν σοφίαν, ἐπὶ τὸ συνεχὲς τοῦ λόγου μεταβήσομαι.

Κεφ. λζ΄. Ἑκάστη τις φύσις τῶν αἰσθητῶν ἰδίᾳ ὑποβέβληται· θερμότης μὲν καὶ ψυχρότης καὶ σκληρότης καὶ μαλακότης ἁφῇ, λευκότης δὲ καὶ μελανότης καὶ ξανθότης, ἐρυθρότης τε καὶ συλλήβδην εἰπεῖν ἅπαν τὸ τῶν χρωμάτων γένος ὄψει, πικρότης τε καὶ γλυκύτης, αὐστηρότης τε καὶ στρυφνότης, ὀξύτης τε καὶ ἁλυκότης καὶ δριμύτης, γεύσει καὶ μαίνεσθαι δόξει σαφῶς, εἴ τις ἢ τὰς χροιὰς τῇ γεύσει κρίνειν ἐπιχειρήσειεν, ἢ τοὺς χυμοὺς τῇ ὄψει. κατὰ ταὐτὰ δὲ καὶ περὶ τῆς ἁφῆς χρὴ γινώσκειν καὶ περὶ τῶν ἄλλων αἰσθήσεων, ὡς τὰς μὲν ἁπτὰς διαφορὰς ἁφῇ κριτέον ἐστὶ, τὰς δ' ἀκουστὰς ἀκοῇ, τὰς δ' ἐν ἀτμοῖς ὀσφρήσει. τούτων οὖν οὕτως ἐχόντων ἀκούσωμεν εἰ βούλεσθε καὶ Πλάτωνος ὑπὲρ τῶν γευστῶν διαφορῶν ἐξηγουμένου. χρὴ δὲ οὐ τῇ φυσιολογίᾳ προσέχειν αὐτοῦ τὸν νοῦν. οὐ γὰρ ἂν ἐν καιρῷ μοι νῦν εἴη

revocaverimus quae idiotas non fugiunt ipfisque haud ignota erant, quum nondum contendendi libidine in fenfus pervenifsent contemptum, poftea autem per fupervacaneam fapientiam amiferunt, ad id quod continuum orationi eft transibimus.

Cap. XXXVII. Unaquaeque fenfilium natura privatim fubjecta eft, tactui quidem caliditas ac frigiditas, durities et mollities; albedo vero, nigredo, flavedo, rubor, atque ut fummatim dicam, univerfum colorum genus vifui: amaror, dulcedo, aufteritas, acerbitas, aciditas, falfedo, acrimonia guftui: planeque demens videatur fi quis guftu colores judicare tentet, aut fapores vifu. Eodem modo de tactu cognofcendum eft reliquisque fenfibus, fi quidem tactu judicandae funt differentiae tangibiles, auditu audibiles, odoratu odorabiles. Quae quum fic fefe habeant, audiamus, quaefo, Platonem guftabiles differentias exponentem. Haud tamen animus ipfius phyfiologiae attendendus eft. Nec enim

μνημονεύειν αὐτῆς, [26] οὐδ' εἰς τοῦτο καλῶ μάρτυρα τὸν ἄνδρα, μόνον δ' ὑπὲρ τοῦ δεῖξαι κατὰ τίνος πράγματος ἕκαστον τῶν ὀνομάτων ἔθος ἐστὶν ἐπιφέρειν τοῖς Ἕλλησιν. ἄκουε τοίνυν τοῦ Πλάτωνος λέγοντος· ὅσα μὲν γὰρ εἰσιόντα περὶ τὰ φλεβία, οἷόν περ δοκίμια τῆς γλώττης, τεταμένα δ' ἐπὶ τὴν καρδίαν εἰς τὰ νοτερὰ τῆς σαρκὸς καὶ ἁπαλὰ ἐμπίπτοντα γήϊνά τινα μέρη κατατηκόμενα ξυνάγει τὰ φλεβία καὶ ἀποξηραίνει, τραχύτερα μὲν ὄντα στρυφνὰ, ἧττον δὲ τραχύνοντα αὐστηρὰ λέγεται. τὰ δὲ τούτων ῥυπτικὰ καὶ πᾶν τὸ περὶ τὴν γλῶτταν ἀποπλύνοντα πέραν μὲν τοῦ μετρίου τοῦτο δρῶντα καὶ προσεπιλαμβανόμενα, ὥστε ἀποτήκειν αὐτῆς τι τῆς φύσεως, οἷον ἡ τῶν νίτρων δύναμις, πικρὰ πάνθ' οὕτως ὠνόμασται. τὰ δὲ ὑποδεέστερα τῆς νιτρώδους ἕξεως, ἐπὶ τὸ μέτριόν τε τῇ ῥύψει χρώμενα, ἁλυκὰ ἄνευ πικρότητος τραχείας καὶ φίλα μᾶλλον ἡμῖν φαντάζεται. τὰ δὲ τῇ τοῦ στόματος θερμότητι κοινωνήσαντα καὶ λεαινόμενα ὑπ' αὐτοῦ συνεκπυρούμενα καὶ πάλιν αὐτὰ ἀντικάοντα τὸ διαθερμῆναν, φερόμενά τε καὶ ὑπὸ κουφότητος ἄνω πρὸς τὰς τῆς κεφαλῆς

nunc tempeſtive ejus meminero, neque in hoc viri teſtimonium cito, ſed tantum ut oſtendam qua de re quodque nomen efferre Graecis mos eſt. Auſculta ergo diſſerentem Platonem. *Tenduntur a lingua venulae ad cor ſaporum nunciae, in quas ſi quae ita inciderint, ut humidam mollemque carnis partem penetrantia, terreſtri ſua natura liqueſacta venulas contrahant atque deſiccent, ſiquidem aſperiora ſint, acerba, ſi minus aſpera, auſtera nuncupantur. Caeterum quae eas abſtergunt totamque linguam abluunt, ſi quidem id ſupra modum efficiant ſimulque aliquid abſumant, ut de natura aliquid colliquent, qualis eſt nitrorum facultas, amara omnia appellantur. At quae nitri virtute inferiora ſunt, ac moderata utuntur abſterſione, ſalſa citra aſperam amaritudinem et grata nobis magis apparent. Quae vero ubi oris caliditati applicata ab eoque mollita et ferveſacta ipſum viciſſim recalefaciunt atque accendunt, praeque levitate ad capitis feruntur ſen-*

αἰσθήσεις, τέμνοντά τε πάνθ᾽ ὁπόσα ἂν προσπίπτῃ διὰ ταύτας τὰς δυνάμεις, δριμέα πάντα τὰ τοιαῦτα ἐλέχθη. τῶν δὲ αὐτῶν προλελεπτυσμένων μὲν ὑπὸ σηπεδόνος, εἰς δὲ τὰς στενὰς φλέβας ἐνδυομένων καὶ ἐνοῦσιν αὐτόθι μέρεσι γεώδεσιν καὶ ὅσα ἀέρος συμμετρίαν ἔχοντα, ὥστε κινήσαντα περὶ ἄλληλα ποιεῖν κυκᾶσθαι, κυκώμενα δὲ περιπίπτειν τε καὶ εἰς ἕτερα ἐνδυόμενα ἕτερα κοῖλα ἀπεργάζεσθαι περιτεινόμενα τοῖς εἰσιοῦσιν, ἃ δὴ νοτίδος περὶ ἀέρα κοίλης περιταθείσης ποτὲ μὲν γεώδους, ποτὲ δὲ καὶ καθαρᾶς, νοτερὰ ἀγγεῖα ἀέρος ὕδατα κοῖλα περιφερῆ τε γενέσθαι καὶ τὰ μὲν τῆς καθαρᾶς εἰς διαφανεῖς περιστῆναι, κληθείσας ὄνομα πομφόλυγας, τὰ δὲ τῆς γεώδους, ὁμοῦ κινουμένης τε καὶ αἰρομένης, ζέσιν τε καὶ ζύμωσιν ἐπίκλην λεχθῆναι. τὸ τούτων αἴτιον τῶν παθημάτων ὀξὺ προσρηθῆναι. ξύμπασι δὲ τοῖς περὶ ταῦτα εἰρημένοις πάθος ἐναντίον ἀπ᾽ ἐναντίας ἐστὶ προφάσεως, ὁπόταν ἡ τῶν εἰσιόντων ξύστασις ἐν ὑγροῖς, οἰκεία τῇ τῆς γλώττης ἕξει πεφυκυῖα, λεαίνῃ μὲν ἐπαλείφουσα τὰ τραχυνθέντα, τὰ δὲ παρὰ φύσιν συνεστῶτα ἢ κεχυμένα, τὰ μὲν

fus ac quaeque obvia incidunt, talia omnia has ob vires acria nuncupata funt. Eadem vero ifta interdum a putredine attenuata et anguftas ingredientia venas, partes inibi tam terrenas quam quodammodo aërias mutuo incurfu movent ac mifceri compellunt, commixta vero circumlabi alias et alias ingredi, ingreffu fuo penetratas concavas circuntenfasque afficere, easque humore circumfufo concavo, interim terreno, interim puro vafcula aëris ex aqua concava rotundaque effici: ac quae ex puro conftant, perlucida funt et vocantur ampullae, quae vero ex terreftri agitato elatoque, ebullitio fermentatioque nuncupatur. Harum affectionum caufa acidum cognominatur. Omnibus vero quae de iftis dicuntur, affectio contraria ab occafione nafcitur contraria. Porro ubi ingredientium conftitutio in humidis familiaris linguae habitui exiftit, quae exafperata quidem fuerint lenit, quae vero praeter naturam aut coierint conftiterintque, aut fufa laxaque fuerint, partim

συνάγῃ, τὰ δὲ χαλᾷ καὶ πάνθ᾽ ὅτι μάλιστα ἱδρύῃ κατὰ φύσιν, ἡδὺ καὶ προσφιλὲς παντὶ πᾶν τὸ τοιοῦτον ἴαμα τῶν βιαίων παθημάτων γιγνόμενον, κέκληται γλυκύ. διὰ ταύτης ἁπάσης τῆς ῥήσεως ὁ Πλάτων ἐξηγήσατο τίνα μὲν ἔθος ἐστὶν ὀνομάζειν αὐστηρὰ, τίνα δὲ στρυφνὰ, καὶ τίνα μὲν ἁλυκὰ καὶ νιτρώδη, τίνα δὲ πικρὰ, καὶ τίνα μὲν δριμέα, τίνα δὲ ὀξέα, τίνα δὲ γλυκέα. τὸ δὲ πρὸς ἡμῶν στῦφον αὐστηρὸν δηλονότι προσαγορεύων, οὕτω γὰρ ὠνομάζετο παρὰ τοῖς παλαιοῖς Ἕλλησιν. οὐ μὴν εἰς ταὐτόν γε συγχεῖ πάντα, καθάπερ οὗτοι, καὶ τὸ πέπερι στύφειν φάσκοντες ἐκ τῆς τῶν δριμέων φύσεως ὑπάρχον καὶ τὸ ὄξος ἐκ τῆς τῶν ὀξέων, οὐκ αἰδούμενοι δὲ καὶ τῶν γλυκυτάτων ἔνια τοῖς στύφουσι προσνέμειν. ἅτ᾽ οὖν ἁπάντων αὐτοῖς συγκεχυμένων, εὐθὺς κατ᾽ ἀρχὰς οὐδὲ δυνάμεις εὑρεθῆναι δύνανται. πάσης γὰρ εὑρέσεώς τε καὶ ἀποδείξεως ἀρχαὶ τὰ πρὸς αἴσθησίν τε καὶ νόησίν ἐστιν ἐναργῆ. ταράττουσι δὲ οὗτοι ταῦτα ἀμφότερα καὶ συγχέουσιν εἰς ταὐτὸν ἅπαντα, τά τε τῶν αἰσθήσεων ἔργα τε καὶ πάθη καὶ πολὺ δὴ μᾶλλον ἔτι τὰ τῆς νοήσεως,

contrahit, partim laxat, omniaque quam maxime ad naturae statum reducit, quicquid ejusmodi est jucundum suaveque et cognatum est omnibus violentarumque passionum remedium ac medela, nominaturque dulce. His verbis Plato quae nos vocare solemus austera, quae acerba, quae salsa et nitrosa, quae amara, quae acria, quae acida, quae dulcia exposuit. Id videlicet quod a nobis astringens dicitur, ipse austerum nuncupans: nam sic a vetustioribus Graecis appellari solet. Non tamen omnia in unum confundit, sicut ii faciunt qui et piper astringere dictitant, quum ex acrium sit natura, et acetum quod ex acidis est, nec sane etiam veriti dulcissimorum quaedam astringentium numero ascribere. Ex quo fit, quum omnia confundant, ut protinus nec facultates invenire omnino valeant. Omnis enim inventionis demonstrationisque principia sunt, quae sensui atque intellectui evidentia sunt. At isti haec ambo perturbant atque omnes in unum confundunt quum sensuum actus et passiones, tum multo etiam magis intellectus ac rationis,

ἅτε μὴ γεγυμνασμένα κατὰ λογικὴν θεωρίαν, ὥστ᾽ ἔργον εἶναι φυλάξασθαι τὴν ἀδολεσχίαν αὐτῶν καὶ μὴ συναπολαῦσαί τι τῆς αὐτῶν οὕτω πολλῆς καὶ ματαίας φλυαρίας· ἔργον δ᾽ οὐ σμικρὸν καὶ τὸ μεταδιδάξαι καὶ μεταλλάξαι τοὺς διεστραμμένους ὑπ᾽ αὐτῶν εἰς τοσοῦτον, ὡς καταφρονεῖν τε τῶν αἰσθήσεων, ἀγυμνάστους τε κατὰ λογικὴν εἶναι θεωρίαν, ἀνηκόους δὲ καὶ τῶν περὶ φύσεως λογισμῶν, οὓς οἱ φιλόσοφοι διασκέ-[27]πτονται. πάντως γὰρ ἄν που τό γε τοσοῦτον ἐπεγίνωσκον, ὡς δεδιέναι χρὴ καὶ φυλάττεσθαι τὰς ἐν αὐτοῖς ἀπορίας καὶ ταῖς αἰσθήσεσιν ἐπιτρέπειν μᾶλλον ἢ λόγοις κιβδήλοις ὑπὲρ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως.

Κεφ. λη΄. Ἀλλὰ τοὺς μὲν τοιούτους οὐκ ἐγχωρεῖ μεταδιδάξαι· τῶν δ᾽ ἄλλων ἕνεκα τῶν ὠφεληθῆναι δυναμένων ἀναληπτέον ἐστὶν καὶ διοριστέον ἀκριβῶς τὸν περὶ τῶν ἰδίων τῆς γλώττης αἰσθητῶν λόγον. ὀνομάζεται μὲν οὖν ὑπὸ τῶν περὶ Θεόφραστόν τε καὶ Ἀριστοτέλην καὶ Μνησίθεον τὸν ἰατρὸν ἡ γευστὴ δύναμις χυμὸς, ἀπὸ τοῦ μ στοιχείου τῆς

nimirum haudquaquam in fpeculatione logica verfati. Itaque operae pretium eft nugacem illorum loquacitatem omnibus modis effugere, ne quid nobis quoque attribuatur vitii ex tam prolixa illorum futilique nugacitate. Porro haud leve negotium eft dedocere ac transmutare eos qui ab illis usque adeo perverfi funt, ut et fenfum contemnant et nequaquam in fpeculatione logica fe exercuerint, planeque rudes fint rationum quas de natura philofophi confiderant. Omnino enim faltem vel id didiciffent, quae in illis funt ambiguitates fugiendas effe cauteque obfervandas, tum fenfibus magis fuper fimplicium medicaminum facultatibus, quam rationibus haud fatis integris committendum effe judicium.

Cap. XXXVIII. Verum tales dedocere ac velut transformare eft impoffibile. At aliorum tamen gratia nimirum quos conatus nofter juvare poterit refumenda eft, diligenterque definienda tota de propriis linguae fenforiis oratio. Nuncupatur igitur tum a Theophrafto, tum ab Ariftotele, tum a Mnefitheo medico, guftandi facultas χυμὸς le-

δευτέρας συλλαβῆς ἀρχομένης. ἡ δ' ἐξ ὑγροῦ καὶ ξηροῦ σύστασις ὑπὸ θερμότητος πεφθέντων χυλὸς, ἀπὸ τοῦ λ τῆς δευτέρας ἀρχομένης συλλαβῆς. παρὰ μέντοι τοῖς παλαιοτέροις αὐτῶν οὐκ Ἀττικοῖς μόνον, ἀλλὰ καὶ Ἴωσιν ἑκάτερα διὰ τοῦ μ γέγραπται. καὶ γὰρ καὶ παρὰ Πλάτωνι τῷ φιλοσόφῳ καὶ παρ' Ἱπποκράτει καὶ παρὰ τοῖς παλαιοῖς κωμικοῖς οὕτως εὑρίσκεται. λελέχθω δ' ἔν γε τῷ παρόντι λόγῳ πρὸς ἡμῶν ἕνεκα σαφοῦς διδασκαλίας ἡ μὲν γευστὴ δύναμις, ἢ ποιότης, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ, διὰ τοῦ μ στοιχείου χυμὸς, ἡ δ' ἔν τε τοῖς ζώοις καὶ φυτοῖς ὑγρότης πεπαχυσμένη χυλὸς, ἀπὸ τοῦ λ τῆς δευτέρας ἀρχομένης συλλαβῆς. ἰστέον οὖν ὡς οἱ μὲν καθ' ἕκαστον φυτόν τε καὶ ζῶον, ἤδη δὲ καὶ οἱ κατὰ τὴν γῆν εὑρισκόμενοι χυμοὶ πάμπολλοί τινές εἰσι καὶ οὐκ εὐαρίθμητοι ταῖς ἰδέαις. αἱ δ' ἐν αὐτοῖς γευσταὶ διαφοραὶ τοῖς μὲν ὀκτὼ τὸν ἀριθμὸν ἔδοξαν εἶναι, τοῖς δὲ ἑπτὰ, τοῖς δὲ καὶ (16) τούτων ἐλάττους. ὁ μὲν οὖν Πλάτων ἐν Τιμαίῳ διὰ τῆς προγεγραμμένης ῥήσεως πρῶτον μὲν δυοῖν μέμνηται χυμῶν ὁμοειδῶν μὲν, ἀλλὰ τῷ μᾶλλόν τε καὶ ἧττον

cunda fyllaba a μ littera incipiente, at ex humido ficcoque confiftentia, eorum videlicet quae a calore concocta funt, χυλὸς a litera λ fecunda incipiente fyllaba. Tametfi ab aetate illis majoribus non modo Athenienfibus, fed et Ionibus utrumque per μ litteram fcribi confueverit. Si quidem et apud Platonem et apud Hippocratem veteresque comicos fic fcriptum reperitur. Vocetur autem a nobis in praefenti quidem fermone clarioris doctrinae gratia guftatoria facultas, five qualitas, five utcunque cuique appellare libet, per litteram μ, χυμός: humor autem incraffatus tum in animantibus tum in plantis, χυλὸς fecunda fyllaba a littera λ incipiente. Sciendum ergo fapores, qui tum in unoquoque animali ac planta, tum in terra inveniuntur plurimos effe nec facile fpecierum numero comprehenfibiles, caeterum differentias guftabiles aliis octo vifas aliis numero feptem nonnullis autem et his quoque pauciores. At Plato in Timaeo in fuprapofita dictione primum duos fapores memorat ejusdem fpeciei, fed in ratione majoris ac minoris differentes,

διαφερόντων. ὀνομάζει δ᾽ αὐτῶν τὸν μὲν αὐστηρὸν, τὸν δὲ στρυφνόν. εἴη δ᾽ ἂν ὁ μὲν αὐστηρὸς κατὰ τὸν ὑφ᾽ ἡμῶν στύφοντα προσαγορευόμενος, ὁ δὲ στρυφνὸς ἐπιτάσει τούτου γιγνόμενος, ὥσπερ οὖν καὶ αὐτὸς ὁ Πλάτων ἐδήλωσεν. τούτους μὲν οὖν ὡς ἓν εἶδος ἀριθμητέον· ἕτερον δὲ τὸ τῶν ἀντικειμένων αὐτοῖς τῶν νιτρωδῶν τε καὶ ἁλυκῶν καὶ πικρῶν. ἔστι δὲ κᾀν τούτοις ὁ μὲν πικρὸς ἐξ ἐπιτάσεως τοῦ νιτρώδους γενόμενος, ὁ δὲ ἁλυκὸς ἤτοι τοῦ νιτρώδους ἀσθενέστερος, ἢ καὶ στύψεώς τι προσλαμβάνων. ἑξῆς δὲ ὑπὸ Πλάτωνος μὲν ὁ δριμὺς εἴρηται καὶ μετ᾽ αὐτὸν ὁ ὀξὺς καὶ τελευταῖος ὁ γλυκύς. ὑπὸ Θεοφράστου δὲ καὶ ὁ λιπαρὸς πρόσκειται, παραλελειμμένος μὲν ὑπὸ τοῦ Πλάτωνος ἐν τῷ περὶ τῶν τῆς γλώττης ἰδίων αἰσθητῶν λόγῳ, γεγραμμένος δ᾽ ἐν τοῖς τῶν φυτῶν χυλοῖς ἔμπροσθεν εὐθὺς, ἐν οἷς διῄρεῖτο τὸν οἰνώδη τοῦ ἐλαιώδους τε καὶ μελιτώδους. ἀλλ᾽ ἐν ἐκείνῳ μὲν τῷ λόγῳ πρὸς τοῖς τρισὶν οἷς εἴρηκα τὸν τέταρτον ἐτίθει γένος χυμοῦ περιλαμβάνων ἐπὶ προσρήματι καὶ καλῶν ὀπόν. ἐν οἷς δὲ ἐπὶ τὰ τῇ γεύσει αἰσθητὰ μετέβη, τοῦ μὲν γλυκέος εὐθὺς ἐν αὐτοῖς ἐμνημόνευσεν. οὐδὲν γὰρ διαφέρει δήπου γλυκὺ ἢ

eorum alterum auſterum, alterum acerbum nominat. Fuerit autem auſterus is, quem aſtringentem nuncupamus: porro acerbus hujus intenſione provenit, velut et ipſe Plato ſignificavit, atque hos ſane pro una ſpecie numerabimus. Altera eſt eorum quae illis oppoſita ſunt, nitroſorum videlicet, ſalſorum et amarorum. Et in his quoque amarus ex nitroſi provenit intenſione: ſalſus vero aut nitroſo imbecillior, aut aſtrictionis quoque aſſumens aliquid. Deinde a Platone acris expoſitus eſt, mox acidus, poſtremo dulcis. At a Theophraſto additus eſt pinguis, a Platone quidem in ſermone de propriis linguae ſenſoriis praeteritus, verum paulo ante plantarum ſuccis aſcriptus, ubi vinoſum ab oleoſo et melleo diſcernebat. Porro in illo ſermone tribus nunc memoratis quartum adjecit ſucci genus una appellatione comprehenſum, liquorem nominans. Ubi autem ad guſtus ſenſoria tranſiit, protinus in iis dulcem memoravit, nihil enim retu-

μελιτῶδες φάναι, καθάπερ οὐδὲ λιπαρὸν ἢ ἐλαιῶδες. παραλέλοιπε δὲ τὸν λιπαρὸν ὡς οὐδὲν προσήκοντα τῇ γεύσει.

Κεφ. λθʹ. Ἑρμηνεῦσαι μὲν ἀκριβῶς οὐχ οἷόν τε, διότι μηδ' ἄλλο τι τῶν αἰσθητῶν παθῶν, ἀναμνῆσαι μέντοι τὸν τῆς αὐτῆς [28] αἰσθήσεως κεκοινωνηκότα δυνατόν. εἰ δέ τις ἐγεύσατό ποτε κυδωνίων, ἢ μήλων, ἢ μύρτων, ἢ μεσπίλων, οἶδε μὲν σαφῶς ἑτέραν μὲν τὴν ἀπὸ τούτων αἴσθησιν ἡμῖν ἐν τῇ γλώττῃ γιγνομένην, ἑτέραν δὲ τὴν ἀπὸ τῶν στυφόντων σωμάτων. τὰ μὲν γὰρ στύφοντα ἢ ψύχοντα συνωθεῖν ἔσω φαίνεται τὸ ψαῦον ἡμῶν μόριον ἐκ παντὸς μέρους ὁμαλῶς, οἷον ὠθοῦντά τε καὶ πιλοῦντα καὶ συνάγοντα· τὰ δ' αὐστηρὰ κατὰ βάθους τε διαδύεσθαι δοκεῖ καί τινα τραχεῖάν τε καὶ ἀνώμαλον αἴσθησιν ἐπάγειν, ὡς ἀναξηραίνοντα καὶ πᾶσαν ἐκβοσκόμενα τὴν ἰκμάδα τῶν αἰσθητικῶν σωμάτων, ὥσθ' ἑτέραν εἶναι τὴν τῶν παθῶν ἰδιότητα, μηδὲ ῥηθῆναι σαφῶς δυναμένην, ἀπό τε τῶν στυφόντων ἡμᾶς σωμάτων καὶ τῶν αὐστηρῶν χυμῶν. ἀλλ' ὅστις γε ἄνθρωπος νοῦν ἔχει οἶδεν

lerit, dulce an melleum dicas, velut nec pingue an oleofum; omifit autem pinguem, ut qui ad guftum nihil attineret.

Cap. XXXIX. Qualis autem eorum fit unusquisque, exponere quidem exacte eft impoffibile, quandoquidem nec aliam ullam fenforiam paffionem: verum ei qui eodem fenfu communicaverit, licet fuggerere. Ergo fi quis aut cydonia, aut mala, aut mefpila aut myrta guftaverit, proculdubio cognofcet alium nobis ab his in lingua moveri fenfum, alium ab aftringentibus corporibus. Nam quae aftringunt aut refrigerant, introrfum pellere contactam noftri partem ex omni parte apparent, idque aequabiliter, velut pellentia ac ftipantia contrahentiaque. At auftera in profundum etiam fubire videntur, atque afperum quendam inaequabilemque movere fenfum, tanquam reficcantia et humorem omnem corporum fenfilium depafcentia. Ex quo fit ut alia fit paffionum proprietas, quaeque haud facile lucideque explicari poffit tum ab aftringentibus nos corporibus, tum ab aufteris faporibus. Sed quisquis homo mentem habet, facile quod

ὃ λέγω. ὅταν δὲ τὸ πλησιάζον τῇ γλώττῃ σῶμα σφοδρῶς ξηραίνῃ καὶ ξυνάγῃ καὶ τραχύνῃ μέχρι βάθους πλέονος αὐτὴν, ὥσπερ ἀχράδες ἄωροι καὶ κράνες στυφρὸν ἅπαν τὸ τοιοῦτον ὀνομάζεται, τῶν αὐστηρῶν ἐπιτάσει διαφέρον. ὃ δὲ καλοῦμεν ἡμεῖς στῦφον, οὐ πάνυ μέντοι πρὸς τῶν περὶ τὸν Θεόφραστον εὑρεῖν ἔστιν εἰρημένον. ἔοικε δή τι ταὐτὸν δηλοῦν τῷ αὐστηρῷ, ἢ κοινὸν εἶναί τι γένος τούτου τε καὶ στρυφνοῦ. ὅσα δ᾽ ἐν τῷ ψαύειν τῆς γλώττης οὐ συνάγει μὲν αὐτὴν, οὐδὲ σφίγγει καθάπερ τὰ στύφοντα, τὰ δ᾽ ἐναντίον ἅπαν φαίνεται ποιοῦντα, ῥύπτοντα καὶ ἀποπλύνοντα, κἂν εἴ τι τῶν στυφόντων παρακέοιτο, ταῦτα σύμπαντα προσαγορεύομεν ἁλυκά. τὰ δ᾽ ἔτι μᾶλλον τούτων ῥύπτοντα, μέχρι τοῦ καὶ τραχύνειν ἀνιαρῶς, πικρὰ προσαγορεύεται. τὰ δέ γε δάκνοντά τε καὶ διαβιβρώσκοντα μετὰ θερμότητος ἰσχυρᾶς δριμέα. τὰ δ᾽ ἄνευ αὐτῆς δάκνοντα καλεῖται μὲν ὀξέα, προσέστι δὲ αὐτοῖς καὶ τὸ ζυμοῦν. ὅσα δ᾽ οἷον ἐπαλείφει τε καὶ ἀναπληροῖ καὶ καθίστησι τὰ τετραχυμένα τε καὶ οἷον διαβεβρωμένα τῆς

dico comprehenderit. Porro quando quod linguae noftrae admotum fuerit corpus, valde deficcat, contrahit et in multam profunditatem usque illam exafperat, ficut pyra filveftria immatura et corna, ejusmodi omne acerbum appellatur, ab aufteris intenfione duntaxat diverfum. At quod nos aftringens vocitamus, haud temere a Theophrafto dictum reperias. Videtur autem idem fignificare, quod aufterum, aut certe commune effe genus tum hujus, tum etiam acerbi. Quaecunque vero linguam, dum contingunt, non contrahunt eam, neque conftipant velut adftringentia, imo contra plane agere apparent, nempe detergentia et abluentia, etiam fi aftringentium quippiam adjunctum fit, haec omnia falfa cognominamus. At quae his etiam magis detergunt, adeo ut etiam molefte exafperent, amara nominantur. Porro quae mordicant roduntque, idque cum valida quadam caliditate, acria vocantur; fin haec abfit, acida, caeterum hac fermentandi quoque vim obtinent. At quae velut inungunt atque implent, ac in ftatum fuum reftituunt exafpera-

γλώττης μόρια, ταῦτα μετὰ μὲν ἡδονῆς ἐναργοῦς ψαύοντα γλυκέα, χωρὶς δὲ ταύτης λιπαρὰ προσαγορεύεται. ἐγὼ μὲν οὖν, ὡς οἷόν τέ μοι μάλιστα λόγῳ διελθεῖν ἐπεχείρησα δυσερμήνευτα πράγματα. θαυμάζω δὲ τῶν ἑτοίμως ἅπαντα στύφοντα προσαγορευόντων, καὶ τὰ δριμέα καὶ τὰ πικρὰ καὶ τὰ γλυκέα καὶ τὰ λιπαρὰ καὶ τὰ ὀξέα. καὶ γὰρ ὀνόματα διαφέροντα κεῖται τοῖς πράγμασιν εὐθὺς ἐκ παλαιοῦ καὶ τῶν αἰσθητῶν παθῶν. οὐ σμικρά τις ἡμῖν ἐστιν ἡ διαφορά. βέλτιον δ᾽ ἦν ἴσως, εἴπερ ἐβούλοντο φυσιολογεῖν, οὐκ ἀνατρέπειν τὰ φαινόμενα καὶ συγχεῖν τὰς προσηγορίας, ἀλλὰ ζητῆσαι τίνος μὲν κράσεως ἢ διαθέσεως, ἢ κατασκευῆς σώματος, ἢ ὅπως ὀνομάζειν ἐθέλωσιν, ἔγγονος γίνεται στύψις, τίνος δ᾽ ἁλυκότης καὶ πικρότης ὀξύτης τε καὶ δριμύτης καὶ γλυκύτης καὶ λιπαρότης, ἅπερ οἱ περὶ Πλάτωνά τε καὶ Ἀριστοτέλην καὶ Θεόφραστον ἐπειράθησαν διορίσασθαι. δῆλον γὰρ ὡς εἴπερ ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ συνιόντων κέκραται πάντα, καὶ τῶν εἰρημένων ἑκάστη ποιότης ἐκ τῆς τούτων κράσεώς

tas, ac veluti erofas linguae partes, haec fi cum voluptate manifefta contingant, dulcia, fin hac fine, pinguia vocitantur. Atque hoc quidem pacto quantum in me fuit res explicatu longe difficillimas verbis exponere fum conatus. Miror autem qui tam prompte omnia aftringentia nominent, five acria fint, five amara, five dulcia, five pinguia, five acida, quum jam olim rebus ipfis impofita fint nomina, atque affectuum fenfibilium non exigua in nobis differentia fit. Praeftitiffet fortaffis, fi quidem naturales ferutari rationes voluerint, apparentia non evertere, nec appellationes confundere, verum inquirere cujus temperamenti aut difpofitionis aut corporis conftitutionis, aut quomodocunque nominare velint, foboles fit aftrictio, cujus falfedo, amaror, aciditas, acrimonia, dulcedo, pinguitudo, quae Plato, Ariftoteles, ac Theophraftus conati funt definire. Clarum quippe eft fi ex calido, frigido, humido ficcoque coëuntibus omnia funt mixta, etiam dictarum quamque qualitatum ex horum

ἐστιν. εἰ μὲν οὖν ὅπως τῶν εἰρημένων ἕκαστος γίνηται χυμῶν ἐπιχειροῖεν ἐξηγεῖσθαι, κἂν ἡδέως ἐπακούσαιμι καὶ χάριν γνοίην αὐτοῖς οὐ μικράν. εἰ δὲ οὐδὲ τοῦτο ποιοῦσιν, ἔτι τε συγχέουσιν εἰς ταὐτὸν ἁπάσας τὰς αἰσθητὰς διαφορὰς, ὡς κινδυνεύειν ἅπαντα τὰ σώματα στύφοντα προσαγορεύειν, οὔτ᾽ ἂν αὐτοὺς ἐπακούειν ἐθέλοιμι, κἀκείνους ἂν εὐξαίμην παύσασθαι ματαίου φιλονεικίας.

Κεφ. μ΄. [29] Ἀλλ᾽ ἡμεῖς μὲν ἐν τοῖς μετὰ ταῦτα πειρασόμεθα δεῖξαι τίνος ἕκαστος τῶν χυμῶν ἐστι κράσεως ἔγγονος. ἐν δὲ τῷ παρόντι τὸ χρήσιμον εἰς τὴν τέχνην αὐτὸ μόνον ἐθίσαι βούλομαι, πρότερον ἐκλέγειν τοὺς μανθάνοντας ἐπὶ τὴν πεῖραν ἐρχομένους, ἐπειδὰν κρῖναι βουληθῶσιν ὅπως ἡμᾶς ἕκαστον τῶν φαρμάκων διατίθησιν. οὐ γὰρ δὴ καθ᾽ αὑτό γε καὶ πρὸς τὴν ὅλην φύσιν ὁποῖόν ἐστιν ἐπισκεπτόμεθα. δῆλον γὰρ ὡς οὕτω μὲν οὔτ᾽ ἂν ὄξος οὔτε θάλαττα λέγοιτο ξηραῖνον ἡμᾶς, ἢ ξηρὸν εἶναι τὴν δύναμιν. ἐνεργείᾳ γάρ ἐστιν ἑκάτερον αὐτῶν ὑγρὸν, ἀλλ᾽ ἐὰν ξηραίνειν ἡμᾶς

conftare mixtione. Itaque fi quemadmodum dictorum faporum quisque proveniat, exponere conarentur, lubens equidem aufcultarer gratiamque haberem non exiguam. At fi neque hoc efficiant, imo infuper fenforias omnes differentias in unum confundant, ut parum abfit quin corpora omnia aftringentia nuncupent, fane nec audire ipfe velim illosque obfecrarem, ut inanem contentionem relinquerent.

Cap. XL. At nos equidem in fequentibus oftendere conabimur, cujusnam temperamenti faporum quisque fit foboles. In praefenti autem difcipulos ad experientiam acceffuros affuefcere velim, ut id folum quod ad artem eft utile prius feligant, ubi judicare velint quo pacto unumquodque nos medicamentorum afficiat. Quippe non quale ex fe fit et ad totam naturam confideramus. Nam hoc pacto, neque acetum, neque marinam aquam nos exiccare poffe aut ficca effe facultate dici manifeftum eft, fiquidem utrumque illorum actu eft humidum. Verum fi nos exiccare appareant, ficca

φαίνηται, ξηρὰ λεχθήσεται πρὸς ἡμᾶς δηλονότι καὶ τὴν ἡμετέραν φύσιν, ἐν ἴσῳ τῷ ξηραντικά. καὶ δὴ καὶ θερμὰ καὶ ψυχρὰ καὶ ὑγρὰ κατὰ τὸν αὐτὸν τρόπον, ὅταν ἡμᾶς θερμαίνῃ καὶ ψύχῃ καὶ ὑγραίνῃ, λεχθήσεται πρὸς ἡμᾶς, οὐ πρὸς τὴν ὅλην οὐσίαν, οὐδὲ καθ᾽ ἑαυτά. καὶ μὴν εἴπερ τούτου μόνου μνημονεύοιμεν, ἡ πεῖρα μόνη κριτήριον ἁπάντων ἔσται βεβαιότατον, ὥσθ᾽ ὅσοι ταύτην καταλιπόντες ἑτέρωθεν ἐπιχειροῦσιν οὐ ψεύδονται μόνον, ἀλλὰ καὶ τὸ χρήσιμον ἀνατρέπουσι τῆς πραγματείας. ἡμῖν γὰρ οὐχ οἷόν τι κατὰ τὴν ἑαυτοῦ φύσιν ἕκαστον τῶν φαρμάκων ἐστὶ πρόκειται ζητεῖν, ἀλλ᾽ οἷόν τι δρᾷν πέφυκεν εἰς ἡμᾶς. ὁ μὲν δὴ πρῶτός μοι λόγος ἐνταυθοῖ τελευτάτω. κατὰ δὲ τὸν ἐφεξῆς ἔτι τὸν δεύτερον, ἔλαιόν τε καὶ ῥόδινον ἐν παραδείγματι τῷ λόγῳ προχειρισάμενος ἐπιδείξω κἀνταῦθα τὰς μοχθηρὰς ὁδοὺς τῶν ἐπιχειρημάτων, αἷς οἱ πολλοὶ τῶν ἰατρῶν χρώμενοι παραλογίζονται σφᾶς μὲν αὐτοὺς πρῶτον, σὺν ἑαυτοῖς δ᾽ ἤδη καὶ ἄλλους πολλούς. ἐπειδὰν δὲ τοῦτο περανθῇ, μεταβὰς ἐπὶ τὸ τρίτον τῶνδε τῶν ὑπομνημάτων, ὅσα λο-

dicentur, ad nos videlicet et noftram naturam parem ficcandi poteftatem obtinentia. Quin etiam et calida et frigida et humida eodem dicentur modo, ubi nos fcilicet calefaciant, refrigerent, atque humectent, eaque ad nos, non ad totam fubftantiam nec ex fe. Atqui fi hujus duntaxat meminerimus, certiffima omnium erit judicatrix fola experientia, quam qui relinquunt atque aliunde ratiocinantur, non folum falluntur, fed etiam tractationis utilitatem fubvertunt. Proinde nobis propofitum non eft, quale fua natura quodque fit medicamentum exquirere, verum quid in nobis efficere poffit. Atque hic primi libri finis efto. At in fecundo deinceps oleo ac rofaceo exemplorum vice in fermone pofitis, pravas et inibi ratiocinandi vias monftrabimus, quibus quum medicorum complures utantur, in primis quidem fe ipfos decipiunt, fecumque alios multos in errorem pertrahunt. At ubi id erit abfolutum, ad tertium commentariorum tranfiens quaeftiones logicas, quae univerfam de fim-

γικὰ ζητήματα προηγεῖται τῆς περὶ τῶν ἁπλῶν φαρμάκων ἁπάσης διεξόδου, ταῦτα πειράσομαι διελθεῖν, ὥστε κατὰ τὸ τέταρτον αὐτὰς ἤδη (17) τὰς δυνάμεις ἁπάντων διορίζειν, ὧν εὐθὺς ἂν ἀπ᾽ ἀρχῆς ἡψάμην, εἰ μὴ μεστὰ παραλογισμῶν ἦν σχεδὸν ἅπαντα τὰ τῶν νεωτέρων ἰατρῶν βιβλία. τούτους οὖν ἐκκαθᾶραί τε καὶ ἀποσκευάσασθαι χρὴ πρῶτον ἐκ τῆς τοῦ μανθάνοντος ψυχῆς, ὅπως μηδὲν ἐμποδίζοιεν τοῖς ἀληθέσιν. ὡς γὰρ Ἱπποκράτης φησὶν, οὕτω καὶ Πλάτων ἔλεγεν· οὐ μόνον τὰ μὴ καθαρὰ σώματα, ὁπόσῳ ἂν θρέψῃς μᾶλλον βλάψεις, ἀλλὰ καὶ ταῖς ἀκαθάρτοις ψυχαῖς, εἰ τροφίμους προσφέρεις λόγους, οὐ μόνον οὐδὲν ὠφελήσῃς ἂν, ἀλλὰ καὶ βλάψεις οὐ σμικρά. διὰ ταῦτα μὲν οὖν αὐτὰ καὶ ὅτι πολλοὶ τῶν ἑταίρων ἐξελεγχθῆναι τοὺς παραλογισμοὺς τῶν νεωτέρων ἰατρῶν ἠβουλήθησαν, οὐκ ἐν ταῖς συνουσίαις μόνον ἃς ἑκάστοτε ποιούμεθα συνδιατρίβοντες αὐτοῖς, ἀλλὰ καὶ διὰ τῶνδε τῶν ὑπομνημάτων, ἀνάγκην ἔσχον ἐπιπλέον ἐγχρονίσαι τοῖς πρώτοις δύο βιβλίοις, ἵνα ἐν τῷ τρίτῳ καθαρὸν ἤδη τῇ ψυχῇ τὸν ἀκροατὴν ἔχων καὶ δυνάμενον ἕπεσθαι τοῖς ἀληθέσι λόγοις, ὅσα τε χρὴ περὶ τῶν ἀρχῶν τῆς προκειμένης ἡμῖν

plicibus medicamentis enarrationem antecedunt, explicare conabor. Ut videlicet in quarto ipfas jam facultates omnium definire liceat, quas protinus a principio tetigiffem, nifi plena paralogismis, atque erroribus omnium prope juniorum medicorum effent volumina, quos prius extergere atque ex animis difcentium delere oportet, ne quid veritati obfiftat. Nam ut Hippocrates inquit, fic etiam ait Plato: *Non folum impura corpora quanto plus nutrias, tanto magis laedas, verum etiam impuris animis fi nutrientes fermones offeras, non modo nihil profis, verum etiam magnopere obfueris.* Itaque his de caufis, tum etiam quia amicorum plerisque vifum eft, ut juniorum medicorum argueremus paralogifmos, non tantum in congreffibus quos quotidie cum illis habemus, fed etiam hifce commentariis, neceffe mihi fuit diutius prioribus iftis duobus immorari, quo videlicet in tertio purum animi auditorem nactus, quique veras affequi rationes poffit, tum ea exponam quae de hujus fpeculationis principiis

Ed. Chart. XIII. [29.] Ed. Baf. II. (17.)

θεωρίας ἐγνωκέναι διέλθω, μετὰ ταῦτά τε τῶν φαρμάκων ἑκάστου πάσας ἐπέλθω τὰς δυνάμεις. ἔσται δὲ τοῦτο διὰ βιβλίων, ὡς οἶμαι, τῶν πάντων ἕνδεκα ἡλικούτων μάλιστα τὸ μέγεθος ἡλίκον καὶ τοῦτό ἐστι τὸ πάντων πρῶτον. ᾧ μέτρον ἤδη τὸ δέον ἔχοντι τελευτὴν ἐπιτίθημι ταύτην αὐτῷ τὴν ῥῆσιν.

noviſſe oportet, tum deinceps omnes medicamenti cujusque facultates enarrem. Id autem fiet in univerſum, ut reor, libris undecim ea ferme magnitudine conſtantibus, cujus eſt hic, qui eſt omnium primus. Qui quum convenientem nunc nactus ſit modum, finem per hanc dictionem accipiat.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΑΣΕΩΣ ΚΑΙ ΔΥΝΑΜΕΩΣ ΤΩΝ ΑΠΛΩΝ ΦΑΡΜΑΚΩΝ ΒΙΒΛΙΟΝ Β.

Ed. Chart. XIII. [30.] Ed. Baf. II. (17.)

Κεφ. α'. Οἱ τοὺς οἰκείους ὅρους ὑπερβαίνοντες σοφισταὶ μακρὸν ἡμῖν ποιοῦσιν τὸν περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως λόγον. πόῤῥωθεν γὰρ ἀρχόμενοι καὶ τὴν αἴσθησιν ἀτιμάζοντες, ἐμβάλλοντές τε σφᾶς αὐτοὺς εἰς τὰ καὶ ἐν τοῖς φιλοσόφοις ἠπορημένα, προσαπολλύουσιν οἷς ἀγνοοῦσιν καὶ τὰ σαφῶς γινωσκόμενα. καὶ ταῦτα ποιοῦσιν οἱ πλείους αὐτῶν ἀμαθεῖς ὑπάρχοντες οὐ τῆς φυσικῆς θεω-

GALENI DE SIMPLICIVM MEDICAMENTORVM TEMPERAMENTIS AC FACVLTATIBVS LIBER II.

Cap. I. Prolixa nobis ut fit de fimplicium medicamentorum facultatibus oratio, limites fuos excedentes fophiftae efficiunt. Nam quum procul principia ducant, fenfumque pro nihilo habeant fefeque in illa conjiciant quae philofophis etiam ambigua funt, fimul cum iis quae ipfi ignorant et ea quae aperte cognofcuntur fubvertunt. Eaque plerique eorum faciunt non modo naturalis fpeculationis,

ρίας μόνον, ἀλλὰ καὶ τῶν λογικῶν μεθόδων, αἷς ἀναγκαῖόν ἐστιν χρῆσθαι τὸν ὁτιοῦν ἀποδείξαντα, ὥστε μήθ' ὅσα καλῶς εὕρηται τοῖς φυσικοῖς ἀνδράσιν μήθ' ὑπὲρ ὧν αὐτῶν εὐλόγως ἠπόρηται γινώσκοντες, ἑκατέροις πολλάκις ἀποφαίνεσθαι τολμῶσι τἀναντία. φέρε δὲ ὦ πρὸς θεῶν, εἴπερ ἐγὼ νῦν ἀρξάμενος ὧδέ πως λέγειν, ὡς τεττάρων ὄντων στοιχείων ἀέρος καὶ γῆς ὕδατός τε καὶ πυρὸς, ὡς οὐδενὸς ἄλλου ξύμφυτόν ἐστι τὸ λευκὸν καὶ λαμπρὸν χρῶμα, πλὴν αὐγῆς καὶ πυρὸς, εἶτα καὶ τὸν Ἐμπεδοκλέα καὶ τοὺς ἄλλους τινὰς τῶν φυσικῶν ἐπὶ τῷ λόγῳ καλέσας μάρτυρας, ἅπαντα τὰ λαμπρὰ [31] σώματα πυρὸς πλείστου μετέχειν ἀποφηναίμην ἀμελήσας ἐμβλέψαι χιόνι καὶ ψιμυθίῳ καὶ κρυστάλλῳ ἑτέροις τε μυρίοις τῶν λαμπροτάτων τε ἅμα καὶ ψυχροτάτων, εἶτά τινος αὐτὰ προχειριζομένου, τὸν ἀπὸ τῆς αἰσθήσεως ἔλεγχον ἀποδιδράσκων ἀξιοίην ἐπὶ τὸν λόγον ἰέναι καὶ τούτῳ σκοπεῖσθαι περὶ φύσεως πραγμάτων, οὐκ αἰσθήσεσιν ἀλόγοις ἐπιτρέπειν τὸ πᾶν, ἆρ' οὐκ ἂν τοῖς νοῦν ἔχουσιν μαίνεσθαι δόξαιμι, μηδ' ἀφ' ὧν ἄρχομαι τοῦ λόγου γινώσκων; ἐξ αἰσθήσεως

ſed etiam logicarum methodorum imperitia, quibus utatur neceſſe eſt quisquis demonſtrare quid aggreditur. Itaque quum neſciant tum ea quae bene a phyſicis viris ſunt inventa, tum etiam ea de quibus non injuria illi dubitarunt, utrisque tamen contraria aſſerere ſaepenumero audent. Sed deum immortalem age obſecro, ſi nunc ego ſic orſus dicere, quod quum quatuor ſint elementa, aër, terra, aqua et ignis nulli tamen congenita ſit albedo ac ſplendidus color niſi luci et igni, ac deinde citato Empedoclis ac nonnullorum phyſicorum aliorum teſtimonio ſplendida corpora omnia plurimum in ſe ignis habere dicam, haud curans aut nivem aut ceruſſam aut glaciem aut alia innumera tum ſplendidiſſima tum frigidiſſima inſpicere, ac mox illa ſuggerente quopiam, procedente a ſenſu confutationem tergiverſatus ad rationem accedi jubeam, ac per eam de rerum natura conſiderandum, haudquaquam ſenſibus ratione carentibus univerſum committendum cenſeam, nunquid mentem habentibus inſanire videar, haud intelligens unde rationis deſump-

γὰρ, οἶμαι, καὶ δι' αἰσθήσεως ἅπαντα τὰ τοιαῦτα τῶν ἀξιωμάτων ἐμάθομεν, ὡς ὁ μὲν ἥλιος λαμπρὸς ἐστιν, αἱ δὲ φλόγες ὑπόξανθοι, τῶν δ' ἀνθράκων οἱ πλεῖστοι ξανθοί. εἰ μὲν οὖν ἀποστητέον ἐστὶ ταῖς αἰσθήσεσιν, οὐδεμίαν ἕξομεν ἀπόδειξιν οὔθ' ἡμεῖς ὧν νῦν εἰρήκαμεν οὔτε Ἐμπεδοκλῆς ὧδὶ γράφων,

Ἠέλιον μὲν θερμὸν ὁρᾷν καὶ λαμπρὸν ἁπάντη.

εἰ δέ ἐστιν ἀληθῆ ταῦτα, δῆλον ὡς πολὺ πρότερον αὐτῶν τὴν αἴσθησιν εἶναι χρὴ πιστήν. ἀλλ' ἄρχεσθαι μέν φασιν ἀπὸ τῶν αἰσθήσεων ἀναγκαῖόν ἐστιν ἀνθρώπους γε ὄντας, οὐ μὴν ἐπ' αὐτήν γε προσήκει καταμένειν διὰ παντὸς, ἀλλ' ἐπὶ τὸ θειότερον ἰέναι τὸν λόγον. αἰσθήσεως μὲν γὰρ καὶ τοῖς ἀλόγοις ζώοις μετεῖναι, λόγου δὲ μόνον τοῖς θεοῖς. κἀντεῦθεν ἀρξάμενοι, δολιχὸν ἀποτείνουσι τὸν λόγον. καί τινες ἐξ αὐτῶν καὶ τὸν Ἀναξαγόραν ἐπικαλοῦνται μάρτυρα, περὶ τῆς χιόνος ἀποφηνάμενον, ὡς οὐκ εἴη λευκή. οὗτος ἄρα, φασὶ, φυσικὸς ἀνὴρ ὑπὲρ τὴν αἴσθησίν ἐστιν καὶ καταφρονεῖ

fiffem initium? Nam mea quidem fententia ex fenfu et per fenfum omnia id genus cognofci didicimus axiomata, nempe solem effe fpendidum, flammas fubflavas, carbones plerosque flavos. Ergo fi a fenfibus recedendum eft, nulla fuppetet demonftratio, neque nobis eorum quae modo diximus, neque Empedocli, quum ait:

Undique fplendentem folem calidumque videre.

Quae fi vera funt, perfpicuum eft multo ante illa fidem habendam fenfibus. Imo, inquiunt, mortales quum fimus, a fenfibus aufpicemur neceffe eft, verum illis haudquaquam perpetuo immorandum, fed ad partem diviniorem accedendum, nempe rationem. Nam fenfum et animantibus rationis expertibus ineffe, rationem folam hominibus effe cum diis communem. Atque hinc exorfi in longum orationem extendunt. Quin etiam ex illis quidam et Anaxagoram in teftimonium evocant, qui nivem pronunciarit non effe albam: *Hic*, inquiunt, *vir phyficus fupra fenfum eft atque ejus contemnit phantafmata, ad rationem ire pergit, eaque duce*

μὲν τῶν ταύτης φαντασμάτων, ἐπὶ δὲ τὸν λόγον ἀνέρχεται, καὶ τούτῳ τὴν τῶν ὄντων θηρᾶται φύσιν. ἐμὲ δ᾽ εἰ χρὴ τὸ παριστάμενον εἰπεῖν, ὡς ἐλευθέριόν τε καὶ παρ᾽ ὅλον τὸν βίον ἀλήθειαν σπουδάσαντα, μελαγχολίας ἐπέκεινα προεληλυθέναι νομίζω τοὺς τὰ τοιαῦτα ληροῦντας. εἰ μὲν γὰρ ἀνατρέψουσι τὰ διὰ τῶν αἰσθήσεων ἐναργῶς φαινόμενα, πόθεν ἄρξονται τῶν ἀποδείξεων οὐχ ἕξουσιν. εἰ δ᾽ ὡς ἀπὸ πιστῶν ἄρξονται, πῶς ὕστερον εὐλόγως ἀπιστήσουσιν, αἱ γὰρ τῶν ἀποδείξεων ἀρχαὶ πιστότεραι τῶν ἀποδεικνυμένων, ἃ τῆς ἐξ ἑτέρων δεῖται πίστεως. αἱ δ᾽ ἀρχαὶ τῶν ἀποδείξεων οὐ μόνον αὐταὶ καθ᾽ ἑαυτὰς, ἀλλὰ καὶ πρὸς τὴν τῶν ζητουμένων εὕρεσιν ὑπάρχουσι πισταί.

Κεφ. β΄. Καὶ ἔγωγ᾽ ἂν εὐξαίμην ἅπαντα τὰ πράγματα ταῖς αἰσθήσεσιν ἡμῶν ἐναργῶς ὑποπίπτειν καὶ μηδὲν εἶναι τὸ διαφεῦγον αὐτὰς, ὡς οὕτως ἂν οὔτ᾽ ἄπορον οὔτ᾽ ἀμφισβητούμενον ἦν οὐδέν. ἐπεὶ δ᾽ ἐκφεύγει τινὰ, πειρατέον ἐπάγειν αὐτοῖς τὸν λόγον, ἀλλ᾽ οὔτε πόῤῥωθεν, ὡς ἐκεῖνοι ποιοῦσιν, οὔτ᾽ ἀπέραντα συλλογιζομένους, ἀλλὰ πρῶτον μὲν

rerum naturam ſcrutatur. At ſi me quod in mentem venit fari oportet, qui liber ſim et in tota adeo vita veritatem coluerim, ad inſaniae extremum et ultra perveniſſe illos arbitror qui talia nugantur. Nam ſi quae per ſenſus evidenter apparent, evertant, unde ſumant demonſtrationum principia non habebunt. Sin autem ab iis, tanquam a ſide dignis exordiantur, quo jure iisdem poſtea diffident? Nam demonſtrationum principia certiora ſunt quam ea quae per illa demonſtrantur, quippe quum iſta aliunde ſidem mutuentur, demonſtrationum vero principia non ſolum ipſa per ſeſe, verum etiam ad quaeſitorum inventionem quibus credatur idonea ſint.

Cap. II. Equidem optarim nullas non res clare ſub ſenſus noſtros cadere, nec quicquam eſſe quod illos ſugeret, hoc enim pacto nihil dubium, nihil ambiguum, aut anceps usquam foret. Verum quoniam illos quaedam eſſugiunt, rationem illis ſuperinducere conandum eſt, ſic tamen ut non procul, ut illi factitant, nec infinita colligamus. Verum ante

τὰ σημαινόμενα τῶν ὀνομάτων ἀκριβῶς διαιρουμένους, ἵνα μή τις παρὰ τὴν ὁμωνυμίαν ἐν τοῖς μετὰ ταῦτα ἀπάτη γίγνηται. δεύτερον δὲ τὸ καθ᾽ αὑτό τι δρῶν, τοῦ κατὰ συμβεβηκὸς ἀφορίζοντας. εἴρηται δ᾽ ἐν τοῖς ἔμπροσθεν ὑπὲρ ἀμφοῖν ἀκριβῶς, καὶ τὰ σημαινόμενα τῶν δυνάμει θερμῶν, ἢ ψυχρῶν, ἢ ξηρῶν, ἢ ὑγρῶν, ἢ ὁτιοῦν ἄλλο λεγομένων εἶναι διῄρηται. καὶ ὅπως ἄν τις εὑρίσκοι τὴν οἰκείαν ἑκάστου φαρμάκου δύναμιν ἀφορίζων τοῖς κατὰ συμβεβηκὸς, ἔν τε τῷ τρίτῳ περὶ κράσεων βιβλίῳ καθόλου διεληλύθαμεν, ἔν τε τῇ νῦν ἐνεστώσῃ πραγματείᾳ διὰ τῶν κατὰ μέρος ἐπε[32]ξίωμεν, ὡς ἤδη κἀν τῷ πρώτῳ βιβλίῳ πεποιήκαμεν ἐφ᾽ ὕδατος καὶ ὄξους· ἐνταυθοῖ δὲ πάλιν, ἐπ᾽ ἐλαίου τε καὶ ῥοδίνου πράξομεν, ἐνδειξάμενοι πρότερον ἡλίκον ἁμαρτάνουσιν οἱ πόῤῥωθεν τῶν ἰατρῶν ἀποδείξεων ἀρχόμενοι. τί γὰρ ἔδει τὴν χρόαν ἐλαίου σκοπεῖν, ἢ ῥόδων, ἔχοντάς γε αὐτοῖς χρῆσθαι τοῖς πράγμασιν πολυειδῶς, οὐκ ἐπὶ τῶν ὑγιαινόντων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν νοσούντων σωμάτων; καὶ γὰρ αὐτὰ καθ᾽ ἑαυτὰ ῥόδα καὶ τὸν χυλὸν αὐτῶν ἔνεστι λαμβάνοντας ἐπιτι-

omnia nominum fignificata diligenter definiamus, ne quis poftea per aequivocationem falli poffit; deinde quod ex fe quid agit ab eo quod per accidens, feparetur. De quibus ambobus fupra accurate differuimus, fignificataque eorum quae poteftate aut calida, aut frigida aut ficca aut humida aut quidvis aliud effe dicuntur difcrevimus. Tum quo pacto propriam cujusque medicamenti facultatem ab iis quae ex accidenti funt, fegregans invenire quis poffit, univerfum quidem in tertio de temperamentis expofitum eft, atque in hoc tractatu particulatim enarrabimus, ceu in primo jam libro etiam fecimus in aqua et aceto et hic rurfus in oleo et rofaceo facturi fumus, indicantes prius, quantum delinquant medicorum nonnulli qui longe demonftrationum ducunt principia. Nam quid oportuit olei aut rofae refpexiffe colorem, quando rebus ipfis varie uti liceat nec in fanis folum corporibus, fed et aegrotantibus? quippe quum ipfas per fe rofas, aut fuccum earum expreffum corpori tum fano

θέναι τῷ σώματι καὶ ὑγιαίνοντι καὶ νοσοῦντι νόσον ἁπλῆν, ὡς ἔμπροσθεν, εἴρηται καὶ μιγνύντας ἐλαίῳ γλυκεῖ, κατά τε τῶν ἰσχυρῶς ἐψυγμένων ἢ τεθερ(18)μασμένων σωμάτων ἐπιφέρειν, ἀνατρίβοντάς τε καὶ καταντλοῦντας καὶ καταβρέχοντας, εἴσω τε τοῦ σώματος λαμβάνειν ἢ ἄνωθεν διὰ τοῦ στόματος, ἢ κάτωθεν διὰ τῆς ἕδρας, εἶθ' ὁρᾷν τὸ γιγνόμενον ἐφ' ἑκάστῃ χρήσει. καὶ γὰρ δὴ καὶ τούτου χάριν ἐπισκεπτόμεθα τὴν δύναμιν πάντων τῶν φαρμάκων, ἵνα ἔχωμεν οἷς δεῖ χρῆσθαι, διακαιομένων ὑποχονδρίων καὶ κεφαλῆς, ἢ κατεψυγμένων, ἢ ἡλκωμένων, ἢ φλεγμαινόντων, ἤ τι τοιοῦτον ἕτερον πασχόντων, αὐτῶν τε τούτων καὶ τῶν ἄλλων ἁπάντων μελῶν τοῦ σώματος. εἶθ' οὕτως ἐναργῆ τε ἅμα καὶ σύντομον ὁδὸν ἔχοντες ἐφ' ἃ ζητοῦμεν, ἔτι χρόας ἐξετάσομεν, ἢ ὀσμὰς, ἢ συστάσεις, ἢ ψόφους ἑκάστου τῶν φαρμάκων ὅμοιόν τι δρῶντες, τοῖς ἐξ εἰκόνος ἤτοι πλαστῆς, ἢ γραπτῆς ἄνθρωπόν τινα διαγνῶναι βουλομένοις ἐνὸν, αὐτὸν θεάσασθαι τὸν γνωρισθησόμενον.

tum ſimplici affecto morbo, ut ſupra diximus, liceat imponere, atque oleo dulci miſcentes corporibus aut valenter refrigeratis, aut excalefactis applicare ſive fricando ſive perfundendo, ac irrigando tum in corpus quoque aſſumere idque aut ſuperne per os aut inferne per ſedem, ac ſic tandem quid ad unumquenque uſum proveniat inſpicere. Nam hoc ſane nomine medicamentorum omnium vires contemplamur, ut ſit quo uti oporteat hypochondriis aut capite ardore afflictis, aut refrigeratis aut exulceratis aut phlegmone occupatis, aut id genus aliud perpeſſis tum ipſis tum aliis omnibus corporis partibus. Ergo quum tam perſpicua ſimul ac compendioſa adſit via ad ea quae inquirimus, etiamne colores aeſtimabimus, aut odores, aut conſiſtentias, aut ſtrepitus medicamenti cujusque? perinde factitantes atque ii qui ex imagine, aut ficta, aut picta cognoſcere quempiam volunt, quum ipſum aſpicere non denegetur, quem agnoſcere cupiunt.

Ed. Chart. XIII. [32.] Ed. Baf. II. (18.)

Κεφ. γ'. Ταύτῃ τοίνυν ἁμαρτάνειν μοι δοκοῦσιν οὐ σμικρὰ, καὶ τούτων ἔτι μᾶλλον ἐν οἷς ἀπέραντα καὶ ἀναπόδεικτα φλυαροῦσιν, ἀμαθεῖς ὑπάρχοντες ἀποδεικτικῆς μεθόδου. ὑποκείσθω γὰρ τὸ πῦρ, εἴτε ξανθὸν εἴτε ἐρυθρὸν, ἢ ὡς ἂν ἐθέλωσιν, οὐ γάρ μοι διαφέρει. τί οὖν τοῦτο πρὸς τὸ πᾶν ἐρυθρὸν θερμὸν εἶναι; πᾶν μὲν γὰρ πῦρ, εἰ οὕτως ἔτυχεν, ἐρυθρὸν εἶναι λεκτέον ἐστίν. πᾶν δὲ τὸ ἐρυθρὸν πῦρ εἶναι φάναι καταγέλαστον, ἔτι δὲ μᾶλλον εἰ πᾶν τὸ ἐρυθρὸν θερμὸν εἶναι λέγοι τις. εἰ μὲν ἐξ ἀρχῆς εἴληπτο κατὰ τὸν λόγον, ὡς πᾶν τὸ θερμὸν ἐρυθρόν ἐστιν, ἦν ἴσως διαστρέψαντα τὸ ἀξίωμα τὸ ἐρυθρὸν ἅπαν ἀποφῆναι θερμὸν ἁμαρτάνοντα μὲν κἂν τούτῳ προφανῶς. οἱ γὰρ ἀντιστρέφοντες, οὐχ οἱ ἀναστρέφοντες ἀλλήλοις λόγοι συναληθεύονται, ἀλλ' ὅμως ἦν ἂν, οἶμαι, πλησίον ὁ παραλογισμός. ἐπεὶ δὲ οὐδ' αὐτὸ τοῦτο κατ' ἀρχὰς εἴληπται, λέγω δὴ τὸ πᾶν εἶναι τὸ θερμὸν ἐρυθρὸν, οὐδ' ἀναστρέψαντα δυνατὸν εἰπεῖν ἅπαν εἶναι τὸ ἐρυθρὸν θερμόν. τριχῶς οὖν ἁμαρτάνουσι κατὰ τὸν λόγον οἱ φάσκοντες τὰ ῥόδα θερμὰ τὴν κρᾶσιν ὑπάρχειν,

Cap. III. Atque hac utique parte non leviter peccare mihi videntur: multo etiam magis quum inconclufa atque indemonftrata nugantur, demonftrandi rationis plane imperiti. Nam dicamus ignem aut flavum aut rubrum effe aut utcunque voluerint, nec enim refert, quid ergo id facit ad hoc ut omne rubrum fit calidum? Nam omnem ignem verbi caufa rubere dicendum eft, at omne rubrum ignem dicere ridiculum eft, multoque etiam plus, fi omne rubrum calidum quis dixerit. Nam fi principio affumptum effet in oratione omne calidum effe rubrum, licuiffet fortaffis mutua axiomatis converfione rubrum omne calidum concludere, licet non obfcure et illic peccetur. Nam quae mutuo convertuntur, non quae fimpliciter convertuntur orationes, vere de fe mutuo dicuntur. Verumtamen propinquus is fuerit paralogismus. Atqui quoniam nec illud orationis initio affumptum erat, nempe omne calidum effe rubrum, haud licet mutua converfione omne rubrum calidum effe colligere. Tribus ergo modis in fermone peccant qui ajunt rofas tem-

ὅτι καὶ ἐρυθρά. πρῶτον μὲν ὅτι μὴ δείξαντες ὅτι πᾶν πῦρ ἐρυθρὸν ἀντιστρέφειν αὐτῷ, ὅτι πᾶν ἐρυθρὸν πῦρ πειρῶνται λόγον ἕτερον, ὡς ἀληθῆ· δεύτερον δ' ὅτι μὴ γινώσκουσι τοὺς ἀντιστρέφοντας, οὐ τοὺς ἀναστρέφοντας τοῖς ἀληθέσι λόγοις ἀληθεῖς εἶναι καὶ αὐτούς. καὶ τρίτον ὅτι κἂν ἀντιστρέφωσιν, οὐ τὸ πᾶν εἶναι τὸ τῇ χροιᾷ ἐρυθρὸν θερμὸν ἐκ τῆς ἀντιστροφῆς περανθήσεται, ἀλλὰ ἕτερον αὐτοῦ τι τοιοῦτον ἀξίωμα, τὸ ἐρυθρὸν ἅπαν πῦρ ἐστιν. ὅτι δ' οὐ μόνον ἄχρηστον εἰς τὰ παρόντα τὸ τοιοῦτον, ἀλλὰ καὶ προφανῶς [33] ψεῦδός ἐστιν, δῆλον παντί. δεόμεθά γὰρ οὐκ εἰ τὸ ἐρυθρὸν ἅπαν πῦρ ἐστιν, ἀλλ' ὅτι θερμὸν ἀποδειχθῆναι. ὡς εἴ γε πῦρ ἐστι πᾶν τὸ ἐρυθρὸν, ἔσται δηλονότι καὶ τὸ ῥόδον ἡμῖν πῦρ. ἀλλ' οἱ μὴ γινώσκοντες, οἶμαι, τὰς λογικὰς μεθόδους ἰατροὶ, πρῶτον μὲν ἐπ' αὐτῷ τούτῳ μέγιστα σφάλλονται, τῷ τοὺς οἰκείους ὅρους ὑπερβαίνειν. ἱκανὴ γὰρ ἡ πεῖρα μετὰ βραχέων ἐπιλογισμῶν ἐξευρίσκειν τὰς δυνάμεις τῶν φαρμάκων· εἶτα καὶ κατὰ τοὺς λόγους ἁμαρτάνουσιν ὅμοια τοῖς ἀριθμαθέσι

peramento calidas, quod fint rubrae. Primum quod non demonftrata hac propofitione omnis ignis rubet convertere ex hac aliam, videlicet omne rubrum eft ignis, tanquam veram conantur. Secundo quod nefciunt propofitiones, quae mutuo cum veris convertuntur, non autem quae fimpliciter convertuntur effe veras. Tertio quod etiam fi mutuo converterentur, non tamen omne quod colore fit rubro calidum effe ex mutua illa converfione fequatur, fed aliud hujusmodi axioma rubrum omne effe ignem. Porro quod talia in rem praefentem non modo fint inutilia, fed etiam palam falfa, cuivis notum eft. Debemus enim non an omne rubrum fit ignis, fed quod omne rubrum calidum fit oftendere. Nam fi quicquid rubet, ignis fuerit; erit nimirum et rofa nobis ignis. Caeterum logicas methodos ignorantes, opinor, medici primum in hoc maxime peccant, quod propriis finibus excedant, nimirum quum fufficiens fit experientia, junctis faltem paucis quibusdam epilogismis medicaminum vires exquirere. Deinde tam foede in rationibus

λογικῆς θεωρίας παιοί. τῆς δ' αὐτῆς πλημμελείας ἔχονται καὶ ὅσοι ταῖς ὀδμαῖς τεκμαίρονταί τι περὶ δυνάμεως φαρμάκων. οὐδὲ γὰρ ἅπαν εὐῶδες θερμὸν, ὡς λέγουσί τινες, ἀγνοοῦντες ὅπως ἀκούειν χρὴ τῶν ὑπ' Ἀριστοτέλους καὶ Θεοφράστου περὶ τούτων εἰρημένων, ἃ κατὰ τὸ τέταρτον τῶνδε τῶν ὑπομνημάτων ἡμεῖς διοριοῦμεν, οὐθ' ἅπαν θερμὸν εὐῶδες, οὐ μὴν οὐδὲ δυσῶδες ἅπαν θερμὸν, οὐδ' εἴ τι θερμὸν ὑπάρχει, δυσῶδες. οὕτω κἂν εἰ τὸ δυσῶδες ἅπαν φαίη τις ψυχρὸν, ἢ τὸ ψυχρὸν δυσῶδες, οὐκ ἀληθεύει. καὶ γὰρ καὶ τῶν θερμῶν μυρία τὰ μὲν εὐώδη, τὰ δὲ δυσώδη, τὰ δ' οὐδέτερα καὶ τῶν ψυχρῶν ὡσαύτως. καίτοι τί λέγω ψυχρὰ καὶ θερμὰ, δέον θερμαίνοντα καὶ ψύχοντα λέγειν ἡμᾶς, ἅπερ καὶ ζητοῦμεν. οὐ γὰρ δὴ τό γε ἁπλῶς θερμὸν ἢ τὸ πρὸς τοῦτο ἐξεταζόμενον ἐπισκέπτεσθαι πρόκειται νῦν, ἀλλὰ τὸ θερμαῖνον ἀνθρώπειον σῶμα. καὶ δὴ καὶ ψυχρὸν οὐχ ἁπλῶς, ἀλλ' ὅ τι περ ἂν ἄνθρωπον ψύχῃ. πάλιν οὖν ἐνταῦθα μὴ δηλόμενοι τὰ σημαινόμενα τῶν ὀνο-

hallucinantur quam pueri modo fpeculationem logicam ingreffi. Eisdem erroribus tenentur qui ex odoribus medicamentorum facultates conjiciunt. Nec enim quicquid bene olet calidum eft, quod quidam dictitant haud intelligentes quo pacto inaudire oporteat quae ab Ariftotele et Theophrafto fuper hac re funt prodita, ea quae nos in quarto harum commentationum definiemus, neque quicquid calidum eft bene olet. Quin etiam neque fi quid grave olens eft, calidum etiam fuerit, neque fi calidum, etiam grave olens. Sic nec fi quis quicquid graviter oleat frigidum dicat, nec fi quicquid frigidum fit, graviter olere, verum dixerit. Siquidem calidorum innumera funt partim bene olentia, partim graviter olentia, partim neutra, fimiliter quoque frigidorum. Quamquam quid calida dico ac frigida? quum debeam dicere calefacientia nos ac refrigerantia, quae utique etiam inquirimus. Nec enim quod abfolute calidum eft, aut quod ad hoc expenditur, nunc confiderare propofitum eft, fed quod corpus humanum excalefaciat, nec fane etiam quod abfolute frigidum, fed quod hominem refrigeret. Denuo

Ed. Chart. XIII. [53.] Ed. Baſ. II. (18.)

μάτων σφάλλονται παρὰ τὴν ὁμωνυμίαν, ὥσπερ εἰ καὶ περὶ χερσαίου τις κυνὸς διαλεγόμενος ἐπὶ τὸν θαλάττιον μεταβαίνοι τῷ λόγῳ, νομίζων ὥσπερ τοὔνομα τῶν ζώων ἀμφοτέρων ἓν ἐστιν, οὕτω καὶ τὴν φύσιν αὐτῶν μίαν ὑπάρχειν. ἀλλ' ἡμῖν δέδεικται σαφῶς ἐν τοῖς περὶ κράσεως ὑπομνήμασιν, ἃ καὶ κατ' ἀρχὰς εὐθὺς ἡγεῖσθαι τῆσδε τῆς πραγματείας ἔφαμεν, ἄλλο μὲν εἶναι τὸ δυνάμει θερμὸν, ἄλλο δὲ τὸ ἐνεργείᾳ. καὶ τούτου τοῦ ἐνεργείᾳ θερμοῦ τὸ μὲν ἁπλῶς λέγεσθαι θερμὸν, τὸ δὲ κατ' ἐπικράτησιν, τὸ δὲ πρὸς τὸ σύμμετρον ὁμογενὲς, τὸ δὲ πρὸς ὁτιοῦν τὸ ἐπιτυχόν. καὶ δὴ καὶ τὸν ἄνθρωπον οὐχ ἁπλῶς θερμὸν, ὥσπερ τὸ πῦρ, ἀλλ' ἐπικρατήσει θερμὸν ὑπάρχειν ἐλέγομεν. εἶναι γὰρ ἐν αὐτῷ πλείονα τοῦ θερμοῦ μοῖραν ἢ τοῦ ψυχροῦ. καὶ τοίνυν καὶ ὅσα πρὸς τούτων λέγεται θερμὰ δυνάμει, τῷ τοῦτον θερμαίνειν λεχθήσεται. καὶ ἡ κρίσις αὐτῶν ῥᾴστη τέ ἐστι καὶ διὰ τῆς ἐμπειρίας ἐξετασθήσεται, βραχέων, ὡς εἴρηται, καὶ πρόσθεν ἐπιλογισμῶν δεομένη. τούτους οὖν ὑπερβαίνοντες οἱ σοφισταὶ, τόν τε χρόνον

ergo hic hallucinantur in homonymia haud diſtinctis nominum ſignificatis, tanquam ſiquis de cane terreſtri diſſerens ad marinum ſe oratione transſerat, exiſtimans ut animantis utriusque nomen unum, ita et naturam quoque ipſorum unam eſſe. At nobis demonſtratum aperte eſt in commentariis de temperamentis, quos et hanc antecedere tractationem protinus initio commonefecimus, aliud eſſe facultate calidum, aliud actu: et hujus quod actu videlicet calidum eſt, aliud abſolute dici calidum, aliud per exuperantiam, aliud ad ſymmetrum ſui generis, aliud ad quidvis obvium collatum. Quin et hominem non abſolute calidum, ut ignem, ſed exuperantia calidum diximus, ſiquidem majorem in eo calidi portionem eſſe quam frigidi. Ergo et quaecunque ad hunc dicuntur calida poteſtate illum excalefacere dicuntur, facileque de illis initur judicium et per experientiam expenditur, paucis indigens ut ſupra commonui epilogismis. Quos quum ſophiſtae excedant et tempus adoleſcentulorum fru-

ἀναλίσκουσι τῶν μειρακίων καὶ σοφίσμασι παράγοντες ἀνθρώπους ἀγυμνάστους λύσεως σοφισμάτων ἀναπιμπλᾶσι ψευδῶν δογμάτων. ἐχρῆν γὰρ μήτε χρόας μνημονεύειν αὐτοὺς μήτ' ὀδμῆς, ἀλλὰ μηδὲ συστάσεως, ἢ λειότητος, ἢ τραχύτητος, ἤ τινος ἑτέρου τοιούτου. τί γὰρ ὅτι γλίσχρον τοὔλαιον, ἢ ὅτι λεῖον, ἢ ὅτι στίλβον, ἢ ὑγρὸν, ἢ ὠχρὸν, ἢ λιπαρὸν, ἢ ὀλισθηρὸν, ἢ δυσξήραντον ἐπαλειφόμενον τοῖς σώμασιν; οὔτε γὰρ εἰ θερμὸν, οὔτε εἰ ψυχρὸν, οὔτ' εἰ ξηρὸν, οὔτ' εἰ ὑγρόν ἐστιν τὴν δύναμιν, ἐξ οὐδενὸς ἔνεστι τῶν τοιούτων συλλογίσασθαι. καὶ γὰρ τῶν γλίσχρων καὶ τῶν λείων καὶ τῶν στιλβόντων τὰ μὲν θερμαίνει φανερῶς ἡμᾶς, τὰ δὲ ψύχει, καὶ τὰ μὲν ξηραίνει, τὰ δὲ ὑγραίνει. καὶ καθ' ἕκαστον τῶν συμβεβηκότων οὐκ ἐλαίῳ μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν οὐδέν ἐστιν εὑρεῖν πάγιον οὐδὲ διηνεκὲς, ὡς ἐπ' αὐτῷ συστήσασθαί τινα καθόλου πρότασιν.

Κεφ. δ'. [34] Ἐῶ γὰρ λέγειν ὅτι οὐδὲ ἐπιστημονικοῖς ἐν ἅπασι τοῖς τοιούτοις λόγοις οἱ σοφισταὶ χρῶνται

ſtra terunt et ſophiſmatis cavillisque homines ſeducentes eorum ſolvendorum imperitos, falſis eos dogmatis opinionibusque implent. Debebant enim neque colores memorare neque odores, imo neque conſiſtentiam neque laevitatem aut aſperitatem, aut ejus generis quodcunque. Nam quid refert oleum an lentum ſit aut laeve aut ſplendens aut liquidum aut pallidum aut pingue aut lubricum, aegreque corporibus illitum exiccare poſſit? quippe quum ex nullo omnium ejusmodi colligere poſſis ipſum eſſe facultate aut calidum aut frigidum aut humidum aut ſiccum. Siquidem ex genere ſplendentium, laeviumque et lentorum partim ſunt quae plane nos calefaciant, partim quae refrigerent, tum alia quae exiccent, alia item quae humectent. Et eorum omnium quae accidunt non oleo ſolum, ſed aliis omnibus nullum eſt reperire quod ſolidum perpetuumque ſit, ut in eo generalem conſtituere propoſitionem liceat.

Cap. IV. Nam omitto, quod nec ſcientificis in omnibus id genus ſint uſi rationibus ſophiſtae ad invenienda

πρὸς τὴν τῶν λημμάτων εὕρεσιν, ἀλλ' ἐξ ἐπαγωγῆς, καὶ τὸ χεῖρον ἁπάντων, ὅτι μηδ' ἐπισκεψάμενοί ποτε περὶ φύσεως ἐπαγωγῆς, μηδ' ἄν τις αὐτοὺς εἰς τοῦτο προκαλῆται, τολμῶντες ἀκολουθεῖν, ἀλλὰ καὶ τοῖς ὑπὲρ ἀποδείξεώς τι πραγματευομένοις ἐπιτιμῶντες. ἔτι δὲ χεῖρον ὅτι μηδ' ἐξ ἐπαγωγῆς μόνον, ἀλλ' ἐκ παραδειγμάτων ἐνίοτε συλλογίζονται, καθάπερ οἱ ῥήτορες. ὅ τε γὰρ φάσκων ψυχρὸν εἶναι τοὔλαιον, ὅτι καὶ γλίσχρον, ὥσπερ καὶ τὸ φλέγμα, διὰ παραδείγματος συλλογίζεται, τὴν ἴσην ἰσχὺν τῆς ἀποδείξεως παρέχων ὁμοίως τῷ λέγοντι θερμὸν ὑπάρχειν αὐτὸ, διότι γλίσχρον ἐστὶν, ὡς ὁ ἰξός· ὅ τε φάσκων θερμὸν εἶναι, ὅτι ῥᾳδίως ἐκφλογοῦται καθάπερ ἄσφαλτος, τῷ λέγοντι ψυχρὸν εἶναι, διότι ῥᾳδίως πήγνυται, καθάπερ ὕδωρ. τὸ γὰρ ἐκ παραδείγματος ἢ ἐκ παραδειγμάτων πιστοῦσθαί τι διαφέρει τοῦ δι' ἐπαγωγῆς πιστουμένου τῷ τὸν μὲν ἐκ παραδειγμάτων πιστούμενον ἓν μὲν ἢ δύο τῶν ὁμογενῶν (19) λέγειν, ἢ πάντως γε ὀλίγα τὰ πλείω παραλείποντα, τὸν δ' ἐξ ἐπαγωγῆς ἅπαντα περιλαμβάνειν πειρᾶσθαι τὰ διὰ τῆς ἐμπειρίας ἐγνωσμένα, καὶ

lemmata, ſed ex inductione et quod omnium peſſimum eſt, quod nec quae ſit inductionis natura unquam inſpexerint. Quod ſiquis eos in id provocet neque ſequi audent, et ſi de demonſtratione quis quid agat, increpant. Imo quod etiam deterius eſt, non ex inductione ſolum ratiocinari aſſueverunt, ſed nonnunquam etiam ab exemplis tanquam rhetores. Nam qui frigidum eſſe oleum aſſerit, proinde quod lentum ſit ut pituita, is per exemplum concludit par robur praebens demonſtrationis atque is qui ipſum calidum contendit, quia lentum ſit ut viſcum. Nec ſecus is qui calidum dicit, quoniam facile in flammam vertatur uti bitumen, atque is qui frigidum probat, quod facile cogatur ac concreſcat, ut aqua. Nam differt ex exemplo aut exemplis quid ſuadeas an ex inductione. Siquidem qui ex exemplis fidem facit, unum aut duo generis ejusdem adfert aut certe plane paucula, pleriſque ſcilicet praeteritis, qui vero ex inductione, omnia comprehendere nititur quae per experien-

μηδὲν ὡς οἷόν τε παραλιπεῖν ὃ προφανές τε καὶ δῆλον τοῖς πολλοῖς, ἀλλὰ ἀποκεκρυμμένον τε καὶ ὀλίγοις γνωστόν. ὅθεν καὶ βίαιός ἐστιν καὶ πείθει σφοδρῶς ἡ διὰ πάντων τῶν ἐξ ἐμπειρίας γινωσκομένων ἐπαγωγὴ καὶ μόνοις αὐτοῖς ἡ ἀλαζονεία κατάφωρος γίνεται τοῖς γεγυμνασμένοις ἐν ἀποδεικτικαῖς μεθόδοις. καὶ διὰ τοῦθ' ἡμεῖς ἐπιπλέον ὑπὲρ αὐτῆς ἐν τοῖς περὶ τῆς ἀποδείξεως ὑπομνήμασιν διήλθομεν. ἴσως δ' ἄν ποτε καὶ κατὰ μόνας ἓν ὑπὲρ αὐτῆς ἰδίᾳ συνθείημεν γράμμα.

Κεφ. ε'. Φανεῖται δὲ καὶ νῦν οὐδὲν ἧττον ἡ φύσις αὐτῆς τε τῆς ἐπαγωγῆς καὶ πολὺ δὴ μᾶλλον ἡ τοῦ παραδείγματος. ἅπαντα γὰρ ἐπελθεῖν ἔγνωκα διὰ κεφαλαίων ὅσα τοῖς ἰατροῖς εἴρηται περὶ δυνάμεως ἐλαίου, πιθανῶς μὲν τῷ δοκεῖν, οὐ μὴν ἀληθῶς γε. καὶ πρῶτον τὸ ὑπὸ Διοκλέους ἐν Ἀρχιδάμῳ λελεγμένον, ὡς σκληρύνεσθαι καὶ ἐπικαίεσθαι τὸ δέρμα τοῖς ἐν ἐλαίῳ τριβομένοις, ὑπελάμβανεν ὁ Ἀρχίδαμος καὶ διὰ τοῦτο τὴν ξηροτριβίαν προὔκρινε. συνεκπυροῦσθαί τε γάρ, φησί, καὶ ἐπικαίειν τὸ ἔλαιον ὑπὸ τῆς τρίψεως θερ-

tiam ſunt cognita, nec quidquam praeterire quoad ejus ſieri poteſt, quod apertum vulgo ac perſpicuum ſit ſtudet, ſed quod occultum eſt et paucis comprehenſum. Quamobrem violenta eſt et vehementer perſuadet quae ab omnibus quae experientia ſunt cognita ducitur inductio, ſolisque iis arrogantia perſpici poteſt qui in demonſtrativis methodis ſunt exercitati. Quare nos de ea copioſius in demonſtrationis libris diſſeruimus, ac forte etiam ſeorſum de ea librum componemus.

Cap. V. Palam autem ſiet nihilo ſecius et nunc quoque inductionis natura multoque magis et exempli. Nam omnia in ſumma percurrere ſtatutum eſt quae de olei facultate a medicis ſunt prodita, eaque probabiliter quidem, quod ita viderentur, at non vere. Ac primum illud quod a Diocle in Archidamo ſcriptum eſt, quod Archidamus dureſcere urique cutem iis qui oleo fricarentur exiſtimarit, quapropter etiam ſiccam frictionem praetulit, oleum enim

μαινόμενον ἐνόμιζεν καὶ κατὰ τοῦτο ἐξικμάζειν καὶ ξηραίνειν ἱκανῶς, ὥσπερ τῶν ὀπτωμένων τὰ χριόμενα. καὶ γὰρ καὶ ταῦτα σκληρύνεσθαι μᾶλλον ἢ εἰ χωρὶς ἐλαίου τις ὀπτήσειεν. αὐτὴν δὲ ἴσως ἄμεινον ὅλην παραγράψαι τοῦ Διοκλέους τὴν ῥῆσιν. ἔχει δὲ ὧδε· τὸ δὲ μετ᾽ ἐλαίου τρίβειν οὐχ ὁμοίως ἐδοκίμαζε. πρῶτον μὲν γὰρ ἀνώμαλον ᾤετο γίνεσθαι τὴν τοιαύτην τρίψιν παρὰ τὸ τὰς χεῖρας ὀλισθαίνειν καὶ μὴ δύνασθαι τῆς σαρκὸς ὁμοίως ἀντιλαμβάνεσθαι διὰ τὸ λίπος. ἔτι δὲ καὶ σκληρύνεσθαι καὶ ἐπικαίεσθαι τὸ δέρμα τοῖς οὕτω τριβομένοις ἔφη μᾶλλον ἢ τοῖς ξηροῖς. συνεκπυροῦσθαι γὰρ καὶ ἐπικαίειν τὸ ἔλαιον θερμαινόμενον ὑπὸ τῆς τρίψεως, [35] καθάπερ τῶν ὀπτωμένων τὰ χριόμενα τῶν μὴ χριομένων, ἐκπυρουμένου τοῦ ἐλαίου θερμαινόμενα καὶ ἐξικμαζόμενα λίαν σκληρύνεσθαι μᾶλλον. ὁμοίως δὲ καὶ τὰ ἐν τῷ ἐλαίῳ ἑψόμενα κραῦρα καὶ καπυρὰ γίνεσθαι διὰ τὴν αὐτὴν αἰτίαν. πρὸς δὲ τούτοις, ὥσπερ τὰ ξύλα καὶ τὰ δέρματα καὶ τὰ ἄλλα τὰ μετ᾽ ἐλαίου τριβόμενα συνδιαδίδωσιν εἴσω τὸ ἔλαιον, οὕτως ᾤετο καὶ τὰ σώματα. τούτου δὲ γιγνομέ-

accendi atque exurere quum a frictione incaleſceret, putabat, ac propterea admodum humorem exhaurire atque ſiccare, non ſecus atque ea aſſorum quae ungi ſolent, nam et ipſa magis dureſcere quam ſi citra oleum aſſaveris. Praeſtat autem totam aſcribere dictionem Dioclis. Habet autem ea hunc in modum. *At cum oleo ſricare non perinde probabat. Primum enim inaequalem fieri ejusmodi ſrictionem putabat, quod manus laberentur ſcilicet nec aeque carnem apprehendere propter pinguedinem poſſent. Praeterea dureſcere, atque aduri cutem in illis magis, qui ſic ſricarentur exiſtimabat, quam qui ſicca uterentur ſrictione. Oleum quippe accendi et urere a ſrictione incaleſcens, quemadmodum in aſſis quae uncta ſunt magis quam non uncta, ubi oleo accenſo incaleſcunt et valde exiccantur indureſcuntque. Similiter quae in oleo coquuntur et exuſta et ſriabilia eſſici eandem ob cauſam. Ad haec, quemadmodum ligna et coria et alia complura quae ex oleo ſricantur, oleum intro imbibunt, ita putabat et corpora. Quod*

νου πολλὰ τῶν εἰθισμένων διὰ τῆς σαρκὸς μετὰ τοῦ πνεύματος ῥεῖν καὶ ἔξω διαπίπτειν ἀποστέγεσθαι, ὥσπερ καὶ διὰ τῶν ἠθμῶν καὶ τῶν ὀθονίων καὶ ἐρίων καὶ πάντων δι' ὧν ἠθεῖταί τι ἐγχεόμενον καὶ χριόμενον, οὐ δύνασθαι τὰ ὑγρὰ ῥεῖν ὁμοίως. ἀπολαμβανομένης δὲ τῆς τοιαύτης ἐκκρίσεως τὰ μὲν παλιῤῥοεῖν εἴσω, συμπληροῦν ἀθροιζόμενα τοὺς πόρους ἀλλήλοις πλεκόμενα καὶ ὑπὸ τοῦ ἐλαίου περιλαμβανόμενα διὰ τὸ ἔχειν τι ἰξῶδες τὸ ἔλαιον, ὥσπερ ἐπὶ τῶν ἄλλων φαίνεται τὸ λιπαρὸν τοὺς κονιορτοὺς καὶ τὰ κάρφη καὶ τὰ ἄλλα τὰ τοιαῦτα συνθηρεύειν. ἐμφραττομένων δὲ τῶν πόρων ἀεὶ καὶ κατὰ μικρὸν ἀναγκαῖον εἶναι πολλὰ χεῖρον ἀποτελεῖσθαι τῶν εἰθισμένων γίγνεσθαι κατὰ φύσιν. ὑπελάμβανε δέ τι καὶ δηκτικὸν ἔχειν αὐτὸ, παρ' ὃ καὶ τοὺς ὀφθαλμοὺς δακρύειν καὶ τὴν φάρυγγα κέρχνειν καὶ τὴν κοιλίαν ξύειν καὶ αἱματώδεις ποιεῖν διαχωρήσεις πινόμενον. ἄνευ μὲν οὖν τρίψεως ἀλειφομένους οὐδὲν λυπεῖν· ἀσθενεστέραν γὰρ εἶναι τὴν δῆξιν ἢ ὥστε ποιεῖν τινα αἴσθησιν· μετὰ δὲ τῆς τρίψεως

quum fieret, multa quae folita effent cum fpiritu effluere, ac foras prorumpere, tunc concludi arbitrabatur, ceu quum cribris, linteis, lana, omnibusque adeo per quae percolari quid affolet, perfunditur ac inungitur, non aeque liquores fluere per ea valent. Porro ubi ea excretio intercepta eft, quaedam intro recurrere, quaedam acervata invicemque implicita meatus opplere, retenta, fcilicet ab oleo, quod vifco quid fimile habeat: ficut in aliis omnibus apparet, quod pingue eft, pulveres ac festucas omniaque ejusmodi confectari. Denique ubi obftructi jam meatus fuerint, perpetuo ac fenfim omnia deterius perfici effe neceffe quam in iis quae pro confueto geruntur naturae modo. Putavit quoque oleo ineffe aliquam mordacitatem, cujus vi oculi illachrymarent et guttur in tuffim cieretur, tum alvus raderetur, excrementaque redderentur fanguinolenta eo bibito: proinde qui citra frictionem ungerentur, nihil affligi, infirmiorem enim effe mordicationem quam quae fenfum aliquem movere poffet. At fi per frictionem car-

εἰσδυόμενον εἰς τὴν σάρκα, κακουργεῖν μᾶλλον τῇ δήξει καθάπερ πολλὰ τῶν φαρμάκων, οὕτω μὲν ἐπιχρισθέντα ἧττον ἰσχύειν, προσπιεζόμενα δὲ καὶ εἰσδυόμενα εἴσω μᾶλλον ἐνεργεῖν. καὶ δὴ καὶ ταῖς ἀκαλήφαις καὶ ἄλλοις πολλοῖς ἡσυχῇ μὲν ψαύοντας οὐδὲν ἐνοχλεῖν, τύπτοντας δὲ καὶ προσπιέζοντας λυπεῖν. ἃ μὲν οὖν ὁ Διοκλῆς ἐν Ἀρχιδάμῳ λέγει ταῦτ᾽ ἐστιν. πάρεστι δὲ σκοπεῖν ἅμα τό τε πιθανὸν αὐτῶν καὶ μοχθηρόν. ὅτι μὲν γὰρ ἐν ἐλαίῳ πᾶν ὁτιοῦν ἑψόμενον ἀπόλλυσι τὴν οἰκείαν ὑγρότητα καὶ ψαθυρὸν καὶ κραῦρον γίγνεται ταχέως, οὐδὲν τοιοῦτον πάσχον ἐν ὕδατι πρὸς τῆς ἐμπειρίας ἐδιδάχθημεν, ὥστε ταύτῃ μὲν οὐδὲν ὁ Ἀρχίδαμος ἐψεύσατο. δέον δὲ ὥσπερ ὁ Ἀριστοτέλης καὶ Θεόφραστος, ἕτεροί τέ τινες ἄνδρες φιλόσοφοι, τὰ τοιαῦτα τῶν προβλημάτων ἐν τοῖς φυσικοῖς ζητήμασιν προβάλλουσί τε καὶ λύουσι, καὶ αὐτὸς, εἴπερ ἐβούλετο τὰς αἰτίας ἁπάντων τῶν γιγνομένων ζητεῖν, ὁμοίως ἐκείνοις προβάλλειν τε καὶ λύειν. εἰ δ᾽ οὐ φαίνεται ταῦτο ποιῶν, ἐν τούτῳ καὶ μάλιστα δοκεῖ μοι σφάλλεσθαι. τὸ μὲν γὰρ φαινόμενον ἐναργῶς ἀεὶ χρὴ

nem ſubintret, mordicationem moliri maligniorem, velut multa medicamentorum, ubi enim illinuntur, minus valent, at compreſſa introque ſubeuntia magis agunt, ſicut ſane ſi urticis et aliis multis ſenſim quempiam contingas, nihil laeſeris, ſin ſerias aut premas, utique oſſenderis. Haec ergo ſunt quae Diocles in Archidamo prodidit, quorum ſimul tum probabilitatem tum pravitatem conſpicere eſt. Siquidem quod quicquid in oleo coquitur propriam amittat humiditatem ac friabile fragileque celeriter reddatur, quum alioqui nihil in aqua tale perpetiatur, ipſa nos docuit experientia. Quamobrem hac utique parte nihil Archidamus mentitus eſt. Debebat tamen, ſicut Ariſtoteles et Theophraſtus aliique non pauci philoſophi ejusmodi problemata in phyſicis quaeſtionibus et proponunt et ſolvunt, ipſe quoque, ſi quidem omnium rerum quae ſiunt cauſas ſcrutari voluit, perinde ut illi uti proponere, ſic quoque ſolvere. At quum id minus facere apparet, in hoc vel maxime mihi delinquere videtur. Nam quod apparet evidenter, id ſemper

τίθεσθαι πρῶτον, ἐπισκέπτεσθαι δὲ ἐφεξῆς, εἴ τις ἐθέλοι, τὴν αἰτίαν αὐτοῦ, φυσικὰ προβλήματα συντιθέντα τρόπῳ τοιῷδε. διὰ τί τὸ μὲν ἔλαιον ξηρὰ καὶ ψαθυρὰ καὶ κραῦρα τὰ ἐν αὐτῷ καθεψόμενα ποιεῖ, τὸ δὲ ὕδωρ ὑγρὰ καὶ μαλακά; ἢ διὰ τί τὰ μὲν ἑψόμενα κατὰ τοὔλαιον ἀποξηραίνεται, τὰ δ' ἄλλως ἐν αὐτῷ βρεχόμενα φυλάττει τὴν οἰκείαν ὑγρότητα μᾶλλον ἢ εἰ μηδ' ὅλως ἐβρέχετο; διὰ τί δὲ τὰς ἀπὸ σκίλλης καὶ ἀκαλήφης δήξεις ἰᾶται; διὰ τί δὲ τούτων μὲν ἰατρικόν ἐστιν, αὐτὸ δὲ δάκνει τοὺς ὀφθαλμούς; διὰ τί τὸ μὲν ἄλλο σῶμα πᾶν οὐ δάκνει, τοὺς ὀφθαλμοὺς δὲ δάκνει; διὰ τί τὴν μὲν φάρυγγα τραχύνει, τὰ δὲ ἕλκη παρηγορεῖ; διὰ τί γαστρὸς ὑπαγωγόν ἐστι; διὰ τί κόπων ἰατικόν; διὰ τί τοὺς ἀλειφομένους ἀπεριψύκτους τηρεῖ; διὰ τί τῶν ἐντόμων ζώων ἀναιρετικόν ἐστι; διὰ τί τῶν ἱμάντων καὶ βυρσῶν μαλακτικὸν ὑπάρχει, τῶν δ' ἑψομένων ἐν αὐτῷ σχεδὸν ἁπάντων σκληρυντικόν; ἓν μὲν εἶδός σοι προβλημάτων τοῦτο, φυσικῷ προσῆκον μόνῳ. [36] τὸ δ' ἕτερον, ὃ κοινὸν ἤδη καὶ τοῖς ἀπὸ τῶν τεχνῶν, ἔστι τοιόνδε. διὰ τίνα αἰτίαν ἐπαλείφουσιν

primum ponendum eſt, ac deinde ſi cui libeat cauſam ejus inſpicere debet, phyſica problemata hunc in modum componens. Cur oleum quae in ipſo coquuntur ſicca et friabilia et fragibilia efficiat, aqua vero humida et mollia, aut: Quamobrem oleo cocta ſicceſcant, at quae aliter in eo madefacta ſunt magis propriam ſervent humiditatem quam ſi omnino non eſſent madefacta. Qua ratione ſcillae et urticae morſus ſanet, qua de cauſa his medeatur, quum ipſum oculos mordicet? Qui fiat ut reliquum corpus univerſum non mordicet, ſed oculos duntaxat? Quare guttur exaſperet, ulcera vero leniat? Quo pacto ventrem ſubducat? Quomodo laſſitudines ſanet? Quamobrem inunctos tueatur a frigore? Quare animalia inſecta interficiat? Cur lora et coria emolliat, at quae in ipſo concoquuntur duriora omnia efficiat? Atque hoc unum eſt problematum genus ad phyſicum duntaxat attinens. Alterum vero, quod commune quoque eorum eſt, qui artem quamvis exercent, eſt tale Quam ob

ἐλαίῳ πρότερον ὀπτῶντες οἱ μάγειροι τοὺς ἰχθῦς καὶ τὰ κρέα; διὰ τί τρίβουσιν ἐλαίῳ τοὺς ἀθλητὰς οἱ γυμνασταί; διὰ τί δὲ καὶ οἱ παιδοτρίβαι τοὺς παῖδας; ἔνεστι γὰρ ἑκάστου τῶν τοιούτων προβλημάτων ἐμπειρικὴν αἰτίαν ἀποδοῦναι, τοὺς μὲν ἰχθῦς καὶ τὰ κρέα διὰ τοῦτο ἐπαλείφειν τῶν μαγείρων ἐρούντων ἄν, ὅτι ξηρὰ καὶ περικεκαυμένα τὰ ἐκτὸς αὐτῶν γίγνεται, χωρὶς τοῦ λίπους ὀπτωμένων· τοὺς δ' ἀθλητὰς ἐν ἐλαίῳ τρίβειν τῶν γυμναστῶν φησόντων ἄν, ὅτι καὶ τοὺς προϋπάρχοντας κόπους λύει τοῦτο καὶ τοὺς μέλλοντας πραΰνει καὶ αὐτὴν τὴν τρίψιν ὁμαλὴν καὶ πραεῖαν τελέως ἀπεργάζεται καὶ πρὸς τὰς μελλούσας κινήσεις παρασκευάζει τὸ σῶμα. διὰ τὰ αὐτὰ δὲ ταῦτα καὶ οἱ παιδοτρίβαι τοὺς παῖδας ἀλείφειν ἐροῦσι καὶ πρὸ τῶν γυμνασίων καὶ μετὰ τὰ γυμνάσια. διὰ τί μέντοι τὸ ἔλαιον ἴαμα κόπων ἐστὶν, οὐκ ἔτι οὔτε γυμναστὴς οὔτε παιδοτρίβης οὔτ' ἰατρὸς ἐμπειρικὸς ἐπίσταται. οὐ μὴν οὐδ' ὅτι μὴ γινώσκουσιν ἀφίστανται τῶν ἐναργῶς φαινομένων. οὐδὲ γὰρ διὰ τί λευκὸς μὲν ἐλλέβορος ἄνω καθαίρει, μέλας δὲ κάτω γινώσκοντες,

cauſam carnes piſcesque aſſantes coci oleo prius illinant? Qui fit quod athletas oleo fricent gymnaſtae? Quid etiam quod pueros paedotribae? Nam cujusque talium problematum ab experientia profectam cauſam aſſignare liceat, cocis nimirum reſponſuris, propterea ſe piſces ac carnes oblinere, quod ſiccae aduſtaeque externae eorum reddantur partes, ſi citra pinguedinem aſſentur. Athletas vero, ſe ex oleo fricare dicturis gymnaſtis, tum quod quae ante inerant laſſitudines ipſum exſolvat et quae futurae ſunt mitiget, tum quod frictionem aequalem et mitem plane efficiat, corpusque ad motus futuros praeparet. Eas ob res ipſi quoque paedotribae pueros ſe et ante et poſt exercitia inungere dicent. Cur autem oleum laſſitudini medeatur, haud etiam novit nec gymnaſtes, nec paedotriba nec medicus experientia curans nec tamen quia id neſciant ab evidenter apparentibus recedent. Siquidem tametſi ignorant, quamobrem veratrum album ſurſum purget, nigrum deorſum detrahat, neque compertum

οὐδὲ διὰ τί κνίκος μὲν φλέγματος ἀγωγόν ἐστιν, ἐπίθυμον δὲ μελάνων οὐκ εἰδότες, ὅμως χρῶνται τοῖς φαρμάκοις εἰς ἅπερ ἐδίδαξεν ἡ πεῖρα καὶ θεραπεύουσι τοὺς δεομένους καὶ πιστεύουσι τοῖς ἐναργῶς φαινομένοις καὶ καταγελῶσι τῶν τῷ λόγῳ τἀναντία (20) κατασκευαζόντων.

Κεφ. στ΄. Ἀλλ᾽ Ἀρχίδαμος μὲν πρὸς τῷ καταφρονεῖν ἐν πολλοῖς τῶν ἐναργῶς φαινομένων, ἔτι μοι δοκεῖ καὶ ταύτῃ δικαίως ἂν ψέγεσθαι. λέγει μὲν γὰρ ἀμείνω τὴν ξηρὰν τρῖψιν εἶναι τῆς μετ᾽ ἐλαίου, διότι τὸ σῶμα σκληρότερόν τε καὶ ξηρότερον τοῖς ἀλειφομένοις ἐργάζεται, μαλακώτερον δὲ τοῖς ξηροῖς τριβομένοις γίγνεται. λέγει δ᾽ οὐδὲν ἧττον ἐν αὐτῷ τῷ λόγῳ τούτῳ προελθὼν βραχὺ καὶ τὰ ξύλα καὶ τὰ δέρματα καὶ τὰ ἄλλα τὰ μετ᾽ ἐλαίου τριβόμενα διαδιδόναι μέχρι τοῦ βάθους αὐτοῦ καὶ τοῦτο εἶναι μέγιστον μαρτύριον ὅτι κἀν τοῖς ἡμετέροις σώμασιν εἴσω χωροῦν ἐμπλάττει τε τοὺς πόρους καὶ κωλύει τὰς τῶν ὑγρῶν ἐκροάς. κἀγὼ μὲν οὐκ οἶδα πῶς τάδε συμφωνεῖ. εἰ γὰρ τοὔλαιον κωλύει τὰς τῶν ὑγρῶν ἐκροὰς, οὐκ ἂν δήπου λέγοιτο ξηραίνειν, ὥστε

habentes quare cnicus pituitam ducat, atram vero bilem epithymum, tamen medicamentis ad ea utuntur ad quae utenda docuit experientia et eos quibus opus curant et evidenter apparentibus fidem habent, eosque qui contraria rationi aſtruunt derident.

Cap. VI. At Archidamus ſupraquam quod in multis quae perſpicuo apparent contemnit, inſuper et hac quoque parte arguendus mihi jure videtur, quod dicat meliorem eſſe frictionem ſiccam quam quae cum oleo adhibetur, quia corpus durius et ſiccius iis qui unguntur efficiatur, mollius autem iis qui fricantur ſicci. Dicit porro nihilo ſecius et illa ipſa dictione paulum progreſſus, ligna, pelles, aliaque quae ex oleo fricantur, ipſum in profundum transmittere, idque maximum eſſe teſtimonium, quod in corporibus noſtris intro ſubiens meatus oblinat ac humidorum prohibeat effluxus. Atque ego quidem quomodo haec conſonent neſcio. Si enim humorum effluxus prohiberet oleum, haudquaquam ſiccum dicendum foret, ac proinde fruſtra id tan-

μάτην ὡς ξηραῖνον αὐτὸ κατὰ τὰς τρίψεις φυλάττεται. σφάλλεσθαι δέ μοι δοκεῖ κἀν τῷ τοῖς ἑψομένοις ἐν ἐλαίῳ παραπλησίως διατίθεσθαι νομίζειν τοὺς ἐν αὐτῷ τριβομένους. οὐ γὰρ δὴ ταὐτά γέ φημι ποιεῖν θερμὸν, ἢ ψυχρὸν, ἢ εὔκρατον, ἢ χλιαρὸν, ἢ ζέον ἔλαιον, ὥσπερ οὐδὲ τὸ ὕδωρ αὐτό. φαίνεται γὰρ καὶ τοῦτο ψυχρὸν μὲν εἴπερ προσφέροιτο, πυκνοῦν καὶ πιλοῦν καὶ συστέλλον καὶ σφίγγον τὸ ἀποκρινόμενον, ὥσπερ εἰ καὶ ζέον ἐσχάτως, καῖον· εἰ δ' εὔκρατόν τε καὶ συμμέτρως θερμὸν προσενεχθείη, χαλῶν καὶ ἀραιοῦν καὶ χέον καὶ διαφοροῦν. εἰ δὲ μήτε ψυχρὸν ἐπισήμως εἴη μήτε θερμὸν, ἀλλ' οἷον τὸ λεγόμενον ὑπὸ τῶν πολλῶν κρηναῖον, οὐδὲν μὲν τῶν εἰρημένων ποιεῖν τηνικαῦτα, διαδείκνυσθαι δὲ τὴν οἰκείαν ἑαυτοῦ δύναμιν. οὕτως οὖν καὶ τοὔλαιον εἴ τις ἐξετάζειν ἐθέλοι, πάσης ἐπικτήτου ψύξεώς τε καὶ θερμότητος ἐλεύθερον ἐργασάμενος αὐτὸ πρότερον, οὕτω τὴν βάσανον ποιείσθω. τὸ μὲν γὰρ ἄκρως ψυχρὸν οὐ κατὰ τὴν ἑαυτοῦ μόνον ἔτι δύναμιν, ἀλλὰ καὶ διὰ τὴν τῆς ὀθνείας ποιότητος ἐπικράτησιν ἐνεργήσει τι περὶ τοῖς πλησιάζουσιν.

quam deſiccans in frictionibus repudiat. Falli praeterea in hoc mihi videtur, quod ſimiliter affici putet tum ea quae in illo coquuntur tum eos qui fricantur. Nec enim eadem agere dixerim oleum calidum, frigidum, temperatum, tepidum aut fervens ſicut nec aquam ipſam. Apparet enim et ipſam, ſi frigida applicetur, condenſare, conſtipare, contrahere, conſtringereque et repellere, ſicut ſi extreme fervida, adurere, at ſi temperata adhibeatur et moderate calida, laxare, rarefacere, fundere, digerere; porro ſi nec inſigniter calida nec frigida admoveatur, ſed velut quae fontana vulgo dicitur, tunc propoſitorum nihil efficiet, verum propriam ſuam facultatem exeret. Sic ſi quis oleum expendere volet, ob omni prius liberum alieno tum calore, tum frigore ipſum efficiat, atque ita demum ad explorandum accedat, quippe quod ſumme frigidum fuerit non ex ſua duntaxat facultate, ſed ex alienae qualitatis exceſſu nonnihil in contactis operabitur, ita quoque, quod magnopere cali-

[37] οὕτως δὲ καὶ τὸ θερμὸν ἱκανῶς. εἰ δ' ἀμφοτέρων ἔξω καταστήσας αὐτὸ βασανίζειν ἐθέλοις, ἐξεύροις ἂν οὕτως μόνως τὴν οἰκείαν ἐλαίου δύναμιν. ὥσθ' ὅτε μὲν ἐλαίῳ συνήθως τρίβεταί τις, ὥσπερ οἱ γυμναστικοὶ πάντες, ἐν ἐλαίῳ μόνῳ τρίβεται, πάσης ἄνωθεν τῆς ποιότητος ἔξωθεν. ὅταν δ' ἤτοι ζέον ἢ θερμὸν ἱκανῶς ἐργασάμενος, ἢ καὶ ψυχρὸν ἐσχάτως αὐτὸ, χρῷτο τηνικαῦτα, σύνθετον ἀνάγκη γίνεσθαι τὴν ἐνέργειαν ἔκ τε τῆς οἰκείας ἐλαίου δυνάμεως καὶ τῆς ἐπικτήτου ποιότητος. καὶ πολλάκις δὲ κατακρύπτεσθαι τελέως ἀναγκαῖόν ἐστιν τὴν οἰκείαν δύναμιν ἑκάστῳ τῶν φαρμάκων, ὅταν ἰσχυρὰν πάνυ προσλάβῃ τὴν ἔξωθεν ποιότητα. τί τοίνυν ὅμοιον ἢ ἑψεῖν ἐν ἐλαίῳ ζέοντι βοτάνας, ἢ τὰ τῶν γυμναζομένων ἀνατρίβειν σώματα; μάλιστα μὲν γὰρ, ὡς καὶ πρόσθεν ἐπιδέδεικται, φεύγειν χρὴ τὰς ἀπὸ τῶν ἔξωθεν πίστεις, ἔχοντάς γε τὴν οἰκείαν ἑκάστῳ προσφέρειν πεῖραν. εἰ δ' ἄρα ποτὲ καὶ τοῦτο πράττειν ἐθελήσειέ τις, ἀλλ' ὅμοιά γε παραβάλλειν πειρᾶσθαι, καθάπερ ἐπὶ τῶν βυρσῶν ἐποίησεν καὶ τῶν ἱμάντων. οὔτε γὰρ προθερμήνας ἔλαιον οὔτ'

dum, at fi utroque ipfum liberans fic demum examinare voles, hoc duntaxat pacto propriam olei vim inveneris. Quapropter quum quis ex more oleo fricatur, ficut gymnaftici omnes, in folo fricatur oleo, quod nimirum absque omni fit aliena qualitate; at fi admodum excalefacto aut fumme utatur refrigerato, jam compofitam edi actionem neceffe eft, nempe ex propria olei facultate et aliena qualitate. Saepe vero propriam cujusque medicamenti facultatem obfcurari neceffe eft, ubi valentem aliunde qualitatem afciverit. Itaque qui fimile fuerit herbas in oleo fervente coquere ac exercitantium corpora fricare? maxime fiquidem, uti fupra oftendimus, extrinfecus ductas probationes fugere oportet, quum liceat nimirum propriam cuique adhibere experientiam. Quod fi quando tamen id quispiam facere volet, certe fimilia comparare conabitur, ficut in coriis faciebat et loris, nec enim quispiam oleo in igne praecalefacto, neque in nive refrigerato, fed obvio quoque accepto corium ac lora con-

ἐν χιόνι προψύξας οὐδείς, ἀλλὰ τὸ ἐπιτυχὸν ἕκαστος λαμβάνων ἱμάντας ἀνατρίβει καὶ βύρσας, ὥσπερ, οἶμαι, καὶ τοὺς παῖδας οἱ παιδοτρίβαι, κατὰ τὸ ἐπιτυχὸν ἔλαιον ἀνατρίβουσιν, οὔτε προθερμήναντες ἐπὶ πυρὸς οὔτε προψύξαντες ἐπὶ χιόνος. ἐπεί τοι καὶ ἡμεῖς οὐκ ὀλιγάκις ἐγκαιομένην κεφαλὴν ἐλαίῳ πάνυ ψυχρῷ καταντλήσαντες ἐνεψύξαμεν. εἰ δὲ μηδ' ἁλῶν ἔχοι τοὔλαιον, ἔτι καὶ μᾶλλον ἐμψύξει. εἰ δὲ καὶ ὠμοτριβὲς εἴη, πολὺ δὴ καὶ μᾶλλον ἔτι.

Κεφ. ζ'. Σκευάζομεν δὲ καὶ τοῦτο παραπλησίως τῷ ὕδατι θερμήναντες γὰρ αὐτὸ πρότερον, οὕτως ἐνιστῶμεν ἀκραιφνεῖ ψυχρῷ. εἰ δὲ καὶ κρουνὸς ὑπερκείμενος ἐπ' αὐτῷ καταράττων εἴη, προεστεγνωμένου δηλονότι τοῦ περιέχοντος ἀγγείου τοὔλαιον, ἔτι καὶ μᾶλλον ἂν οὕτω ψυχρότερον ἐργασθείη. ψυχρὸν δ' ἱκανῶς γίνεται, κἀπειδὰν προθερμανθὲν ἐν φρέατι κρεμασθὲν ψαῦον τοῦ ὕδατος. γίγνεται μὲν γὰρ καὶ τὸ μὴ ψαῦον ψυχρὸν, ἀλλ' ἧττον. αἱ μὲν δὴ τοιαῦται παρασκευαὶ ψυχρὸν ἀποδεικνύουσι τοὔλαιον, αἱ δ' ἐναντίαι θερμόν. χρώμεθα δὲ κἀκείναις, ἐπὶ τῶν κατεψυγμένων σω-

fricat. Ita puto et paedotribae factitant, quolibet obvio oleo pueros fricantes, neutiquam aut in igne excalefacto aut in nive refrigerato. Alioqui fane et nos non raro caput ardore gravatum olei admodum frigidi perfusione refrigeravimus. Porro fi falis nihil oleo fit inditum, tanto magis refrigerabit. Sin etiam crudum fuerit, multo profecto etiam amplius.

Cap. VII. Porro praeparare illud folemus non aliter atque aquam, nempe prius excalefacientes, ac deinde aqua mergentes fumme frigida. At fi etiam fons in ipfum cum ftrepitu decidat vafculo nimirum, cui ineft oleum ante diligenter occlufo, magis quoque ac magis ita reddetur frigidum. Multum item frigefeceris fi praecalefactum in puteum ita demittas ut aquam contingat: quamquam quod aquam nondum tangit, frigidum item evaferit fed minus. Atque hoc pacto praeparando frigidum reddimus oleum, contrario autem modo calidum. Quo fane modo etiam utimur in re-

μάτων, εἰς δεξαμενὴν ἐμβιβάζοντες ἐλαίου θερμοῦ τοὺς ἀπονεναρκωμένους τι μέρος, ἢ τρομώδεις, ἢ σπασμώδεις, ἢ παλμώδεις, ἢ ἀκινήτους, ἢ ἀναισθήτους, ἢ δυσαισθήτους, ἤ τι τοιοῦτον ἕτερον πάσχοντας. εἴ τις τοίνυν ἐξ ἁπάσης χρήσεως ἀποφαίνοιτο περὶ τῆς τῶν φαρμάκων δυνάμεως, οὐκ ἂν φθάνοι καὶ θερμαντικὸν ἡμῶν καὶ ψυκτικὸν οἰόμενος εἶναι τοὔλαιον, ὑγραντικόν τε καὶ ξηραντικὸν, ὥσπερ καὶ ὁ τοῦ Διοκλέους Ἀρχίδαμος, εἰ καὶ μὴ παρακολουθεῖ ταῖς ἐναντιολογίαις. ὅταν μὲν γὰρ ξηραίνεσθαι καὶ κραῦρα γίνεσθαι λέγῃ τὰ ἐν τῷ ἐλαίῳ ἑψόμενα, ξηραντικήν τινα καὶ διαφορητικὴν ἐπιδείκνυσιν αὐτοῦ τὴν δύναμιν· ὅταν δ᾽ εἴσω τῶν βυρσῶν δύεσθαι καὶ τοὺς ἡμετέρους ἐμπλάττειν πόρους καὶ κωλύειν τὰς φυσικὰς τῶν ὑγρῶν ἐκροὰς, ἐναντιωτάτην δήπου πάλιν ἐκ τούτων ἐπιδείκνυσι τὴν δύναμιν αὐτοῦ τοῖς διαφοροῦσί τε καὶ ξηραίνουσιν. ἀλλ᾽ ἐν τούτοις μὲν ἔτι τὰ γοῦν φαινόμενα λέγων οὐκ ὀρθῶς ὑπὲρ αὐτῶν συλλογίζεται. κατὰ δὲ τὸν περὶ τῆς δήξεως αὐτοῦ λόγον οὐδὲ ταῦτα διέρχεται πάντα. τὸ μὲν γὰρ τοὺς ὀφθαλμοὺς δάκνειν καὶ κερχνώδη

frigeratis corporibus in alveum olei calidi dimittentes, quibus pars quaepiam obſtupuit, aut tremuli ſunt, aut convulſione aut palpitatione tentantur, aut motu ſenſuve privantur, aut etiam aegre ſentire poſſunt, aut ejusmodi quippiam perpeſſos. Ergo ſi quis ex univerſo uſu de medicamentorum facultate pronunciet, putabit, nunquid excaleſacere et refrigerare, tum exiccare et humectare nos oleum queat, velut Dioclis Archidamus, ſiquidem pugnantias non animadvertat. Nam quum exiccari et fragilia effici quae in oleo coquuntur dicit, exſiccantem et digerentem ejus facultatem oſtendit. At ubi intro in coria ſubire porosque noſtros oblinere ac naturales humorum effluxus prohibere, rurſum ſane maxime contrariam ejus facultatem demonſtrat tum digerentibus tum exiccantibus, atque in iſtis vel adhuc quae apparent proferens, de illis non recte ratiocinatur. At ubi de mordicatione agitur, non ea omnia commemorat. Nam quod oculos mordicet, quod guttur exaſperet, ſive ad tuſſim

τὴν φάρυγγα ποιεῖν καὶ καταξύειν τὴν γαστέρα καὶ τὰς διαχωρήσεις αἱματώδεις ἐπιφέρειν, ἱκανὰ μαρτύρια τοῦ δακνώδη δύναμιν ὑπάρχειν αὐτῷ. [38] τὸ δὲ καὶ τοῖς ἕλκεσιν ἀνώδυνον εἶναι καὶ τὰς τῆς γαστρὸς δήξεις, ἐπιβρεχόμενόν τε καὶ ἐνιέμενον πάντως ἰᾶσθαι καὶ τοὺς ἀπὸ τῶν ὀδαξησμῶν ἐρεθισμοὺς πραΰνειν, οὐ σμικρὰ πάλιν οὐδ᾽ αὐτὰ τῆς ἐναντίας αὐτοῦ δυνάμεως γνωρίσματα, παραλέλειπται τελέως. εἰ δ᾽ ἀμφοτέρων λεχθέντων ἐφεξῆς ἐθέλοι τις συλλογίσασθαι δυοῖν θάτερον, ἢ ὡς ἐμπειρικὸς ἐν τῷ πρός τι φήσει τὴν δύναμιν ἑκάστου τῶν φαρμάκων ἐξ ἐμπειρίας γινώσκειν, αὐτοῦ δὲ καθ᾽ ἑαυτὸ τὴν οἰκείαν φύσιν ἀγνοεῖν, ἢ ὡς λογικὸς τὰς ἐναντίας δυνάμεις ὑπάρχειν ταὐτῷ φαρμάκῳ, δακνώδη τε καὶ πραϋντικὴν, εἶτ᾽ οἶμαι μεγίστην ἀπορίαν ἕξει τὴν αἰτίαν ἀποδιδοὺς τοῦ ποτὲ μὲν τὴν ἑτέραν αὐτῶν ἐνεργεῖν αἰσθητῶς, ποτὲ δὲ τὴν ἑτέραν, ἢ ἀπολωλυίας, ἢ μὴ σαφῶς γε φαινομένης τῆς ἑτέρας. εἰσὶ δὲ τῶν τοιούτων ἁπασῶν ἀποριῶν αἱ λύσεις, εἰ μὲν ὡς φυσικὰ προβλήματα προβάλλοιντο, παγχάλεποί τινες, εἰ δ᾽ ὡς πρὸς τὴν χρείαν τῆς τέχνης ἀναφέροιντο, πείρας μὲν

provocet, quod ventrem radat atque dejectiones fanguinolentas efficiat, abunde magna teftimonia funt mordacem illi ineffe facultatem. At quod ulcera dolore liberet et ventris mordicationes aut irrigatum aut infufum omnino fanet, quique dentium prurigine irritantur mitiget, quum et ipfa non parva fint contrariae ipfius facultatis indicia, plane omiffa funt. Caeterum fi utrisque propofitis quis ratiocinari volet, duorum alterum eveniet: aut enim id faciet ut empiricus, dicetque fe in collatione ad aliquid cujusque medicamenti facultatem per experientiam cognofcere, ipfius autem per fe propriam ignorare naturam, aut ut rationalis contrarias ineffe medicamento facultates, et mordicantem et lenientem, ac deinde ingenti tenebitur anxietate caufam dicturus cur interim altera earum agat fenfibiliter, interim altera aut perdita aut non clare apparente. Quarum omnium dubitationum folutiones fi quidem ut phyfica proponantur problemata, fane quam difficiles funt; fin ut ad ufum

πολλῆς, ἐπιλογισμῶν δὲ οὐ πολλῶν μὲν, ἀκριβῶν δὲ καὶ διωρισμένων δεόμεναι. πρῶτον μὲν γὰρ, εἰ πᾶν ἔλαιον τοῖς ὀφθαλμοῖς δακνῶδές ἐστιν ἢ μὴ τῇ πείρᾳ διορίσασθαι βέλτιον, οὐκ αὐτοσχεδιάζειν, ὥσπερ ῥήτορας ἐπιχειροῦντας εἰς ἑκάτερον. εἶθ᾽ ἑξῆς εἰ πᾶν ὁμοίως κερχνῶδες, ἢ γαστρὸς ὑπαγωγὸν ἢ καταξῦον αὐτὴν, ὡς αἱματώδεις ἐνίοτε κινεῖν ἐκκρίσεις, ἢ τὸ μέν τι ποιεῖ τῶν ἐλαίων ταῦτα, τὸ δ᾽ οὐ ποιεῖ, καὶ τὸ μὲν μᾶλλον, τὸ δ᾽ ἧττον. ἐλαίου δὲ διαφορὰς λέγω νῦν οὐχ ὡς ἄν τις ὑπονοήσῃ τὰς ἑτερογενεῖς, οἷον τοῦ κικίνου τε καὶ ῥαφανί(21)νου καὶ καρυΐνου καὶ βαλανίνου καὶ τῶν ὁμοίων. εἰδέναι μὲν γὰρ χρὴ καὶ τὰς τούτων δυνάμεις τὸν ἰατρόν. ἀλλ᾽ οὐκ ἔν γε τῷ παρόντι προσήκει μνημονεύειν αὐτῶν. ἀρκεῖ γὰρ, οἶμαι, τήν γε πρώτην αὐτὸ τὸ κυριώτατον καὶ μάλιστα τὸ ὑπὸ πάντων ἀνθρώπων ὀνομαζόμενον ἔλαιον ἐπισκέψασθαι. καὶ γὰρ ὁ καρπὸς ἐξ οὗ γίγνεται τοῦτο, μόνος τῶν ἄλλων ἐλαία καὶ τὸ δένδρον ἐλαία προσαγορεύεται. καὶ τοῦτο

referantur artis, multam requirunt experientiam, epilogismos autem non ita multos, fed exactos ac definitos. Nam primum an omne oleum oculis mordax fit, necne, experientia incunctanter definire praeftat, haudquaquam ex tempore in utramque partem rhetorum more differere: tum an omne aeque guttur exafperet, aut ventrem fubducat, aut radat, ut nonnunquam cruentas moveat excretiones, an oleorum hoc quidem haec faciat, illud vero non, et aliud magis, aliud minus. Olei differentias nunc dico non eas, ut quispiam fufpicaretur, quae funt heterogeneae, ficut cicini, rhaphanini, caryini, balanini, ac fimilium, nam et horum vires medicus norit oportet, fed in praefentia eas memorare non expedit. Satis eft enim mea quidem fententia principio propriiffimum, et quod maxime ab omnibus hominibus vocatur oleum confideraffe, quando et ipfe fructus ex quo fit oleum folus ex omnibus oliva nuncupetur et arbor olea, Graece utrumque ἐλαία vocatur, ipfum oleum ἔλαιον;

μὲν ἔλαιον ἁπλῶς γε καὶ πρώτως ὀνομάζεται, τὰ δ' ἄλλα πάντα κατὰ μεταφοράν τινα καὶ κατάχρησιν.

Κεφ. ή. Αὐτοῦ δή φημι τοῦ κυρίως προσαγορευομένου ἐλαίου, περὶ οὗ τὸν σύμπαντα λόγον ἐν τῷ παρόντι ποιούμεθα, πλείους εἶναι τὰς διαφορὰς κατὰ μὲν τὴν ἡλικίαν, ὅταν ἤτοι πρόσφατον ἐστιν καὶ οἷον γλεῦκος, ἢ ἀκμάζον, ἢ παλαιὸν ὑπάρχει· κατὰ δὲ τὸν τρόπον τῆς σκευασίας, ὅταν ἤτοι ψιλὸν ἢ καὶ ἁπλοῦν καὶ μόνον, ἢ μεθ' ἁλῶν γεγονός· κατὰ δὲ τὴν ἐν αὐτῷ τῷ καρπῷ διαφοράν, ὅταν ἤτοι πέπειρος, ἢ ὠμὸς ὑπάρχῃ· κατὰ δὲ τὴν ἐξ ἐπιτεχνήσεως ἀλλοίωσιν, ὅταν ἤτοι φυλάττηται τοιοῦτον, οἷον ἐξ ἀρχῆς ἔτυχε σκευασθὲν ἢ ἐλευκάνθη. γέγραπται δὲ ὑπὲρ τῆς λευκάνσεως αὐτοῦ καὶ ἄλλοις μὲν οὐκ ὀλίγοις, εἰρήσεται δὲ καὶ πρὸς ἡμῶν ἐν τοῖς ἐφεξῆς. τούτων ἁπάντων τῶν ἐλαίων αὐτὸς ἐγὼ ἐσπούδασα πειραθῆναι τῆς δυνάμεως. καὶ τί μὲν ἐφ' ἑκάστῳ ἐφώρασα μετὰ ταῦτα διηγήσομαι· νυνὶ δὲ τέλος ἐπιθεῖναι βούλομαι πρῶτον οἷς ἐνεστησάμην. οὐκ ὀρθῶς

ipſumque ſimpliciter ac primario oleum dicitur, at reliqua omnia per tranſlationem et abuſum.

Cap. VIII. Hujus ſane quod proprie oleum appellant, de quo omnis in praeſenti ſermo habetur, plures dico eſſe differentias. Secundum aetatem quidem, quum aut recens eſt et velut muſtum, aut aetate vigente aut vetus. Secundum praeparandi modum, quum aut ſimplex ſolumque et impermixtum fuerit, aut cum ſale praeparatum. Secundum fructus ipſius diverſitatem, quum is aut immaturus aut maturus extiterit. Secundum inductam arte alterationem, quum aut quomodo ab initio praeparatum fuit, ita ſervatur, aut candidum efficitur. Scriptum vero eſt de ejus dealbatione et ab aliis non paucis, et nos quoque in ſequentibus trademus. Horum omnium oleorum facultates ipſe quidem experiri ſtudui: quid autem in quoque fieri deprehenderim poſtea exponam. At nunc abſolvere ſtatui primum quod erat in manibus. Perperam enim mihi videntur medicorum

γὰρ δοκοῦσιν οἱ πλεῖστοι τῶν ἰατρῶν οὔτε πειραθῆναι φαρμάκων οὔτε συλλογίζεσθαι περὶ τῆς δυνάμεως αὐτῶν.

Κεφ. θ'. [39] Πειραθῆναι μὲν γὰρ χρὴ μόνων τῶν ἀμίκτων καὶ ἔξω πάσης ἐπικτήτου ποιότητος. ἐπὶ μὲν γὰρ τῆς ἀρίστης κατασκευῆς τοῦ σώματος πρῶτον, ἐφεξῆς δὲ κἀπὶ τῶν δυσκράτων, εἶθ' οὕτως ἐπὶ τῶν ἁπλῶν νοσημάτων, ὡς ἔν τε τῷ πρὸ τούτου λόγῳ κἀν τῷ τρίτῳ περὶ κράσεως διήρηται, συλλογίζεσθαι δὲ τὸ κατὰ συμβεβηκὸς ἀεὶ διορίζοντας τοῦ πρώτως τε καὶ καθ' αὑτό.

Κεφ. ι'. Σφάλλονται δ' ἔνιοι τῶν ἰατρῶν οὐ περὶ ταῦτα μόνον, ἀλλὰ κἀν ταῖς περὶ τῶν παθημάτων δόξαις. αὐτίκα τοὔλαιον, ὅτι μὲν ἴαμα κόπων ἐστὶν ἅπαντες σχεδὸν ὁμολογοῦσιν. ὁποῖον δέ τι πάθος ὁ κόπος ἐστὶν, οὐκέτι ὁμοδοξοῦσιν. ὁ μὲν γάρ τις ξηρότητα τῶν ἄρθρων εἶναί φησιν, ἐξικμασθέντων ἐν ταῖς κινήσεσιν, ὁ δέ τις καὶ τῶν μυῶν προστίθησιν, ἕτερος δέ τις ἔμπαλιν τούτοις ὑγρότητα πολλὴν καὶ τάσιν καὶ θερμασίαν, ἐπελθόντος γε ῥεύματος τοῖς σφοδρῶς κινηθεῖσι μέρεσιν. ἄλλος δὲ οὐ πλῆθος ὑγρῶν, ἀλλὰ

plerique tum experiri medicamenta tum de viribus eorum ratiocinari.

Cap. IX. Quippe quum experiri folum oporteat quae impermixta funt et ab omni extranea qualitate aliena, eaque primum in optima corporis conftitutione, deinde in intemperatis, demum in morbis fimplicibus, ficut in libro hunc antecedente et in tertio de temperamentis definitum eft; ratiocinari vero id quod ex accidente eft, femper ab eo quod per fe eft diftinguentem.

Cap. X. At nonnulli medicorum non in iftis modo hallucinantur, verum etiam in opinionibus quas habent de affectibus. Nam oleum quod laffitudinibus remedio fit omnes propemodum fatentur, caeterum quis affectus fit laffitudo, non confentiunt. Hic enim articulorum effe ait ficcitatem ex motionibus deficcatorum. Alter et mufculorum adjicit. Alius porro contra quam hi humiditatem multam et tenfionem et caliditatem, fluxione nimirum partibus vehementer agitatis affufa. Alius non humorum multitudinem, fed qua-

ποιότητα μόνην αἰτιᾶται, συντήξεις τινὰς φάμενος ἐν ταῖς ἀμετροτέραις κινήσεσιν γίνεσθαι πιμελῆς τε ἅμα καὶ σαρκὸς ἁπαλῆς, ὧν μέρος μέν τι διαπνεῖσθαι εἰς τοὐκτὸς, μέρος δ' ἴσχεσθαι κατὰ τὸ σῶμα, καὶ τοῦτο δριμὺ καὶ δακνῶδες ὑπάρχον, τὴν οἷον ἑλκώδη διάθεσιν ἐργάζεσθαι. ὥστ' εἰ καὶ τὸ θεραπεύεσθαι τοὺς κόπους ὑπὸ τοῦ ἐλαίου συμφωνεῖται, τό γε τῆς διαθέσεως τοῦ σώματος ἀμφισβητούμενον οὐδὲν ἐᾷ συλλογίζεσθαι βέβαιον ὑπὲρ ἐλαίου δυνάμεως. οὐ μόνον δὲ ἐπὶ κόπου τοῦτο συμβέβηκεν, ἀλλὰ κἀπειδὰν ἀλγήματος ἕνεκεν, ἢ δήξεως, ἢ φλεγμονῆς ἔλαιον ποτίζωμεν, ἢ δι' ἕδρας ἐγχέωμεν, ἢ καταντλῶμεν. ἐπὶ μὲν γὰρ τῶν φλεγμαινόντων ἑλκῶν οὐ μόνον, ἀλλὰ μεθ' ὕδατος αὐτὸ συμμέτρως θερμοῦ καταχέομεν, ὥσπερ ἐν τοῖς κόποις ἅμα τοῖς διὰ τῶν γλυκέων ὑδάτων λουτροῖς. ὁμολογεῖται δ' οὐδ' ἐπὶ τῆς φλεγμονῆς, ἡ διάθεσις ὁποία τίς ἐστιν. ἐνιέντες δὲ διὰ τῆς ἕδρας, ἢ ποτίζοντες, οὐδ' οὖν οὐδὲ τότε γινώσκομεν ἐναργῶς ὁποίῳ τινὶ σώματι προσάγομεν αὐτὸ, πότερα φλέγματος, ἢ χολῆς, ἢ τινων ἄλλων περιττωμάτων μεστῷ. δῆλον γὰρ ὡς οὐχ

litatem folam caufatur, provenire inquiens in motionibus immoderatis pinguedinis carnisque tenerae colliquationes quasdam, quarum pars foras tranfpiret, pars vero retineatur in corpore, et hoc quum acre mordaxque fit affectionem efficere veluti ulcerofam. Itaque etiam fi in hoc confentiamus, quod laffitudines fanet oleum, attamen ob ancipitem atque ambiguum corporis affectum nihil queat certi de olei facultate colligi. Atque id fane non tantum in laffitudine ufu venit, verum etiam ubi doloris caufa aut mordicationis aut phlegmones gratia bibendum oleum exhibemus, aut per fedem infundimus, aut itidem perfundimus. Siquidem ulceribus phlegmone affectis non folum, fed et cum aqua moderate calida perfundimus: ut in laffitudinibus cum lavacro aquae dulcis. Sed nec quae fit in phlegmone affectio confentiunt. Porro ubi per fedem ipfum ingerimus aut bibendum offerimus, ne tunc quidem cognofcimus evidenter, cuinam corpori ipfum applicemus, an pituitae, an bilis, an aliorum aliquorum excrementorum pleno. Conftat

ὁμοίως διαθήσει τὸν ἄνθρωπον, ἐπειδὰν φλέγματος γλίσχρου μεστὸν εὕρῃ τὸ ἔντερον ἅπαν ἅμα τῇ γαστρὶ, κἄπειδὰν χολωδῶν περιττωμάτων, ἢ τινων ἄλλων δριμέων χυμῶν, ἢ κόπρου πολλῆς, ἢ τούτων μὲν μηδενὸς, καθαρᾶς δ' ἀκριβῶς ἐπιτύχῃ τῆς τε γαστρὸς ἁπάσης καὶ τῶν ἐντέρων, ἢ πρὸς τῷ καθαρὸν εἶναι τοῦτο καὶ τετραχυσμένον ὑπάρχει.

Κεφ. ια'. Ἀμελῶς οὖν πάνυ καὶ ῥαθύμως ὑπὲρ ἁπάντων τούτων οἱ πολλοὶ τῶν ἰατρῶν συλλογίζονται, μηδ' ὅπως ἔχοντι τῷ ἀνθρώπῳ [40] δίδοται τοὔλαιον εἰπόντες, ἀλλὰ μηδ' ὁποῖον αὐτό· κἄπειτα φάσκοντες οἱ μὲν δάκνειν καὶ ξύειν πάντως τὰ ἐντὸς, οἱ δὲ καὶ εἴ τις ἂν εἴη δῆξις ἤδη προϋπάρχουσα, καὶ ταύτην πραΰνειν. οὐ γὰρ σμικρὸν δήπου διήνεγκεν ἢ τὸ παντάπασιν ἄναλον ὀνομαζόμενόν τε καὶ ὄντως ὑπάρχον ἔλαιον εἰς φλεγματώδη κοιλίαν ἐμβαλεῖν, ἢ τὸ πλείστων ἁλῶν μετέχον εἰς καθαράν. ἄμφω μὲν γὰρ λαπάξει τὴν γαστέρα, διαφερούσαις μέντοι ταῖς δυνάμεσιν. τὸ μὲν γὰρ ἄναλον ἐν φλεγματώδει διὰ τὸν ὄλισθον ὁμοίως

enim non perinde hominem affecturum, ubi pituitae vifcofae inteftinum omne fimul cum ventre plenum offendet atque ubi biliofis excrementis refertum, aut aliis quibusdam acribus humoribus aut ftercore multo aut horum quidem nullo, fed incidat in ventrem inteftinaque undequaque pura aut praeterquam quod pura etiam exafperata reperiat.

Cap. XI. Itaque negligenter admodum et fegniter de his omnibus medicorum plerique ratiocinantur, haud indicantes nec quo pacto affecto homini oleum exhibeant, nec qualenam ipfum. Ac mox tamen dicunt alii mordicare et radere prorfum partes corporis internas, alii vero etiam fi praefuerit mordicatio, et hanc lenire. Nec enim parum intereft an injiciatur in ventrem pituita fcatentem oleum expers falis et quod re vera oleum eft, an quod plurimum accepit falis in ventrem purum. Utrumque enim alvum fubducit, diverfis tamen facultatibus. Nempe illud quod fale vacabat in pituitofo ventre per lubricitatem, fimili modo cum malvis, blitis, moris, quod vero falem habet in puro

Ed. Chart. XIII. [40.] Ed. Baf. II. (21.)

μαλάχαις τε καὶ βλίτοις καὶ μόροις· τὸ δὲ ἡλισμένον ἐν καθαρῷ διὰ τὴν δριμύτητα παραπλησίως ἅλμῃ καὶ θαλάττῃ. καὶ δὴ καὶ ξύσει μὲν τοῦτο, θάτερον δ' οὐ ξύσει. μὴ τοίνυν μήτε ξύειν ἁπλῶς λέγομεν τοὔλαιον πάντως παντὸς, ἢ διαχωρήματα ποιεῖν αἱματώδη, μήτε πραΰνειν δήξεις, ἀλλὰ τὸ μὲν ἁλῶδες ἐν καθαρῷ ξύειν, τὸ δ' ἄναλον ἐν φλεγματώδει μὴ ξύειν.

Κεφ. ιβ'. Ἐνίοτε δὲ κατὰ συμβεβηκὸς ἰάσαιτ' ἂν δήξεις τὸ ἁλμῶδες, ὥσπερ καὶ τὸ μελίκρατον καὶ ἅλμη καὶ γάλακτος ὀῤῥός. συνεξάγονται γὰρ σὺν αὐτοῖς ἐνίοτε ταῦτα τὸν τὴν δῆξιν ἐργαζόμενον χυμὸν, ἰάματά τε γίγνεται δήξεως ὁμοίως τοῖς ἄλλοις ἅπασιν, τοῖς ἀποπλύνουσί τε καὶ ῥύπτουσιν. ἀλλὰ μετὰ τὴν ἔνεσιν οὐχ ὅπως παύει τὰ τοιαῦτα φάρμακα τὴν δῆξιν εὐθὺς, ἀλλὰ καὶ παροξύνει. τῷ γὰρ τῆς κενώσεως λόγῳ τὴν ἴασιν, οὐ τῷ τῆς ἐπικράσεως ἐργάζεται. κηρωτὴ μέντοι πολλάκις ἐνεθεῖσα διὰ ῥοδίνου καὶ στέατος ἢ πιμελῆς, ἐν τῷ παραχρῆμα τὰς δήξεις ἰάσατο τῷ τῆς ἐπικράσεως λόγῳ. καὶ μὲν δὴ καὶ ἔλαιον

per acrimoniam, perinde ut muria et marina aqua. Et fane hoc quidem radet, alterum non radet. Ergo nec abfolute oleum quodvis interna omnino radere diximus, aut dejectiones moliri cruentas, neque mordicationes lenire, verum id cui fal eft inditus in puro ventre radere, cui autem non, in pituitofo non radere.

Cap. XII. Nonnunquam vero mordicationes ex accidente quod falfuginofum eft fanaverit, velut et melicratum, falfugo, ferum lactis. Educunt enim fecum haec nonnunquam fuccum mordicationem facientem, ac mordacitatis redduntur medela, perinde ut caetera omnia quae abluunt et abftergunt. Sed non ftatim ubi immiffa funt hoc genus medicamenta, morfum fanant, quin potius tunc etiam exafperant, fiquidem evacuationis, haud mixtionis ratione fanationem moliuntur. Quippe ceratum ex rofaceo et adipe aut pinguedine infufum faepenumero morfibus continuo fuccurrit, idque temperationis ratione, fed et oleum

αὐτὸ μόνον γλυκύτατον τοῦτο πολλάκις ἔδρασεν, ὥσπερ οὖν καὶ στέαρ τράγου, ἢ χόνδρου χυλὸς, ἢ κηρωτὴ δι' ἐλαίου γλυκέος. ἡμεῖς δὲ καὶ τοῖς διά τινα ψύξιν ἀλγοῦσι πάντος ἐνιέντες ἐλαίου θερμοῦ παραχρῆμα πολλάκις ἀνωδύνους εἰργασάμεθα. καὶ εἰ μείζονα δὲ τὴν ψύξιν εἶναι στοχαζόμεθα, προσεπιβάλλομεν ἄνηθον, θερμαίνοντες τοὔλαιον, εἰ δ' ἔτι μείζονα, καὶ πήγανον καὶ ἄσφαλτον. τοιαῦτα οὖν ἅπαντα τοῖς πολλοῖς τῶν ἰατρῶν οὐκ εἰδόσιν οὔτε τὴν ὑπὸ δυσκρασίας γινομένην ὀδύνην διορίσασθαι τῆς ὑπὸ κακοχυμίας, οὐδ' ὅτι τῶν ἐνιεμένων φαρμάκων ὀδύνης ἕνεκα τὸ μὲν τῷ θερμαίνειν τὸ κατεψυγμένον μόριον ἰᾶται, τὸ δὲ τῷ κενοῦν τὸν δάκνοντα χυμὸν, τὸ δὲ τῷ κατακεραννύναι. πολλάκις δὲ καὶ μικταὶ γίνονται διαθέσεις ἐκ δυσκρασίας τε ἅμα καὶ δήξεως, ἐφ' ὧν ἡμεῖς εἰώθαμεν ἀνήθινον ἢ πηγάνινον ἔλαιον ἐγχεῖν ἐναποτήξαντες αὐτῷ χήνειον στέαρ· εἰ δὲ μὴ παρείη τοῦτο, τὸ

ipfum folum, fed dulciffimum, id frequenter praeftitit: ficut certe etiam adeps hirci, aut fuccus chondri, aut ceratum ex oleo dulci. Nos autem faepenumero quibus ex frigore interna dolore torquebantur ingefto oleo calido dolore mox liberavimus, ac fi majus effe frigus conjiciebamus, addidimus et anethum, oleum excalefacientes, fi vero adhuc etiam majus, rutam quoque et bitumen. Ejusmodi igitur auxilia omnia quod frigori medeantur dolores mitigant, non propterea quod laedentem humorem attemperent aut educant. At in idem univerfa confufa funt a plerisque medicorum, qui nec norunt dolorem ab intemperie natum ab eo qui ex cacochymia oritur diftinguere: nec quod medicamentorum, quae doloris gratia injiciuntur alia excalefaciendo partem refrigeratam fanant, alia humorem mordicantem evacuando, alia temperando. Sed et fubinde mixtae exiftunt affectiones ex intemperie videlicet et mordicatione: in quibus nos confuevimus anethinum, aut rutae oleum infundere, anferino in eo liquato adipe: is fi non adfit, faltem gallinaceo, fi nec is quoque, vel aliorum aliquo; quod fi horum

γοῦν ὀρνίθειον· εἰ δὲ μηδὲ τοῦτο, τῶν ἄλλων τι. μηδενὸς δὲ παρόντος τούτων ἀδήκτου μίγνυμεν κηροῦ, καλῶ δ' οὕτως τὸν πεπλυμμένον, ἢ καὶ νὴ Δία τοὔλαιον αὐτὸ τὸ λελευκασμένον ἐγχεόμενον. ἀνάλογον γάρ ἐστιν ἀδήκτῳ κηρῷ καὶ τοῦτο. προπετὴς οὖν ἀπόφασίς ἐστι καὶ ἀδιόριστος ἥ τε τῶν δακνῶδες (22) ἐν παντὶ καιρῷ πᾶν ἔλαιον [41] ἥ τε τῶν παρηγορικὸν ἀποφηναμένων. τὸ μὲν γὰρ ἁλμῶδες δακνῶδες, τὸ δ' ἄναλον καὶ γλυκὺ παρηγορικὸν ὅσον ἐφ' ἑαυτῷ. δόξειε γὰρ ἄν ποτε καὶ τοῦτο παρὰ τὰς διαθέσεις αἷς προσφέρεται μηκέτι εἶναι τοιοῦτον. ἕκαστον γὰρ τῶν ἐπικεραννύντων φαρμάκων ἰσχυρότερον γιγνόμενον τῶν δακνόντων χυμῶν ἀμβλύνει τὴν δῆξιν αὐτῶν. ἀλλ' ἂν ἰσχυροτέραις ταῖς δυνάμεσιν, ἢ πολλαῖς ὀλίγον ἀναμιχθῇ, συνδιαφθείρεταί τε καὶ τρέφει τὴν κακοχυμίαν, ὅθεν καὶ κενοῦν δεῖ παραχρῆμα τοὺς ἐκ τῶν ἐπικεραστικῶν παροξυνομένους, ὡς ἂν πολλῆς καὶ δυσκινήτου διαφθορᾶς πεπληρωμένους.

nullus ad manum ſuerit, ceram miſcemus mordacitatis expertem, voco autem ſic eam quae lota eſt: aut certe oleum ipſum quod eſſectum eſt candidum infundimus: nam id cerae mordacitatis experti proportionale eſt. Temeraria itaque pronunciatio eſt atque indefinita tum eorum qui oleum omni tempore mordicans aſtruunt tum eorum qui leniens; nam quod ſalem accepit mordax eſt, quod autem eo caret et dulce eſt, quod quidem ex ſe eſt lenire poteſt: nam videri poſſit et ipſum quandoque pro aſſectibus quibus applicatur, haud etiam eſſe ejusmodi. Unumquodque enim temperantium medicamentorum, ubi valentius evaſit humoribus mordicantibus, morſum eorum retundit; verum ſi aut valentioribus ſacultatibus, aut multis paucum mixtum ſuerit, una et ipſum corrumpitur alitque cacochymiam. Quamobrem protinus evacuandi ſunt qui ab iis quae temperandi naturam habent irritantur, utpote qui multa nec ſacile mobili corruptione ſint repleti.

Κεφ. ιγ΄. Οὕτως οὖν καὶ τὸ γάλα πολλάκις ἅμα τῷ προσενεχθῆναι τοῖς μὲν ὀξύνεται, τοῖς δὲ κνισοῦται, πρὶν καλῶς πεφθὲν ἐπικεράσαι τὴν διαφθοράν. καὶ χρὴ τούτων πρότερον ἐκκενώσαντας τὸ πολὺ τῆς κακοχυμίας οὕτω προσφέρειν καὶ χόνδρον καὶ πτισάνην καὶ γάλα καὶ τἄλλα ὅσα καλῶς πεφθέντα πρὸς εὐχυμίαν συντελεῖ, μὴ μέντοι μήτε τὰς χείρους μήτε τὰς ἐναντίας ἔχειν δυνάμεις ὅσον ἐπὶ τούτῳ νομίζειν ἅπαντα μήτε παραλιπεῖν ἐν τοῖς λόγοις ἑκόντα τῶν γιγνομένων θάτερα, καθάπερ Ἀρχίδαμος ἐπ᾽ ἐλαίου τῶν μὲν δακνομένων ὀφθαλμῶν ἐμνημόνευσεν καὶ τῆς κερχνώδους φάρυγγος καὶ τῆς ξυομένης γαστρὸς, ὅτι δὲ πολλάκις καὶ στόμαχον ἰσχυρῶς δακνόμενον ἔλαιον γλυκὺ ποθὲν ἰάσατο παραχρῆμα καὶ τὰς καθ᾽ ὅλην τὴν γαστέρα δήξεις ἐνεθὲν ἐπράϋνε καὶ τὰς ἀπὸ θαψίας τε καὶ ἀκαλήφης καὶ σκίλλης κατὰ τὸ δέρμα γιγνομένας ἐπαλειφθὲν ἔπαυσεν, οὐκ ἔτ᾽ ἐμνημόνευσεν. ἐγὼ δ᾽ οὐκ ἀμφισβητῶ μὲν οὐδ᾽ αὐτὸς, οὐδ᾽ ἀπιστῶ τοῖς φάσκουσιν ἐν ἅπασι σχεδὸν τοῖς οὖσι πολλὰς καὶ διαφερούσας περιέχεσθαι δυνάμεις, ἀλλὰ καὶ δείξειν

Cap. XIII. Sic fane lac frequenter fimulatque fumptum fuerit, aliis acefcit aliis in nidorem vertitur, prius quam probe concoctum corruptionem temperet. In quibus utique primum maxima cacochymiae pars evacuari debet, atque inde fumendus chondrus et ptifana et lac et alia quae ubi probe fuerint cocta conferunt ad euchymiam. Non tamen quod ad hoc attinet, omnia exiftimare oportet aut deteriores aut contrarias in fefe obtinere facultates, neque in fermone fcientem eorum quae eveniunt partem alteram omittere, id quod fecit Archidamus in oleo. Si quidem memorabat oculos ab eo mordicari, guttur ad tuffim excitari et ventrem radi, caeterum quod ftomachum faepe quum valenter morderetur, oleum protinus dulciffimum epotum fanavit et injectum totius ventris mordicationes leniit et a thapfia, urtica et fcilla in cute excitatas inunctum fedavit: eorum mentionem non fecit. Ego vero non ambigo, neque fidem non habeo iis qui ajunt rebus propemodum omnibus multas ac diverfas ineffe facultates, quin oftenfurum me id

ἐπαγγέλλομαι τοῦτο κατὰ τὸν ἑξῆς λόγον. οὐ μὴν τούτου γε ἕνεκα καὶ τὴν ἐν ἑκάστῳ κρατοῦσαν ἄγνωστον εἶναί φημι. διοριζομένῳ δέ σοι τὸ καθ᾽ αὑτὸ τοῦ κατὰ συμβεβηκὸς ἐπιγνωσθήσεται σαφῶς ἅπαντα. θέασαι γὰρ ὡδί πως ἑκάτερον ἐπὶ παραδειγμάτων, ὑπόδειγμα θέμενος ἐν τῷ λόγῳ δύο τινὰς ἀνθρώπους δακνομένους μὲν ὁμοίως τὸ τῆς γαστρὸς στόμα, προσφερομένους δὲ χυλὸν πτισάνης ἢ χόνδρον ἢ ἄρτον πλυτὸν, εἶτα τῷ μὲν ἑτέρῳ παυομένην τὴν δῆξιν, αὐξανομένην δὲ θατέρῳ, πότερον οὖν ὅσον ἐφ᾽ ἑαυτῷ δακνώδης ἐστὶν ὁ χυλὸς τῆς πτισάνης, ἢ ὁ χόνδρος, ἢ ὁ ἄρτος, κατὰ δέ τι συμβεβηκὸς ἐπὶ θατέρου τῶν ἀνθρώπων οὐχ ὅπως ηὔξησεν, ἀλλὰ παρηγόρησεν τὴν δῆξιν; ἢ παρηγόρησεν μὲν ὅσον ἐφ᾽ ἑαυτῷ, κατὰ δέ τι συμβεβηκὸς ἐπὶ θατέρου παρώξυνεν; ἐγὼ μὲν ἐπικεραστικὸν ὑπάρχοντα κατά γε τὴν ἑαυτοῦ φύσιν φημὶ τὸν χυλὸν τῆς πτισάνης, ἢ τὸν χόνδρον, ἢ τὸν ἄρτον, ἢ νὴ Δία τὸ γάλα, παροξύνεσθαι δὲ θατέρῳ τῶν ἀνθρώπων τὴν δῆξιν, τῷ φθάσαι νικηθῆναι πρὸς τῆς διαφθορᾶς. οὕτω δὲ καὶ τοῖς

ipfum polliceor in libro fequenti. Attamen non proinde aftruo, eam quae in quoque exuperat non poffe cognofci, verum fi quod ex accidente eft, ab eo quod per fefe diftinxeris omnia clare cognofces. Contemplator enim utrumque in exemplis, propofitis videlicet exempli caufa duobus hominibus, quibus fimiliter os ventris mordicetur et qui pariter aut fuccum ptifanae, aut chondrum, aut panem lotum fumpferint, deinde alteri mordicationem reftinctam, alteri vero inauctam ponito, obfecro, nunquid fuccus ptifanae aut chondrus aut panis ex fe mordax eft, per accidens autem in altero hominum morfum non modo non inauxit, fed mitigavit, an quantum ex fe quidem erat mitigavit, per accidens vero in altero irritavit? Ego fane ex fua natura epicerafticum effe dico fuccum ptifanae et chondrum et panem et per Jovem lac quoque, caeterum in altero homine morfum auxiffe, quod properaffet a corruptione fuperari. Atque ea utique eft, certo fcio, veterum prope omnium fenten-

παλαιοὺς ἰατροὺς σχεδὸν ἅπαντας οἶδα γινώσκοντας, ὥσπερ γε καὶ τῶν νεωτέρων τοὺς ἀρίστους, εἴη δ' ἄν τις ἴσως ἐμὲ λανθάνων. οὐδὲν γὰρ ἀτόλμητόν ἐστιν ἐνίοις τῶν νεωτέρων ἰατρῶν, ὡς ἀποφῆναι τῇ μὲν αὐτοῦ φύσει τὰς διαφθορὰς αὐξάνειν τὸν χόνδρον, ἢ τὸν ἄρτον, ἢ τὴν πτισάνην, ἐπ' ἐνίων μέντοι κατά τι συμβεβηκὸς πραΰνειν. ἀλλ' ὁ μὲν ταῦτα λέγων οὐδεμίαν ἀπόδειξιν εἰπεῖν ἔχει τῆς ἀποφάσεως. ἡμεῖς δὲ λέγομεν ὡς εἴπερ ἡ πτισάνη φύσει κακόχυμος ἦν, οὔποτ' ἂν ἐπράϋνε δήξεις. [42] ἀλλὰ μὴν ὁρᾶται καὶ ἄνωθεν λαμβανομένη καὶ διὰ τῆς ἕδρας ἐνιεμένη πραΰνουσα πολλάκις, ᾧ δῆλον ὅτι κατὰ μὲν τὴν ἑαυτῆς φύσιν εὔχυμός ἐστιν. συνδιαφθειρομένη δ' ἐνίοτε τοῖς τὰς δήξεις ἐργαζομένοις χυμοῖς αὐξάνει τὸ σύμπτωμα.

Κεφ. ιδ'. Τάχ' οὖν ἔροιτό τις ἡμᾶς εἰ μηδὲν τῶν κακοχύμων ἰάσατό ποτε δῆξιν; ἐγὼ δὲ τοῦτο μὲν οἶδα οὐκ ὀλιγάκις γιγνόμενον, ἀλλ' οὐκ ἐπικεραννύντα φημὶ, ἀλλὰ τὸ δάκνον ἅμ' ἑαυτοῖς συνεξάγοντα τὰ τοιαῦτα τῶν φαρμάκων ἴασθαι τὰς δήξεις. καὶ διὰ τοῦτο παραχρῆμά τε καὶ μέχρι

tia, fed et recentiorum optimi quique ita fapiunt. Verum fi quis fuerit quem ego nefciam, nec enim quicquam eft quod non audeant juniorum medicorum quidam, qui contendat ex fua natura corruptiones augere chondrum, panem aut ptifanam, caeterum in quibusdam ex accidente nimirum mitigare, is, inquam, qui talia jactabit nullam affertionis fuae demonftrationem afferre poterit. At nos dicimus quod fi ptifana natura foret mali fucci, haud unquam mordicationem mitigaret. Atqui confpicitur frequenter tum fuperne fumpta tum per fedem injecta mitigare, ex quo patet per fuam quidem naturam boni effe fucci, verum interdum una cum iis fuccis qui mordicationes excitant corrumpi et ipfum augere fymptoma.

Cap. XIV. Forte igitur nos roget quispiam an ullum unquam eorum, quae mali fucci, mordicationem curaverit? Equidem id non raro factum cognovi, verum ea dico non temperando, verum id quod mordicabat una fecum educendo, mordicationes fanaffe. Ac proinde et ftatim

περ ἂν ἐκκενωθῇ δάκνειν τε τὸν ἄνθρωπον ἀπολιπεῖν τέ τινα τραχεῖαν αἴσθησιν ἐν τοῖς μέρεσιν, ἑτέρου φαρμάκου δεομένην, οὐ μὴν τά τε εὔχυμα καὶ γλυκύχυμα. καὶ γὰρ καὶ ἐν τῷ παραχρῆμα πραΰνει καὶ χωρὶς τοῦ κένωσιν ἐργάζεσθαι, καὶ τραχεῖαν οὐδεμίαν αἴσθησιν ἐπάγει, τοὐναντίον δ' ἅπαν αὐτὰ τῶν τραχειῶν ἐστιν αἰσθήσεων ἰατικά. τὸν γοῦν χόνδρον καὶ τὸ γάλα καὶ τὴν πτισάνην ἐπὶ τῶν τοιούτων διαθέσεων ἐσθίειν τε δίδομεν ἐνίεμέν τε διὰ τῆς ἕδρας, ἐπειδὰν ἤτοι διὰ μέλιτος, ἢ ἄλλου τινὸς τῶν τοιούτων ἀποῤῥύψωμεν τὸ λυποῦν. ἐν τούτῳ δὲ τῷ καιρῷ καὶ στέαρ ἡμῖν γίγνεται χρήσιμον καὶ κηρωτὴ γλυκεῖα καὶ ἔλαιον γλυκύ. λέγειν δέ με νόμιζε καὶ νῦν καὶ κατὰ τὸν ἑξῆς λόγον ἅπαντα γλυκέα καὶ χωρὶς ἁλῶν σκευαζόμενα καὶ τὰ πεπλυμμένα. τέσσαρσι τοίνυν γνωρίσμασιν ἔχων διορίσασθαι τὸ καθ' ἑαυτὸ τοῦ κατὰ συμβεβηκὸς πραΰντικοῦ, ῥᾳδίως ἐξευρήσεις ἑκάστου τῶν τοιούτων φαρμάκων τὴν δύναμιν. ἔστι δὲ τὰ τέσσαρα γνωρίσματα ταῦτα. πρῶτον μὲν τὸ παραχρῆμα πραΰνειν, ἢ μή, καὶ δεύτερον τὸ συνεκκενοῦσθαι τὰ λυποῦντα, ἢ μή, καὶ

et usque dum evacuentur hominem mordicare et insuper evacuata asperum relinquere sensum in partibus aliud medicamen requirentem. Quod non faciunt quae boni sunt succi et dulcis, etenim et protinus mitigant et praeterquam quod evacuationem non faciunt, etiam sensum asperum nullum inducunt, quin potius ipsa contra sensuum medentur asperitati. Itaque chondrum, lac, ptisanam in ejusmodi affectibus et edenda praebemus et per sedem injicimus, ubi videlicet melle aut quopiam ejusmodi, quod infestabat, extersérimus, quo tempore opportunus est et adeps et ceratum dulce et oleum dulce. Porro et in praesenti et in sequenti deinceps sermone omnia me dulcia dicere existimato, tum ea quae salem non sunt experta tum ea quae sunt elota. Quatuor itaque indiciis quum possis quod per se lenit distinguere ab eo quod per accidens, facile cujusque talium medicamentorum facultatem invenies. Primum indicium est, an statim mitiget an non. Secundum, an simul

τρίτον τὸ καταλιπεῖν τινα τραχύτητα περὶ τοῖς σώμασιν, ἢ μὴ, καὶ τέταρτον, εἰ μὴ τοῖς οὕτως ἔχουσι χρηστὸν φαίνοιτο. τὸ μὲν γὰρ μήτε ἐν τῷ παραχρῆμα πραΰνειν τὰς δήξεις, ἀλλὰ μετὰ πλείονός γε σφοδρότητος ἐκκρινόμενον μήτε μένειν ἔνδον ἰώμενον, ἀπολεῖπόν τέ τινα περὶ τοῖς σώμασιν ἀνιαρὰν τραχύτητα, παροξῦνόν τε ταύτην εἰ προσαχθείη δεύτερον, ἀναβρωτικὸν μέν ἐστιν καὶ δακνῶδες τῇ φύσει, κατὰ συμβεβηκὸς δέ ποτε δήξεις ἰᾶται, τὸ δὲ κἂν τῷ παραχρῆμα πραϋντικὸν ἔκκρισίν τε μηδεμίαν ἐρεθίζον, ἀλλὰ μηδὲ τραχῦνον ἐν τῷ μένειν, ἴαμά τε τῶν τετραχυμένων γιγνόμενον αὐτὸ μὲν φύσει χρηστόν ἐστι, δακνῶδες δ' ὑπὸ τῆς ἀλλοιούσης αὐτὸ καὶ διαφθειρούσης κακοχυμίας ἔστιν ὅτε γίγνεται. ταῦτ' εἴρηταί μοι καὶ ἅμα τε τὸν καιρὸν ἢ τὸν τρόπον τῆς χρήσεως ἑκατέρου τοῦ γένους τῶν φαρμάκων ἅμα τε τὴν τῆς δυνάμεως εὕρεσιν ὁ λόγος ἐδίδαξεν, ἀπέδειξέ τε καὶ πτισάνης χυλὸν καὶ χόνδρον καὶ τράγον καὶ γάλα καὶ ἄρτον πλυτὸν ἐκ τῶν εὐχύμων ὑπάρχοντα, καὶ μὲν δὴ καὶ πιμελὴν καὶ στέαρ, ἔλαιόν τε γλυκὺ

vacuet molestantia an non. Tertium, an asperitatem quandam in corporibus relinquat an non. Et quartum an ita affectis utile et commodum videatur nec ne. Nam quum nec protinus mordicationem sanat, verum majore cum vehementia excernitur, neque intus medendo remanet et molestam corporibus asperitatem relinquit, quam si denuo offeratur exasperat, argumentum est rodentis ac mordicantis esse naturae, caeterum ex accidente quandoque morsus sanare. At quod et continuo mitigat et nullam excretionem provocat, sed nec exasperat dum intus manet, imo exasperatorum medela existit, ipsum quidem natura bonum est, verum interdum a cacochymia, quae ipsum alterat corrumpitque, mordax efficitur. Atque haec ita a me dicta sunt, ut simul utriusque medicamentorum generis et tempus et utendi modum, simulque facultatis inveniendae rationem docuerit oratio: demonstraveritque et ptisanae succum et chondrum et tragum et lac et panem elotum ex genere esse euchymorum, quin et pinguedinem et adipem et oleum dulce

καὶ κηρὸν γλυκὺν, ἐκ τῆς τῶν παρηγορικῶν ὄντα φύσεως. εἴη δ' ἂν καὶ γλυκὺς κηρὸς ὁ τῇ φύσει τοιοῦτος, ὡς ἔνιοί γε πικροὶ γευομένοις εἰσὶ, καὶ ὁ πρὸς τῷ τοιοῦτος εἶναι καὶ πεπλυμμένος ἐν ὕδατι χρηστῷ.

Κεφ. ιέ. [43] Χρὴ δὲ πλύνειν οὐ κηρὸν μόνον, ἀλλὰ καὶ πίτταν καὶ ῥητίνην, ἔλαιόν τε καὶ πᾶν ὁτιοῦν ἄλλο τοιοῦτον τὸ μὴ κεραννύμενον ὕδατι προθερμαίνοντας συμμέτρως, εἶτα καταῤῥέοντας εἰς ἀγγεῖον πλατὺ καὶ μέγα, πλῆθος ὕδατος ἔχον ἐν ἑαυτῷ καθαρωτάτου τε ἅμα καὶ ἀποιοτάτου. τούτῳ γὰρ ἐναποτίθεται τὸ πλυνόμενον ὅ τί περ ἂν εἴη τὴν ἑαυτοῦ δριμύτητα. χρὴ δὲ καὶ ἀνατρίβειν αὐτὸ καὶ κόπτειν καὶ θλᾷν καὶ μαλάττειν ταῖς χερσὶν ἱκανῶς, ἵνα πᾶν μόριον ὁμιλήσῃ τοῦ πλυνομένου φαρμάκου τῷ ὕδατι, καὶ τοῦτο ποιήσαντας ἀποχεῖν (23) μὲν τὸ πρότερον ὕδωρ, αὖθις δὲ θερμαίνοντας τὸ πλυνόμενον εἰς ἕτερον ὕδωρ ἐμβάλλειν ὁμοίως καθαρὸν, ἀνακόπτειν δὲ χρὴ μέχρι πλείστου πάλιν, ἄχρις ἂν ἐναπόθηται τῷ ὕδατι τὴν ἑαυτοῦ ποιότητα. πάρεστι δέ σοι τοῦτο καὶ γευομένῳ διαγινώσκειν, εἶτα καὶ τρίτον καὶ

et ceram dulcem ex mitigantium esse natura. Fuerit autem cera dulcis, quae et natura est talis, nam quaedam gustantibus amarae sunt, et quae praeterquam quod est talis in aqua bona elota est.

Cap. XV. Lavanda porro est non tantummodo cera, sed et pix et resina et oleum et quicquid aliud aquae non miscetur. Primumque modice concalefactum, mox in vas lati oris ac magnum, cuique insit aquae copia purissimae simul et omnis qualitatis maxime expertis infundito: nam in ea quicquid sit id quod abluitur acrimoniam suam exuit. Deinde conterito, tundito, frangito, manibusque impense subigito, ut unaquaeque videlicet abluendi medicamenti particula aquam possit contingere. Denique effusa priore aqua rursum quod lavatur excalefaciens in aliam aquam aeque sinceram injicito, rursumque diutissime contundito, donec qualitatem suam in aquam deponat, id autem gustanti datur cognoscere, mox vero et tertio et quarto

Ed. Chart. XIII. [43.] Ed. Baſ. II. (23.)

τέταρτον καὶ πολλάκις ἐφεξῆς τοῦτο ποιεῖν, ἄχρι περ ἂν μηκέτι μηδεμίαν ἐκ τοῦ πλυνομένου φαρμάκου ποιότητα δέχηται τὸ ὕδωρ. οὕτω μὲν οὖν ἅπαντα τὰ θερμαίνεσθαί τε καὶ χεῖσθαι δυνάμενα πλύνειν. εἰ δέ τι λιθῶδες εἴη καὶ σκληρὸν, ὡς ἡ καδμεία καὶ ἡ τοῦ χαλκοῦ λεπὶς, ὅ τε κεκαυμένος χαλκὸς, ἀκριβῶς ἐκεῖνα καταθραύσαντας εἰς λεπτὰ τρίβειν ἐπιπλεῖστον ἐν ὕδατι πηγαίῳ τε καὶ καθαρωτάτῳ, πολλάκις ἀποχέοντας τὸ πρότερον, ἔστ᾽ ἂν μήτ᾽ ἐφίστηται μηδὲν, εἰ κατασταίη τὸ ὕδωρ, ἄποιόν τε τοῦ τριβομένου φαρμάκου γίγνηται, μέχρι δ᾽ ἂν ἤτοι τῆς ποιότητος αὐτοῦ τι φαίνοιτο γευομένοις, ἢ ἐφίστηταί τι μέχρι τοσοῦδε καὶ τρίβειν καὶ ἀποχεῖν. ἂν γὰρ οὕτω πλύνῃ τις ὁτιοῦν τῶν πλυθῆναι δυναμένων, ἄδηκτον γίγνεται. καὶ δὴ καὶ τοὔλαιον οὐκ ἄδηκτον μόνον, ἀλλὰ καὶ λευκότερον ἐν τῷδε φαίνεται γιγνόμενον. χρὴ δὲ μὴ ἀνακόπτειν ὁμοίως αὐτὸ πίττῃ καὶ κηρῷ καὶ ῥητίνῃ σφοδρῶς, ἵνα μὴ δύσλυτος ἡ πρὸς τὸ ὕδωρ αὐτοῦ γένηται μίξις, ἀλλ᾽ ἐασάντων ἀτρεμῆσαι ῥᾳδίως λαβεῖν ἐποχούμενον. εἰσὶ καὶ ἕτεροι τρόποι λευκάνσεως ἐλαίου παρὰ τοῖς τά τε

et ſaepius deinceps idem faciendum, donec aqua nullam etiam ex abluto medicamento qualitatem recipiat. Atque hunc in modum omnia quae excalefieri et fundi ſuſtinent lavabis. At ſi qua ſint lapidoſa et dura velut cadmia et aeris ſquama et aes uſtum, ea exacte in tenuia comminuentem plurimum in aqua terere fontali puriſſimaque oportet; ſubinde priore effuſa, quoad nihil in aqua innatet, maneatque aqua prorſum a contriti medicamenti qualitate immunis. Nam quamdiu aut qualitatis ejus quippiam in guſtu appareat, aut aliquid innatet, tamdiu terendum atque effundendum eſt: nam ſi hoc pacto quidvis eorum quae lavari poſſunt, abluas, mordacitatis expers evadet. Et ſane oleum non tantum mordacitatem exuit, ſed etiam candidius interea efficitur. Oportet vero ipſum non perinde vehementer verberare ut picem aut ceram aut reſinam, ne videlicet adeo aquae miſceatur, ut aegre poſtea ſeparari poſſit, ſed ita ut ubi quieſcere paulisper ſiveris, facile poſſis innatans detrahere. Sunt et alii modi quibus oleum efficere poſſis

τῶν σκευασιῶν βιβλία γεγραφόσι καὶ τὰ περὶ τῆς ὕλης, ὥσπερ καὶ τὰ παρὰ τῷ Διοσκουρίδῃ κατὰ τὸ πρῶτον. ἀλλ᾽ ἐκείνων μὲν οἱ πλείους ἐκδαπανῶντες τὸ ὑδατῶδες καὶ τὸ πυῤῥὸν τοῦ ἐλαίου τὸ ὑπόλοιπον ἀποφαίνουσι λευκὸν, ὁ δὲ διὰ τῆς πλύσεως οἷον ἀποῤῥύπτων αὐτὸ καὶ ἀπομάττων.

Κεφ. ιστ΄. Περὶ μὲν δὴ τῆς τῶν πλυτῶν φαρμάκων καὶ λευκαινομένων διαθέσεως καὶ αὖθις εἰρήσεται. ἐπὶ δὲ τὸ προκείμενον ἐπάνειμι. ἔλαιον εἰ μήτε τὸ καλούμενον ὀμφάκινον εἴη, στυπτικὸν γάρ τοῦτό γε, μήτε μεθ᾽ ἁλῶν ἐσκευασμένον, ἀλλὰ μηδὲ πρόσφατόν τε καὶ οἷον ζέον ἔτι καὶ πρὸς τούτοις ἅπασιν ἐπιμελῶς εἴη πεπλυμμένον, οὔτε πινόμενον οὔτε ἐνιέμενον ἐργάσεται δῆξιν. εἰ δὲ κερχνῶδές ἐστι τῆς φάρυγγος, οὐδὲν ἂν εἴη τοῦτό γε πρὸς τὸ δακνῶδες ὑπάρχειν αὐτό. πᾶν μὲν γὰρ τὸ δάκνον καὶ δριμὺ καὶ κερχνῶδες, οὐ μὴν ἅπαν τὸ κερχνῶδες δάκνον καὶ δριμύ. μόνως γὰρ οὕτως [44] ἂν ἀπεδείχθη τοὔλαιον δακνῶδες, εἰ πᾶν τὸ κερχνῶδες ὡμολόγητο δακνῶδες ὑπάρχειν. ἥκει τοίνυν πάλιν ἐνταῦθα

candidum, quos fcriptos invenies apud eos qui praeparationum libros confcripfere et qui de materia prodidere, ut et apud Diofcoridem in primo. Verum plerique eorum confumentes quod in oleo aqueum ac rufum eft, reliquum candidum efficiunt. At hic abluendo, veluti ipfum abftergendo ac detergendo, candidum efficit.

Cap. XVI. De medicamentorum quae lavari candidaque effici folent difpofitione rurfus etiam dicetur. Nunc ad propofitum revertor. Oleum quod non fit omphacinum vocatum, id enim aftringit, neque cum fale praeparatum neque recens ac velut etiamnum fervens, ad haec omnia accurate lotum, id neque epotum neque infufum morfum efficiet. Quod fi guttur ad tuffim provocet, non idcirco mordax dicendum erit. Nam quicquid mordax eft et acre, tuffim etiam provocat, non tamen quicquid tuffim provocat, mordax eft et acre. Hoc enim duntaxat pacto mordax effe oleum oftenfum eft, fi quicquid tuffim movet mordax effe conceffum fuerit. Occurrit itaque denuo hic error non levis,

τὸ παρὰ τὴν ἀναστροφὴν τοῦ συνημμένου, σφάλματος μικρὸν τοῦτο καὶ φαῦλον. ἅπαν μὲν γὰρ ὡμολόγηται τὸ δάκνον εἶναι κερχνῶδες. ὡμολόγηται δὲ καὶ τοὔλαιον ὑπάρχειν κερχνῶδες. ἀλλ' ἐκ τῶν ὑποκειμένων τούτων οὐ περαίνεται δακνῶδες εἶναι τοὔλαιον, οὔτε κατηγορικὰς οὔτε ὑποθετικὰς ἡμῶν ποιησάντων τὰς προτάσεις, τῷ μήτ' ἐκ δύο καθόλου καταφατικῶν ἐν δευτέρῳ σχήματι περαίνεσθαί τι μήτε τὸ συνημμένον ἐξ ἀνάγκης ἀληθεύεσθαι. γενήσονται δ' ἐν μὲν τῷ κατηγορικῷ συλλογισμῷ δύο προτάσεις αἵδε, πᾶν τὸ δάκνον κερχνῶδες, πᾶν ἔλαιον κερχνῶδες, ἐξ ὧν ὁμολογηθέντων οὐδὲν περανθήσεται. τὴν δ' ὑποθετικὴν πρότασιν, ἣν οἱ περὶ τὸν Χρύσιππον ἀξίωμα συνημμένον ὀνομάζουσιν, οὐκ ἔχομεν ἀληθῆ λαβεῖν οὔτ' ἐξ αἰσθήσεως οὔτ' ἐξ ἀκολουθίας λογικῆς. οὐ μὲν γὰρ ἢ δι' αἰσθήσεως, ἢ ἀπ' αἰσθήσεως, ἢ ὅπως ἂν τις ὀνομάζειν ἐθελήσει, τὰ τοιαῦτα τῶν ἀξιωμάτων εἴληπται, πᾶν τὸ δακνῶδες καὶ κερχνῶδές ἐστι, καὶ εἴ τι δακνῶδες, τοῦτο καὶ κερχνῶδές ἐστιν, οὔτ' εἰ πᾶν τὸ δακνῶδες καὶ κερχνῶδές ἐστιν, ἤδη καὶ τὸ κερ-

ſed pernicioſus in concluſi converſione commiſſus. Conceſſum enim eſt omne mordax tuſſim movere, et conceſſum eſt oleum omne tuſſim movere, verum his ſuppoſitis non conficitur oleum eſſe mordax, neque ſi categoricas neque ſi hypotheticas efficiamus propoſitiones, quod ſcilicet ex duabus univerſalibus affirmativis nihil concludi in ſecunda figura poſſit, neque concluſio ex neceſſitate ſit vera. Fient autem in ſyllogismo categorico duae propoſitiones iſtae omne mordax tuſſim ciet; omne oleum tuſſim ciet; ex quibus conceſſis nihil concludi poterit. Hypotheticam vero propoſitionem, quam Chryſippus axioma concluſum nuncupat, veram accipere non licet, neque a ſenſu neque ex conſequentia logica. A ſenſu enim aut per ſenſum, aut utcunque nominare placebit, id genus axiomata deſumpta ſunt, *nempe*, omne mordax tuſſim ciet, et, ſi quid mordax eſt, itidem et tuſſim ciet; et non, ſi omne mordax tuſſim ciet, protinus quicquid tuſſim ciet mordax erit. Neque omnino ad hoc, ſi quid mordax

χνῶδες ἅπαν ὑπάρχει δακνῶδες, οὐκ ε τῷ πᾶν εἴ τι δακνῶδές ἐστιν, τοῦτο καὶ κεγχνῶδες ὑπάρχειν, ἕπεται τὸ πᾶν εἴ τι κεγχνῶδές ἐστιν, καὶ δακνῶδες ὑπάρχειν, ἀλλὰ τὸ μὲν εἰ μὴ κεγχνῶδες οὐδὲ δακνῶδες ἀληθές. ἀντιστρέφει γὰρ, οὐ μὴν εἴ τι κεγχνῶδες, εὐθὺς καὶ δακνῶδες· ἀναστρέφει γὰρ τοῦτο. δέδεικται δ' ἐν ταῖς λογικαῖς μεθόδοις ὡς οἱ μὲν ἀντιστρέφοντες τοῖς ἀληθέσι λόγοις ἀληθεῖς εἰσιν, οἱ δὲ ἀναστρέφοντες οὐκέτι πάντως ἀληθεῖς. εἴπερ οὖν οὐκ ἐξ ἀνάγκης ἀληθές ἐστιν τὸ εἴ τι κεγχνῶδές ἐστιν, τοῦτο εἶναι εὐθὺς καὶ δακνῶδες, οὐδ' ἂν τὸ ἔλαιον ἐκ τοῦ κεγχνῶδες εἶναι καὶ δακνῶδες δεικνύοιτο. μόνως γὰρ ἂν εἴπερ ὡμολόγητο, πᾶν τὸ κεγχνῶδες δακνῶδες ὑπάρχειν, ἀληθῶς ἂν εὑρέθη τὸ τοιοῦτον συνημμένον, εἰ κεγχνῶδές ἐστι τὸ ἔλαιον, καὶ δακνῶδές ἐστιν, ἵνα ἕπηται τούτῳ τῷ λόγῳ προσλήψεως τοιᾶσδε γενομένης· ἀλλὰ μὴν κεγχνῶδές ἐστι τὸ ἔλαιον, ἕπεται τὸ συμπέρασμα κατὰ τὸν πρῶτον ἀναπόδεικτον τοιοῦτον, δακνῶδες ἄρα ἐστὶ τὸ ἔλαιον. ἀλλὰ γὰρ οὐχ οὕτως ἐπιχειρητέον

eſt, hoc et tuſſim ciet, ſequitur in univerſum illud, ſi quid tuſſim ciet ipſum et mordax eſſe, ſed id quidem, ſi non ciet tuſſim, haudquaquam mordax eſſe; id verum eſt, quippe quum mutuo convertantur. Non tamen ſi quid tuſſim ciet, continuo et mordax eſt, *ſimpliciter* enim hoc convertitur. Demonſtratum autem in methodis logicis eſt, quae ex mutuo veris convertuntur orationes, ipſas quoque veras eſſe; at quae ſimpliciter convertuntur non perpetuo eſſe veras. Igitur ſi non ex neceſſitate verum eſt, ſi quid tuſſim movet, idem ſtatim mordax eſſe, neque ſane oleum proinde quod tuſſim moveat, mordax eſſe concludi poterit. Hoc enim duntaxat pacto, nempe ſi in confeſſo eſſet omne quod tuſſim moveat itidem mordax eſſe, vere talem confici concluſionem inveniretur: ſi tuſſim movet oleum, utique et mordax eſt, quo ad hanc ſequatur orationem facta tali aſſumptione, atqui tuſſim movet oleum, ſequitur ergo juxta primam orationem indemonſtratam concluſio: mordax igitur oleum eſt. Verumenimvero non hoc pacto colligendum il-

ἦν αὐτοῖς, ὡς εἴ τι δακνῶδες, εὐθύς ἐστι τοῦτο καὶ κερχνῶδες, ἀλλ᾽ ὅτι μόνα τὰ δακνώδη κερχνώδη· εἴη γὰρ ἂν οὕτω τὰ κερχνώδη πάντα δακνώδη. τοῦτο δ᾽ αὐτὸ, τὸ μόνα τὰ δακνώδη κερχνώδη φαίνεσθαι, παρά τε τὴν αἴσθησιν εἴρηται. φαίνεται γὰρ καὶ τὰ λιπαρὰ κερχνώδη καὶ τὸ ζητούμενον ἑτοίμως εἴληπται, μήτ᾽ ἐξ αἰσθήσεως μήτ᾽ ἐξ ἀποδείξεως πιστωθέν. ἔτι τε πρὸς τούτοις ἀγνοούντων ἐστὶν ἀνθρώπων, ὁποία τις ἡ τοῦ κέρχνειν ἐστὶ διάθεσις, ἣν ἴσως ἄμεινον αὐτοῖς ἐξηγήσασθαι.

Κεφ. ιζ. Συμβαίνει δὲ τὸ κέρχνειν ἀνωμαλίας τινὸς ἐν τῇ φάρυγγι συνισταμένης παρὰ φύσιν. εἰθισμένον γὰρ τὸ πνεῦμα διὰ καθαρᾶς καὶ λείας ἀεὶ φέρεσθαι τῆς ὁδοῦ, ἐπειδὰν προσκόπτῃ τισὶν ἐξοχαῖς κατ᾽ αὐτὴν, κλόνον τέ τινα καὶ οἷον ἀνώμαλον σεισμὸν ἐργάζεται κατὰ τὴν φάρυγγα, καὶ οὕτως ἐρεθίζεται πρὸς βῆχα τὸ ζῶον. ὥσπερ γὰρ [45] καὶ ἄλλα πολλὰ σωτηρίας ἕνεκα τοῖς ζώοις ἡ φύσις ἐναπειργάσατο σύμφυτα πάθη, κατὰ τὸν αὐτὸν τρόπον καὶ πταρμὸν καὶ βῆχα. πταρμὸν μὲν ὑπὲρ τοῦ διώσασθαι τὰ κατὰ τὰς

lis fuerit, quod fi quid mordax effet, continuo et tuffim moveret, fed quod fola mordacia tuffim provocant; ita enim concluderetur quicquid tuffim moveret effe mordax. At hoc ipfum, fola videlicet mordacia tuffim ciere videri et aliena a fenfu dicitur, quippe quum et pinguia movere tuffim appareant, et quod quaeritur prompte affumptum eft neque ex fenfu, neque ex demonftratione confirmatum. Praeterea hominum ignorantium, quaenam fit tuffim movendi affectio, quam fortaffis ipfis exponere praeftiterit.

Cap. XVII. Contingit autem tuffim cieri inaequalitate quadam in gutture praeter naturam proveniente, quippe quum fpiritus per puram laevemque femper ferri viam confuetus, fi quando in eminentia quaedam impingat, tumultum quendam ac veluti inaequalem concuffionem in gutture efficit, atque ita ad tuffim animal provocat. Nam ut alias quoque multas natura hominibus falutis gratia ingenitas indidit paffiones, ad eundem modum et fternutationem et tuffim; fternutationem quidem, uti ea quae in naribus in-

ῥῖνας ἐρεθίζοντά τι καὶ λυποῦντα, βῆχα δ' ὑπὲρ τοῦ τὰ κατὰ τὴν φάρυγγα. διττὴ δ' ἐστὶν ἡ τοιαύτη διάθεσις, ἢ αὐτοῦ παρὰ τὴν ἀρτηρίαν ὑμένος ἀναξηραινομένου τε καὶ τραχυνομένου, ἢ τινος ἀνωμάλου ἐν αὐτῷ φερομένου σώματος εἴτ' οὖν ὑγροῦ τὴν φύσιν εἴτε καὶ στερεοῦ. διὰ τοῦτο κἂν ἄρτου τι μόριον σμικρὸν, ἢ τινος ἄλλου τῶν ἐδεσμάτων ἀκόντων ἡμῶν παραδράμῃ ποι' εἰς τὸν τοῦ πνεύματος πόρον, ἀναγκαζόμεθα βήττειν, κἂν πινόντων ἡμῶν ἀθρόον τι παραῤῥυῇ τοῦ πόματος, ὁμοίως ἐρεθίζεται καὶ βῆχα προσκαλεῖται. παρηθεῖται μὲν γὰρ ἀεί τι κατὰ τὴν τραχεῖαν ἀρτηρίαν εἰς τὸν πνεύμονα τοῦ πινομένου σμικρὸν οὕτως, ὡς ἀναρπάζεσθαί τε πρὸς τῶν ὀργάνων αὐτίκα καὶ διαδίδοσθαι πάντη ῥᾳδίως. οὐ μὴν οὐ δύναταί γε ἀθρόον οὐδαμόθι κατὰ τὰς ὁδοὺς τοῦ πνεύματος, οὐδ' ἐρεθίζεται πρὸς βῆχα τὸ ζῶον. ἐπειδὰν δ' ἤτοι τοῦτο πλέον, ἢ ἄλλο τι τοιοῦτον ὑγρὸν, ἢ στερεὸν σῶμα κατὰ τὴν τραχεῖαν ἀρτηρίαν ἐμφέρηται, βήττειν ἀναγκαῖον ἤδη τοὐντεῦθεν, ἄχρι περ ἂν ὑπὸ τῆς σφοδρότητος τοῦ πνεύματος ἐκβρασθῇ τὸ λυποῦν. ἀνάλογον δέ τι τῷδε συμβαίνει, κἀπειδὰν αὐτῷ τῷ κατὰ τὴν ἀρτηρίαν ἔνδον ὑμένι τραχυνθέντι

feſta moleſtaque ſunt propelleret, tuſſim vero ut quae in gutture. Porro duplex ea affectio eſt, aut reſiccata exaſperatave quae in arteria eſt membrana, aut inaequali in ea corpore delato, ſive id liquidum ſit ſive ſolidum. Hinc ſeu panis micula, aut alterius cujuspiam edulii nobis invitis in ſpiritus meatum decidat, tuſſire adigimur: ſeu ſi bibentibus affatim, ipſius potus quippiam eo influat, ſimiliter irritamur, atque ad tuſſim compellimur. Percolatur enim perpetuo per aſperam arteriam in pulmonem ipſius potus tam exile quippiam, ut protinus ab inſtrumentis raptum perfacile quocunque diſtribuatur, nec tamen uſpiam acervatim in ſpiritus ſemita conſiſtat, neque animal ad tuſſim irritet. At ubi vel id ipſum pluſculum, vel aliud quodpiam ſeu liquidum ſeu ſolidum corpus in aſpera defertur arteria, jam inde tuſſire neceſſe eſt, donec a ſpiritus vehementia, quod moleſtat propulſatum ejiciatur. Proportionale quippiam huic accidit, ubi in membranam ipſam internam arteriae

προσκόπτῃ τὸ πνεῦμα, πλὴν ἀλλ᾽ ἥ γε διάθεσις αὕτη (24) τῆς προειρημένης ἐστὶν ἑτέρα. αὕτη μὲν γὰρ ἀφαιρεῖταί τι καὶ ἀποξύεται τοῦ τῆς ἀρτηρίας ὑμένος, ἔσωθεν δὲ προσπίπτει κατὰ τὴν προτέραν διάθεσιν. τὸ κοινὸν δ᾽ ἀμφοῖν ἐστιν ἡ ἀνωμαλία τῆς τοῦ πνεύματος ὁδοῦ. λέλεκται δ᾽ ἐπιπλέον ὑπὲρ αὐτῶν ἐν ταῖς τῶν συμπτωμάτων αἰτίαις. ἀλλ᾽ εἴς γε τὸ παρὸν ἀπόχρη γινώσκειν ὡς τὰ μὲν δακνώδη πάντα τῷ τραχύνειν τὴν φάρυγγα, τὰ δ᾽ ἐλαιώδη καὶ λιπαρὰ τῷ περιπλάττεσθαι τὴν ἀνωμαλίαν τε καὶ τὴν κέρχνον ἐργάζεται. πᾶν γὰρ ὅ τι περ ἂν ἔξω τῆς φύσεως ἐπιπίπτῃ τῷ χιτῶνι τῆς ἀρτηρίας, ἐμπλάσσεταί τε δυσαπολύτως, ἄηθες μὲν τοῖς ὀργάνοις καὶ τῷ δι᾽ αὐτῶν φερομένῳ πνεύματι, λυπηρὸν δὲ τῷ ζώῳ γίγνεται. καὶ οὐ τοῦτό φημι νῦν, ὡς οὐχὶ καὶ τῇ ποιότητι δακνώδη τὰ πλεῖστα τῶν ἐλαίων ἐστί. τά τε γὰρ ἁλῶν μετέχοντα καὶ τὰ παντάπασι νέα δακνώδη πάντως ἐστὶν, οὐ διὰ τὴν ἰδίαν αὐτῶν οὐσίαν, ἀλλ᾽ ὅτι πᾶσι τοῖς ἐκ τῶν φυτῶν χυλοῖς ἐμφέρεται περίττωμα διττὸν, ὡς καὶ Θεόφραστος μὲν ἱκανῶς ἐπέδειξε καὶ ἡμεῖς δ᾽ ἐν τοῖς ἑξῆς ἐπιδείξομεν, ἕτερον μὲν τὸ πα-

exaſperatam ſpiritus impingit, niſi quod haec affectio alia a jam dicta ſit. Nunc enim ab arteriae membrana aufertur abraditurqae quippiam, intus vero adhaeret aliquid in priore affectu. Porro utrique communis eſt ſpiritalis viae inaequalitas, de quibus ſuſius in cauſis ſymptomatum differuimus. Caeterum in praeſentia cognoviſſe ſufficit quod mordacia gutturis exaſperatione, oleoſa vero et pinguia illitu inaequalitatem et ad tuſſim impetum efficiant. Quicquid enim extra naturam in arteriae incidit tunicam tenaciterque illi inhaeret, tum organis ipſis et qui per ea defertur ſpiritui inſolens eſt, tum animanti quoque moleſtum. Nec id nunc dico, quin pleraque ex oleis qualitate mordicantia ſint. Nam et quae admixtum habent ſalem et prorſus recentia ſunt, ea omnino mordacia quoque ſunt, non propria ſua eſſentia, ſed quantum omnibus plantarum ſuccis geminum inſit excrementum, quod abunde indicavit Theophraſtus, et nos poſtea commonſtrabimus, alterum craſſius ac velut terre-

χύτερον καὶ οἷον γεωδέστερον, ἕτερον δὲ τὸ λεπτότερον καὶ ὑδατωδέστερον. ἔστι δὲ καὶ κατὰ τοὔλαιον ταῦτ' ἄμφω χρόνου δεόμενα πρὸς σύμπεψίν τε καὶ διάκρισιν, ἀλλ' ἐν τῷ χρόνῳ τὸ μὲν ὑφίσταται, τὸ δ' ἐκδαπανᾶται. καὶ πρότερόν γε τὸ γεῶδες καὶ παχύτερον ὑφίσταται τὸ καλούμενον ἀμόργη, θάτερον δὲ τὸ λεπτότερον καὶ οἷον ὑδατωδέστερον, ἔστι πως καὶ τοῦτο σύνθετον, ἐξ ἀερώδους τέ τινος οὐσίας καὶ λεπτῆς ὀῤῥώδους.

Κεφ. ιη'. Τὸ δ' ὀῤῥῶδες τοῦτο πυῤῥὸν μὲν τὴν χρόαν ἐστὶ, τοῦ δ' ὑφισταμένου καὶ παχέος καὶ γεώδους ἀπομέμακται τὴν ποιότητα. αὐτὸ δὲ τοὔλαιον ἄδηκτόν τε καὶ λευκόν ἐστι κατά γε τὴν ἑαυτοῦ φύσιν, ὅθεν ἐπειδὰν ἀποχωρισθῇ τὸ λεπτὸν τοῦτο περίττωμα, λευκότερόν τε καὶ γλυκύτερον ἑαυτοῦ γίγνεται. ἀποχωρίζεται δὲ τρό[46]ποις πολλοῖς. ἢ γὰρ ἐν ἡλίῳ θερμῷ θέντες ἀγγεῖον εὐρύστομον ἐλαίου μεστὸν, αἴροντες κόγχαις ἐξ αὐτοῦ πολλάκις ἄνωθεν καταῤῥάττουσιν, ἢ θερμὴν ὑποτιθέασιν τέφραν τοῖς περιέχουσιν ἀγγείοις τοὔλαιον, ἡλιοειδῆ θερμασίαν ὡς ἔνι μάλιστα μιμού-

ſtrius, alterum tenuius et velut aquoſius. Sane et oleo ambo haec inſunt, ad concoctionem et ſecretionem tempus poſtulantia. Porro tempore quidem alterum reſidet, alterum vero conſumitur. Ac primum quidem, quod videlicet et terreſtre eſt et craſſum, ſubſidit, amurca nuncupatum, alterum vero tenuius ac velut aquoſius quodammodo et ipſum compoſitum eſt, ex aërea ſcilicet eſſentia et tenui ſeroſa.

Cap. XVIII. Caeterum ſeroſum iſtud ruſi coloris eſt, a craſſo illo terreſtrique ſubſidente ſcilicet qualitate abſterſa. At oleum ipſum tum minime mordax, tum candidum ſua natura exiſtit. Quapropter ubi tenue hoc excrementum ſeparatum fuerit, candidius etiam dulciusque eſſicitur. Separatur vero multis modis. Aut enim in ſole fervente lati oris vaſculo olei pleno depoſito, conchis in altum ſublatis ſubinde id cum ſtrepitu deſuper conturbant, aut calidos vaſculis oleum continentibus cineres ſubjiciunt, ſolarem

μενοι. φυλάττονται γὰρ τὴν πλείονα, μεταβάλλουσαν αὐτὸ κατὰ ποιότητα καὶ κνισσοῦσαν ἑτοίμως, ἢ πυρῆνας ἐλαιῶν, ἢ σῖτον ἐν κύκλῳ περιτιθέασιν, ἢ ἐπιμβάλλουσί τινα φάρμακα τοῖς ἀγγείοις αὐτοῖς, ἑνὶ δὲ λόγῳ τὸ μὲν ὑδατῶδες ἐξάγουσι καὶ δαπανῶσι, τὸ λοιπὸν δὲ φυλάττουσιν. ἐὰν οὖν οὕτω γλυκὺ καὶ λευκὸν ἔλαιον λαβὼν, ᾧ μηδ᾽ ἀπ᾽ ἀρχῆς ὑπῆρχε μετέχειν ἁλῶν, ἔτι δὲ καὶ πλύνεις, ὡς εἴρηται πρόσθεν, ἀδηκτότατόν ἐστί σοι τοῦτο πάντων φαρμάκων. καὶ ἡμεῖς τοι πολλάκις τοιοῦτόν τισιν ἔλαιον ἐδώκαμεν πιεῖν καὶ αὐτοί τε προσηνεγκάμεθα πείρας ἕνεκα καὶ ἦν ἀδηκτόν τε κατ᾽ ἔντερον ἀκριβῶς καὶ τῆς φάρυγγος ἥκιστα κερχνῶδες, ἐγχεόμενόν τε τοῖς ὀφθαλμοῖς βραχεῖαν αἴσθησιν ἔφερεν αὐτῷ μόνῳ τῷ ξένῳ καὶ ἀήθει μᾶλλον ἢ τῇ δριμύτητι διοχλοῦν. τὸ μὲν δὴ τοιοῦτον ἔλαιον, ἀκριβῶς ὑπάρχον ἔλαιον, ὑγραίνει τε πάντα καὶ μαλάττει, μήτε ψυχρὸν ἄκρως, ὡς εἴρηται, μήτε θερμὸν προσφερόμενον. ᾧ δὲ καὶ τῶν ἁλῶν μέτεστιν, ἔχει τι καὶ δήξεως ἐξ ἀνάγκης, ἀλλὰ θαυμάσαιμ᾽ ἂν εἴ τις

quam fieri poſſit maxime calorem imitati, majorem enim idcirco vitant, quod ipſum in qualitate transmutet prompteque nidorem excitet, aut nucleos olivarum aut frumentum circumcirca apponunt, aut medicamenta quaedam vaſis ipſis injiciunt. In ſumma, quod aqueum eſt exigunt atque conſumunt, reliquum autem ſervant. Itaque ſi tam dulce candidumque acceptum oleum, cuique nec ab initio ſal inditus eſt, ipſum inſuper, ut ante poſitum eſt, laves, id tibi medicamentorum omnium minime mordax erit. Ac nos quidem perſaepe oleum ejusmodi bibendum nonnullis exhibuimus, nosque ipſi experimenti gratia ſumpſimus, prorſumque nullam inteſtinis mordacitatem attulit, gutturique minime ad tuſſim impetum commovit, quumque oculis] eſſet infuſum, ſenſum movit exiguum, ipſa potius novitate atque inſolentia quam acrimonia moleſtum. Atque ejusmodi ſane oleum, ad unguem oleum exiſtens cuncta tum humectat tum emollit, ubi nec ſumme, ut monuimus, frigidum, nec calidum applicetur. Porro cui injectus ſal eſt, nonnulla quoque ineſt

Ed. Chart. XIII. [46.] Ed. Baſ. II. (24.)

οὕτω πολλοὺς ἐμβάλλει τοὺς ἅλας, ὡς ἰσχυρότερον γενέσθαι τῆς ἐλαιώδους τε καὶ λιπαρᾶς οὐσίας καὶ ἵνα τις ἀποδείξηται τὸν Ἀρχίδαμον, ἐπικαίεσθαι λέγοντα τὸ δέρμα τοῖς ἐν ἐλαίῳ τριβομένοις, ἐπεί τοι καὶ τοῦτο γιγνόμενον οἶδα πολλάκις, ἄλλων τέ τινων ἕνεκα καὶ ποδάγρας καὶ ἀρθρίτιδος. ἀνατρίβουσι γάρ ἔνιοι τὰ πεπονθότα μόρια σὺν ἐλαίῳ βραχεῖ λείοις ἁλσὶν, ἐν τοῖς διαλείμμασι δηλονότι καὶ οὐκ ἐν τοῖς παροξυσμοῖς, ὑπὲρ τοῦ ξηρᾶναι καὶ διαφορῆσαι τὸ περιττὸν ἅπαν, εὐεξίαν τέ τινα καὶ ῥώμην ἐνθεῖναι τοῖς ἀσθενέσι μορίοις. ἀλλ' ἐν τούτῳ μὲν οἱ ἅλες κρατοῦσιν, ἐν ἐλαίῳ δὲ κρατοῦνται. καὶ χρὴ τὸν ἐπαλειφόμενον καὶ ἀνατριβόμενον πρὸς τὰ βρεχόμενα μᾶλλον ἐν ἐλαίῳ παραβάλλειν ἤπερ τὰ ἑψόμενα, μὴ μέλλοντάς γε καθεψήσειν ἐν ἐλαίῳ ζέοντι τὸν ἄνθρωπον, ἀλλ' ἐπαλείφειν εὐκράτῳ. κάλλιον γὰρ ἦν, ὡς πολλάκις εἴρηταί μοι καὶ πρόσθεν, αὐτὸ τὸ γιγνόμενον ὁρᾶν αἰσθητόν τε ὂν καὶ σαφὲς ἀκριβῶς. οὐ γὰρ δήπου δεῖ τῶν ἔξωθεν παραδειγμάτων ἐν τοῖς οὕτω γνωσθῆναι δυναμένοις. εἰ δ' ἄρα

neceſſario mordacitas. Verum mirer ſane, ſi quis tantum indat ſalis, ut oleoſam pinguemque ſubſtantiam exuperet: utque Archidamum ſcilicet referat, qui ait cutem aduri iis qui in oleo fricantur, quandoquidem et id ſaepenumero factum vidi, quum aliorum nonnullorum gratia tum podagrae et arthritidis; fricant enim quidam partes affectas trito in pauculo oleo ſale multo, idque per intermiſſiones haudquaquam in paroxyſmis, tum ut ſuperfluum omne exiccent, atque diſcutiant, tum ut partibus infirmis bonam comparent habitudinem ac robur. Atque in hoc quidem ſal exuperat, in oleo vero ſuperatur, potiusque eorum quae in oleo rigata ſunt facienda comparatio eſt quam quae in eo decocta, utpote qui hominem ferventi nequaquam oleo decocturi ſumus, verum temperato uncturi. Praeſtat enim, id quod aliquoties ſupra monuimus, ipſum rei eventum ſenſu perceptibilem et exacte manifeſtum inſpicere, neque enim ſane extrinſecus quaeſitis opus exemplis eſt, in rebus nimirum quae tam clare cognoſci poſſunt. Quin ſi quando forte

ποτὲ καὶ ἄδηλον εἴη τὸ ζητούμενον, ὡς τῆς ἐξ ἑτέρων δεῖσθαι πίστεως, οὐδ᾽ οὖν οὐδ᾽ ἐνταῦθα πορῥώτατά τε καὶ ἀνομοιότατα τίθεσθαι μαρτύρια τῆς τοῦ ζητουμένου δυνάμεως, ὑπερβαίνοντας τὸ πλησιάζον. ἐναργὲς δήπου καὶ σαφὲς πᾶσίν ἐστιν ὡς ἡ μεθ᾽ ἐλαίου τρίψις ἀκοπωτέρα γε πολὺ τῆς ξηρᾶς ἐστιν καὶ μαλάττει τὰ σώματα, συνέχουσα καὶ ἀποστέγουσα μᾶλλον, ὅσον ἀποῤῥεῖν πέφυκεν ἡμῶν ἐκτὸς οὐ διαφοροῦσα καὶ ξηραίνουσα. τοῦτο δὲ καὶ ὁ Διοκλῆς αὐτὸς ὡμολόγησεν, ἐμπλαστικόν τε τῶν πόρων τοὔλαιον ἀποφηνάμενος εἶναι καὶ τῶν ἀποῤῥεόντων ἐφεκτικὸν καὶ βυρσῶν μαλακτικόν. εἰ δ᾽ οὐκ ἤρκει τὸ φαινόμενον αὐτῷ καὶ διὰ τοῦτο τῶν ἔξωθέν τι τεκμηρίων ἐπάγειν τῷ λόγῳ βέλτιον ἐνόμιζε, τῶν ἐν ἐλαίῳ ψυχρῷ διαβρεχομένων ἐχρῆν αὐτὸν μνημονεύειν, οὐ τῶν ἐν τῷ ζέοντι καθεψομένων.

Κεφ. ιθ'. [47] Ὥσπερ ἐν τοῖς τοιούτοις ὑπερβαίνει τὸ φαινόμενον, οὕτω κἀν τῷ φάσκειν ἀνώμαλον γίγνεσθαι τὴν ἐν ἐλαίῳ τρίψιν, ὀλισθανουσῶν τῶν χειρῶν. αὐτὸ γὰρ δὴ τοὐναντίον ἅπαντες ἐναργῶς αἰσθανόμεθα, τῆς μὲν δι

obfcurum fit quod quaeritur, adeo ut ex aliis fibi fidem pofcat, neque illic fane remotiffima diffimillimaque propinquis praeteritis, accerfenda funt quaerendae facultatis teftimonia. Sane evidens luceque clarius omnibus hominibus eft, quod frictio ex oleo magis quam ficca laffitudinem aufert, corporaque emollit, cohibens occludensque quicquid e nobis foras effluere eft natum, haudquaquam digerens et exiccans. Id ipfum et Diocles confeffus eft, ut qui oblinere poros oleum dixerit, quaeque effluunt cohibere, tum coria emollire. Quod fi rerum evidentia illi non fufficiebat, ac proinde extrinfecus adducere conjecturas potius illi vifum eft, ea quae in oleo frigido rigantur memorare, non quae in ferventi decoquuntur afferre debebat.

Cap. XIX. Quemadmodum in talibus rerum transgreffus eft evidentiam, ita illic quoque, dum ait inaequalem effe ex oleo frictionem, manibus videlicet lubrice labentibus. Nam contrarium omnes manifefto percipimus, nimirum

ἐλαίου τρίψεως ὁμαλοῦς γιγνομένης, ἀνωμάλου δὲ τῆς ξηρᾶς. συνεπάγονται γὰρ ἐν ταῖς ξηραῖς τρίψεσιν αἱ χεῖρες τὸ δέρμα καὶ οἷον διπλοῦσί τε καὶ ἐπιπτύσσουσιν ἐν αὐτῷ βεβαίως τε καὶ παρὰ φύσιν. εἶθ᾽ ὅταν μηκέτι τὸ πρότερον οἷον ἐνδίπλωμα παραπτομέναις ταῖς χερσὶν ἕπεσθαι δύνηται, τουτὶ μὲν ἀνατρέχει καὶ ἀνασπᾶται πρὸς τὸ συνεχὲς, αἱ χεῖρες δ᾽ ἀθρόως ἐφ᾽ ἕτερον τοῦ δέρματος μετέρχονται μόριον, ὑπερβαίνουσαι τὸ κάτωθεν μέρος τῆς ἐνδιπλώσεως καὶ διὰ τοῦτο καὶ σκληρᾶς καὶ ἀνωμάλου καὶ κοπώδους τῆς τοιαύτης τρίψεως αἰσθανόμεθα· σκηρᾶς μὲν, ὅτι τε τείνεται βιαίως καὶ θλᾶται τὸ δέρμα, διὰ δὲ τὰ αὐτὰ καὶ κοπώδους, ἀνωμάλου μὲν διότι μὴ παντὶ μορίῳ τοῦ δέρματος αἱ τρίβουσαι χεῖρες ἐπιπίπτουσιν, ἀλλ᾽ ὑπερβαίνουσιν ἀεὶ τὸ κάτωθεν μέρος τῆς ἐνδιπλώσεως. καὶ γίνεται τοῦτο διά τε τὰς φυσικὰς τοῦ δέρματος τραχύτητας, καὶ μάλιστα ἐν τοῖς παρηβῶσι σώμασιν, καὶ ὅτι χαλαρὸν ἐστι τοῖς ἄλλοις σχεδὸν ἅπασι, τοῖς τε ἰσχνοῖς καὶ πρεσβύταις μάλιστα. λεῖον μὲν γὰρ, εἴπερ ἦν ὅλον ὁμαλῶς τὸ δέρμα καὶ τεταμένον ἀκριβῶς, οὐκ ἂν ἐπεπτύσσετο

quum quae ex oleo fit frictio, aequalis exiftat, inaequalis vero ficca. Cutem enim in frictionibus ficcis manus coadducunt, ac velut duplicant violenterque ac praeter naturam complicant, dein ubi non amplius prior velut duplicatio labentes fequi manus poteft, ipfa quidem recurrit, atque ad continuum revellitur, manus vero femel ac uno impetu in alteram cutis partem tranfeunt inferiorem transgreffae duplicationis partem. Ac proinde inaequalem, duram, laboriofam talem fentimus frictionem. Duram quidem, quantum cutis violenter et tenditur et concutitur: eisdem de caufis et laboriofam, porro inaequalem, quandoquidem non in omnes cutis partes fricantes incidunt manus, verum infernam duplicationis partem perpetuo tranfiliunt, id quod fit tum ob naturales cutis afperitates, idque potiffimum in natu grandioribus, tum quod laxa eft cum aliis prope omnibus cutis, tum gracilibus maxime et fenibus. Quippe fi laevis aequabiliter tota et tenfa exacte cutis foret, haud fa-

ῥαδίως οὔτ' ἀνωμάλους εἰργάζετο τὰς τῶν χειρῶν ἐπ' αὐτοῦ φορὰς, ἀλλ' ἔθεον ἂν, οἶμαι, ῥαδίως εἰς τὸ πρόσθεν ἀπὸ τῶν πρώτων ἑτοίμως ὀλισθάνουσαι πρὸς ἕτερα, τῷ μηδὲν ἅμ' ἑαυταῖς συνεπάγεσθαι τοῦ δέρματος μόριον. ἐπεὶ δὲ χαλαρόν τέ ἐστιν καὶ τραχὺ, δεῖταί τινος ἔξωθεν φαρμάκου τάς τε ῥυτίδας ἀναπληρώσοντος αὐτοῦ καὶ τὸν ὄλισθον ταῖς τριβούσαις χερσὶν παρέξοντος, εἰς ταῦτα δὲ οὐδὲν ἂν εὕροις ἐπιτηδειότερον ἐλαίου. καὶ θαυμά(25)σειεν ἄν τις Ἀρχιδάμου, μήτε τὸ φαινόμενον ἐναργῶς αἰδεσθέντος μήτε τὸν ἐπ' αὐτῷ λόγον ἐξευρόντος, ἀλλ' ἐν ἀμφοτέροις ἀποφηναμένου τἀναντία. φαίνεται γὰρ ἀνώμαλος μὲν ἡ ξηρὰ τρίψις, ὁμαλὴ δὲ ἡ σὺν τῷ ἐλαίῳ, μαρτυρεῖ τε τούτοις ὁ λόγος οὐχ ἥκιστα τὴν αἰτίαν ἐξηγούμενος.

Κεφ. κ'. Ἀλλὰ περὶ μὲν Ἀρχιδάμου τε καὶ Διοκλέους ἅλις εἴς γε τὰ παρόντα. βούλομαι γὰρ, ἐπειδή περ ἅπαξ ἐπὶ τὸ δεικνύναι τὴν μοχθηρὰν ὁδὸν τῆς τῶν δυνάμεων εὑρέσεως ἧκον ἐλαίῳ παραδείγματι χρώμενος ἐπεξελθεῖν τάχιστα τὸν λόγον ἅπαντα. λεγόντων οὖν τῶν φιλοσόφων θερμὸν εἶναι

tile plicari poffet, nec inaequales in fe manuum efficere decurfus, verum facile, reor, antrorfum percurrerent a primis ad reliqua prompte delabentes, nimirum quum nullam fecum cutis partem ducerent. Atqui quum laxa fit et afpera, externo quopiam medicamento indiget, quod et rugas ejus impleat et fricantibus manibus lubricitatem praebeat, quas ad res oleo nihil aptius invenias. Mirerisque profecto Archidamum, qui nec rei fit veritus evidentiam, nec quae ejus fit caufa invenerit, fed in utrisque pronunciarit contraria, quippe quum inaequalis ficca appareat frictio, aequalis vero quae adminiftratur cum oleo: nec minime ea teftimonio fuo adftruit ratio quae caufam exponit.

Cap. XX. Verum de Archidamo et Diocle fatis in praefentia. Volo enim, quandoquidem femel aggreffus fum pravam facultatis inveniendae viam oftendere, oleo pro exemplo ufus, omnem celerrime orationem abfolvere. Igitur quum veteres philofophi calidum effe oleum afleverant;

τοὔλαιον καὶ τεκμήριον τούτου τιθεμένων οὐ σμικρὸν, ὡς οἴονται, τὸ τάχος τῆς εἰς τὴν φλόγα μεταβολῆς ἀντιλέγοντες ἔνιοι τουτὶ μὲν ὑπάρχειν αὐτῷ φασιν, ὅτι λεπτόν τ᾽ ἐστὶ καὶ ἀερῶδες. ἐκ δὲ τοῦ πήγνυσθαι ταχέως ἐν τῷ χειμῶνι σαφῶς ἐνδείκνυσθαι τὴν ψύξιν. οὐ μόνον γὰρ οἴνου καὶ ὄξους, ἀλλὰ καὶ αὐτοῦ τοῦ ὕδατος ἑτοιμότερον ὑπὸ τοῦ ψυχροῦ νικᾶσθαι. πρὸς ταῦτα δὲ ἀντιλέγοντες ἕτεροι, τὸ μὲν ἀερῶδες ὑπάρχειν αὐτὸ συγχωροῦσιν καὶ φαίνεσθαί γε σαφῶς τοῦτό φασιν ἐκ τῆς κουφότητος, οὐ μὴν καὶ ψυχρόν γε εἶναι τὴν δύναμιν ὁμολογοῦσιν. [48] ἀέρα γὰρ ἅπαντα θερμὸν ὑπάρχειν τὴν φύσιν, ὡς δηλοῖ καὶ ἡ γένεσις αὐτοῦ. λεπτυνθὲν οὖν καὶ λυθὲν ὑπὸ θερμότητος ὕδωρ, ἀέρα γίγνεσθαι. καὶ δῆλον ὡς ἐντεῦθεν αὐτοὺς διαδέχεται μέγιστον ζήτημα, τὸ καὶ τοῖς ἐνδοξοτάτοις φιλοσόφοις ἠμφισβητημένον, Ἀριστοτέλους μὲν καὶ τῶν ὑπ᾽ αὐτοῦ θερμὸν ὑπολαμβανόντων εἶναι τὸν ἀέρα, τῶν δ᾽ ἀπὸ τῆς στοᾶς ψυχρόν. ἀλλὰ καὶ περὶ τοῦ πήγνυσθαι ταχὺ τὸ ἔλαιον, ὅπερ ἐδόκει τοῖς ψυχρὸν ἀποφαίνουσιν αὐτὸ τὸ μὴ σφοδρῶς πήγνυσθαι, καθάπερ τὸ ὕδωρ,

non parvo, ut putant, argumento, quod celeriter fcilicet in flammam vertatur, contradicentes quidam id illi accidere ajunt, quoniam tenue eft et aëreum: caeterum frigiditatem ejus inde adeo monftrari, quod hieme ocifiime concrefcat, nec enim vino folum acetoque, fed etiam aqua ipfa promptius a frigore devinci. Ad ea rurfus objicientes alii, quod aëreum quidem fit non negant, idque ex levitate perfpicuo apparere dicunt: non tamen frigidum effe fatentur, quippe quum aër omnis fit natura calidus, uti generatio quoque ejus indicio eft, nimirum extenuata folutaque calore aqua aër efficiatur. Conftatque jam inde maximam eos ingredi quaeftionem clariffimis philofophis dubitatam. Siquidem Ariftoteles quique eum fectantur calidum effe aëra exiftimant, at Stoici frigidum. Porro ad celerem olei congelationem, quod vifum eft illis qui frigidum ipfum afferunt, hi qui calidum contra contendunt, non tam valide concrefcere, ut aquam, contra opponunt; neque enim con-

ἀντιπροτείνουσιν οἱ θερμὸν ὑπάρχειν αὐτὸ φάσκοντες. οὐδὲ γὰρ οὐδὲ πῆξιν εἶναι τὸ γινόμενον ἐπ᾽ αὐτοῦ φασιν, ἂν ἀκριβῶς ἐξετάζωμεν, ἀλλ᾽ οἷον σύστασίν τινα καὶ πάχυνσιν, καὶ γίγνεσθαι τοῦτο λέγουσιν, ὅτι παχὺ καὶ γλίσχρον ἐστὶν, οὐχ ὅτι ψυχρὸν, ὥστε κἀνταῦθα πάλιν ὁ λόγος ἑκατέρωθεν εἰς ἀπορίαν ἀφικνεῖται, τῶν μὲν ἐκ τοῦ θᾶττον ὕδατος ὑπὸ τῆς ψύξεως νικᾶσθαι τοὔλαιον, τῶν δ᾽ ἐκ τοῦ μᾶλλον ὕδωρ ἐλαίου πήγνυσθαι κατασκευαζόντων τἀναντία· πρὸς τῷ τοίνυν ἐν τούτοις ἀμφισβητεῖν οὐδ᾽ ὡς ἀερῶδές ἐστιν ὁμολογοῦσιν ἅπαντες. ἡ μὲν γὰρ κουφότης τούτου, φασὶ, σύμβολον, ἡ μέντοι παχύτης οὐ σμικρὸν τεκμήριον τοῦ γεῶδες ὑπάρχειν αὐτό. συνθέντες δ᾽ ἄμφω τινὲς ἀερῶδές τε ἅμα καὶ γεῶδες εἶναί φασιν. εἰσὶ δ᾽ οἳ καταγελῶσι τούτων, ὡς τὸ μάλιστα ὑπάρχον ἐλαίῳ, τὴν ὑγρότητα τελέως ἀφαιρουμένων τῷ λόγῳ. πρὸς τοίνυν τούτοις ἐκ τοῦ γλίσχρον ὑπάρχειν αὐτὸ τινὲς μὲν ψυχρὸν ἐπιδεικνύουσιν, τινὲς δὲ θερμὸν, καὶ τινὲς μὲν ξηρὸν, ἔνιοι δ᾽ ὑγρόν. εἰ μὴ γὰρ συνῆκτο καὶ πεπύκνωτο τὰ μόρια καὶ ἀλλήλων ἀκριβῶς εἴχετο, μὴ ἂν γενέσθαι γλί-

gelationem in eo eſſe ajunt, ſi quis recte expendat, ſed velut conſiſtentiam et incraſſationem, hocque fieri ajunt, quia craſſum eſt et viſcoſum, non quia frigidum. Itaque rurſum utrinque in ambiguum oratio perducitur; illis quidem ex eo quod celerius a frigore vincatur oleum quam aqua: his vero ex eo quod aqua oleo plus congeletur, contraria aſtruentibus. Ad hoc itaque quod de his addubitent, neque quod aëreum ſit omnibus confeſſum eſt. Etenim levitas quidem, inquiunt, hujus indicium foret: at craſſities non parvam adfert conjecturam ipſum eſſe terreum. Porro quidem ambo componentes, aëreum ſimul et terreum conſtituunt. Sunt qui hos deridentes, id quod praecipue oleo ineſt, nempe humiditatem, adimere perfecte ipſos oratione dicant. Ad haec nonnulli ex eo quod viſcoſum ſit, frigidum eſſe contendunt, alii vero calidum, nonnulli ſiccum, poſtremo quidam etiam humidum. Etenim niſi contractae compactaeque partes ejus forent et invicem exacte adhaererent,

οχρον, ἔργα δ' εἶναι ταῦτα σύμπαντα ψυχροῦ. διαχεῖν γὰρ καὶ λύειν καὶ λεπτύνειν καὶ ἀπ' ἀλλήλων χωρίζειν τὰ μόρια τὴν τοῦ θερμοῦ φύσιν. οἱ δ' αὖ τοὐναντίον οὐδ' ἂν γενέσθαι τι γλίσχρον φασὶν ἄνευ θερμότητος κρατούσης, ὡς κἀν ταῖς ἑψήσεσι δηλοῦσθαι τῶν χυλῶν ἁπάντων, ὅσοι τε βοτανῶν ἐκθλίβονται καὶ ὅσοι καρπῶν. ὑδατώδεις γὰρ ὄντας τὰ πρῶτα καὶ λεπτοὺς ταῖς συστάσεσιν καὶ διαῤῥέοντας, ἐπειδὰν ἑψηθῶσιν, παχεῖς καὶ γλίσχρους γίνεσθαι. καὶ μὲν δὴ κἀκ τῶν κατὰ μέρος παραδειγμάτων ἑκάτεροι τἀναντία πιθανῶς κατασκευάζουσιν, οἱ μὲν ἰξὸν καὶ μέλι καὶ πίτταν ὑγρὰν καὶ ῥητίνην, ἕτερά τε τοιαῦτα τῶν ὁμολογουμένων γλίσχρων τε ἅμα καὶ θερμῶν προτείνοντες. οἱ δὲ κωνείου καὶ ψυλλίου καὶ ἀνδράφαξυος καὶ βλίτου χυλοῦ μνημονεύοντες, ἔτι δὲ πρὸς τούτοις οἷον κολοφῶνά τινα τῷ λόγῳ τὸ φλέγμα προχειριζόμενοι· σαφῶς γὰρ αὐτοῖς τοῦτο καὶ γλίσχρον εἶναι δοκεῖ καὶ ψυχρόν. ἀλλὰ κἀκ τοῦ τοῖς φλεβοτομουμένοις ἐπισταζόμενον ἔλαιον εὔρουν ἐργάζεσθαι τὸ αἷμα τἀναντία κατασκευάζοντάς ἐστιν ἰδεῖν ἑκατέρους. οἱ μὲν γὰρ ὡς τῇ θερμότητι χέον, οἱ δ' ὡς

viscosum haud fore, atqui illos omnes frigiditatis esse affectus, nam fundere, extenuare, solvere, partes a se invicem separare, esse calidi naturam. At alii contra viscosum nihil fieri pronunciant citra calidi victoriam, veluti in succorum omnium patet decoctione, tum eorum qui ex herbis exprimuntur, tum qui ex fructibus, quippe qui quum aquei principio sint, ac consistentia tenui liquidaque, ubi decocti fuerint, crassi viscosique evadant. Quin et ex particularibus utrique exemplis contraria probabiliter astruunt. Alii viscum, mel, picem liquidam, resinam et alia id genus quae viscosa fatemur et calida proponentes. Alii cicutae, psyllii, atriplicis blitique succum memorantes, et ad haec veluti colophonem quendam orationi pituitam proferentes, liquido enim ipsis ea et viscosa esse et frigida videtur. Quin ex eo quod quibus venae sectione sanguis detrahitur, oleum instillatum fluidum reddat sanguinem, utrosque contraria astruere videre est. Alii enim tanquam calore fundens,

τῇ ψυχρότητι τὸν ὄλισθον παρέχον, ὁμοίως κρυστάλλῳ τὴν εὔροιαν ἐργάζεσθαί φασιν αὐτό. κἄπειτ᾽ ἐντεῦθεν ἐκτραπόμενοι περὶ τῆς τῶν ὀλισθηρῶν ἁπάντων φύσεως διαλέγονται, μέχρι τῆς ἐσχάτης φιλολογίας ἀνιόντες τῷ λόγῳ. καταγνώσκοντες δὲ τῆς τούτων ἄλης, ὥς φασιν, ἕτεροι τὴν πιμελὴν τῷ λόγῳ προχειρίζονται, πλησιαίτατα μὲν ἐλαίῳ τὴν φύσιν ὑπάρχουσαν, ἐναργῶς δ᾽ εὑρεθῆναι δυναμένην ὁποία τίς ἐστι τὴν κρᾶσιν, ἐν αὐτοῖς γὰρ ἡμῖν συνισταμένην οὐκ ἂν δύνασθαι λαθεῖν. αὐτίκα γέ τοί φασιν ἐν τοῖς ὑγιεινοῖς καὶ εὐτραφέσι σώμασιν γεννᾶσθαι πιμελὴν πολλὴν, ἃ μηδὲ μανέντα τινὰ φάναι ψυχρά. γίνεσθαι γὰρ τοιαῦτα τῆς φύσεως ἐῤῥωμένης, ἣν δὴ θερμόν τι χρῆμα πάντες ὡμολογήκασιν οἱ φυσικοὶ φιλόσοφοι. τούτοις δ᾽ ἀντιλέγοντές τινες ἐν ψυχροτέραις κράσεσι γεννᾶσθαι πιμελήν φασιν, ὡς δηλοῦν τάς τε γυναῖκας καὶ τοὺς ἀργῶς διαιτωμένους. [49] ἤδη δὲ καὶ τῶν ἐθνῶν, ἔνθα μὲν τὸ ψυχρὸν κρατεῖ, πιμελώδεις, ἔνθα δὲ τὸ θερμὸν, ἰσχνούς φασι γίνεσθαι τοὺς ἀνθρώπους καὶ προχειρίζονται παράδειγμα τῷ λόγῳ, Κελτοὺς μὲν καὶ Θρᾶκας καὶ

alii vero tanquam frigore lubricitatem praebens, non fecus ac glacie fluxibilitatem ipfum facere afferunt. Atque inde alio verfi de lubricorum omnium natura difceptant, ad extremam ufque garrulitatem orationem promoventes. Condemnantes autem horum errorem, ut ajunt, alii pinguedinem proponunt, quae proxime olei naturam accedit et evidenter deprehendi poteft cujus fit temperamenti, quippe quae in nobismetipfis confiftat, nec fallere nos queat. Nam in fanis, inquiunt, et bene curatis corporibus multa provenit pinguedo, quae ne infanus quidem frigida dixerit; talia enim fieri robufta natura, quam omnes naturales philofophi calidam effe rem confitentur. Sed his e diverfo quidam in frigidis temperamentis pinguedinem provenire ajunt, velut foeminae indicant, quique ociofam vitam tranfigunt. Jam vero et inter gentes ubi frigus quidem fuperat, pingues; ubi vero calor, graciles provenire homines afferunt, proferuntque exempla, Celtas, Thraces, Bithynos, Ponticos, Galatas,

Βιθυνοὺς καὶ Ποντικοὺς καὶ Γαλάτας, ἅμα μὲν ψυχρᾶς χώρας οἰκήτορας, εὐθὺς δὲ καὶ πιμελώδεις τοὔμπαλιν· Ἄραβας δὲ καὶ Λίβυας Αἰγυπτίους τε καὶ Αἰθίοπας, ὅσοι τ᾽ ἄλλοι θερμὴν ἐποικοῦσι γῆν ἰσχνοὺς καὶ ξηροὺς ἅπαντας. εἰσὶ δ᾽ οἳ καὶ χωρὶς κατὰ μέρος παραδειγμάτων αὐτῷ τῷ καθόλου λόγῳ πρὸς ἀλλήλους ἀμφισβητοῦσιν, οἱ μὲν μηδ᾽ ἂν γενέσθαι τὸν λιπαρὸν ἐν ἡμῖν χυμὸν, εἰ μὴ καλῶς ὑπὸ τῆς φύσεως αἱ τροφαὶ κατεργασθεῖεν, οἱ δὲ τοῦτον μὲν ἐν ταῖς τροφαῖς περιέχεσθαι, καταναλίσκεσθαι δ᾽ ὑπὸ τῆς ἐν ἡμῖν θερμασίας, ὥσπερ τοὔλαιον ὑπὸ τῆς φλογὸς, ἧς ἀῤῥώστου γινομένης ἀθροίζεσθαι κατὰ τὸ σῶμα. τινὲς δὲ αὐτῶν καὶ τὰ ζῶα παρατίθενται τῷ λόγῳ, τὰ μὲν φύσει ψυχρότερα πιμελωδέστερα πάντα ὑπάρχοντα, καθάπερ ἄρκτοι καὶ οἶες καὶ σύες, τὰ δ᾽ αὖ θερμότερα ξηρότερα καὶ απίμελα, καθάπερ λέοντές τε καὶ παρδάλεις καὶ κύνες. ἔτι τοίνυν ἀπὸ τοῦ διαφθείρεσθαι βρεχομένας ἐλαίῳ μελίττας τε καὶ μυίας καὶ σφῆκας καὶ μύρμηκας, οἱ μὲν ψυχρὸν, οἱ δὲ θερμὸν ἐπιδεικνύναι πειρῶνται τοὔλαιον, καὶ τινὲς μὲν ὑγρὸν, τινὲς δὲ ξηρόν. ἄναιμα γὰρ ὄντα τὰ εἰρημένα ζῶα καὶ διὰ τοῦτο ψυ-

ficut frigidae regionis incolas, ita quoque in universum pingues; Arabes vero, Libyos, Aegyptios, Aethiopes, quique terram inhabitant calidam, graciles et aridos omnes. Nonnulli vero citra particularia exempla universali inter sese ratione contendunt, partim pinguem in nobis succum provenire non posse, nisi probe a natura cibi conficiantur asserentes, partim in cibis quidem contineri consitentes, a nostro tamen calore consumi velut a flamma oleum, qui ubi infirmior est redditus, in corpore acervari. Sunt qui animantia quoque in medium afferant, ut quae natura frigidiora sunt, pinguiora omnia reperiantur, ut ursi, oves, sues; quae calidiora itidem et ficciora gracilioraque et pinguitudine vacantia, ut leones, pardales, canes. Praeterea inde adeo, quod madefactae oleo apes, muscae, vespae, formicaeque intercant, alii quidem calidum, alii frigidum comprobare ipsum tentant, ac rursum alii humidum atque alii siccum. Etenim quum jam dictae animantes exangues sint, ac proinde fri-

Ed. Chart. XIII. [49.] Ed. Baf. II. (25. 26)

χρᾶ, τινὲς μὲν ἑτοίμως ὑπὸ ἐλαίου καταψύχεσθαί φασιν καὶ διὰ ταῦτ᾽ ἀποθνήσκειν· ἔνιοι δ᾽ ἐκθερμαινόμενα μὴ φέρειν τὴν εἰς τοὐναντίον μεταβολήν. καὶ δὴ καὶ ξηραινόμενα ἀμέτρως ἕτεροι διὰ τὸ φύσει προεξηράνθαι τῷ τῆς ἀμετρίας βλάπτεσθαι λόγῳ. ὑγραινόμενα δ᾽ ἕτεροι τῇ πρὸς τὴν φύσιν αὐτῶν ἐναντιότητι. τὸ μὲν οὖν ἐπὶ τῶν ἐντόμων ζώων εἰς τοὐναντίον ἀλλήλοις ἐπιχειρεῖν αὐτοὺς, οὐδὲν ἂν ἴσως εἶναι θαυμαστόν· ὅτι δὲ κἀκ τῶν ἡμῖν αὐτοῖς συμβαινόντων εἰς ἑκάτερον (26) ἐπιχειροῦσιν, ἄξιον ἤδη θαυμάζειν. οἱ μὲν γὰρ μᾶλλον, οἱ δ᾽ ἧττον ἱδροῦν φάσκοντες, εἴ τις ἀλείφαιτο λουόμενος, οὔθ᾽ οἱ μᾶλλον εἰπόντες ὁμολογοῦσιν ἀλλήλοις ὑπὲρ τῆς καθόλου δυνάμεως οὔθ᾽ οἱ ἧττον. ἀλλὰ τῶν μὲν μᾶλλον ἱδροῦν φασκόντων ἡμᾶς ἔνιοι μὲν εἰς θερμότητα τὴν αἰτίαν ἀναφέρουσιν, ἔνιοι δ᾽ εἰς γλισχρότητα, τὸ μὲν θερμὸν τῇ φύσει προκλητικὸν ἱδρώτων φάσκοντες ὑπάρχειν οἱ πρότεροι, τὸ δὲ γλίσχρον οἱ δεύτεροι, θηρατικόν τε καὶ ἀθροιστικὸν γιγνόμενον τῶν τέως ἀποῤῥεόντων ἐν τάχει καὶ διὰ τοῦτο λανθανόντων τὴν αἴσθησιν, ἐπίδηλον οὕτως ἐργάζεσθαι τὸ

gidae, quidam eas celeriter refrigerari ajunt atque ita mori, quidam contra, dum excalefiunt, haud posse in contrarium mutationem perferre. Quin et quod immoderate exiccantur, alii, quippe quum natura jam antea exiccata sint, immoderationis ratione offendi: alii vero quod humectentur, idque naturae contrarietate. Atque quod in insectis animantibus contraria invicem colligant, mirum fortassis videri non debet: sed quod ex iis quae nobismetipsis accidunt in utramque partem differunt, id vero admiratione dignum est. Quippe aliis plus, aliis minus sudare nos inquiunt, si quis in balneo ungatur. Nec tamen hi qui plus asserunt de facultate ejus universali inter sese conveniunt, neque hi qui minus. Verum ex iis qui plus nos sudare asserunt, quidam calori acceptum referunt, quidam vero viscositati, priores quidem calidum sudores provocare natum dicentes, viscosum vero alteri: quippe venandi et acervandi eorum, quae hactenus celeriter desluebant, proindeque sensum fallebant,

Ed. Chart. XIII. [49. 50.] Ed. Baſ. II. (26.)

πλῆθος τῶν ἱδρώτων. οἱ δ' ἧττον ἱδροῦν φάσκοντες τοὺς ἀλειψαμένους ἐν λουτροῖς καὶ γυμνασίοις οἱ μὲν ἐμπλαστικὴν, οἱ δὲ ψυκτικὴν αὐτῷ δύναμιν ἀνατιθέασιν. καὶ μὲν δὴ κἀκ τῶν φαινομένων οἱ μὲν ξηραίνειν, οἱ δ' ὑγραίνειν αὐτό φασιν· ὑγραίνειν μὲν ὅσοι πλέον ἱδροῦν ὑπολαμβάνουσι τοὺς ἠλειμμένους, ξηραίνειν δὲ καὶ ἕτεροι. καὶ δὴ καὶ ἀπεριψύκτους διαφυλάττειν τοὺς ἀλειψαμένους, οἱ μὲν τῷ πάχει τε καὶ τῇ γλισχρότητι δίκην ἀμφιέσματός τινος ἢ προβλήματος εἶργον τὸ κρύος, οἱ δὲ τῇ φυσικῇ θερμότητι καὶ τὰ πλησιάζοντα συνεκθερμαῖνον. ἔτι τοίνυν ἐκ τοῦ μὴ βλάπτειν μηδ' ἐξαλείφειν αὐτὸ τὰ διὰ τοῦ μέλανος ἐν τοῖς βιβλίοις γραφόμενα, καίτοι τῶν γε ἄλλων ὑγρῶν ἁπάντων ἐξαλειφόντων, οἱ μὲν ξηράν τε καὶ οἷον ἄνικμον αὐτοῦ τὴν φύσιν εἶναί φασιν, ὁμοίως ψάμμῳ τε καὶ σποδιᾷ, τινὲς δὲ καὶ παχυμερέστερον καὶ ἀκατέργαστον. οὕτω δὲ καὶ τὸ μὴ μίγνυσθαι τοῖς ἄλλοις οἱ μὲν εἰς κουφότητα καὶ λεπτομέρειαν, οἱ δὲ εἰς γλισχρότητα καὶ πάχος ἀναφέρουσιν, ἐπεὶ τοῖς γε ὁμοίως χυλοῖς μίγνυσθαι, καθάπερ καὶ τῷ τῆς μαλάχης ἀφεψήματι. [50] τὰ δ' αὐτὰ καὶ

facultatem obtinens, manifeſtam ita ſudorum copiam efficere. Porro qui minus ſudare volunt eos qui aut in balneis, aut exercitiis unguntur, alii quidem illinendi facultatem, alii vero refrigerandi vim illi attribuunt. Quin etiam ex apparentibus alii reſiccare, alii humectare ipſum dicunt: humectare quidem, quotquot plus ſudare inunctos cenſent, reſiccare vero alii. Quin imo et quod a frigore tueatur inunctos, aliis quidem craſſitie viſcoſitateque inſtar veſtimenti aut munimenti frigus arcere, alii vero per calorem naturalem contracta concalefacere referunt. Porro etiam ex eo quod quae in libris de atramento conſcripta ſunt, nihil vitiet aut deleat, haud aliter quam arena cinisque, quum reliqua liquida omnia deleant, quidam ſiccam et velut exuccam ejus naturam adſtruunt, quidam vero partium craſſiorum ac minus elaboratarum. Sic et quod aliis non commiſceatur, hoc alii quidem levitati partiumque tenuitati, alii vero craſſitudini viſcoſitatique adſcribunt, quum ſuccis ſui ſimilibus miſceatur, ut malvae decocto. Eadem aſſerunt

περὶ τοῦ μὴ καλῶς ἐλαίῳ δεύεσθαι τὴν γῆν, καίτοι τοῖς ἄλλοις ὑγροῖς βρεχομένην, οἷον ὕδατι καὶ οἴνῳ καὶ ὄξει. τινὲς μὲν κἀνταῦθα τὸ ξηρὸν τῆς οὐσίας, ἔνιοι δὲ τὸ λεπτομερὲς, εἰσὶ δ᾽ οἳ τὸ παχυμερὲς αἰτιῶνται, διεξέρχεσθαι μὲν τοὺς πόρους τῆς γῆς ἀψαυστὶ φάσκοντες οἱ τὴν λεπτομέρειαν αἰτιώμενοι, τὴν ἀρχὴν δὲ μηδ᾽ ἐμπίπτειν εἰς αὐτοὺς οἱ τὴν παχυμέρειαν. ἔστι δ᾽ οὐδετέρους ἐλέγξαι, κατ᾽ ἀμφοτέρας τὰς αἰτίας δυναμένων τινῶν καὶ μὴ μίγνυσθαι τοῖς πέλας, εἴ γε καὶ τῶν φυσικῶν ἐνίοις ἡ συμμετρία τῶν πόρων αἰτία τῆς μίξεως εἶναι δοκεῖ. κἀγὼ μὲν νῦν ἐπὶ κεφαλαίων αὐτὰ διέρχομαι, τὰς ἀφορμὰς τῶν ἐπιχειρημάτων ἀναμιμνήσκων μόνας. εἰ δέ τις ἐκτείνειν ἕκαστον ἐθέλοι καὶ κατασκευάζειν ἑκατέρωθεν, οὐ μίαν οὕτω γε βίβλον, ἀλλὰ παμπόλλας ἂν οἶμαι πληρώσειν αὐτόν. πάρεστι δὲ ἤδη σκοπεῖν ὡς οὐ μακρὰ μόνον ἡ τοιαύτη πλάνη τῶν λόγων, ἀνεκτὸν γὰρ ἂν ἦν, ἀλλὰ καὶ μέχρι τῆς ἄκρας ἀνερχομένη φυσιολογίας, ἐνίοτε δὲ καὶ δύσκριτον. εἰ δ᾽ ὅτι καὶ παν-

et de hoc, quod terra non probe oleo irrigetur, tametfi aliis liquoribus madefcat, ut vino, aqua, aceto. Ac nonnulli quidem hic effentiae caufantur ficcitatem, alii tenuitatem, funt qui craffitiem. Etenim qui tenuitatem pro caufa afferunt, intactos tranfire meatus ajunt: at qui craffitiem, omnino ne ingredi quidem illos afferunt. Neutros vero arguere queas, quum utraque de caufa quaedam ne propinquis commifceantur prohiberi poffint: fiquidem phyficorum nonnullis meatuum commoderatio mixtionis effe caufa videtur. Atque ego nunc fane illa in fumma tantum relatis folis ratiocinationum occafionibus commemoro. Quod fi quis figillatim unumquodque extendere velit, atque hinc inde in utramque partem differere, non unum ille volumen, fed etiam complura meo judicio explebit. Licet enim vel jam nunc profpicere, quod non longus folum orationis hic evafurus fit error, tolerari enim poffet, verum quod fummam etiam interim attinget phyfiologiam, quandoque vero et difficilis qui difcernatur. Porro fi cui etiam conftaret omnino inuti-

Ed. Chart. XIII. [50.] Ed. Baf. II. (26.)

τάπασιν ἄχρηστος ἰατροῖς εἰδείη τις, ἔτι καὶ μᾶλλον, οἶμαι, φεύξεται τὴν τοιαύτην ὁδὸν τῶν λόγων. οὔτε γὰρ ἁπλῶς εἰ θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρόν ἐστιν ἕκαστον τῶν φαρμάκων ζητοῦμεν οὔτ᾽ εἰ μυρμήκων, ἢ σφηκῶν, ἢ μελιττῶν, ἢ τινος ἄλλου τῶν ζώων ὑγραντικὸν, ἢ ξηραντικὸν, ἢ θερμαντικὸν, ἢ ψυκτικόν ἐστιν, ἀλλ᾽ ὅπως ἔχει πρὸς ἀνθρώπινον σῶμα. παρὸν οὖν ἐπ᾽ ἀνθρώπων ποιεῖσθαι τὴν βάσανον, οὐ καλῶς ἐκτρέπονται πρὸς ἕτερα.

Κεφ. κα΄. Βάσανος δ᾽ ὀρθὴ πρῶτον μὲν ἡ ἐπὶ τῶν εὐκράτων σωμάτων, ἐφεξῆς δ᾽ ἡ ἐπὶ τῶν δυσκράτων, εἶθ᾽, ὡς εἴρηται πολλάκις ἡμῖν καὶ πρόσθεν, ἡ ἐπὶ τῶν θερμῶν καὶ ψυχρῶν καὶ ξηρῶν καὶ ὑγρῶν νοσημάτων. ἐν οἷς προσέχειν τὸν νοῦν ἠξιοῦμεν καὶ ὡς διορίζεσθαι τὸ καθ᾽ ἑαυτό τι δρῶν τοῦ κατὰ συμβεβηκός. ἔσεσθαι δὲ τοῦτο πρῶτον μὲν, εἰ ἁπλοῖς ὡς ἔνι μάλιστα προσφέροιτο πάθεσιν, δεύτερον δὲ εἰ εὐθὺς τοῦτο ἐξ ἀρχῆς αἰσθητῶς ἐμφαίνοι τὴν ἑαυτοῦ δύναμιν, ἢ μετὰ χρόνον, ἢ καὶ τελέως ἀρθὲν, ὥσπερ τὸ τῆς θερ-

lem esse medicis, longe etiam magis eam rationum viam, arbitror, effugeret. Non enim absolute an calidum, frigidum, humidum, ficcumve unumquodque medicamentorum fit inquirimus: neque an formicas, apes, vespas, aut aliud animalium humectare valeat aut reficcare, calefacere, aut frigefacere, fed quomodo ad corpus fe habeat humanum. Quum liceat igitur in hominibus ipfis experimentum capere, non recte ad alia convertuntur.

Cap. XXI. At recta experiundi ratio in primis quidem ea est quae in corporibus habetur temperatis, deinde ea quae in intemperatis, mox ut faepenumero antea monuimus, quae in calidis, frigidis, humidis ac ficcis morbis. Ubi animum advertere juffimus, ut quod per fefe quid ageret ab eo quod ex accidenti diftingueretur. Id quod futurum eft primum quidem fi quam fieri poteft fimplicibus affectibus admoveas; deinde fi an protinus ab initio quod fenfu poffit percipi, fuam vim exerat confideres, an poft temporis aliquantum, aut denique ubi ablatum fuerit, velut aqua frigida,

μασίας ἐπανάκλησιν ἐργαζόμενον ὕδωρ ψυχρὸν, ἔτι τε πρὸς τούτοις ἄμικτον ἑτέρας ποιότητος, εἰς ὅσον οἷόν τε δυνατὸν ἐργάσασθαι τὸ τοιοῦτον. πῶς μὲν οὖν ἄν τις ἔλαιον ἐργάζηται τοιοῦτον λέλεκται καὶ πρόσθεν· πῶς δ᾽ ἄν τις ἁπλῷ νοσήματι προσφέροι, νῦν εἰρήσεται, τοσοῦτον ἀναμνησάντων ἡμῶν πρότερον, ὡς ἐν ταῖς τῶν νοσημάτων διαφοραῖς ἐδείκνυτο, τινὰ μὲν ἐπὶ τὸ θερμότερον ἐκτετράφθαι σώματα χωρὶς κακοχυμίας τινὸς ἢ στήθους ἢ σπλάγχνου φλεγμονῆς, ὥσπερ ἐν ταῖς σφοδραῖς ἐγκαύσεσιν εἴωθεν γίγνεσθαι, τινὰ δὲ ἐπὶ τὸ ψυχρότερον, ὡς ἐν τοῖς καλουμένοις ἤδη συνήθως ὑπὸ πάντων ἀνθρώπων ψυγμοῖς. ἐν δὴ ταῖς τοιαύταις διαθέσεσιν ἔλαιον προσφέρων ἐξευρήσεις ἐναργῶς εἴτε θερμαίνειν ἡμᾶς πέφυκεν εἴτε καὶ ψύχειν. ἔστω δὲ δηλονότι πάσης ἐπικτήτου ποιότητος ἰσχυρᾶς ἀπηλλαγμένον. ἀεὶ γὰρ ἐπὶ παντὸς φαρμάκου μεμνῆσθαι χρὴ τούτου. τὸ μὲν κεφάλαιον τοῦ λόγου τουτί· τὸ δ᾽ ἔργον αὐτὸ τὸ γιγνόμενον ἡ πεῖρα δείκνυσιν. οἱ μὲν ἐγκεκαυμένοι πρὸς τὸ μὴ παύεσθαι τῆς θέρμης ἔτι καὶ ἀσωδέστεροι γίγνονται καὶ τοῦ χρόνου προϊόντος θερμότεροι.

quae caloris efficit revocationem, ad haec alienae qualitatis mixturae expers ut ſit danda quam maxime opera eſt. Quomodo ergo oleum quis tale efficiat ſupra poſitum eſt: verum quomodo ſimplici morbo applicari queat, nunc dicemus, id modo prius commemorantes quod in morborum differentiis oſtenſum eſt, corpora quaedam ad calidius verſa videri citra aut cacochymiam quandam, aut pectoris viſcerisve inflammationem, velut in ingentibus exuſtionibus evenire ſolet. Quaedam vero ad frigidius, ut in vocatis jam paſſim conſueto nomine perfrictionibus. In talibus utique affectionibus ſi oleum adhibeas, manifeſto comperies refrigerare nos an calefacere ſit natum. Sed illud tamen conſtet, ut omni perprorſum aliena vacet qualitate vehementi; id enim perpetuo in omni medicamento memoria tenere oportet. Atque haec quidem ſumma eſt rationis. At opus ipſum quod perficitur experientia commonſtrat. Nam qui ardore tenentur tantum abeſt ut a colore liberentur, ut etiam faſtidioſiores et procedente tempore calidiores evadant. At algentibus ex

τοῖς ἐψυγμένοις δὲ σαφῶς οὐδὲν εἰς ὠφέλειαν ἢ βλάβος ἐξ ἐλαίου χρίσεως ἀποβαίνει. ᾧ καὶ δῆλον ὡς εἰ καὶ θερμαίνειν [51] ἡμᾶς πέφυκεν, ἀλλ' οὐκ ἔτι γε σφοδρῶς ἢ ἐναργῶς, ὥσπερ ῥητίνη καὶ πίττα καὶ ἄσφαλτος. ἀκούειν δέ σε χρὴ νῦν οὔτε ξηρὰν ῥητίνην ἢ πίτταν ἢ ἄσφαλτον, οὐ γὰρ ἂν οὐδὲ ἀλείψαιτό τις αὐταῖς, οὐ μὴν οὐδὲ τὰς ἐν ἡλίῳ τετηκυίας, οὐ γὰρ ἁπλοῦν ἔτι τό γε τοιοῦτον οὐδ' αὐτοφυὲς ἂν εἴη φάρμακον, ἀλλὰ ῥητίνην μὲν ἤτοι τὴν αὐτόῤῥυτον ὀνομαζομένην, ἢ τὴν τερμινθίνην τε καὶ σχινίνην ὑγρὰν ἔτι καὶ πρόσφατον, ἢ τῆς πευκίνης τὴν ἐφισταμένην ἄνωθεν τοῖς κεραμίοις ἐλαιώδη· πίττης δὲ τὴν ὑγράν. καὶ μᾶλλον ἔτι τὸ κατ' αὐτῆς ἐποχούμενον ἐλαιῶδες, ὃ δὴ πίσσανθον ὀνομάζουσιν. ἔστι γὰρ ὄντως οἷον ἄνθος τι πίττης. οὕτω δὲ καὶ ἄσφαλτον τὴν ὑγρὰν, ἔτι τὴν ἐκ Μηδείας. ἅπαντα γὰρ ταῦτα λιπαρὰ μέν ἐστιν καὶ πλεῖστον τῆς ἐλαιώδους ἔχοντα φύσεως, ἐναργῶς μέντοι θερμαίνει, καθάπερ ἥ τε στακτὴ σμύρνα καὶ τὸ πεύκινον, ἢ ἀρκεύθινον, ἢ τὸ κέδρινον καὶ τὸ δάφνινον ἔλαιον, ἕτερά τε τοιαῦτα, σαφῶς μὲν ἐκθερμαίνει τοὺς ἐψυγμένους,

olei inunctione clara nulla aut noxa aut utilitas affertur, unde liquet quod et si calefacere sit natum, certe non admodum id posse nec evidenter sicuti resina, pix, bitumen. Inaudienda est nunc pix non sicca: itidem nec resina, nec bitumen siccum: nec enim in ipsis inungi quis possit, neque item quae sol liquarit, quippe haec nec simplicia nec sponte nata sunt medicamenta, verum resina quae sponte fluens dicitur aut terebinthina aut lentiscina, quae liquida etiamnum ac recens sit, aut ex pinea, quae in fictilibus superne olei ritu innatat: pix autem liquida, aut potius quod oleosum in ea superne fluitat, quod utique picis florem nuncupant, est enim re vera tanquam picis flos; sic bitumen adhuc liquidum, quod ex Medea exportatur; omnia enim haec pinguia sunt plurimumque oleosae naturae possident, veluti myrrha, stacte et picinum, juniperinum, cedrinum, laurinumque oleum et alia ejusmodi clarissime refrigeratos reca-

ἐσχάτως δ᾽ ἀνιᾷ τοὺς ἐγκεκαυμένους. ταῦτα μὲν οὖν ἑκατέρωθεν ὁμολογεῖται θερμαίνειν. ἔλαιον δὲ οὐδ᾽ ἑτέρωθεν ἰσχυρῶς οὔτε τοὺς κατεψυγμένους ἐκθερμαίνειν οὔτε βλάπτειν τοὺς ἐγκεκαυμένους. οὐ μὴν οὐδ᾽ ἀσαφῶς γε τοῖς ἐπ᾽ ἐγκαύσει πυρέξασιν ἄσης γέ τινος αἴτιον γίγνεται καὶ τὴν θερμότητα παραύξειν φαίνεται, καθάπερ κἂν τοῖς ἀκριβέσιν ἐρυσιπέλασιν. ἔστι δὲ δήπου ταῦτα χολώδη ῥεύματα, σαφῶς γὰρ δήπου καὶ ἐν αὐτοῖς τούτοις αὐξάνειν τὴν θερμασίαν, εἰ καὶ ψυχρὸν ἐσχάτως αὐτὸ προσάγοις. ἐπὶ μὲν γὰρ τῶν ἐγκαύσεων, εἰ χωρὶς ἁλῶν εἴη, καὶ ἄλλως λελευκασμένον ἔχει τινὰ παραμυθίαν ψυχρὸν καταντλούμενον. ἐπὶ δὲ τῶν ἐρυσιπελάτων ὅπως ἂν ᾖ ψυχρὸν οὐδὲν ὀνίνησιν, ἀλλὰ καὶ βλάπτειν πέφυκε, τὰ (27) μὲν ἐκ χολώδους ῥεύματος ἀκριβῶς ἅπαντα μεγίστας βλάβας, τὰ δ᾽ ἐξ αἵματος αὐτῷ μεμιγμένου μικροτέρας μὲν, οὐ μὴν τὰς ἐπιτυχούσας γε οὐδὲ ταύτας. ἧττον δὲ τούτων, ἐναργῶς δ᾽ οὖν ἔτι καὶ τὰς ζεούσας ἀνιᾷ φλεγμονὰς, ἐξ ὧν ἁπάντων τεκμαιρομένῳ μοι θερμότητα παραπλησίαν ἀνάπτειν ἔδοξεν οἷσπερ ἂν ὁμιλῆσαν τύχῃ. φαίνεται

lefaciunt, exaeftuantes vero fumme excruciant. Atque haec quidem utrisque excalefacere confeffum eft. At oleum neutris admodum, neque refrigeratos fcilicet excalefacere nec excalefactos offendere. Non tamen obfcure iis qui ex ardore febricitant, faftidii cujusdam caufa eft caloremque augere apparet, quemadmodum in exquifitis eryfipelatis, quippe quae biliofae funt fluxiones; manifefto enim in his calorem adauget, etiamfi applicetur vel frigidiffimum. Etenim in arboribus, fi falis fit expers et alioqui etiam candidum, nonnullum fane folatium, fi modo frigidum perfundatur, affert, in eryfipelatis autem quantumvis fit frigidum nihil juverit. Caeterum laedere omnes quae ex pura bile funt fluxiones vel maxime eft natum; at quae ex fanguine illi permixto conftant, has quidem minus, non tamen vulgariter. Porro iftis etiam minus, fed tamen perfpicue, affligit inflammationes etiamnum fervente. Ex quibus omnibus conjecturam ducenti vifum eft tandem calorem parem

γοῦν τοῖς μὲν μετρίως θερμοῖς σώμασιν προσφερόμενον μετρίως θερμαίνειν αὐτὰ, τοῖς δ' ἰσχυρῶς ἰσχυρὰν τὴν θερμασίαν ἐνάπτον.

Κεφ. κβ'. Εἴρηται μὲν οὖν ἤδη κἀν τῷ τρίτῳ περὶ κράσεων, εἰρήσεται δὲ καὶ νῦν ὡς ἕκαστα τῶν προσφερομένων τῷ σώματι φαρμάκων, ἃ δὴ καὶ θερμὰ ταῖς δυνάμεσιν ὑπάρχειν ἔφαμεν, ἀρχὴν τοῦ θερμαίνεσθαι παρ' ἡμῶν λαμβάνοντα, τὰ μὲν ὡσαύτως ἡμᾶς ἀντιθερμαίνει, τὰ δὲ σφοδρότερον. ἐκ δὴ τῶν εἰς ἴσον ἀντιθερμαινόντων ἐφάνη μοι τοὔλαιον ἐπισκοποῦντι τὰς κατὰ μέρος αὐτοῦ δυνάμεις. εὕρισκον γὰρ ἀεὶ χλιαρὰν μὲν ἐν τοῖς μετρίως θερμοῖς σώμασιν ἀπεργαζόμενον αὐτὸ θερμότητα, ζέουσαν δ' ἐν τοῖς ζέουσιν. ἐφαίνετο δέ μοι διὰ τοῦτο καὶ σπασμοὺς καὶ τρόμους, ἀναισθησίας τε καὶ δυσαισθησίας, μήτ' ὠφελεῖν μηδὲν ἀξιόλογον μήτε βλάπτειν. ὠφελεῖν μὲν γὰρ οὐκ ἠδύνατο τῷ μὴ θερμαίνειν ἰσχυρῶς, βλάπτειν δ' οὐκ ἦν ἱκανὸν, ὅτι μηδ' ὅλως ἔψυχεν, ἐπικτήτου μὲν θερμότητος ἰσχυρᾶς λαβόμενον ἱκανῶς ὠφελεῖν· ἐπειδὰν εἰς πυέλους

eis quibus applicatur accendere. Apparet enim corporibus mediocriter calidis admotum moderate illa excalefacere, vehementer autem calidis, validum accendere calorem.

Cap. XXII. Dictum eſt igitur in tertio de temperamentis venitque nunc iterum dicendum, quod unumquodque medicamentorum quae corpori applicantur, quae quidem calida eſſe facultatibus diximus, caloris ſui principium a nobis accipiens, partim ſimiliter nos recalefacit, partim valentius. Atque ex iis quae nos aequaliter recalefaciunt oleum mihi eſſe viſum eſt, particulares ejus vires inſpicienti; comperi enim perpetuo calorem efficere tepidum in iis quae mediocriter eſſent calida, ferventem in ferventibus. Proindeque mihi eſt viſum neque convulſiones neque tremores neque ſenſum tum difficilem tum deperditum magnopere aut juvare aut laedere, quippe juvare nequibat, quum valenter excalefacere non poſſet, nec laedere item valebat, quum omnino non refrigeraret. At ubi adſcititium comparaſſet calorem vehementem, multum prodeſſe,

ἐλαίου θερμοῦ ῥίζας τινὰς, ἢ πόας θερμαντικὰς ἐναφεψημένας ἔχοντας, τοὺς οὕτω πεπονθότας ἐμβιβά[52]ζοιμεν. ὅθεν εὐλόγως οἷον ὕλη τίς ἐστιν τῶν ἄλλων φαρμάκων. ἄν τε γὰρ ψυχρὰ μίξῃς αὐτῷ, ψυχρὸν ἔσται τὸ μικτὸν, ἄν τε θερμὰ, θερμόν. ὃ γὰρ ἂν ἐκ τῆς μέσης ὑπάρχῃ κράσεως, ὑπηρετεῖ τοῖς ἄκροις ἑκατέροις, ὡς μήτ᾽ εἰ θερμῷ μιχθείη ψυχρὸν, τὸ μιχθὲν ἐξ ἀμφοῖν ἀπεργάσασθαι δυνάμενον, ὅτι μηδ᾽ αὐτὸ ψυχρόν ἐστιν μήτ᾽ εἰ ψυχρῷ θερμὸν, οὐδὲ γὰρ θερμὸν ὑπάρχει. καὶ κατὰ τοῦτο εὐλόγως οἱ μὲν θερμαίνειν αὐτὸ φάσκουσιν ἡμᾶς, οἱ δὲ οὐ θερμαίνειν. θερμαίνειν μὲν γὰρ ἂν δόξειε εἰς ἴσην τῷ θερμαίνοντι σώματι θερμασίαν ἀφικνούμενον, ἀντιθερμαίνειν γοῦν δύναται ταύτῃ. τῷ δὲ μὴ προσαυξάνειν ἣν κατέλαβε θέρμην, οὐκ ἂν δόξειε θερμαίνειν. οὐ γὰρ τὸ φυλάττειν ἣν εὗρεν, ἀλλὰ τὸ παραύξειν ἔργον εἶναι τοῦ θερμαίνοντος.

Κεφ. κγ΄. Ἀρχαὶ δὲ τῆς τοιαύτης ἀμφισβητήσεως τρεῖς εἰσι, τό τε μὴ διορίσασθαι τὰ γένη τῶν θερμαίνειν

nempe ubi in alveolos olei calidi, in quo radices quaedam, aut herbae calefaciendi facultate pollentes incoctae erant, ita affectos demiſiſſemus. Unde merito velut materia quaedam caeterorum fuerit medicamentorum: nam ſi frigida illi commiſceas, frigidum efficietur quod mixtum erit, ſin calida, calidum. Quod enim ex media temperie eſt, utrisque ſummis inſervit, utpote quod ſi calido commiſceatur, id quod ex ambobus mixtum erit, frigidum efficere non valeat, nempe quum ipſum non ſit frigidum neque ſi frigido, calidum, quippe quum ipſum non ſit calidum. Itaque non immerito alii calefacere ipſum ajunt, alii vero negant. Calefacere enim videatur, quum ad parem calefacienti corpori calorem pervenit; hac enim ratione recalefacere rurſum poteſt, quod vero quam acceperat augere caliditatem non poteſt, haudquaquam calefacere videatur, quippe quum non quam acceperit ſervare, ſed augere calefacientis ſit opus.

Cap. XXIII. Ejusmodi porro ambiguitatis tria ſunt principia. Quod non diſtinxerint genera eorum, quae nos

Ed. Chart. XIII. [52.] Ed. Bas. II. (27.)

ἡμᾶς λεγομένων καὶ τὸ ταῖς ὁμωνυμίαις χρῆσθαι συγκεχυμένως καὶ τὸ μηδεμίαν ἀπολιπεῖν μεσότητα. Θερμαίνειν μὲν οὖν ἡμᾶς λέγεται τά τ' ἐνεργείᾳ θερμὰ, καθάπερ τὸ πῦρ αὐτὸ καὶ τὰ δυνάμει· καὶ τῶν δυνάμει θερμῶν τὰ μὲν ὡς τροφαὶ, τὰ δ' ὡς φάρμακα, τὰ δ' ὡς σκεπάσματα. τὸ θερμὸν δ' αὐτὸ, τό τε κατ' ἐνέργειαν ἤδη τοιοῦτον οὕτως ὀνομάζειν εἰθίσμεθα καὶ τὸ κατὰ δύναμιν, ὡς πολλάκις εἴρηται καὶ πρόσθεν. ἀλλὰ τὸ μὲν κατ' ἐνέργειαν τό θ' ἁπλῶς θερμὸν, οἷον τὸ πῦρ καὶ τὸ κατ' ἐπικράτησιν, οἷον τὸ ζῶον, καὶ τὸ πρὸς τὸ σύμμετρον ὁμογενὲς παραβαλλόμενον καὶ τὸ πρὸς ὁτιοῦν τὸ ἐπιτυχόν. τὸ δὲ κατὰ δύναμιν πρῶτον μὲν ἀντιδιαιρεῖται τοῦ κατὰ συμβεβηκὸς, εἶθ' ἑξῆς τοσαύτας ἔχει σημαινομένων διαφορὰς, ὅσας περ καὶ τὸ κατ' ἐνέργειαν θερμόν. οἷον γάρ ὕλη τις ἐπιτήδειος ὑπάρχουσα τῷ κατ' ἐνέργειαν θερμῷ, τὸ μέν τι τοῖς ἁπλῶς ὀνομαζομένοις θερμοῖς, τὸ δέ τι τοῖς κατ' ἐπικράτησιν. ἄλλο δέ τι πρὸς τὸ σύμμετρον ὁμογενὲς ἢ ὁμοειδὲς ἢ ὁτιοῦν τὸ ἐπιτυχὸν παραβαλλομένοις οἰκεία γίνοιτ' ἂν ὕλη. διὸ καὶ τὰ πρὸς ἄνθρω-

excalefacere dicuntur et quod homonymiis utantur confuse, et quod nihil relinquant medium. Itaque calefacere nos dicuntur et quae energia sunt calida, ut ignis, et quae potestate. Tum quae potestate sunt calida, partim alimenta sunt, partim medicamenta, partim tegumenta. Porro calidum quoque ipsum et quod actu tale est, ita nominare consuevimus, et quod potestate, velut subinde ante monuimus. Sed et calidum actu est et quod simpliciter est calidum, ut ignis, et quod per exuperantiam, ut animal, et quod ad sui generis symmetrum comparatur, et quod ad quid obvium. At quod potestate dicitur, primum quidem distinguitur contra id, quod est ex accidenti, deinde totidem habet significationum differentias, quot actu calidum. Etenim quum sit velut apta quaedam materia ei quod est actu calidum, partim ad ea, quae absolute calida nuncupantur, partim ad ea, quae per excellentiam quandam, tum ad quiddam sui generis aut speciei, denique et ad obvium quidvis collatum propria utique fuerit materia. Quocirca quum ea consi-

που σκοπουμένους ἠξιοῦμεν ἀποχωρῆσαι τῶν ἄλλων ἁπάντων. ἐν τούτοις τε οὖν ἅπασιν ἁμαρτάνουσιν οἱ περὶ φαρμάκων δυνάμεως ἐπισκεψάμενοι καὶ πρὸς τούτοις ἔτι παρερχόμενοι τὰς μεσότητος, ἔν τε ταῖς κατὰ φύσιν ἡμῶν κράσεσιν, ὡς ἐν τοῖς περὶ κράσεων ὑπομνήμασιν ἐδείξαμεν, ἔν τε ταῖς τῶν φαρμάκων ἐξετάσεσιν. ὡς γὰρ ἤτοι θερμὸν εἶναι δέον ἐξ ἀνάγκης τὸ δοκιμαζόμενον φάρμακον, ἢ ξηρὸν, ἢ ὑγρὸν, ἢ ψυχρὸν, οὕτω ποιοῦνται τοὺς λόγους, ὥσπερ οὐκ ἐνδεχόμενον ἐν τῷ μεταξύ τι τῶν θερμαινόντων τε καὶ ψυχόντων ἡμᾶς τετάχθαι καί τι ἕτερον ἐν τῷ μεταξὺ τῶν ξηραινόντων τε καὶ ὑγραινόντων. οὕτω δ᾽ εἰσὶν ἠλίθιοί τινες ὡς μηδ᾽ ἀκούσαντες τἀληθὲς ἀκολουθῆσαι δύνασθαι. τινὰς γοῦν οἶδα καὶ ἀντιλέγειν ἐπιχειροῦντας ὡς οὐδὲν εἴη μέσον τὴν κρᾶσιν.

Κεφ. κδ'. [53] Ἀλλὰ πρὸς μὲν τούτους ἔν τε τῷ περὶ κράσεων εἴρηται τὰ προσήκοντα κἀν τοῖς ἐφεξῆς οὐδὲν ἧττον εἰρήσεται. τέλος δ᾽ ἐπιθεῖναι σπεύδων τῷ παρόντι

deremus calida, quae referuntur ad hominem, ut alia prorſum omittantur, aequum exiſtimamus. In iſtis ergo omnibus peccare ſolent qui de medicamentorum facultatibus conſiderant: et praeterea quod mediocritates tum in naturalibus noſtris temperamentis, ut in opere de temperamentis oſtendimus, tum in medicamentis expendendis praetereant. Siquidem tanquam neceſſario id cujus perpenditur facultas, medicamentum aut calidum, aut frigidum, aut humidum aut ſiccum eſſe debeat, ita verba ipſi faciunt, ac ſi non fieri poſſet ut in calefacientium nos ac refrigerantium medio quiddam conſiſtat, atque aliud rurſus inter exiccantia et humectantia. Adeo invenire eſt quosdam ſtupidos, ut ne ubi audierint quidem veritatem, aſſequi poſſint. Itaque quosdam etiam novi qui contra contendere aſtruereque conarentur, nihil temperamento eſſe medium.

Cap. XXIV. Verum hos in libris de temperamentis juſtis confutavimus rationibus, nihil lecius idem in ſequentibus facturi. Hic autem libro finem jam imponere ſtudens

λόγῳ πάλιν ἐπὶ τοὔλαιον ἐπάνειμι. συμβέβηκεν γὰρ αὐτῷ καὶ ὡς τροφῇ μὲν ἴσως θερμαίνειν ἡμᾶς, ἐπειδὰν εἴσω τοῦ σώματος λαμβάνηται. δοκεῖ γάρ τισιν οὐκ ἀδοκίμοις ἰατροῖς καὶ φιλοσόφοις γίγνεσθαί τις ὥσπερ ἐκ τῶν σιτίων, οὕτω καὶ ἐξ ἐλαίου πρόσθεσις τοῦ σώματος. συμβέβηκε δὲ καὶ ὡς φαρμάκῳ μέσῳ πως εἶναι τῶν θερμαινόντων τε καὶ ψυχόντων ἡμᾶς, ὑπάρχει δ' αὐτῷ καὶ ὡς σκεπάσματι θερμαίνειν ἡμᾶς, καὶ ἥ γε κυριωτάτη μάλιστα εἰκὼν τῆς φύσεως αὐτοῦ τοιαύτη τις εἶναί μοι δοκεῖ. ὡς γὰρ καὶ τῶν ἀμφιεσμάτων ἕκαστον ὑφ' ἡμῶν αὐτῶν θερμαινόμενον ἀντιθερμαίνειν ἡμᾶς πέφυκεν, οὕτω καὶ τοὔλαιον. ἀλλ' ὥσπερ ἐκείνων οὐδὲν αὐτοῦ τοῦ θερμαίνοντος σώματος γίγνεται θερμότερον, οὕτως οὐδὲ τοὔλαιον. ὅλον δ' ἂν σοι τὸ πρᾶγμα νοηθείη καλῶς οὐκ εἰς τὰ παρόντα μόνον, ἀλλὰ καὶ εἰς τὰ μέλλοντα σύμπαντα χρήσιμον ἐσόμενον, εἰ ἀναμνησθείης αὐτοῦ τοῦ περιέχοντος ἡμᾶς ἀέρος, ποτὲ μὲν ψυχροτέρου γιγνομένου τῆς ἐν ἡμῖν θερμότητος εἰς τοσοῦτον ὡς προβλημάτων τέ τινων καὶ σκεπασμάτων δεῖσθαι πρὸς αὐτὸν, ἐνίοτε δὲ θερμοτέρου πάλιν εἰς τοσοῦτον ὡς μὴ δύνασθαι φέρειν, ἀλλ' ὑποφεύγειν εἰς

ad oleum revertor. Accidit enim illi ut fortaffis tanquam alimentum nos calefaciat, ubi fcilicet intra corpus affumitur: probatis enim quibusdam tum medicis tum philofophis ficut ex cibis, ita ex oleo corpori fieri appofitionem vifum eft. Accidit vero illi ut tanquam medicamentum medium fit nos calefacientium et refrigerantium: tum etiam velut tegmen nos calefaciat naturaeque ejus vel maxime propria effe imago videtur ejusmodi. Nam quemadmodum veftimenta a nobis ipfis calefacta rurfum nos recalefacere confueverunt, ita et oleum. Sed quemadmodum illa calefaciente corpore calidiora non evadunt, ita quoque nec oleum. Recte autem perpendas rem totam, non ad praefens modo, fed et ad futura omnia utilem, fi aëris nos ambientis memineris, qui interim eo qui in nobis eft calore usque adeo redditur frigidior, ut munimentis quibusdam adverfus eum tegminibusque fit opus, interdum vero usque adeo rurfum calidior evadit ut ferre nequeas fugiasque fub

σκέπην τέ τινα καὶ σκιάν. ἔστι δ᾽ ὅτε οὕτως ἔχοντος συμμέτρως, ὡς μήτε τῶν θαλπόντων ἡμᾶς μήτε ψυχόντων ἐπιθυμεῖν, ἀλλ᾽ ἄλυπόν τε καὶ ἀναίσθητον εἶναι τὴν ὁμιλίαν αὐτοῦ. τὴν μὲν δὴ τρίτην κρᾶσιν τήνδε τὴν νῦν εἰρημένην σύμμετρον καλῶ καὶ μέσην εἶναι τῶν ἄλλων φημὶ καὶ μήτε θερμαίνουσαν ἡμῶν τὸ σῶμα μήτε ψύχουσαν· τῶν δ᾽ ἄλλων δυοῖν τὴν μὲν θερμαίνειν ἡμᾶς, τὴν δὲ ψύχειν. ἐοικέναι δέ φημι τῇ μέσῃ τε καὶ συμμέτρῳ κράσει τοῦ περιέχοντος ἡμᾶς ἀέρος τήν τ᾽ ἐκ τῶν ἀφιεσμάτων καὶ τὴν ἐξ ἐλαίου γινομένην θερμασίαν. εἰ δὲ μηδ᾽ οὕτω σαφές ἐστιν ὃ βούλομαι δηλοῦν, ἐκείνως ἄν σε μᾶλλον οἶμαι συνήσειν. δύο μοι νόησον ἀνθρώπους ὁμοίως μὲν κεκραμένους τὸ σῶμα, ψαύοντας δ᾽ ἀλλήλων ἢ τοῖς στέρνοις τε καὶ τῇ γαστρὶ μόνοις, ἢ καὶ ταῖς χερσὶ καὶ τοῖς σκέλεσιν. εἰ μὲν δὴ τὴν αὐτὴν ἔχοι τοῖς δύο τούτοις ἀνθρώποις ὁ περιέχων αὐτοὺς ἀὴρ κρᾶσιν, ὡς εἶναι τὴν ἐν τοῖς τρισὶ σώμασιν ἴσην θερμασίαν, οὐδὲν ἂν ὑπ᾽ οὐδενὸς οὕτω γε θερμαίνεσθαι λέγοιτο. τὰ γὰρ ὅμοια πάντῃ σώματα πρὸς ἀλλή-

tectum aliquod vel umbram. Eſt autem etiam quando tanta eſt moderatione praeditus, ut neque tepefacientia, neque refrigerantia expoſcas, ſed citra omnem moleſtiam ſenſumque in eo verſeris. Tertiam hanc temperiem, quam modo dicebam, ſymmetram moderatamque voco atque aliarum mediam eſſe ſtatuo, ac corpus noſtrum neque calefacere neque refrigerare, quum aliarum duarum altera nos calefaciat, altera vero refrigeret. Similemque eſſe dico mediae aëris nos ambientis temperiei tum qui a veſtimentis tum qui ab oleo provenit, calorem. Porro ſi ne ſic quidem etiam clarum evaſit quod indicare volo, at illo ſaltem modo apertius opinor intelliges. Duos mihi animo intelligito homines corpore ſimiliter temperatos mutuo ſeſe contingentes, vel pectore et ventre ſolo vel manibus et cruribus. Quod ſi eandem duobus iſtis hominibus nactus ſit temperiem aër illos ambiens, ut in tribus his corporibus par inſit calor, neuter ab altero nunc caleſieri dici queat; nam quae ſimilia undequaque corpora ſunt, a ſeſe mutuo nullam accipiunt

λων οὐδεμίαν ἀλλοίωσιν ἴσχει. ψυχροῦ δ' ὄντος τοῦ περιέχοντος ἀλλήλους ἂν οἱ ἄνθρωποι θερμαίνειν λέγοιντο, καίτοι γε οὐ θερμαίνοντες, ἀλλ' εἴργοντες (28) τὸ ψυχρόν. εἰθικότες οὖν οἱ πολλοὶ καταχρῆσθαι τοῖς ὀνόμασιν, τὸ κωλυτικὸν τοῦ ψύχεσθαι θερμαῖνον ὀνομάζουσιν οὐκ ὀρθῶς. ὀνομάζειν μὲν οὖν αὐτοῖς συγχωρητέον ὡς ἂν ἐθέλωσιν, ταὐτὸν δὲ σημαίνειν ἐκ τοῦ θερμαίνειν ῥήματος ἐν ἑκατέρᾳ τῇ ῥήσει κατ' οὐδένα τρόπον ἔτι συγχωρητέον. οὐ γὰρ δὴ ταὐτόν γέ ἐστιν ἐξ αὐτοῦ τινι παρέχειν θερμασίαν, ἢ κωλύειν τὸ ψυχρόν. οὕτω δὴ τούτων ἐχόντων, ὅσα περ ἂν ἡμῖν ἔξωθεν προσπίπτοντα τὴν αὐτὴν ἔχῃ τῷ σώματι θερμασίαν, εἴτε ἐξ ἑαυτῶν εἴτε παρ' ἄλλων εἴτε καὶ ἐξ ἡμῶν αὐτῶν εἰληφότα, [54] ταῦτα κατὰ μὲν τὸν ἀκριβῆ λόγον οὔτε θερμαίνειν ἡμᾶς οὔτε ψύχειν λεκτέον· εἰ δὲ καταχρῆσθαί τις βούλοιτο συγχωρητέον, ἀναμιμνήσκοντα μόνον ἐν τῇ ῥήσει τὴν διαφορὰν τῶν σημαινομένων. ἄλλως μὲν γὰρ ὁ θερμότερος ἀὴρ θερμαίνειν ἡμᾶς λέγεται, κατ' ἄλλον δὲ τρόπον ὁ σύμμετρος. ἀνάλογον δ' ἔχει τῷ μὲν θερμοτέρῳ πύρεθρόν τε καὶ νᾶπυ καὶ

mutationem. At si frigidus sit ambiens, mutuo se calefacere hi homines dicentur, tametsi haudquaquam calefaciant, sed frigus modo arceant. Vulgo itaque assueti abuti vocibus, id quod frigus arcet calefacere ajunt, haud sane recte. Atqui permittendum ipsis est ut prout velint appellent, caeterum per calefaciendi verbum in utraque dictione idem significari, id vero neutiquam concedendum, haud enim idem est an ex se quid cuipiam calorem praebeat, an frigus prohibeat. Quibus sic se habentibus quaecunque foris nobis injecta eandem corpori caliditatem obtinent, sive a sese ipsis, sive ab aliis, sive a nobismetipsis eam nacta fuerint, exacta loquendi ratione neque calefacere neque refrigerare dicendum; at si cui abuti libeat, non repugnandum, modo in dictione significationum differentiam commemoret: siquidem alio quodam modo calefacere nos dicitur aër calidior, atque alio modo qui sit moderatus. Respondet autem proportione aëri calidiori pyrethrum, napy, piper; moderato autem

πέπερι, τῷ συμμέτρῳ δὲ πιμελή τε καὶ ἔλαιον. ἐνεργείᾳ μὲν γὰρ οἱ ἀέρες θερμοὶ, δυνάμει δὲ τὰ φάρμακα. τὸν μὲν γὰρ ἀέρα θερμὸν οὐχ ἡμεῖς αὐτοὶ ποιοῦμεν, ἀλλ᾽ ὅτι τοιούτῳ πλησιάζομεν. τὰ φάρμακα δὲ, ὡς κἀν τῷ τρίτῳ περὶ κράσεων ἐδείκνυμεν, τὴν ἀρχὴν τῆς ἐπὶ τὸ θερμαίνεσθαι μεταβολῆς ἐξ ἡμῶν λαμβάνοντα, τὰ μὲν εἰς ἴσον ἡμᾶς ἀντιθερμαίνειν πέφυκεν, τὰ δὲ μᾶλλον, τὰ δ᾽ ἧττον. ἐκ δὴ τῶν ἴσων ἀντιθερμαινόντων ἐστὶ τὸ ἔλαιον. ὑπάρχει δ᾽ αὐτῷ κἀκ τοῦ γλίσχρῳ τε εἶναι καὶ δυσαποῤῥύτῳ καὶ τῶν πόρων ἐμφρακτικῷ κατὰ διττὸν τρόπον ἐπαύξειν, ὡς δοκεῖν τὴν θερμασίαν. ἐκ μὲν δὴ τοῦ περιπλάττεσθαι δίκην ἀμφιέσματος, ἢ προβλήματος, ἐκ δὲ τοῦ τοὺς πόρους ἐμφράττειν τὸ κωλύειν ἀποῤῥεῖν ἔνδοθεν τὸ πολὺ τῆς ἀτμώδους θερμότητος. κατὰ ταῦτ᾽ οὖν οὐδὲ ξηραίνεσθαι τοῖς σώμασιν ἡμῶν ἐπιτρέπει, πλὴν εἰ θερμόν τε προσάγοιτο καὶ χρόνῳ πλείονι· καὶ ταύτην αὐτοῦ τὴν δύναμιν ἅπαντες ἄνθρωποι τῇ πείρᾳ μεμαθηκότες, οὓς ἂν ἱδρῶσαι δαψιλέστερον ἐθέλωσιν, ἢ λελουμένους, ἢ ἀλούτους, οὐ προσφέρουσιν αὐτοῖς εὐθὺς κατ᾽ ἀρχὰς ἔλαιον,

pinguedo et oleum, actu enim aëres funt calidi, potentia vero medicinae. Aëra enim calidum haud ipfi efficimus, fed quoniam in eo verfando talem ipfum experimur, ita nuncupamus. At medicamenta, ficuti in tertio de temperamentis demonftratum eft, principium calefactionis a nobis accipientia, partim aeque nos recalefacere funt nata, partim plus, partim minus. Ex genere autem eorum, quae aeque nos recalefaciunt, oleum eft; cui eidem quoque a vifcofitate, ac quod difficulter item defluat, tum quod meatus infarciat obftruatque, duplici ratione ut augere calorem videatur evenit, tum inde adeo, quod inftar veftimenti aut munimenti illinatur, tum quod meatus infarciat prohibeatque foras effluere magnam vaporofi intus caloris partem. Eadem ratione nec ut reficcentur corpora noftra permittit, nifi fane applicetur calidum idque plufculo tempore. Has itaque vires ejus quum homines omnes experientia compertas habeant, quos largius fudare volunt five a balneo, five balnei

ἀλλ᾽ ἐπὶ μὲν τῶν νενοσηκότων, ἐπειδὰν ἱδροῦν ὑπάρξωνται, θερμήναντες περιχέουσι. ἐπὶ δὲ τῶν νοσούντων, ἐπειδὰν αὐτάρκως ἱδρώσωσιν. ἐπὶ δὲ τῶν ὑγιαινόντων, ὅσοι μὲν ἐξ ὁδοιπορίας μακρᾶς εἰσι καὶ γυμνασίων πλειόνων, ἢ ὁπωσοῦν ἄλλως ἐξηραμμένοι τὸ σῶμα, τούτοις μὲν ἀλείφεσθαι καὶ πρὶν ἱδρῶσαι συγχωροῦσιν. ὅσοι δ᾽ ἠπεπτηκότες, ἢ πληθωρικὸν τὸ σῶμα ἔχοντες, τούτοις οὐδὲ λουομένοις ἐπιτρέπουσιν ἐλαίῳ χρῆσθαι.

Κεφ. κέ. Καί μοι δοκεῖ κἀνταῦθα μέσον τῶν ὑγραινόντων καὶ ξηραινόντων ἡμᾶς εἶναι τοὔλαιον, ὥσπερ ὀλίγον ἔμπροσθεν ἐδείχθη, τῶν θερμαινόντων καὶ ψυχόντων. ὑγραίνει μὲν γὰρ ὕδωρ, ξηραίνει δὲ δάφνινόν τε καὶ κέδρινον ἔλαιον. τό γ᾽ οὖν ἔλαιον ἁπλῶς οὑτωσὶ προσαγόμενον, ἄνευ γε τοῦ προθερμανθῆναι πρὸς ἡμῶν αὐτῶν ἐξ ἐπιτεχνήσεως ἢ ψυχθῆναι, τούτου γὰρ ἐπὶ πάντων ἀεὶ χρὴ μεμνῆσθαι, τοιαύτην φυλάττει τὴν κρᾶσιν ἡμῶν, οἵαν περ παρέλαβεν, εἶργον ὡς ἔνι μάλιστα καὶ κωλῦον κενοῦσθαι τοῦ σώματος ἁπάσας τὰς ἀτμώδεις διαπνοάς. εἰ δ᾽ ἀνατρίβεις ἐπιπλέον ἐλαίῳ τὰ

expertes, iis non protinus ab initio oleum admovent. Verum in iis, qui morbo laborarunt, ubi fudare inceperint, tum calefactum perfundunt; in iis vero, qui etiamnum laborant, ubi abunde jam fatis fudarint. Porro in fanis, fiquidem ex longo itinere, aut exercitatione, aliove quovis pacto corpus ipfis exhauftum eft, eis inungi et ante fudorem permittunt. Verum qui non concoxerint, aut corpus habent plethoricum, his neque in balneo inungi concedunt.

Cap. XXV. Atque hic quoque mihi videtur oleum effe medium inter humectantia nos et reficcantia, velut inter calefacientia et refrigerantia medium confiftere fupra demonftravimus, humectat enim aqua, exiccat vero tum laurinum tum cedrinum oleum. At quod fimpliciter fic admovetur, citra ullam videlicet ex arte conciliatam a nobis aut caliditatem aut frigiditatem, hujus enim usque meminiffe oportet, talem fervat noftram temperiem, qualem fcilicet accepit, quam fieri poffit maxime vaporofas omnes corporis expirationes prohibens. Porro fi plufculum membra frice-

μέλη, θερμότητά τέ τινα γεννήσεις ἐκ τῆς τρίψεως ἐπίκτητον, ὠφελήσεις τε τοὺς κεκοπωμένους ἐν τῷδε, τοῦτο μὲν εἴσω τοῦ σώματος εἰς τοὺς κατὰ λεπτὸν πόρους εἰσδυομένου τοῦ λίπους ὡς μαλάττειν τὰ κατεσκληρυμμένα, τοῦτο δὲ τῇ θερμότητι διαφοροῦντος, ὅτι δριμὺ καὶ λεπτὸν ὑγρὸν ἐν τοῖς κόποις ἐκ συντήξεως γεννηθὲν ὑπὸ τοῦ δέρματος ἐστέγετο. φαίνονται γὰρ κἀκτὸς ἀποῤῥέοντες ἱδρῶντες τοῖς γυμναζομένοις, φαίνονται δ' οὐκ ὀλίγα κἀντὸς εἰς τὴν γαστέρα συῤῥέοντα [55] περιττώματα καὶ οἷον συντήγματα. λογίζεσθαι δ' ἐκ τούτων χρὴ, κἂν μὴ φαίνηται, καταλείπεσθαί τινα καὶ καθ' ὅλον τὸ σῶμα πολλὰ τοιαῦτα κενώσεως δεόμενα. διττὴ γὰρ ἐν τοῖς κόποις γίγνεται διάθεσις, ὡς ἐν ἑτέροις ἐπιδέδεικται, ξηραινομένων μὲν τῶν ὁμοιομερῶν τοῦ ζώου μορίων, ὑγραινομένων δὲ τῶν κενῶν χωρῶν, οὐ χρηστῇ καὶ κατὰ φύσιν ὑγρότητι, πληθώρα γὰρ ἦν, ἀλλὰ λεπτῇ καὶ δριμείᾳ καὶ δακνώδει· καὶ διὰ τοῦτο καὶ τῶν ἰωμένων δέονται διττῶν, τῶν τε τὴν ξηρότητα τεγγόντων καὶ τῶν τὴν δριμεῖαν ὑγρότητα κενούντων. καὶ διὰ τοῦτο πρὸς ἄμφω ταῦτα τὰ διὰ τῶν

oleo, calorem ex frictione adfcititium comparabis. Atque hac interim ratione laffos non parum juvabis, partim quod in minutos corporis meatus pingue ingrediatur et quae indurata funt emolliat, partim quod humiditatem acrem ac fubtilem, quae in laffitudine ex colliquatione proveniens fub cute latebat, per halitum caliditate digerat. Confpiciuntur enim exercentibus tum foras affluere fudores tum intus in ventrem non pauca defluere excrementa, quae velut colliquationes funt. Ex hifce autem colligendum eft, complura toto in corpore ejusmodi relinqui, quae evacuationem depofcant, quippe duplex in laffitudinibus affectio nafcitur, ficut alibi oftendimus. Nam fimilares quidem animantis partes reficcantur, humectantur vero vacua fpatiola non utili et naturali humore, nam fic foret plethora, fed tenui et acri mordacique: proindeque remediis indigent duplicibus, tum iis quae ficcitatem corporis irrigent, tum iis quae humorem acrem evacuent. Itaque ad haec aptiffima funt

γλυκέων ὑδάτων λουτρὰ χρησιμώτατα τετύχηκεν ὄντα, τῇ μὲν ὑγρότητι τὴν ξηρότητα τῶν ὀργάνων ἐπανορθούμενα, τῇ δ' αὖ θερμότητι τὸ λεπτὸν καὶ δριμὺ διαφοροῦντα. καὶ εἴ γε παραμένειν τοῖς σώμασιν ἐδύνατο καὶ μὴ ῥᾳδίως ἀποῤῥεῖν τὸ ὕδωρ, αὔταρκες ἂν ὑπῆρχε μόνον. ἐπεὶ δὲ τό τε περιχεόμενον ἔξωθεν ἀποῤῥεῖ ῥᾳδίως, τό τ' εἰς τοὺς πόρους τοῦ σώματος εἰσδυόμενον ἐκρεῖ λαβὴν οὐδεμίαν ἔχον, εἰς τοῦτ' αὐτὸ χρησίμως ἔλαιον μίγνυται, καὶ μᾶλλόν γε ἢν ἐπιπλέον ἐξ ἀμφοῖν ἀνατρίψηταί τις, ὅπερ ὠνόμαζον οἱ παλαιοὶ χυτλοῦσθαι, καὶ ἀντετίθεσάν γε αὐτῷ τὸ ξηραλοιφεῖν. ἔστι μὲν καὶ τοῦτό πως αὐτὸ καθ' αὑτὸ κόπων ἰατικὸν, ἀλλ' ἀπολείπεται πάμπολυ τοῦ χυτλώσασθαι. τά τε γὰρ ἄλλα, κἀπειδὰν ἀνακόπτηται καὶ ἀνατρίβηται μετ' ἐλαίου τὸ ὕδωρ, δύσλυτον ἱκανῶς ἔχει τὴν μίξιν, ὥσθ' ὅσοις ἂν ἐπαλείφηταί τε καὶ περιπλάττηται σώμασι τὸ ἔλαιον, ἀναγκάζεσθαι τούτοις ἐπιπλέον ὁμιλεῖν καὶ τὸ ὕδωρ. ἔστι τοίνυν κἀνταῦθα ὥσπερ τις ὕλη τῶν ὑγραινόντων τε καὶ ξηραινόντων τὸ ἔλαιον, ὡς ἔμπροσθεν ἐδείχθη, τῶν θερμαινόντων τε καὶ ψυχόντων. ἄν τε γὰρ ξη-

dulcium aquarum lavacra, nimirum quae humiditate fua inftrumentorum corrigant ficcitatem et caliditate tenuem atque acrem humorem digerant. At fi corporibus inhaerere poffet aqua, nec facile deflueret, ipfa quidem per fe fufficeret. Atqui quum ea quae foris circumfunditur facile defluat, et quae in poros ingreffa corporis nullam habens anfam prompte effluat, in hoc fane ipfum utiliter mifcetur oleum, maximeque juvat, fi ex utroque quis diutius fricetur, id quod veteres Graeci *χυτλοῦσθαι* nominabant: cui oppofitum impofuerunt vocabulum *ξηραλοιφεῖν*, quod eft ficca uti frictione. Eft fane et hoc quoque quodammodo laffitudinem fanare potens, fed multum relinquitur ab eo, quod *χυτλοῦσθαι* nuncupant. Nam ut reliqua taceam, ubi cum oleo aqua contunditur teriturque, haud facile folubili mixtione coit, ut quibus ita corporibus inungatur oleum neceffe fit et plufculum inhaerere aquam. Quare hic item velut materia eft quaedam oleum humectantium exiccantiumque, ficut ante oftenfum eft calefacientium et refrigerantium.

ραίνοντι μιχθῇ, ξηραῖνον τὸ σύμπαν ἀπετέλεσεν, ἂν θ' ὑγραίνοντι, καὶ τοῦθ' ὑγραῖνον εἰργάσατο καὶ πολλάκις καὶ μᾶλλον ὑγραῖνον ἀπετελέσθη τὸ μικτὸν ἐξ ἀμφοῖν αὐτοῦ τοῦ πρώτως ὑγραίνοντος, ὥσπερ ἐφ' ὕδατος ἔχει. τοῦτο γὰρ ὑγραίνει μὲν πρώτως, ἀλλὰ τὸ μὴ παραμένειν ἐπιπλέον ὀλιγοχρόνιον ἴσχον τὴν ἐνέργειαν ἀσθενῶς ὠφελεῖ. δεσμὸς οὖν αὐτῷ τοὔλαιον γιγνόμενον, ἀναγκάζον γε τοῖς χρήζουσιν τῆς ἀπ' αὐτοῦ βοηθείας ἐπιπλεῖστον ὁμιλεῖν, ἄριστον ἰαμάτων πάντων ἀπετελέσθη τοῖς ἐξηραμμένοις τε αὐχμώδεσι σώμασιν. οὕτω δὲ κἂν ξηραῖνον ἐλαίῳ μίξῃς φάρμακον, οἷον χαλκῖτιν, ἢ πύρεθρον, ἢ κηκίδα, ἢ στρούθιον, ξηραῖνον ἔσται τὸ μικτὸν ἐξ ἀμφοῖν. ἅπασιν οὖν ὑπηρετοῦν τοῖς ἑαυτῷ μιγνυμένοις τὸ ἔλαιον, εὐλόγως οἷον ὕλη τις ἁπάντων ἐστί. τὴν μὲν οὖν οἰκείαν αὐτῶν ἐνέργειαν ἐξ ἀνάγκης μειοῦν, οὐ μὴν τήν γε ὠφέλειαν, ἀλλ' ἔστιν ὅτε καὶ προσαυξάνον. οὐ γὰρ δὴ ταὐτόν γ' ἐστὶν, εἰ καὶ δόξει τισὶν ἐνέργειάν τέ τινος αὐξῆσαι καὶ ὠφέλειαν. ἡ μὲν γὰρ ἐνέργεια κατὰ τὴν οἰκείαν ἑκάστου δύναμιν, ἡ δ' ὠφέλεια

Quippe quod, ſi exiccanti commiſceas, totum effeceris exiccans: ſin humectanti, et ipſum humectans reddideris: ſaepeque quod ex ambobus conſtat, majorem adipiſcitur humectandi facultatem quam id quod primario eſt humectans: quod in aqua accidit. Nam ea primario madefacit: verum quum haud ita diu inhaereat, nec actionem obtineat diutinam, leviter utique prodeſt. Quum ergo illic velut vinculum ſiat oleum cogatque plurimum, quibus auxilio ejus opus eſt, inhaerere, longe omnium optimum redditur remedium exiccatis ſqualidisque corporibus. Sed ſi exiccans oleo medicamentum commiſceas, puta chalcitin, pyrethrum, gallam, ſtruthion, ſiccans erit quod ex utroque commixtum fuerit. Itaque quum omnibus quae ſibi commiſcentur, ſubſerviat oleum, recta ratione velut omnium exiſtit materia: tametſi utique neceſſario propriam eorum actionem retundit quidem ac minuit, non tamen utilitatem: imo eſt ubi eam quoque adaugeat. Haud eſt enim idem, quod forte quis autumet, actionem augere cujuspiam et utilitatem:

καὶ κατὰ συμβεβηκὸς ἐνίοτε. λεχθήσεται μὲν οὖν ἐπιπλέον ἐν τοῖς ἑξῆς ὑπὲρ τῆς κατὰ συμβεβηκὸς ὠφελείας. εἰρήσεται δὲ καὶ νῦν εἰς τοσοῦτον, εἰς ὅσον δεῖ τοῖς παροῦσιν. ἐλαίῳ γὰρ ἀνακοπτόμενον ὕδωρ, ὡς τὸ καλούμενον ὑδρέλαιον ἐργάσασθαι, τοῖς κεκοπωμένοις ἀρήγει μᾶλλον ἢ εἰ μόνον ὑπῆρχεν, οὐ τῷ τὴν οἰκείαν ἐπιτείνεσθαι δύναμιν, ἀλλὰ τὸ περιμένειν ἐπιπολὺ τοῖς δεομένοις.

Κεφ. κστ΄. [56] Ὅτι δ' εἰ μὴ μέσον εἴη τῇ κράσει τὸ ξυνδοῦν, τὰ πρώτως βοη(29)θοῦντα τοῖς δεομένοις ἐναντιώσεται πολλάκις αὐτῶν ταῖς ἐνεργείαις, ἐξ αὐτῆς γε τῆς τῶν φαρμάκων φύσεως ἔνεστί σοι καθόλου διδαχθῆναι κἀκ τῶν τῆς κατ' εἶδος τῶν φαρμάκων ἱστορίας. ἀπὸ μὲν τῆς τοῦ καθόλου, διότι τὸ μιγνύμενον ἂν ἐπὶ τοὐναντίον ἀπάγῃ τὴν δύναμιν τοῦ κραθέντος αὐτῷ φαρμάκου, δύναταί ποτε καὶ νικῆσαι καὶ τελέως εἰς ἕτερον εἶδος μεταστῆσαι τὸ μικτὸν ἐξ ἀμφοῖν. οὐδεμίαν γὰρ οὔτε ἰδέαν ἐπίσημον οὔτε δύναμιν ἐμφαίνεσθαι χρὴ τοῦ λόγον ὕλης ἔχοντος

quippe cum actio secundum propriam cujusque facultatem, utilitas vero nonnunquam ex accidenti agat. Differemus autem postea uberius de utilitate quae per accidens evenit, et nunc quoque hactenus de ea dicetur, quatenus in praesenti est commodum. Quippe contusa cum oleo aqua, quod hydrelaeum vocant, magis auxilio est lassitudinibus quam si esset sola: non quidem quod suae vires intendantur, sed quod quibus opus est diutius inhaereat.

Cap. XXVI. Quod autem nisi mediam habeat temperiem id quod ea quae primario quibus opus est auxiliantur, velut devinciet, saepenumero ipsorum repugnabit actionibus, ex ipsa medicamentorum natura generatim addiscere liceat, speciatim autem ex medicamentorum historia. Generatim quidem quoniam id quod miscetur, si in contrarium retrahat, admixti sibi facultatem medicamenti vincere interim poterit et in aliam plane speciem quod ex ambabus miscetur transferre. Siquidem quod materiae rationem in mixtione praestabit, nullam insignem neque speciem neque

Ed. Chart. XIII. [56.] Ed. Baf. II. (29.)

ἐν τῇ μίξει. κατὰ δὲ τὴν ἀπὸ τῶν ἐν μέρει πεῖραν ᾧδ᾽ ἂν μάθοις ὡς οὐ χρὴ τὸ λόγον ὕλης ἔχον οὔτε θερμαίνειν οὔτε ψύχειν οὔτε ξηραίνειν οὔθ᾽ ὑγραίνειν, εἰ πρῶτον μὲν ἀναμνησθείης ὧν ὀλίγον ἔμπροσθεν ἐμνημόνευσα ἐπὶ πίττης ὑγρᾶς καὶ ῥητίνης καὶ σμύρνης, ἀσφάλτου τε καὶ κεδρίνου καὶ δαφνίνου καὶ τῶν ἄλλων ὅσα θερμαίνει. ταῦτα γὰρ ἅπαντα μεθ᾽ ὕδατος ἀνατριβόμενα παραπλησίως ἐλαίῳ θερμαίνει μᾶλλον ἢ ψύχει καὶ ξηραίνει μᾶλλον ἢ ὑγραίνει, διὸ καὶ τὰς κοπώδεις αἰσθήσεις οὐ πάνυ τι λύειν πέφυκεν. οὔτε γὰρ τῆς αὐτῆς ἐστιν ὕδατι δυνάμεως, ὡς συνεργάζεσθαί τι μᾶλλον ἢ ἀντιπράττειν, οὔτε τῆς μέσης τῶν ἄκρων, ἵν᾽ ὡς ὕλη τις ὑπηρετῇ τῷ πρώτως ἐνεργοῦντι. ξηραίνει γὰρ καὶ θερμαίνει μᾶλλον, οὐχ ὑγραίνει, καὶ ψύχει καθάπερ ὕδωρ. εἰ δέ τινι τῶν ἰσχυρῶς ξηραινόντων τε καὶ θερμαινόντων ἀναμίξαις ὕδωρ, οὐ μόνον οὐδὲν ὧν πέφυκε δρᾷν ὄψει γιγνόμενον, ἀλλὰ καὶ τελέως ἀμαυρούμενον ὡς εἰ μηδὲ τὴν ἀρχὴν ἐμέμικτο. χαλκῖτις οὖν καὶ σανδαράχη καὶ μίσυ

facultatem exerat oportet. In particularibus vero experiundis hoc maxime pacto addifces, non debere id quod materiae rationem obtinebit aut calefacere aut frigefacere aut humectare aut reficcare, fi primum quidem in memoriam revoces quae fupra de refina et pice liquida, myrrha, bitumine tum cedrino et laurino caeterisque quae calefaciunt commemoravimus. Haec enim omnia in aqua trita ad modum olei calefaciunt magis quam refrigerant, deficcant plus quam humectant: quamobrem laffitudinis fenfus non admodum folvere valent. Haud enim eandem cum aqua vim obtinent, quo fcilicet auxilio magis fint quam adverfentur, neque mediam inter extrema naturam fortita funt, ut videlicet tanquam materia quaedam inferviant primario agenti: deficcant enim et calefaciunt potius, non humectant, ac refrigerant, velut aqua. Si vero calefacientium admodum reficcantiumque cuipiam aquam commifceas, non modo nihil eorum quae agere nata eft fieri videbis, fed prorfum obfcuratam, tanquam omnino admixta non effet. Siqui-

Ed. Chart. XIII. [56.] Ed. Baf. II. (29.)

καὶ τἄλλ' ὅσα θερμαίνει τε σφοδρῶς ἡμᾶς καὶ ξηραίνει, φυλάττει τὴν ἑαυτῶν ἔτι δύναμιν ἰσχυρὰν ὕδατι μιχθέντα. πανταχόθεν οὖν δῆλον ὡς μέσον εἶναι χρὴ τὴν κρᾶσιν ὅτι περ ἂν ἑκατέροις τοῖς ἄκροις ὑπηρετήσειν μέλλῃ, καθάπερ ὕλη τις, ὥσπερ καὶ τοὔλαιον ἐν τῇδε τῇ χώρᾳ τιθεὶς οὐκ ἂν ἁμάρτοις. ὁμολογήσει γάρ ἅπαντά σοι τὰ κατὰ μέρος ἔργα καὶ μέμψῃ τοῦ μήκους τῶν λόγων οὐχ ἡμᾶς, ἀλλ' ὅσοι τὴν ὀρθὴν ὁδὸν ὑπερβαίνοντες ἐπὶ μοχθηράς τε καὶ μακρὰς ἐκτρέπονται. διὸ καὶ τοῦτον ἠναγκάσθην ἐγὼ μηκῦναι τὸν λόγον, ἐπεὶ τό γ' ἀληθὲς αὐτὸ ταχίστην ἔχει τὴν εὕρεσιν, ὡς ἂν ἐξ αὐτῶν τῶν ἐναργῶς φαινομένων ὁρμώμενον. οὐ μὴν οὐδ' εἰς τοσοῦτον ἐμήκυνα τὸν λόγον εἰς ὅσον ἐγχωρεῖ τῷ καὶ πάντα τὰ κακῶς ὑπ' αὐτῶν εἰρημένα γράψαι προῃρημένῳ καὶ τὰς αἰτίας τῶν σφαλμάτων ἐκδιδάξαι. καίτοι γε τὰς αἰτίας εἰπεῖν ἴσως ἀναγκαῖόν ἐστιν ὑπὲρ τοῦ φυλάττεσθαί τε τοὺς ἐξ αὐτῶν παραλογισμοὺς ἐν ἁπάσῃ τῇ κρίσει τῶν κατὰ μέρος φαρμάκων ἔχεσθαί τε τῆς ἀληθοῦς διδασκαλίας ἐπιστημονικώτερον.

dem chalcitis, fandarache, mify, caeteraque quae nos vehementer tum calefaciunt tum reficcant, validas etiamnum fuas vires etiam aquae permixta obtinent. Omnino ergo conftat mediam obtinere temperiem debere, quod utrisque extremis tanquam materia inferviet: quem in ordinem oleum fi ftatuas, nihil utique peccaveris, quippe quum omnia figillatim opera tibi confentiant. Et accufabis prolixitatis non nos utique, fed qui recta via praeterita pravam prolixamque fectantur: quorum fane caufa hunc nos fermonem extendere fumus coacti. Ipfa enim veritas celerrimam inventionem obtinet, ut quae ab evidenter apparentibus exoriatur. Haudquaquam tamen eo usque orationem produxi, quousque licuerat ei qui omnia quae prave ab iis prodita erant fcripturum fe caufasque errorum edocturum fuerat pollicitus. Sane caufas dixiffe neceffe fortaffis fuerit, nempe quo qui ex ipfis proveniunt, paralogismos in tota particularium medicamentorum judicandi ratione cavere poffis, ve-

αὐξάνονται γὰρ ἡμῖν αἱ περὶ τῶν πραγμάτων πίστεις, ὅταν μὴ μόνον αὐτὸ γιγνώσκωμεν τἀληθὲς, ἀλλὰ καὶ τῶν παραλογισμῶν ἁπάντων τὰς αἰτίας ἐκμάθωμεν. τοῦτο μὲν οὖν ἐν τοῖς ἑξῆς ἐργασόμεθα.

Κεφ. κζ. [57] Νυνὶ δὲ περὶ ῥοδίνου βραχέα προσθεὶς ἐπὶ τοῖς κατ' ἀρχὰς εἰρημένοις ἐν τῷδε καταπαύσω τὸν λόγον. εἴρηται μὲν οὖν ὡς οὔτ' ὀσμαῖς οὔτε χρόαις οὔτ' ἄλλῳ τινὶ τῶν συμβεβηκότων εὔλογόν ἐστι προσέχειν τὸν νοῦν ἐν ταῖς τῶν δυνάμεων ἐξετάσεσιν, ἀλλὰ τοῖς ἐναργῶς φαινομένοις ἐπί τε τῶν ὑγιαινόντων καὶ νοσούντων σωμάτων. ἀποδέδεικται δὲ καὶ ὡς τοὔλαιον, ὅταν ἄναλον ᾖ καὶ καθαρὸν ἀκριβῶς, ἐκ τῆς μέσης ὕλης ἐστίν. ὥστε καὶ τὸ ῥόδινον χρὴ τὸ ἀκριβὲς καὶ ἁπλοῦν καὶ ὄντως ῥόδινον ἐξ ἐλαίου τε τούτου κατεσκευάσθαι καὶ μηδὲν ἐν ἑαυτῷ φαρμακωδέστερον ἔχειν, ὥσπερ εἰώθασιν οἱ μυρεψοὶ σκευάζειν, ὑπὲρ τοῦ μόνιμόν τε καὶ εὐωδέστερον γενέσθαι προστύφοντες ἀρώμασι τοὔλαιον πρὶν ἐμβαλεῖν τὰ ῥόδα. κάλλιον δὲ ἴσως ἐστὶ καὶ τοῖς ὀνόμασιν διαστέλλειν αὐτὰ,

ramque doctrinam cum majori fcientia percipere. Crefcit enim nobis de rebus fides, ubi non folum ipfam veritatem cognorimus, fed etiam paralogismorum omnium caufas edidicerimus: quod fane in fequentibus efficiemus.

Cap. XXVII. Nunc autem ubi pauca de rofaceo ad ea quae ab initio funt dicta adjecerimus, orationem hoc in loco fiftemus. Igitur dictum eft quod neque odoribus, neque coloribus, neque aliis omnino accidentium animum adhibere in expendendis facultatibus rationabile fit, fed iis quae perfpicuo apparent tum in fanis corporibus tum in aegris. Oftenfum etiam eft oleum, ubi falis expers purumque ad unguem fuerit, ex media effe materia. Conficiendum itaque rofaceum, quod exactum fimul ac fimplex, reque vera rofaceum erit ex hoc videlicet oleo: dandaque opera ne quid in fe medicamentofi contineat: uti apparare folent unguentarii, quo videlicet tamen magis duret, tum odoratius evadat, oleum videlicet prius quam rofas injiciant, odoramentis praecondientes. Ac praeftiterit fortaffis

καθότι καὶ τοὺς παλαιοὺς οἶδα ποιοῦντας. ἔλαιον μὲν γὰρ ῥόδινον ὀνομάζουσιν τὸ χωρὶς τῶν ἀρωμάτων σκευασθέν. ὅτῳ δ᾽ ἐπεμβέβληταί τι καὶ τούτων, οὐκ ἔλαιον ἔτι τὸ τοιοῦτον, ἀλλὰ μύρον ἤδη προσαγορεύουσιν. ὥστε ἐπειδὴ τὸ μὲν ἔλαιον οἷον ὕλη τίς ἐστιν τῶν θερμαινόντων τε καὶ ψυχόντων φαρμάκων ἐκ τῆς μέσης κράσεως ὑπάρχον, ἐξ ἐλαίου δὲ καὶ ῥόδων χυλῶν σύγκειται τὸ ῥόδινον, ἔστι δήπου καὶ αὐτὸ τοιοῦτον τὴν κρᾶσιν οἷός περ καὶ ὁ τῶν ῥόδων χυλός. ἔστι δὲ δήπου ῥᾷστον οὐ ῥόδων χυλοῦ μόνον αὐτοῦ καθ᾽ ἑαυτὸν, ἀλλὰ καὶ συνθέντας ἔλαιον ῥόδινον ἐπί τε τῶν ὑγιαινόντων καὶ νοσούντων, ὡς ἤδη πολλάκις εἴρηται, τὴν βάσανον αὐτοῦ ποιήσασθαι τῆς δυνάμεως. εὑρήσεις οὖν ἐμψυχομένους μὲν ὑπ᾽ αὐτοῦ τοὺς ἔτι κεκαυμένους καὶ παραχρῆμά τινος ὠφελείας αἰσθανομένους, βλαπτομένους δ᾽ ἐναργῶς ἅπαντας τοὺς ἐψυγμένους, ὥστε σε σαφῶς ἑκατέρωθεν συνιέναι τῆς δυνάμεως αὐτοῦ ψυχούσης μᾶλλον ἢ θερμαινούσης. οὐ μὴν ἰσχυρά γε ἡ ἀπὸ ῥοδίνου φαίνεταί σοι ψύξις, ἀλλ᾽ ἐγγυτάτω πως εἶναι

ipfis etiam nominibus ea diftinguere, quod veteres feciffe conftat. Oleum etenim rofaceum nominare adfolent quod absque odoramentis praeparatum eft: cui autem et horum aliquid inditum fuerit, non id etiam oleum, fed unguentum cognominant. Itaque quum oleum velut materia quaedam fit excalefacientium refrigerantiumque medicamentorum ex media videlicet temperie, conftetque ex oleo et rofarum fucco rofaceum, eft utique et ipfum talis temperiei, qualis eft rofarum fuccus. Sane vero facillimum fuerit non modo rofarum fucci per fe, fed oleo quoque rofaceo confecto in fanis pariter atque aegrotis, ut jam frequenter monuimus, virium ejus periculum facere. Experieris ergo eos, qui aduftione tentantur, ab eo refrigerari protinusque utilitatem aliquam percipere, qui vero refrigerati funt, omnes evidenter laedi: facile ex utroque intelligas vires ejus refrigerare magis quam excalefacere. Non tamen valida a rofaceo apparet tibi refrigeratio, fed quae proxima videatur

Ed. Chart. XIII. [57.] Ed. Baf. II. (29.)

δόξει τῆς μέσης κράσεως. ὀνομάζω δὲ τὰ τοιαῦτα φάρμακα σαφοῦς ἕνεκα διδασκαλίας ἐκ τῆς πρώτης φύσεώς τε καὶ τάξεως τῶν ψυχόντων, ὥσπερ αὖ καὶ ὅσα βραχὺ τῆς μέσης κράσεως ἐπὶ τὸ θερμότερον ἀποκεχώρηκεν, ἐκ τῆς πρώτης ἀποστάσεώς τε καὶ τάξεως τῶν θερμαινόντων. ταυτὶ μὲν ἐν τῷ παρόντι περὶ ῥοδίνου χρὴ γινώσκειν. ἀναγκαῖον γάρ ἔσται μοι καὶ κατὰ τὸν ἑξῆς λόγον ἔτι μνημονεῦσαί τε τοῦ φαρμάκου καὶ προσθεῖναι τὰ λείποντα ὧν εἴπομεν.

temperiei mediae. Voco autem id genus medicamenta lucidioris doctrinae gratia ex prima natura ordineque refrigerantium: ficut rurfum quae paululum a media temperie ad calidiorem declinarunt ex primo receffu et ordine excalefacientium. Atque haec quidem inpraefentiarum de rofaceo noviffe oportet. Neceffe enim erit et in fequenti libro ipfius medicamenti meminiffe et quae reliqua funt dictis adjicere.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΑΣΕΩΣ ΚΑΙ ΔΥΝΑΜΕΩΣ ΤΩΝ ΑΠΛΩΝ ΦΑΡΜΑΚΩΝ ΒΙΒΛΙΟΝ Γ.

Ed. Chart. XIII. [58.] Ed. Baſ. II. (29.)

Κεφ. α'. Ἐγὼ μὲν ὅτι χρήσιμον αὐτὸ πρὸς τὰς ἰάσεις μόνον ἐν τῇδε τῇ νῦν ἐνεστώσῃ πραγματείᾳ γράφειν ἐγνώκειν, πρώτους καὶ μάλιστα τοὺς θείους ἔχω μάρτυρας, εἶτα καὶ τοὺς παρακαλέσαντας ἑταίρους, ἐπιμνησθῆναί με καθ' ὅσον ἐγχωρεῖ τῶν οὐκ ὀρθῶς ἀποφηναμένων περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως. εἰ δέ τις ἄχθεται τῷ μήκει τῶν λόγων, οὐχ ἡμῖν χρὴ μέμφεσθαι τοῦτον, ἀλλὰ τοῖς τὰ

GALENI DE SIMPLICIVM MEDICAMENTORVM TEMPERAMENTIS AC FACVLTATIBVS LIBER III.

Cap. I. Quod equidem nihil niſi quod utile curandis morbis foret hoc tractatu deſcribere decreverim, primo potiſſimumque deos hujus rei teſtes habeo: deinde et amicos meos, qui me tum ut hoc opus aggrederer tum ut quae ab aliis perperam de medicamentorum facultatibus ſunt prodita, quoad licet, commemorarem, aſſidue hortari non deſtiterunt. At ſi quis erit, qui orationis nimia grave-

πιθανὰ μὲν, οὐκ ἀληθῆ δὲ γράψασιν ἰατροῖς. ὡς ἔγωγε καὶ νῦν ἔτι δέδοικα μὴ διὰ τὸ τάχος τῆς πρὸς αὐτοὺς ἀντιλογίας ἔνια τῶν σοφισμάτων παρακρούσηται τοὺς ὁμιλοῦντας αὐτοῖς νέους. εἰ μὲν γὰρ γεγυμνασμένοι κατὰ τὰς λογικὰς μεθόδους καὶ γιγνώσκοντες ὡς χρὴ λύειν σοφίσματα προσήρχοντο ταῖς τῶν βιβλίων ἀναγνώσεσιν, οὐκ ἂν ἔλαθον αὐτοὺς οὔθ' οἱ παραλογιζόμενοί τι κατὰ τὰς ἀποδείξεις οὔθ' ἡμεῖς συντόμως αὐτὸ τἀληθὲς ἐκδιδάσκοντες. ἐπεὶ δ' ἀγύμναστοί τέ εἰσιν οἱ πλείους τῶν ἰατρῶν αὐτῶν ἐν τοῖσδε καί τινες πρὸς τούτῳ καὶ ἀργότεροι φύσει τὸν λογισμὸν, εἰ μὴ τῆς παρ' ἡμῶν ἐπιτύχοιεν οὗτοι βοη(30)θείας ἐλεγχόντων τὰ σοφίσματα, πεισθήσονται ῥᾳδίως ὑπὸ τῶν σοφιστῶν, ὥστε ὅσῳ μὲν ἐπὶ τοῖσδε κἂν λείπειν τι δόξαι τῇ πραγματείᾳ. ἀλλὰ γὰρ ἐπεὶ μὴ δυνατόν ἐστιν ἁπάντων στοχάζεσθαι τῶν ἀναγνωσομένων [59] ἀνομοίων ὑπαρχόντων, οὐ ταῖς φύσεσι μόνον, ἀλλὰ καὶ ταῖς ἡλικίαις καὶ ταῖς ἕξεσιν, ὃ μάλιστα τοῖς πλείστοις ἐδόκει χρήσιμον ἔσεσθαι

tur prolixitate, non id mihi jure imputaverit, fed iis medicis qui probabilia quidem at non vera fcripferunt. Nam et ego nunc quidem etiam magnopere vereor, ne quia paucioribus illos confutavimus, fophismata quaedam converfantes cum illis adolefcentulos a recta opinione dejiciant, quandoquidem fi in dialecticis methodis exercitati, aut captionum folvendarum periti ad libros legendos accederent, tum fane eos cognofcerent qui perperam ratiocinantur in demonftrationibus et nos qui veritatem compendio tradimus. Quoniam vero vel ipforum medicorum plerique nequaquam in iftis funt exercitati, tum inter illos quoque nonnulli repeiriuntur ingenio natura tardiufculo, hi nifi noftris fuppetiis, qui fophifmata arguimus, juventur, non aegre perfuafi in fophiftarum fententiam perducentur. Itaque quod ad iftos attinet, deeffe huic etiam operi quippiam videatur. Verum enimvero quandoquidem ad omnes mihi orationem accommodare non licet, quum tanta fit eorum qui haec legent non modo naturarum, fed etiam aetatis et habituum diverfitas,

λόγων εἶδος ἐν τοῖς πρὸ τούτου δυοῖν ὑπομνήμασιν ἐποιησάμην, ἐν μὲν τῷ πρώτῳ περὶ ὄξους καὶ ὕδατος δυνάμεως ἐπισκεψάμενος, ἐν δὲ τῷ δευτέρῳ τὰ πλεῖστα μὲν ὑπὲρ ἐλαίου διῆλθον, ὀλίγα δέ τινα καὶ περὶ ῥοδίνου προσθείς. ἐν δὲ τῷ τρίτῳ τῷδε ποιήσομεν τοιοῦτον τὸν λόγον ὁποῖον εὐθὺς ἐξ ἀρχῆς ἔγνωκειν μεταχειρίσασθαι, διελόμενος μὲν τὰ σημαινόμενα πρῶτον ἑκάστου τῶν ὀνομάτων· ἐφεξῆς δὲ τὰ οἷον στοιχεῖα τῆς πραγματείας ἁπάσης διελθὼν, εἶθ' οὕτως ἐπὶ τὰς οἷον συλλαβὰς ἀφικόμενος, ἐξ ὧν ἤδη τὸ τέλος αὐτὸ τῆς πραγματείας, ἐφ' ὃ σπεύδομεν, ἑτοίμως ἕψεται.

Κεφ. β'. Ἡ μὲν δὴ τῶν ὀνομάτων διαίρεσις οὐδὲν περιττότερον ἐκδιδάσκει τῆς ἐν τῷ τρίτῳ περὶ κράσεως εἰρημένης κἀν τῷ πρώτῳ τῶνδε τῶν ὑπομνημάτων, ἀναμνήσω δ' αὐτῆς καὶ νῦν. ἕκαστον τῶν σωμάτων ἤτοι θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν λέγεταί τε καὶ φαίνεται ποτὲ μὲν κατὰ τὴν ἑαυτοῦ φύσιν ἐστὶν, ποτὲ δὲ ἐπίκτητόν τινα ποιότητα προσειληφός. ἔθος δ' ἐστὶν ἡμῖν λέγειν τὸ μὲν κατὰ τὴν ἑαυτοῦ φύσιν πρώτως τε καὶ καθ' ἑαυτὸ καὶ δι' ἑαυτὸ

quod utique vifum eft fore maximae parti utiliffimum orationis genus, id fuperioribus duobus commentariis fequuti fumus. In quorum priore quidem de aquae acetique viribus contemplati fumus. In fecundo maximam partem de oleo peregimus, pauculis poftea de rofaceo adjectis. At in hoc tertio libro ejusmodi utemur oratione, qualem ab initio protinus habere inftitueramus, idque definitis primum vocis cujusque fignificatis. Deinde tractatus hujus velut elementa tradituri mox velut ad fyllabas accedemus, ex quibus operis finis, ad quem contendimus, prompte fequetur.

Cap. II. Caeterum vocum divifio nihil accuratius edocebit quam quae in tertio de temperamentis fimulque in primo commentariorum iftorum funt prodita, repetam tamen eam nihilo fecius et in praefentia. Corporum unumquodque aut calidum aut frigidum aut humidum aut ficcum et dicitur et apparet, interdum quidem ex fua natura, interdum autem adventitia qualitate affumpta. Confuevimus autem quod ex fua natura eft primario et fecundum

δυνάμει τοιοῦτον ὑπάρχειν τε καὶ φαίνεσθαι· τὸ δὲ τὴν ἐπίκτητον προσειληφὸς ποιότητα κατά τι συμβεβηκὸς εἶναι καὶ φαίνεσθαι τοιοῦτον. αὐτῶν δὲ τῶν κατὰ τὴν οἰκείαν φύσιν ἤτοι θερμῶν, ἢ ψυχρῶν, ἢ ξηρῶν, ἢ ὑγρῶν εἶναι λεγομένων, τὰ μὲν ἐνεργείᾳ τοιαῦτα ὑπάρχει, τὰ δὲ δυνάμει, διαφέροντος τοῦδε τοῦ νῦν εἰρημένου δυνάμει παρὰ τὸ μικρῷ πρόσθεν ῥηθέν· ἐκεῖνο μὲν γὰρ τῷ κατὰ συμβεβηκὸς ἀντιδιῄρητο, τουτὶ δὲ τῷ κατ᾽ ἐνέργειαν. αὐτῶν δὲ τῶν κατ᾽ ἐνέργειαν τὸ μὲν ἁπλῶς λέγεται θερμὸν, ἢ ψυχρὸν, ἢ ὑγρὸν, ἢ ξηρὸν, ὥσπερ τὰ στοιχεῖα, τὸ δὲ κατ᾽ ἐπικράτειαν, ὥσπερ ἄνθρωπος καὶ ἵππος καὶ βοῦς καὶ κύων καί ὅλα τὰ ζῶα· τὸ δέ τι πρὸς τὸ σύμμετρον ὁμογενὲς, ἢ ὁμοειδὲς, ὥσπερ εἰ τύχοι λέων μὲν ἀνθρώπῳ παραβαλλόμενος, ἄνθρωπος δ᾽ ἀκμάζων παιδί. τὸ δὲ πρὸς ὁτιοῦν τὸ ἐπιτυχὸν, οἷον ὁ Δίων πρὸς τὸν Θέωνα. καὶ δὴ καὶ τῶν δυνάμει λεγομένων σωμάτων εἶναι τοίων ἢ τοίων ἀναγκαῖον ἔφαμεν ἕκαστον ὡς πρὸς τὸ κατ᾽ ἐνέργειαν ἀναφερόμενον λέγεσθαι, τὸ μὲν ὅτι ῥᾳδίως ἐκπυροῦται πρὸς τὸ καί

fe et per fe potentia tale et effe et videri dicere, quod vero adfcititiam acquifierit qualitatem, ex accidenti quopiam effe viderique ejusmodi. Porro eorum quae propria fua natura aut calida aut frigida aut ficca aut humida dicuntur quaedam actu feu energia talia exiftunt, alia potentia; differente quidem hoc potentiae modo, quem nunc diximus ab eo quem paulo ante dicebamus; illic enim ex adverfo dividebatur ei quod ex accidenti dicitur, hic vero ei quod actu. Sed et eorum quae actu dicuntur aliud quidem abfolute eft calidum, frigidum, ficcum, aut humidum, velut elementa, aliud exceffu, ut homo, equus, bos, canis et univerfa animalia, aliud ad fymmetrum feu generis fui feu fpeciei, ut verbi caufa leo cum homine comparatus, homo autem aetate florens cum puero, alind ad quidvis obvium, ut Dion ad Theonem. Quin et corpora quae potentia talia ut talia dicuntur, unumquodque ut ad id quod eft actu relatum dici neceffario monuimus, id quidem quod facile accenditur ad

ἐνέργειαν ἁπλῶς θερμὸν, τὸ δ' ὅτι τὰ ζῶα θερμαίνει πρὸς τὸ κατ' ἐπικράτειαν. οὕτω δὲ καὶ τὸ μὲν ἄνθρωπον θερμαῖνον ὡς πρὸς ἄνθρωπον εἶναι δυνάμει θερμὸν, τὸ δὲ βοῦν ἢ ἵππον ὡς πρὸς βοῦν ἢ ἵππον. ὁμοίως δὲ καὶ τὸ μὲν τῷδέ τινι τῷ ἀνθρώπῳ, τὸ δὲ θερμὸν ἢ ψυχρὸν ἢ ὑγρὸν ὑπάρχον ἐκείνου μόνον τῇ φύσει παραβαλλόμενον.

Κεφ. γʹ. Ἐκ τῆς διακρίσεως ταύτης τῶν ὀνομάτων ὠφελήθημεν εἰς τὴν τῆς κράσεως αὐτῶν ἐπίγνωσιν. εἰ μέν τι πρὸς ἄνθρωπον λέγοιτο θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν, ἀποχωρεῖν μὲν ἀξιοῦντες τῶν ἄλλων ἁπάντων ζώων, ἐπ' αὐτοῦ δὲ μόνου τὴν πεῖράν τε καὶ τὴν βάσανον τἀνθρώπου ποιεῖσθαι. εἰ δέ τι πρὸς βοῦν, ἢ ἵππον, ἢ ἔλαφον, ἤ τι τῶν ἄλλων τινῶν ζώων, ἐπ' ἐκείνου πάλιν αὖ μόνου γίγνεσθαι τὴν πεῖραν. ἐν τούτοις δὲ καὶ [60] τοὺς ἀπὸ συστάσεως, ἢ χροιᾶς, ἢ βάρους, ἢ κουφότητος, ἢ τῆς πρὸς γεῦσιν, ἢ τὴν ὀσμὴν ἑκάστου τῶν φαρμάκων ποιότητος ἐξευρίσκειν πειρωμένους αὐτῶν τὰς δυνάμεις ἐμεμψάμεθα. ταυτὶ μὲν οὖν ἅπαντα τῇ τῶν ὀνομάτων ὀρθῇ διαιρέσει φαίνεται συνακο-

id quod actu eſt abſolute calidum, hoc vero quod alia calefacit ad id quod per exuperantiam, ſic quod hominem calefacit eſſe ut ad hominem potentia calidum, quod vero bovem aut equum, ut ad bovem et equum, ſimiliter hoc huic, verbi cauſa, homini, illud vero illi calidum, frigidum, ſiccum, aut humidum eſt, illius naturae comparatum.

Cap. III. Ex hac nominum diſtinctione et ad aſſequendam temperamenti cognitionem ſumus adjuti. Siquidem ſi ad hominem quid dicatur calidum, a caeteris omnibus animalibus recedendum et in ipſo duntaxat homine periculum ſumendum explorandumque cenſuimus. Si vero quid ad equum, bovem, cervum, aut aliorum animalium quodvis, in ipſo rurſum periculum faciendum erit. Interim vero et illos quoque caſtigabimus qui ex conſiſtentia, colore, odore, ſapore, gravitate levitateque cujusque medicamenti exiſtentem in ſingulis facultatem invenire tentarunt. Atque haec utique rectae nominum diſtinctioni conſentanea videntur. At quae velut elementa hujus eſſe ſpeculationis pro-

λουθήσαντα, τὰ δ᾽ οἷον στοιχεῖα τῆς προκειμένης θεωρίας, ἐν τῇ γνώσει τῶν πρώτων εἶναι ποιοτήτων ἐδείκνυμεν, ἃς ἐν τῷ περὶ τῶν καθ᾽ Ἱπποκράτην στοιχείων ἀπεδείξαμεν, ὑγρότητα καὶ ξηρότητα, θερμότητα καὶ ψυχρότητα, σχεδὸν δὲ καὶ ἡ τούτων εὕρεσις ὑπῆρξεν ἡμῖν ἐκ τοῦ τὰ σημαινόμενα τῶν ὀνομάτων ὀρθῶς διαστείλασθαι. φάρμακον γὰρ τροφῆς διορίσασθαι τῷ τὸ μὲν ἀλλοιοῦν κατὰ ποιότητα, τὴν δ᾽ ἐξομοιοῦσθαι τῇ τοῦ σώματος οὐσίᾳ, κατὰ τὸν λόγον ἐντεῦθεν ἐποδηγήθημεν εἰς τὴν τῶν ἀλλοιουσῶν ἡμᾶς ποιοτήτων εὕρεσιν.

Κεφ. δ΄. Διττῶν δ᾽ οὐσῶν τῶν ἀλλοιώσεων κατὰ γένος, τῶν μὲν εἰδοποιῶν, αἳ δὴ καὶ κυρίως καὶ πρώτως ἀλλοιώσεις ὀνομάζονται, τῶν δὲ καταθραυουσῶν τε καὶ συναγουσῶν τὰ μόρια τοῦ σώματος ἡμῶν, ἃς καταχρώμενοι μᾶλλον ἢ κυρίως ὀνομάζοντες ἀλλοιώσεις καλοῦσιν, τὰς τῶν φαρμάκων δυνάμεις ἐν ταῖς πρώταις φαμὲν περιέχεσθαι: μηδενὶ γὰρ δύνασθαι μεταβάλλειν ἐξ εἴδους εἰς εἶδος ἄνευ τοῦ θερμανθῆναί τε καὶ ψυχρανθῆναι καὶ ξηρανθῆναι καὶ

posuimus, in primarum confiſtere qualitatum cognitione oſtendimus. Quas quidem in libro de elementis ſecundum Hippocratem humiditatem, ſiccitatem, caliditatem frigiditatemque eſſe demonſtravimus, propeque harum quoque inventionem aſſequebamur ex ſignificatis nominum recte diſtinguendis. Etenim quum medicamentum ab alimento discerneremus, quod medicamentum in qualitate alteraret, alimentum vero ſubſtantiae corporis adſimilaretur, recte hinc ad alterantium nos qualitatum inventionem perducti ſumus.

Cap. IV. Porro quum duplices ſint in genere alterationes aliae ſpecificae, quae proprie ſane et primario dicuntur alterationes, aliae vero quae contendunt et contrahunt corporis noſtri partes, quas utique potius per abuſum quam proprie nominantes alterationes vocant, in primo genere medicamentorum contineri facultates diximus. Nec enim quicquam ex ſpecie in ſpeciem mutari queat citra calefactionem, refrigerationem, humectationem et exiccatio-

ὑγρανθῆναι. λέγω δὲ ἐξ εἴδους εἰς εἶδος, ὅταν ἐξ ἄρτου καὶ πτισάνης καὶ φακῆς αἷμα καὶ φλέγμα καὶ χολὴ γίγνηται ξανθή τε καὶ μέλαινα, κἀκ τούτων πάλιν ὀστοῦν καὶ πιμελὴ καὶ νεῦρον καὶ σάρξ, ἀρτηρία τε καὶ φλέψ, ἕκαστόν τε τῶν ἄλλων τοῦ ζώου μορίων. εἰ δέ τι τέμνον ἡμᾶς, ὥσπερ ὕαλος ἢ ξίφος, ἢ θλῶν, ὡς λίθος καὶ μόλυβδος, ἢ συνάγων τὰ κεχωρισμένα, καθάπερ ἐπίδεσις ἀλλοιοῖ πως τὰ μόρια ταῦτα, οὐκ εἶναι φάρμακα· μηδὲ γὰρ τὴν τοιαύτην ἀλλοίωσιν ἐξιστάναι τῆς οἰκείας φύσεως ἕκαστον τῶν ὄντων. ἄν τε γὰρ θραύσῃς εἰς πολλὰ καὶ κατατέμῃς ἄρτον, ἄν τε ἐκ πολλῶν καὶ σμικρῶν ἀθροίσῃς εἰς ἕν, οὐκ ἐξίσταται τῆς οἰκείας ἰδέας, οὐδὲ σάρξ μὲν ἄν τ' ἄρτου γίγνεται καταθραυόμενος, ὀστοῦν οὐδ' εἰ οὕτως ἔτυχε συναγόμενος, ἀλλ' ἐν τῷ πέττεσθαι κατά τε τὴν γαστέρα καὶ τὰς φλέβας εἰς αἷμα καὶ φλέγμα μεταβάλλων, εἶτ' ἐκ τούτων εἰς ὀστοῦν καὶ σάρκα καὶ τἄλλα τοῦ σώματος μόρια, κατὰ τὴν οὐσίαν ὅλην ἀλλοιοῦται καὶ τῆς ἀρχαίας ἐξίσταται φύσεως, εἰς ἕτερον εἶδος μεθιστάμενος. οὐ μὴν ἐξ ἄλλου τινὸς ἢ ἐκ τοῦ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ

nem. Dico autem ex fpecie in fpeciem, velut quum ex pane, ptifana, lente, fanguis, pituita, bilis tum flava tum atra, atque ex his iterum adeps, os, nervus, caro, arteria, vena, atque adeo caeterarum animantis partium unaquaeque gignitur. At fi fecando nos quippiam, velut vitrum et enfis, aut contundendo, ut lapis et plumbum, aut fegregata coarctando, ut vinculum, quadantenus partes alteret, ea haud pharmaca fuerint, quippe quum ejusmodi alteratione nullae rerum omnium ex propria recedant natura. Etenim five minutim panem frangas concidasque, five minutim concifum colligas in unum, non tamen propriam ideo formam exuet, neque caro ex pane fiet per contufionem neque os exempli gratia per coarctationem, verum dum in ventre venisque concoquitur, in fanguinem pituitamque abit atque inde ex iftis in os, carnem et alias corporis partes tota fua fubftantia alteratur veteremque naturam exuit, in aliam tranfiens fpeciem. Nec tamen ab alio quopiam quam calore, frigore, humiditate, ficcitateque eas quae fiunt in

καὶ ὑγροῦ τὰς εἰς ἕτερον εἶδος οὐσίας ἀλλοιώσεις τε καὶ μεταβολὰς ἐδείχθη δεχόμενα τὰ πάθη τοῦ σώματος σύμπαντα. καὶ κατὰ τοῦτο τὰς πρώτας τε καὶ στοιχειώδεις εἰδοποιοὺς ποιότητας ἔφαμεν εἶναι τέτταρας, ὑγρότητα, ξηρότητα, θερμότητα, ψυχρότητα, καὶ ζητοῦμεν ἕκαστον τῶν φαρμάκων, ἥντινά ποτε καὶ τούτων ἐν τῇ κράσει κέκτηται πλεονεκτοῦσαν. εὐθέως οὖν ἐν τούτῳ πρώτῳ οἱ πλεῖστοι τῶν ζητησάντων αὐτὰς ἐσφάλθαι μοι δοκοῦσιν, ἐν τῷ τὴν πλεονεκτοῦσαν ἁπλῶς ἐπισκέπτεσθαι, καθάπερ τινὲς φυσικοὶ φιλόσοφοι. καὶ δὴ καὶ παραλογίζεσθαί τε πολλοὺς αὐτῶν ἀμεθόδως ἀναγινώσκοντας τὰ Θεοφράστου καὶ Ἀριστοτέλους συγγράμματα.

Κεφ. ε΄. [61] Καίτοι πάμπολυ τὸ διάφορόν ἐστιν ἢ ὡς πρὸς τὴν ὅλην φύσιν ἀποβλέποντας, ἢ ὡς πρὸς ἀνθρώπους μόνον ὑπὲρ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ, διαιρεῖσθαι. πρὸς μὲν γὰρ τὴν ὅλην φύσιν ἀποβλεπόντων, διχῶς ἕκαστον τούτων λέγεται, τὸ μὲν ἁπλῶς, τὸ δ' ἐπικρατείᾳ. τῶν μὲν στοιχείων ἕκαστον ἁπλῶς, ἄνθρωπος δὲ καὶ

aliam eſſentiae ſpeciem, alterationes mutationesque ſinguli affectus corporis accipiunt, ut demonſtratum eſt. Atque hac ratione primas et elementarias ſpecificas qualitates quatuor eſſe diximus, humiditatem, ſiccitatem, caliditatem et frigiditatem, quaerimusque quam harum medicamentum unumquodque in mixtione pollentem poſſideat. Atque protinus in hoc primum plerique eas inquirentium lapſi videntur, quod videlicet pollentem abſolute tanquam naturales quidam philoſophi conſiderarent. Praeterea complures quoque eorum decipi videntur, quod ſine certa methodo Ariſtotelis Theophraſtique libros perlegant.

Cap. V. Siquidem permagni refert, an totius naturae reſpectu an hominum duntaxat de calido, frigido, humido ſiccoque definiamus. Nam totius naturae reſpectu biſariam horum unumquodque dicitur, partim abſolute, partim per exuperantiam, abſolute quidem unumquodque elementorum, homo vero, equus et bos per exuperantiam.

Ed. Chart. XIII. [61.] Ed. Baf. II. (30. 31.)

ἵππος καὶ βοῦς κατ᾽ ἐπικράτησιν. ἐν δὲ τῷ πρός τι γιγνομένης τῆς ἐξετάσεως, ἐκεῖνο χρὴ μόνον ἐπισκέπτεσθαι πρὸς ὅ λέγεται. ζητοῦμεν δ᾽ ἡμεῖς οὐκ εἰ πλέον ἁπλῶς ἐστιν ἐν θαλάττη τὸ ὑγρὸν τοῦ ξηροῦ, τοῦτο μὲν γὰρ ἐναργῶς ὁρῶμεν, ἀλλ᾽ εἰ πρὸς (31) ἄνθρωπον. οὐδ᾽ οὖν οὐδὲ πρὸς τοῦτον ἁπλῶς ουτωσὶ παραβαλλόμενον, ὡς εἰ καὶ λέοντα παραβάλλοις αὐτῷ, καὶ γὰρ καὶ οὕτως ὑγροτέρα ἀνθρώπου θάλαττα. πῶς οὖν ἔτι ζητοῦμεν, εἰ ξηρὰ τὴν δύναμίν ἐστιν ἡ θάλασσα; πῶς δ᾽ ἄλλως ἢ ἐν ἴσῳ τῷ ξηραντικὴ σώματος ἀνθρωπείου; εἰς τοῦτ᾽ οὖν ἀποβλέπειν χρὴ μόνον, ἐάσαντας τἄλλα. ποιοῦσι δ᾽ ἔμπαλιν οἱ πλεῖστοι τῶν ἰατρῶν, ἀποβλέπουσι γὰρ εἰς πάντα τἄλλα μᾶλλον ἢ εἰς τοῦτο. πῶς οὖν εἰς ἄνθρωπον ἐπιστραφέντες ἀποχωρήσαντές τε τῶν λοιπῶν, ὅπως ἔχει πρὸς τοῦτον ἐνεργείας ἡ θάλαττα γνωσόμεθα; ἢ δηλονότι προσφέροντες τῷ σώματι καὶ πεῖραν τοῦ γιγνομένου λαμβάνοντες ἔν τε τῷ λούειν ἐν θαλάττῃ καὶ καταβρέχειν ἢ καταντλεῖν, ἐπιτιθέναι τε πολλάκις μορίοις ἔριά τέ καὶ σπόγγους θαλάττῃ δεύσαντας, ἐπιπλάσμασί τε μιγνύναι καὶ κηρω-

Jam autem quum ad aliquid refpiciendo exploratio fiat, illud modo confiderandum erit, quodnam fit illud ad quod dicitur. Nos vero non id quaerimus, an in aqua marina humidi fimpliciter plus fit quam ficci, id enim clare confpicimus: fed fi ad hominem conferendo, neque tamen rurfum ad hunc fimpliciter, ac fi leonem illi compares, quippe quum fic homine humidior marina fuerit. Quonam igitur pacto fcrutabimur an ficca fit facultate marina? Quonam alio, obfecro, quam an corpus humanum inaequalitate quadam exiccare valeat? Itaque in hoc unum modo caeteris relictis intendendum. Atqui contra faciunt medicorum plerique, nam ad quidvis potius refpiciunt quam ad hoc. Quomodo ergo ad hominem converfi, reliquis praetermiffis, quanam in hoc agendi facultate polleat marina, cognofcemus an videlicet corpori applicantes, ficque ejus periculum fumentes lavando in marina, rigando, fovendoque, tum fubinde lanam aut fpongiam marina madentem partibus applicando; ad haec emplaftris ceratisque mifcendo, atque in his omni-

ταῖς, κἀν τούτοις ἅπασιν διορίσασθαι τοῦ κατὰ συμβεβηκὸς ἀποβαίνοντός ποτε τὸ κατὰ τὴν οἰκείαν αὐτοῦ τοῦ φαρμάκου δύναμιν ἀποτελούμενον; ἐν τούτῳ γάρ ἐστι τὸ πᾶν κῦρος τῆς εὑρέσεως, οὗ μόνον σχεδὸν οὐδεὶς αὐτῶν ἅπτεται. ἀλλ' αἱ τῶν φιλοσόφων ἀποφάσεις ἐξαπατῶσιν αὐτοὺς, οὐ δυναμένους αἰσθάνεσθαι τῆς ὁμωνυμίας.

Κεφ. στ'. Οὐ μόνον γὰρ, ὡς ἀρτίως εἴρηται, τὸ μὲν ἁπλῶς, τὸ δ' ἐπικρατείᾳ λέγεται πρὸς αὐτῶν. ἁπλῶς μὲν γὰρ τὸ πῦρ θερμὸν, ἐπικρατείᾳ δ' ἄνθρωπος, ἀλλὰ καὶ τὸ κατ' ἐπικράτειαν αὐτὸ διχῶς λέγεσθαι νομίζουσιν, τὸ μὲν κατὰ τοὺς ὄγκους τῆς οὐσίας, ὡς κἀν τοῖς περὶ κράσεων ὑπομνήμασιν ἡμεῖς διῃροῦμεν, οἷον εἰ δύο χοὰς ὕδατος ἄκρως ζέοντος ἀναμίξαις ἑνὶ χοΐ ψυχροῦ παντάπασιν ὕδατος, ἕτερον δὲ τὸ κατὰ τὴν τῶν ποιοτήτων ἐνέργειαν. τοῦτο δ' ἤδη δόγματος ἐχόμενον λέγουσιν, οὐκ ἔτ' ἐκ τῶν ἐναργῶς φαινομένων λαμβάνοντες. ὑποθέμενοι γὰρ τὸ μὲν ψυχρὸν συνάγειν καὶ πιλεῖν καὶ ἀκίνητον ἐργάζεσθαι τὴν οὐσίαν, τὸ δὲ θερμὸν ἀραιοῦν καὶ διαχεῖν καὶ πέττειν καὶ

bus ab eo quod ex accidenti quandoque evenit, id quod a propria medicamenti vi proficifcitur, diftinguendo? Nam in hoc omnis inventionis fumma confiftit, quam vix quisquam illorum attingit: fed eos philofophorum verba decipiunt haud potentes homonymiam percipere.

Cap. VI. Nam non folum, ut modo diximus, aliud fimpliciter, aliud per exuperantiam ab ipfis dicitur; fimpliciter enim ignis calidus eft, per exuperantiam homo. Verum quod per exuperantiam dicitur, bifariam quoque dici autumant, partim fecundum fubftantiae molem, velut et nos quoque in libris de temperamentis divifimus, ut fi cados duos aquae fumme ferventis uni cado aquae maxime algentis permifcueris, partim vero fecundum qualitatum affectum. Atque hoc quod ad dogma confequitur, ita dicunt, non ex iis quae evidenter apparent accipientes. Nam fupponentes frigidum omne contrahere conftipareque et fubftantiam reddere immobilem aut aegre mobilem, calidum vero ra-

κινεῖν εὐλόγως ἐν ἅπασι τοῖς φυτοῖς κρατεῖν ἀποφαίνονται τὸ θερμόν. μηδὲ γὰρ ἂν μήτε τὴν ἐκ τῆς γῆς ἀνάδοσιν τῆς τροφῆς ἐπὶ μήκιστον ἄλλως γενέσθαι, μήτ᾽ ἀλλοίωσιν αὐτοῦ μήτε πέψιν, ἀλλὰ μηδὲ τὴν αὔξησιν ὅλως τῶν φυτῶν ἢ τὴν βλάστησιν, ἢ τῶν καρπῶν τὴν γένεσιν, εἰ μὴ τὸ θερμὸν ἐκράτει· [62] καὶ οὕτως ἤδη πάλιν ἐν αὐτοῖς τοῖς φυτοῖς τὸ μὲν θερμότερον ἀποφαίνουσιν, τὸ δὲ ψυχρότερον. ἐκ ταύτης οὖν τῆς ὑποθέσεως ἤρτηται καὶ ὁ περὶ τῶν ῥόδων αὐτῶν λόγος ὅτι θερμά. κρατεῖ γὰρ ἐπὶ πλέον ἐν αὐτοῖς τὸ θερμὸν ἢ ἐν ἄλλοις τισὶ φυτοῖς. ἐξ ἑτέρας δ᾽ αὖ πάλιν ὑποθέσεως ὁ περὶ ἐλαίου τε καὶ πιμελῆς. ὅτι γὰρ ἂν ἐκφλογοῦται τάχιστα, διὰ τοῦτο θερμὰ τὴν δύναμιν εἶναί φασιν αὐτά. καὶ καθ᾽ ἕτερον δ᾽ αὖ τρόπον ὅσα γλυκέα, διότι γὰρ οἰκειότατα καὶ ὁμοιότατα ταῖς κράσεσιν ἡμῶν φύσει θερμῶν ὑπαρχόντων, διὰ τοῦτο καὶ ταῦτα θερμὰ εἶναί φασι. τοῖς μὲν οὖν φιλοσόφοις, ὡς ἂν περὶ τῆς ὅλης φύσεως ἀποφαινομένοις, ὀρθῶς τὰ τοιαῦτα ζητεῖται καὶ λέγεται· τοῖς δ᾽ ἰατροῖς, ἕτερον ἔχουσι

refacere, fundere, coquere, movere, rationabiliter in plantis omnibus vincere calidum pronunciant, ſiquidem haud aliter neque nutrimenti ex terra digeſtionem longiſſimam neque alterationem ejusdem, neque concoctionem, quin nec incrementum prorſum plantarum, neque germinationem neque fructuum generationem perfici poſſe, niſi calidum ſuperaret, atque ita rurſum inter plantas alias calidiores, alias frigidiores conſtituunt. Ex eadem iſta hypotheſi pendet ea ratio, qua roſas eſſe calidas contenderunt: ſiquidem in illis ſi in aliis ullis plantis, plurimum vincit caliditas. Ex altera rurſum hypotheſi dependet quod de oleo et adipe aſſruunt. Nam quod ociſſime inflammentur, idcirco calida eſſe ea facultate judicant. Et alio rurſum modo quaecunque dulcia ſunt, calida eſſe dicunt, ſiquidem quod familiariſſima ſint ſimillimaque naturis noſtris quae calida ſunt, ideo et ipſa quoque calida eſſe volunt. Atque philoſophis quidem, ut puta qui de tota natura ſcrutantur, recte talia et quaeruntur et dicuntur, at medicis, quibus alius eſt ſcopus propoſi-

σκοπὸν, οὐκ ὀρθῶς· οὔτε γὰρ ὅτι ἐν ταῖς ἐνεργείαις ἐπικρατεῖ τὸ θερμὸν ἐν τοῖς ῥόδοις οὐθ᾽ ὅλως ὅτι τῷ γένει φυτὸν ὑπάρχει, θερμὸν ἤδη διά τι τούτων ἐστίν. οὐ γὰρ οὕτως ἐζητοῦμεν ἡμεῖς τὸ θερμὸν, ἀλλ᾽ ὡς πρὸς ἄνθρωπον, ἐπεὶ κατά τε τὸ κρατεῖν ἐν ταῖς ἐνεργείαις τὸ θερμὸν ἅπαν φυτὸν ἔσται θερμὸν, ἔτι δὲ μᾶλλον τὰ ζῶα πάντα. καὶ μήκωνα τοίνυν καὶ μανδραγόραν καὶ κώνειον καὶ σαλαμάνδραν θερμὰ λεγόντων ὑπάρχειν, ἀλλ᾽ οὐ λέγουσιν, ἀλλ᾽ ὥσπερ ἐξ ἑνὸς στόματος ἅπαντες ἀποφαίνονται ψυχρὰ ταῦτ᾽ εἶναι πάντα. καίτοι ζῶόν τ᾽ ἐστὶν ἡ σαλαμάνδρα, τρεφόμενον δήπου καὶ αὐξόμενον καὶ κινούμενον, ἅπερ δὴ τοῦ θερμοῦ κρατοῦντος ἐν τῇ κράσει γίνεσθαί φασι. πῶς οὖν ἐν τούτοις μὲν ὡς πρὸς ἄνθρωπον ἀποβλέπουσιν, ἐν ἄλλοις δὲ ὡς πρὸς τὴν ὅλην φύσιν, ἢ τὰς τῶν πρώτων ποιοτήτων ἐνεργείας; ἐγὼ μὲν οὖν φημι μὴ σαλαμάνδραν μόνην, ἢ κώνειον ἀποφαίνεσθαι χρῆναι ψυχρὰ ταῖς δυνάμεσιν ὑπάρχειν, ὡς πρὸς ἄνθρωπον, ἀλλὰ καὶ τἄλλα πάντα κρίνειν ὡσαύτως. ἐπεὶ τό γε κώνειον οὐ μόνον οὐ καταψύξει τοὺς ψάρας οὐδ᾽ ἀναιρεῖ

tus, haud perinde recte, quippe quum in roſarum affectibus calidum non vincat, neque ſane quodvis aliud plantae genus eo quod plantae eſt, calidum dici debet, quoniam nos haud ita calidum quaerimus, ſed ut ad hominem, ſiquidem ſi, quia in actionibus ſuperat caliditas, propterea calidum quid dices, planta unaquaeque calida erit multoque magis animalia omnia. Dicant igitur, ſi lubet, papaver, mandragoram, cicutam, ſalamandram eſſe calida, verum nemo id dicit, ſed velut uno ore omnes eſſe frigida pronunciant. Atqui animal eſt ſalamandra, quod et nutritur et creſcit et movetur, quae ſane calido in mixtione vincente provenire aſſerunt. Quid ergo in iſtis quidem ad hominem reſpiciunt, in aliis vero ad totam naturam, aut primarum qualitatum actiones? At ego non ſalamandram modo aut cicutam ut ad hominem frigida eſſe dici oportere cenſeo. ſed alia omnia ad eundem modum judicanda. Siquidem cicuta ſturnos non modo non refrigerat et enecat uti nos, ſed et

καθάπερ ἡμᾶς, ἀλλὰ καὶ τρέφει καὶ θερμαίνει δηλονότι· πᾶν γὰρ τὸ τρέφον οὐσίαν θερμὴν ἐπαύξει δήπου τὸ θερμὸν αὐτῆς καὶ φυλάττει. θερμὴ δέ ἐστιν ἡ τοῦ σώματος οὐσία τῶν ψάρων οὐχ ὡς ζώων μόνον, ἀλλὰ καὶ ὡς ἐναίμων. ἐμοὶ μὲν οὖν ἐπιδέδεικται πολλάκις ἐν πολλαῖς ἤδη πραγματείαις ὡς οἰκειότητές τινές εἰσι καὶ μάχαι ποιοτήτων ἐν ἅπασι τοῖς οὖσι, καὶ τὸ μὲν οἰκεῖον ἑτοίμως ἐξομοιοῦται, τὸ δ' ἐναντίον εἰς φθορὰν ἐνίοτε μεταβάλλει τά τε φυτὰ καὶ τὰ ζῶα. καὶ μὲν δὴ καὶ ὡς αἱ οἰκειότητες αὐτῶν κατὰ τὴν ἰδιότητα τῆς ὅλης οὐσίας γίνονται, καὶ τοῦτο εἴρηταί μοι καὶ δέδεικται πολλάκις. οἱ δὲ οὐ δύνανται κατιδεῖν αὐτὸ καὶ διὰ τοῦτο ῥᾳθύμως τε ἅμα καὶ ψευδῶς περὶ τῶν πλείστων ἀποφαίνονται φαρμάκων. ἓν γάρ ἐστι μόνον ἀσφαλὲς κριτήριον ἐν αὐτοῖς, ἡ πρὸς ἄνθρωπον πεῖρα, διοριζομένων ἡμῶν ἐν αὐτῇ τὸ κατὰ συμβεβηκὸς τοῦ καθ' αὑτό. καὶ ταύτῃ προσέχων τὸν νοῦν οὔτ' ὄξος, οὔτε ῥόδινον ἐρεῖ τις θερμόν· ψύχει γὰρ ἡμᾶς ἀμφότερα πρώτως καὶ καθ' ἑαυτὰ, τὸ μὲν ὄξος ἰσχυρῶς,

alit quoque et nimirum etiam calefacit. Quicquid enim ſubſtantiam alit calidam, calorem ejus quadantenus et auget et tuetur, atqui corporis ſturnorum calida eſt ſubſtantia non modo qua animalia ſunt, ſed etiam qua ſanguine praedita. Sane ſubinde in aliis tractatibus demonſtratum a nobis eſt familiaritates quasdam pugnantiasque qualitatum omnibus rebus ineſſe, ac quod familiare eſt expedite aſſimilari, quod vero contrarium, ad internecionem ducere tum animantia tum plantas. Praeterea familiaritates illas a totius ſubſtantiae proprietate oriri, id quod ſaepenumero a me et dictum eſt et oſtenſum. At illi quum aegre id capere poſſint, ſegniter et falſo de complurium medicamentorum viribus pronunciant. Una enim duntaxat illorum examinandorum regula eſt, nempe ea quae ad hominem fit exploratio, id quod ſecundum accidens ab eo quod eſt per ſe ſemper diſtinguendo. Cui ſi quis animum intendat, is nec acetum nec roſaceum calidum unquam dixerit, quippe quum utrumque nos primario et per ſe refrigeret, acetum quidem va-

ἐπ' ὀλίγον δὲ τὸ ῥόδινον. οἷον δέ τι τοῦτ' ἐστιν τὸ ἐπ' ὀλίγον, ἐγὼ διηγήσομαι. συγκαταφθήσεται γὰρ αὐτῷ καὶ ὁ περὶ τῆς μέσης κράσεως ἁπάντων τῶν φαρμάκων λόγος, οὗ κἀν τῷ πρὸ τούτου βιβλίῳ μνήμην ἐποιησάμην ὑπὲρ ἐλαίου διαλεγόμενος.

Κεφ. ζ'. [63] Εἰ δή τι τῶν ὁμιλούντων ἡμῖν σωμάτων ἢ φαρμάκων ἐνεργείᾳ θερμὸν οὕτως ἐστὶν ὡς ἡμεῖς, ἢ γίγνεται πλησιάζον ὁμοίως ἡμῖν θερμὸν, ἐκ τῆς μέσης τὸ τοιοῦτον ὑπάρχει κράσεως, ὥστε ἡμῖν παραβάλλειν, ἐπεί τοι καθ' ἑαυτὸ δύναιτ' ἂν κατ' ἐπικράτειαν λέγεσθαι θερμὸν, ὥσπερ καὶ ἡμεῖς. εἰ δέ τι μήτε ἤδη θερμὸν οὕτως ἐστὶν ὡς ἡμεῖς μήτε ἐν τῷ πλησιάζειν γίνεται τοιοῦτον, ψυχρότερόν ἐστιν ἀνθρώπου κράσεως τοῦτο, κἂν ὁπωσοῦν ἐν αὐτῷ κρατῇ τὸ θερμόν. καὶ δὴ κἂν τῷ πλησιάζειν ἡμῖν ἀφαιρήσει τι καὶ καθαιρήσει τῆς ἐνυπαρχούσης ἡμῖν θερμότητος. ὥσπερ γὰρ εἰ δυοῖν μὲν ὑδάτοιν ἀμφοῖν μὲν θερμοῖν, ἀλλὰ τοῦ μὲν μᾶλλον, τοῦ δ' ἧττον, ἐπιμίξαις τῷ μᾶλλον θερμῷ τὸ ἧττον, ἐκλύσεις αὐτοῦ τὴν θερμασίαν, οὕτως εἰ εἰς τὴν ἀπὸ τοῦ ῥοδίνου

lide, leviter autem roſaceum. Porro quidnam hoc ſit leviter, ego exponam: una enim cum eo tota medii temperamenti medicamentorum omnium ratio conſpicietur, cujus et in praecedente libro mentionem fecimus, ubi de oleo diſſerebatur.

Cap. VII. Si quippiam eſt ex applicatis nobis ſeu corporibus ſeu medicamentis, quod actu ſic calidum ſit ut nos, aut ex contactu ſimiliter calidum evadat, id ex media eſt temperie, cum nobis nimirum collatum, ſiquidem ſecundum ſe queat per exuperantiam dici calidum, velut et nos quoque. At ſi quid nondum adeo calidum eſt ut nos, neque admodum tale redditur, id temperie humana frigidius eſt, quantumcunque in eo caliditas exuperet: etenim admotum calorem, qui in nobis praeerat, auferet detrahetque. Quippe ſi datis duabus aquis calidis, quarum altera plus, altera minus caleat, miſceas minus calentem magis calenti, hujus certe caliditatem exolveris; ſic ſi in caliditatem ro-

θερμότητα χλιαρὰν ὑπάρχουσαν καὶ πρὸς τὴν ἀνθρώπου κρᾶσιν ἀναμίξαις ἀνθρωπείαν θερμότητα, καθαιρήσεις τι πάντως αὐτῆς καὶ καταψύξεις.

Κεφ. η΄. Μὴ τοίνυν θαυμάζειν, εἴ τι τῶν ἰδίᾳ τε καὶ καθ᾽ αὑτὰ θερμῶν ἑτέρῳ θερμοτέρῳ προσαγόμενον ἐμψύχειν αὐτὸ δύναται. φύσις γὰρ αὕτη κοινὴ πάντων ἐστὶν τῶν ἀλλοιωτῶν σωμάτων, ὡς εἰς ἄδηλα δρᾷν καὶ πάσχειν πλησιάζοντα, τὸ μὲν ἧττον θερμὸν ὑπὸ τοῦ μᾶλλον θερμοῦ θερμότερον γιγνόμενον, τὸ δὲ μᾶλλον θερμὸν ὑπὸ τοῦ ἧττον ἔμπαλιν διατιθέμενον. ἐναργῶς γὰρ αὐτὸ καὶ δι᾽ αὐτῆς καταμάθοις τῆς ἁφῆς. φαίνεται γὰρ αὐτῇ πολλάκις τὰ αὐτὰ ποτὲ μὲν θερμὰ, ποτὲ δὲ ψυχρά· θερμοτέρᾳ μὲν γιγνομένῃ ψυχρὰ, ψυχροτέρᾳ δὲ θερμά. καί τις ἔναγχος ἡμῖν προὔβαλε διὰ τί ψυχρὸν μὲν ἐν τοῖς βαλανείοις οὐροῦμεν, ἔξω δὲ θερμὸν, οὐ παρακολουθῶν ὅτι τὸ μὲν (32) οὖρον αὐτὸ χλιαρὸν ὁμοίως ἐστὶν ἔν τε | τοῖς βαλανείοις κἀκτὸς, ἡμεῖς δὲ οὐχ ὡσαύτως διακείμεθα τὴν ἐπιφάνειαν τοῦ σώματος ἔν τε τῷ λοῦεσθαι καὶ πρὸ τούτου. λουόμενοι μὲν γὰρ θερμοτέραν

facci, quae tepida eft ut ad temperiem humanam, caliditatem indideris humanam, prorfum ab hac quid detrahes et refrigerabis.

Cap. VIII. Non ergo mirari oportet fi quicquam eorum quae proprie et per fe funt calida cum calidiore commixtum frigidius efficere ipfum queat. Ea eft enim communis alterabilium corporum omnium natura, uti in fefe et agant et patiantur admota, quodque minus eft calidum a magis calido calidius evadit: quod vero magis calidum a minus calido contra efficitur. Nam id vel ex ipfo tactu clariffime difcas: etenim eadem fubinde illi tum calida tum frigida effe videntur, calidiori quidem facto frigida, frigidiori vero calida. Propofuit autem mihi dudum quispiam, quamobrem in balneis frigidum mejamus, foris vero calidum, haud intelligens in balneis urinam quidem perinde ac foris tepidam effe, verum nos non aeque extrinfeca corporis fuperficie et dum lavamur et ante affectos effe. Nam

ἔχομεν αὐτὴν ἢ κατὰ τὸ οὖρον, ἔξω δὲ ψυχροτέραν· ὥστε εὐλόγως αὐτῇ καὶ τὸ οὖρον ἔξω μὲν τοῦ βαλανείου θερμὸν, ἔνδον δὲ ψυχρὸν φαίνεται. τοῦ μὲν γὰρ ἧττον ἑαυτῆς θερμοῦ τὴν αἴσθησιν ὡς ἀποκαταψύχοντος ἴσχει, τοῦ δὲ μᾶλλον ἢ καθ' ἑαυτὴν ὡς ἐκθερμαίνοντος. ἔξεστι δέ σοι πείρας ἕνεκα τοῦ λελεγμένου καδίσκον τινὰ χλιαροῦ μετρίως ὕδατος, ἐπειδὴ ἱκανῶς ἤδη τεθερμασμένος ᾖς, λουόμενος εἰσενεχθῆναι κελεύσαντι καὶ θεῖναι τὰς χεῖρας ἢ τοὺς πόδας εἰς αὐτό. φανεῖται γάρ σοι τὸ ὕδωρ οὐ χλιαρὸν, ἀλλ' ἱκανῶς ψυχρόν. εἰ δὲ εὐθὺς εἰσελθὼν εἰς τὸ βαλανεῖον ἅπτοιο τοῦ κατὰ τὸν καδίσκον ὕδατος, ἧττόν σοι φανεῖται ψυχρόν. ἀεὶ γὰρ εἰς ὅσον ἂν ᾖς προτεθερμασμένος, εἰς τοσοῦτον ψυχρὸν φανεῖται. καὶ οὐδὲν θαυμαστὸν, εἴ γε καὶ τὰ πολλὰ τῶν φρεατιαίων ὑδάτων, ὅσα βαθείας ἔχει τὰς πηγὰς ἐν τῷ χειμῶνι ψαυόμενα, χλιαρὰ φαίνεται. ἀλλ' εἰ λελουμένος ἅψαιο θερμαῖς ταῖς χερσὶν, οὐκ ἄν σοι φανείη χλιαρὰ, καὶ πολὺ μᾶλλον εἰ λουόμενος ἔτι. γνώμονα τοίνυν ἔχοντες τὴν ἁφὴν ἐν ταῖς τῶν θερμῶν καὶ ψυχρῶν διαγνώσεσι καὶ πρὸς τὴν ἐκείνης διά-

in balneo ipfo calidior ea nobis eft quam urina, extra autem frigidior: quare et urina non abs re illi calida extra balneum apparet, in balneo autem frigida: quod enim minus quam ipfa calidum fentitur, velut refrigerans habet: quod autem magis calidum, tanquam calefaciens. Liceat vero tibi periculi faciundi caufa, poftquam abunde lavando incalueris, pelvi aquae modice tepidae intro juffu tuo allata, in eam manum aut pedem immittere: apparebit enim aqua non tepida, fed admodum frigida. At fi protinus balneum ingreffus aquam pelvis tetigeris, minus videbitur frigida: perpetuo enim quanto plus fueris praecalefactus, tanto apparebit frigidior. Nec mirum videri debet, fi putealium aquarum pleraeque, quae videlicet fontes profundos admodum habeant, contactae hieme videantur tepidae. At fi a balneo manibus contingas calidis, multoque magis fi etiamnum in lavacro confiftens, haud profecto apparebis tepida. Itaque tactum calidi frigidique dignofcendi normam ponentes

θεσιν ἀναφέροντες αὐτῶν τὰς κρίσεις [64] εὐλόγως παραλογιζόμεθα πολλάκις, ὡς καὶ τὸ μὴ ψυχρὸν ὅσον ἐφ' ἑαυτὸ ψυχρὸν εἰπεῖν καὶ τὸ μὴ θερμὸν ὅσον ἐφ' ἑαυτὸ θερμόν. καὶ διὰ τοῦτο λουόμενοι μὲν ψυχρὸν τὸ οὖρον, ἐῤῥιγωκότες δ' ἐν κρύει, τὸ φρεατιαῖον ὕδωρ θερμὸν εἶναι νομίζομεν. καὶ εἴπερ τῶν διαθέσεων ἐν αἷς ὄντες ἀμφοτέρων ἐψαύσαμεν ἐπιλαθοίμεθα, μόνης τῆς γεγενημένης ἡμῖν αἰσθήσεως μεμνημένοι, τάχ' ἀποφηναίμεθα ἄν ποτε τὸ μὲν ὕδωρ ἁπλῶς θερμὸν εἶναι, τὸ δ' οὖρον ψυχρόν. ἔστι δ' οὐδέτερον ἁπλῶς οὔτε θερμὸν οὔτε ψυχρὸν, ἀλλ' ὡς πρὸς ἡμᾶς· καὶ οὐδὲ πρὸς ἡμᾶς αὖ πάλιν ἁπλῶς, ἀλλ' ὡδί πως ἔχοντας. ἁπλῶς δ' ἂν πρὸς ἡμᾶς ὁποῖόν ἐστιν ἑκάτερον λέγοιτο πρὸς τὴν μέσην καὶ ἀρίστην ἡμῶν κρᾶσιν ἐξεταζόμενον, ὥσπερ εἰ καὶ πρὸς ἄνθρωπον ἁπλῶς ἐδοκιμάζετο, πάντως ἄν που πρός τε τὸν εὔκρατον ἡ ἐξέτασις ἐγίγνετο. ἤρτηται τοίνυν καὶ ταῦτα πάντα τὰ σφάλματα τῆς τῶν ὀνομάτων διαιρέσεως, ἧς ὀλίγου δεῖν ἅπαντες καταφρονοῦ-

ac ejus diſpoſitioni judicium omne tribuentes, merito ſane crebro fallimur, ut qui quod haud ex ſe eſt frigidum, id frigidum eſſe dicamus, quod vero calidum ex ſe non eſt, id eſſe calidum pronunciemus. Hinc fit ut dum lavamur, frigidam eſſe urinam credamus, contraque frigore rigentes, aquam e puteis hauſtam calidam exiſtimemus. At ſi affectionum, in quibus eramus, dum utramque contingeremus, oblivifcamur, ac ſolius ejus qui in nobis factus eſt ſenſus meminerimus, periculum eſt ne forte aquam aliquando abſolute dicamus calidam, urinam vero abſolute frigidam. Atqui neutra abſolute aut calida aut frigida eſt, ſed ut ad nos: nec ut ad nos rurſum abſolute, verum hoc videlicet pacto affectos. Abſolute autem utraque qualis ad nos eſt dici poſſit ad mediam eandemque optimam noſtri temperiem collata: ut ſi ad hominem abſolute expendatur, omnino ſane ad temperatum et eucratum expendi oporteat. Sane et haec quoque peccata omnia a nominum diſtinctione pendent, quam paulo minus omnes habent contemptui. Etenim quum

σιν. ἐπεὶ γὰρ ψυχρὸν καὶ θερμὸν τὸ μὲν ἁπλῶς λέγεται, τὸ δ᾽ ἐπικρατείᾳ, τὸ δὲ τῇ πρὸς τὸ σύμμετρον ὁμογενὲς παραβολῇ, τὸ δὲ πρὸς ὁτιοῦν τὸ ἐπιτυχὸν εὐλόγως ἐν ταῖς ὁμωνυμίαις σφαλλόμεθα πολλάκις, ἐπιλανθανόμενοι μὲν ὁποῖόν τι θερμὸν κρίνομεν, ἐφ᾽ ἕτερον δὲ μεταβαίνοντες. ἀλλὰ μυριάκις ἤδη λέλεκταί τε καὶ λεχθήσεται κατὰ τὸ τέταρτόν τε καὶ ὕστατον τῶν εἰρημένων ἄρτι σημαινομένων ἐπισκέπτεσθαι χρῆναι περὶ τῆς τῶν φαρμάκων δυνάμεως.

Κεφ. θ΄. Οὔτε γὰρ ἁπλῶς θερμὸν ἕκαστον αὐτῶν ἐστιν, ὥσπερ τὸ πῦρ· τοῦτο μὲν γὰρ ἂν καὶ ἀδύνατον· οὔτ᾽ εἰ κατ᾽ ἐπικράτησιν, ὥσπερ τὸ αἷμα, πρόκειται σκοπεῖν· ἀλλ᾽ οὐδ᾽ εἰ πρὸς τὸ σύμμετρον ὁμογενὲς ἢ ὁμοειδὲς λέγεται θερμὸν, ὥσπερ λέων μὲν ἐν ζώοις, τὸ δ᾽ ἀκμάζον ἐν ἑκάστῳ τῶν εἰδῶν πρὸς τὸ γεγηρακός. ἀλλ᾽ εἰ πρὸς ἄνθρωπόν ἐστι θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν ἕκαστον τῶν φαρμάκων, ἡ ζήτησίς ἐστιν. καὶ οὐδὲ πρὸς τοῦτον ὡς τὸ πρός τι παραβαλλόμενον, ἀλλ᾽ εἰ τῇ δυνάμει, τοῦτο

calidum et frigidum partim abfolute dicatur, partim per exuperantiam, partim ut ad fymmetrum fui generis comparatum, partim ut ad quidvis obvium collatum, jure optimo in homonymiis identidem fallimur, nefcii quidem quonam horum modorum quid calidum judicemus ad alterum tamen tranfeuntes. Verum fexcenties jam dictum eft diceturque quod in quarto et ultimo eorum quae modo recenfuimus fignificatorum de medicamentorum viribus confiderare oporteat.

Cap. IX. Non enim an abfolute unumquodque calidum fit, ut ignis, nam id omnino etiam foret impoffibile: aut an per exuperantiam, ut fanguis, confiderare propofitum eft: neque an ut ad fymmetrum fui generis aut fpeciei dicatur calidum, ut leo in animantibus, et quod florentis aetatis eft in quavis fpecie ad aetatem provectum: fed an ad hominem fit calidum, frigidum, humidum, aut ficcum medicamentorum unumquodque inquirere ftatutum eft. Neque rurfum ad hunc tanquam id quod ad aliquid aliud compa-

δ' ἐστὶν εἰ πλησιάζον αὐτῷ θερμότερον ἀπεργάζεται τὸ μόριον, ἢ ψυχρότερον, ἢ ὑγρότερον, ἢ ξηρότερον οὗπερ καὶ ψαύει. ὥστε ἐν τῇ πείρᾳ καὶ τὰ τῆς κρίσεως ἔσται καὶ τὰ τῆς διαγνώσεως, ἣν ἀφέντες οἱ πολλοὶ τῶν ἰατρῶν εἰ ἐρυθρόν ἐστιν τὸ ῥόδον ἢ εὐῶδες ἐπισκοποῦνται, παρέντες ὅταν ἐγκαυθῶσι τὴν κεφαλὴν, ἐπιτιθέντες αὐτῇ ῥόδων στεφάνους, ἢ τὸν χυλὸν αὐτῶν, ἢ ῥόδινον ἔλαιον, οὕτω τῇ πείρᾳ μαθεῖν τὸ γιγνόμενον. εἰ μὲν γὰρ ἐκθερμαίνονται, μᾶλλον ἂν εἴη θερμὸν, εἰ δὲ ψύχονται, ψυχρόν. ἐν ἴσῳ τὸ ψυκτικὸν εἶναι ἀνθρώπου φύσεως, ἀεὶ γὰρ τούτου χρὴ μεμνῆσθαι, καίτοι μυριάκις μὲν ἐγὼ διατελῶ λέγων αὐτὸ, παρακούουσι δ' οἱ πολλοὶ καὶ συγγινώσκειν αὐτοῖς χρὴ διεστραμμένοις ὑπὸ τῶν σοφιστῶν ληρούντων μακρά. τὰ μὲν δὴ τῆς πείρας οὕτω ῥᾴδια καὶ περὶ ῥόδων δυνάμεώς ἐστι καὶ περὶ τῶν ἄλλων ἁπάντων φαρμάκων. ἔξεστι γὰρ δήπου καὶ στεφανώσασθαι ῥόδοις καὶ τρίψαντί ποτε καταπλάσαι τὸ στόμα τῆς κοιλίας ἀνθρώπου καυσουμένου καὶ

ratur, fed fi facultate, hoc eft fi admotum ipfi eam partem quam tetigerit reddat aut calidiorem aut frigidiorem aut humidiorem aut ficciorem. Itaque in experientia et judicandi et dignofcendi confiftet ratio, licet reperiantur medicorum plerique, qui experientia pofthabita an rubra fit rofa an bene olens confiderant, negligentes ubi caput ipfis exaeftuat coronis ex rofa contextis capitique impofitis aut fucco ejus aut oleo rofaceo, fic vel ipfa experientia id quod res eft difcere. Nam fi calefiant, magis etiam calida fuerit: fin refrigerentur, frigida, quod perinde eft atque refrigerandae humanae naturae facultate pollere; nam id perpetuo memoria tenere oportet, quod tametfi fexcenties dicere non gravatus fim, tamen multi ne fic quidem id capiunt, atque ignofcendum fane illis eft, ut quos fophiftae prolixis fuis nugis perverterunt. Et profecto experientiae quidem ratio tam facilis eft quum in rofarum tum in caeterorum medicamentorum omnium facultate. Nam rofis aut coronari liceat, aut eis contritis hominis aeftuantis os ventriculi illi-

ἀποθλίψαντι τὸν χυλὸν αὐτῶν ἐκροφῆσαι καὶ μίξαντι μεθ' ὕδατος, ἢ ἐλαίου, τῶν τοῦ σώματός τι [65] μορίων ἀνατρῖψαι. καίτοι τί λέγω τούτοις, ὅπου γε ὀποβαλσάμῳ μιγνύντες ἔνιοι ῥόδων χυλὸν ἐν τοῖς ὑπὸ κύνα καύμασιν ἀνατρίβονται τὰ σώματα χάριν ἐμψύξεως, αὐτῇ τῇ πείρᾳ μεμαθηκότες ὡς ἱκανῶς ἀναψύχουσιν; ἀλλ' ὑπὸ περιττῆς σοφίας Ἡρόδοτος ὁ ἰατρὸς οὐδὲ τὸ ξὺν ὄξει ῥόδινον, ὃ δὴ καλοῦσιν ἰδίως ὀξυρόδινον, ὁμολογεῖ ψύχειν ἡμᾶς· εἶτ' ἀναμνησθεὶς τό γε τοσοῦτον, ὡς ἐν ταῖς ἀρχαῖς τῶν φρενιτικῶν νοσημάτων αὐτὸς αὐτῷ χρῆται καὶ συνεὶς τῆς ἐναντιολογίας, ὡμολόγηται γὰρ ὑπὸ πάντων σχεδὸν τῶν ἰατρῶν ἄχρι καὶ τῶν ἀμφὶ τὸν ἀναισθητότατον Θεσσαλὸν, ὡς ἀποκρούεσθαι χρὴ καὶ ψύχειν ἐν ἀρχῇ μᾶλλον ἢ θερμαίνειν καὶ χαλᾷν, οὐ ψύχειν φησὶν, ἀλλὰ στύφειν αὐτό. καίτοι χαλεπὸν οὐδὲν ἦν ἐγκαυθέντα ποτὲ καὶ αὐτὸν, ἄνθρωπος γὰρ ἦν ὁμοιοπαθὴς ἡμῖν, ὀξυροδίνῳ τὴν κεφαλὴν ἐπιβρέξασθαι καὶ γνῶναι τῇ πείρᾳ τὴν ἐνέργειαν τοῦ φαρμάκου.

nere, aut ficcum earum expreffum ebibere, aut oleo aquaeve mixtis aliquam corporis partem confricare. Sed quid haec multis commemoro, quum nonnulli mixtum opobalfamo rofarum fuccum fub canis ardoribus refrigerii caufa corporibus inungant, ufu videlicet ipfo docti, cum hoc fecerint, abunde refrigerare? At Herodotus medicus prae eximia videlicet fapientia ne mixtum quidem aceto rofaceum, quod proprie oxyrhodinon vocant, refrigerare nos concefferit. Poftea memor illo fe uti in principiis morborum phreniticorum, nec ignorans quantam fibi contradicentium turbam inde cieret, quippe omnibus prope medicis confeffum eft, adeo ut vel Theffali fequaces, hominis impudentiffimi, negare non audeant repellendum refrigerandumque in principiis effe potius quam calefaciendum aut laxandum, non refrigerare ipfum inquit, fed aftringere. Atqui difficile fane illi neutiquam fuiffet, fi quando aeftu nimio affligebatur, nam et homo erat eisdem obnoxius paffionibus quibus et nos, caput oxyrhodino perfundere, ficque expe-

Ed. Chart. XIII. [65.] Ed. Baf. II. (52.)

ῥᾷστον δ' ἦν, οἶμαι, καὶ ψυγέντα χρῆσθαί ποτ' αὐτῷ κατά τε τῆς κεφαλῆς ἐπιχέοντα καὶ τοῖς ὠσὶν ἐνστάξαντα καὶ ταῖς ῥισὶν ἐγχέοντα καὶ τὸ μέτωπον ὅλον ἀνατρίψαντα, καθάπερ ἀμαρακίνῳ καὶ ἰρίνῳ καὶ τοῖς ἄλλοις ἀλείμμασιν τοῖς θερμαίνουσι χρώμεθα. καίτοι γὰρ οὐδὲ μετρίως θερμαίνει κατ' αὐτὸν ὀξυρόδινον, ἐκ δυοῖν θερμοτάτων φαρμάκων συγκείμενον. ἀλλ' εἴπερ Ἡρόδοτος οὐκ ἐτόλμησε χρήσασθαι, δίκαιον, οἶμαι, τοὺς νῦν ἔστι πειραθῆναι τῆς τοῦ φαρμάκου δυνάμεως ἐφ' ἑαυτῶν, ὅταν ἤτοι ψυγῶσιν ἢ ἐγκαυθῶσιν, ὥσπερ ἐγὼ πολλάκις ἐπειράθην ἐπ' ἐμαυτοῦ καὶ ἄλλων οὐκ ὀλίγων ἐγκεκαυμένων ἐπιβρέξας τὴν κεφαλήν. ἄμεινον γάρ ἐστιν αὐτοὺς πρώτως ὧν λέγουσι πειραθέντας οὕτως ἡμῖν τε συμβουλεύειν ἔν τε ταῖς βίβλοις ἀναγράφειν.

Κεφ. ί. Ἀλλὰ γὰρ οὐκ οἶδ' ὅπως, καίτοι φυλαττόμενος ἀντιλογίας ἅψασθαι, πρὸς τῆς ἀναισχυντίας αὐτῶν ἠναγκάσθην. αὖθις οὖν ἐπάνειμι πάλιν ἐφ' ὅπερ ἐξ ἀρχῆς προὐθέμην, ὡς τῇ πείρᾳ κριτέον ἐστὶ τὰς τῶν φαρμάκων

rientia medicamenti affectum cognofcere. Imo facilius, puto, fuerat refrigeratum eo uti, caput perfundendo auribusque inftillando, ac naribus infundendo, totamque adeo frontem perfricando, quemadmodum amaracino, irino, caeterisque ejus generis unguentis calidis uti affuevimus, quum non mediocriter quidem fecundum eum calefaciat oxyrhodinon, ex duobus calidiffimis fcilicet confectum medicamentis. Caeterum fi Herodotus eo uti aufus non eft, aequum arbitror, ut qui nunc vivunt, ejus in fefe periculum faciant, ubi aut algent aut aeftu laborant, velut nos faepe in nobismetipfis experti fumus, aliorumque complurium aeftuantium caput perfudimus. Praeftat enim ipfos prius in fefe quae proferunt expertos, ita denique ea nobis confulere ac litteris pofteritati prodere.

Cap. X. Verum enimvero tametfi contradicere nemini ftatueram, tamen nefcio quo pacto huc illorum me impudentia adegerit. Rurfum itaque redeo ad id quod ab initio propofueram, nempe experientia judicandas medica-

Ed. Chart. XIII. [65.] Ed. Baf. II. (32. 33.)

δυνάμεις, ἐπί τε τῶν ὑγιαινόντων ἀμέμπτως χρώμενον ἐπί τε τῶν νοσούντων ἁπλᾶς ὡς ἔνι μάλιστα νόσους ἤτοι θερμὰς, ἢ ψυχρὰς, ἢ ξηρὰς, ἢ ὑγράς. οὕτω γάρ σοι κρίνοντι τὸ μὲν ἔλαιον οὔτε θερμὸν οὔτε ψυχρὸν ὡς πρὸς ἄνθρωπον εὔκρατον εὑρεθήσεται, τὸ δὲ ῥόδινον ἤδη μέν πω ψυχρότερον, οὐ μὴν ἰσχυρῶς γε ψυχρὸν, ἀλλ᾽ ὡς ὀνομάζειν εἴωθα τῆς πρώτης τῶν ψυχόντων ἀποστάσεώς τε καὶ τάξεως. ὥσπερ γὰρ ὕδωρ, εἰ τύχοι, τὸ μὲν ἀκριβῶς ἐστιν εὔκρατον, τὸ δ᾽ ἤτοι θερμότερον ἢ ψυχρότερον, οὐ μὴν ἤδη γέ πως θερμὸν ἢ ψυ(33)χρὸν ἀπολελυμένως εἰπεῖν, οὕτω κἀν τοῖς φαρμάκοις ἔλαιον μὲν ἐκ τῆς μέσης ὑπάρχει κράσεως, ὁ δὲ τῶν ῥόδων χυλὸς ἐκ τῆς ψυχροτέρας μὲν, ἀλλ᾽ οὐ πολλῷ τινι κατὰ τὴν χλιαρὰν, ὡς εἴρηταί μοι καὶ πρόσθεν, ὑπάρχων θερμασίαν. ἐκ δὲ τῆς αὐτῆς ἐστιν αὐτῷ τάξεως τὸ καλούμενον λινόσπερμον ὅσον ἐπὶ τῷ χλιαρῷ τῆς θερμασίας, ἀλλὰ τῷ παχυμερὲς ὑπάρχειν οὐκ ὀλίγῳ δή τινι παραλλάττεται. λεπτομερὴς γὰρ ἀκριβῶς ἐστιν ὁ τῶν ῥόδων χυλὸς, ὡς δηλοῖ

mentorum facultates, idque tum in iis, qui inculpata fanitate fruuntur, illis utendo, tum in iis, qui quoad fieri licet, quam maxime fimplicibus tenentur morbis, aut calidis aut frigidis aut humidis aut ficcis. Ita enim fi judicaveris, oleum neque calidum neque frigidum, ut ad hominem temperatum, invenies, rofaceum vero aliquatenus jam eo frigidius, non autem vehementer frigidum, verum, ut ego nominare confuevi, in primo receffu et ordine refrigerantium. Nam ut aqua, verbi caufa, alia ad unguem temperata eft, alia aut calidior aut frigidior, non adeo tamen, ut poffis extreme frigidam aut calidam dicere, ita in medicamentis quoque oleum quidem ex media exiftit temperie, at rofarum fuccus ex frigidiore quidem, fed non ita multo, verum caloris eft, ut diximus, tepidi. Ejusdem cum illo ordinis eft, quod ad calorem tepidum attinet, linospermon quod vocant: verum effentiae fuae craffitie non parvo discrimine ab illius natura recedit, quum rofarum fuccus exquifite tenuis fit effentiae, cui rei indicio eft, quod celer-

τό τε ξηραίνεσθαι ῥᾳδίως αὐτὸν καὶ τὸ μηδεμιᾶς μετέχειν γλισχρότητος [66] καὶ τὸ τὰς τῶν ἄλλως μύρων ἐκλύειν ὀσμάς. οὐδὲ γὰρ οὐδὲ τοῦτο ἑτέρῳ τινὶ φαίνεται ποιεῖν ἢ τῷ φθάνειν ἐμπιπλάναι τοὺς ὀσφρητικοὺς πόρους. ἐπειδὴ γὰρ μελλόντων διιέναι καὶ διαδύεσθαι τῶν ἄλλων αὐτοὺς προκαταλαμβάνει τε καὶ πληροῖ. ἔστι δὲ καὶ τὸ χαμαίμηλον, ὅσον μὲν ἐπὶ λεπτομερείᾳ, ῥόδῳ παραπλήσιον, ὅσον δ᾽ ἐπὶ θερμότητι, τῆς ἐλαίου μᾶλλον δυνάμεως, οἰκείας τε τῷ ζώῳ καὶ συμμέτρου, διὸ καὶ κόπου ἀρωγόν ἐστιν εἴπερ τι καὶ ἄλλο καὶ ἀλγημάτων πραϋντικόν, ἀνίησί τε καὶ χαλᾷ τὰ τεταμένα καὶ μαλάττει τὰ μετρίως σκληρὰ καὶ ἀραιοῖ τὰ πεπυκνωμένα. καὶ πυρετῶν, ὁπόσοι χωρὶς σπλάγχνου φλεγμονῆς ἐνοχλοῦσι, λυτικὸν ὑπάρχει, καὶ τούτων μάλιστα τῶν ἐπὶ χολώδεσι χυμοῖς ἢ πυκνώσει δέρματος συνισταμένων. ταύτῃ τοι καὶ τῶν Αἰγυπτίων τοῖς σοφωτάτοις ἡλίῳ τε καθιέρωται καὶ πυρετῶν ἁπάντων ἴαμα νενόμισται. ἀλλὰ ἐν τούτῳ μὲν οὐκ ἀληθεύουσιν. μόνον γὰρ ὧν εἴρηκα πυρετῶν ἐστιν ἴαμα καὶ τούτων ἤδη πεττομένων. ὀνίνησι μέντοι καλῶς καὶ τοὺς

rime areſcat, nec quicquam obtineat viſcoſitatis, tum caeterorum unguentorum odores exolvat. Neque enim alia re efficere id videtur quam quod odoratus meatus opplere praeoccupet: nam quum tranſire ac penetrare illa cunctantur, ante ipſe occupat atque illos implet. Eſt et chamaemelum tenuitate quidem roſae perſimile, calore vero ad olei vires magis accedens, homini tum familiares tum temperatas. Quapropter laſſitudini ut ſi qui aliud cum primis confert doloresque mitigat: praeterea tenſa remittit et laxat: quaeque mediocriter dura ſunt emollit, quaeque conſtipata rarefacit. At haec febres quae citra viſceris alicujus inflammationem infeſtant ſolvit: ac praeſertim quae ex humoribus bilioſis aut cutis denſitate proveniunt. Qua de re et ab Aegyptiorum ſapientiſſimis ſoli conſecratum eſt, febriumque omnium putatur remedium. Verum hac quidem in re a veritate aberrant. Solas enim quas dixi febres ſanare poteſt easque percoctas, licet ſane pulchre etiam reli-

ἄλλους ἁπάσας, ὅσοι τε μελαγχολικοὶ καὶ ὅσοι φλεγματώδεις εἰσὶ καὶ σπλάγχνου φλεγμονῆς ἔκγονοι. καὶ γὰρ καὶ τούτων ἴαμα γενναιότατόν ἐστιν τὸ χαμαίμηλον, ὅταν ἤδη πεττομένοις προσφέρηται, καὶ διὰ τοῦτο καὶ ὑποχονδρίοις εὐμενὲς εἴπερ τι ἄλλο. καὶ τὸ λινόσπερμον γοῦν τοιοῦτον ὁ παλαιὸς λόγος εἶναί φησι. καὶ γάρ ἐστιν ὄντως κἀκεῖνο τοῖς καθ᾽ ὑποχόνδρια σπλάγχνοις εὐμενὲς, ἀλλ᾽ ἧττον χαμαιμήλου. καὶ γὰρ καὶ θερμὸν ἧττόν ἐστιν, ὡς εἴρηται, καὶ πρὸς τούτῳ καὶ παχυμερὲς ὑπάρχει, οὐ μὴν τό γε ῥόδον ἐγγὺς αὐτοῖς εἰς ταῦτα, καίτοι γ᾽ ὅσον ἐπί τε τὸ χλιαρὸν τῆς θερμότητος καὶ τῷ λεπτομερεῖ, χρήσιμον ἂν ἦν ἱκανῶς καὶ τοῦτο ταῖς καθ᾽ ὑποχόνδρια φλεγμοναῖς, ἀλλ᾽ ἡ συνοῦσα στύψις αὐτῷ πολλαχῆ παραβλάπτει καὶ μάλιστ᾽ ἐν οἷς εὐδόκιμόν ἐστι χαμαίμηλον, ἢ τὰ πεπυκνωμένα τῶν σωμάτων ἀραιοῦν, ἢ τὰ κατεσκληρυμμένα μαλάττον, ἢ τὰ τεταμένα χαλῶν. εἰς γὰρ τὰ τοιαῦτα πάντα πολέμιον ἡ στύψις. εἰς μέντοι τὰς ἀναβάσεις τε καὶ αὐξήσεις τῶν φλεγμονῶν καὶ μάλιστα

quas omnes adjuvet, quae melancholicae funt, aut pituitofae, aut ex vifceris inflammatione prognatae. Nam et harum remedium chamaemelum eft, vel ftrenuiffimum, ubi concoctis adhibetur fcilicet: quapropter et hypochondriis ut fi quid aliud gratum exiftit. Quin et tale quoque effe lini femen vetus fermo praedicat. Nam et ipfum quoque re vera quae circa hypochondria funt vifceribus gratum eft, minus tamen chamaemelo: quippe quum et minus calidum fit, ut eft dictum, et praeterea effentiae craffae. Verum rofa illis nequaquam his in rebus propinqua eft: tametfi quod ad caloris tepiditatem et effentiae tenuitatem attinet, perquam fane et ipfa inflammationibus in hypochondriis confiftentibus utilis effe poffit, nifi aftrictio, quae una quoque illi ineft, multifariam laederet: quae maxime iis obeft, in quibus chamaemelum praecellit, nempe condenfata corpora rarefaciens, indurata molliens, tenfa relaxans: nam iis omnibus inimica aftrictio eft. Attamen ad afcenfus augmentaque inflammationum, ac potiffimum earum quae in exterioribus

τῶν προχείρων, ἄμεινον χαμαιμήλου τὸ ῥόδινον, ὅτι καὶ χλιαρᾶς αὗται δέονται θερμασίας καὶ βραχείας στύψεως. ἐν ἀρχῇ μὲν γὰρ τὰ ψύχοντα καὶ στύφοντα, κατὰ δὲ τὰς ἐπιδόσεις ὅσα χλιαρά τ' ἐστὶ καὶ μετρίως στύφοντα, κατὰ δὲ τὰς ἀκμὰς τῶν φλεγμονῶν, ὅσα συμμέτρως θερμαίνειν τε μᾶλλον καὶ ἰσχυρῶς διαφορεῖν χρηστά. λεχθήσεται δ' ὑπὲρ ἁπάντων τούτων ἐπὶ πλέον ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν. νῦν δὲ ἐπὶ τὸ προκείμενον αὖθις ἐπάνειμι.

Κεφ. ια'. Τὰ γάρ τοι τῆς μέσης κράσεως καὶ τὰ ἐφ' ἑκάτερα βραχὺ παραλλάττοντα φάρμακα καὶ θερμαίνειν ἂν δόξειέ ποτε καὶ ψύχειν αὖθις, ἐνίοτε δὲ μήτε θερμαίνειν μήτε ψύχειν, ἀλλ' οἷα παρέλαβε τὰ σώματα διαφυλάττειν, καὶ τοῦτο εὐλόγως πέπονθεν, εἴ γε τὸ χλιαρὸν ὕδωρ καὶ τὸ οὖρον ἐν μὲν τοῖς βαλανείοις ψυχρὰ, τοῖς δ' ἐψυγμένοις θερμὰ φαίνεται. εἴπερ οὖν παρὰ τό πως ἔχειν τὰ διατιθέμενα καὶ τὸ διατιθὲν οὐχ ὁμοίως ἐνεργεῖν φαίνεται, [67] δῆλον ὡς οὔτε τὸ ῥόδον οὔτε τοὔλαιον οὔτε τὸ χα-

membris extant, chamaemelo rofaceum praefertur: quippe quum hae tepida caliditate cum levi aftrictione indigeant. In principio enim quae refrigerant atque aftringunt, per incrementa vero tepida et mediocriter conftringentia, at in vigoribus inflammationum quaecunque tum moderate calefacere laxareque, per declinationes autem quae tum calefacere tum valenter difcutere valent magis competunt. Ac de iftis omnibus fufius in libris de medendi methodo tractabimus. Nunc ad propofitum revertor.

Cap. XI. Etenim quae mediae funt temperiei, et quae utramvis in partem leviter declinant medicamenta, interim calefacere videbuntur, rurfumque refrigerare, interim vero neque calefacere neque refrigerare, fed ficuti corpora acceperunt, ita ea fervare. Nec id illis abs re accidit, fi quidem aqua tepida et urina in balneis quidem frigidae, algentibus vero calidae nobis apparent. Quum ergo ex eo quod affecta corpora variis fubinde modis difponantur, ipfum quod afficit varie quoque agere contingat, liquet ex

Ed. Chart. XIII. [67.] Ed. Baf. II. (33.)

μαίμηλον οὔτε τὸ λινόσπερμον, ἀλλ' οὐδὲ τὸ ἄνηθον οὔτε τὸ τήλινον ἄλευρον, ἀλλ' οὐδὲ τὸ πύρινον οὐδ' ἄλλα μυρία, τά τε ἀκριβῶς μέσα ταῖς κράσεσιν, τά τε βραχὺ παραλλάττοντα, τὴν αὐτὴν ἐνέργειαν ἐπιδείξεται διὰ παντός. οὔτε γὰρ ὑγιαίνοντες ὁμοίως κεκράμεθα πάντες, οὔτε τὰς αὐτὰς νοσοῦμεν νόσους. αὐτίκα γέ τοι τὸ ῥόδινον ἐν τῷ μεταξὺ τὴν κρᾶσιν κεκραμένον ἐλαίου τε καὶ τοῦ τῶν ῥόδων χυλοῦ. τοῦ μὲν γὰρ ἧττον ὑπάρχει θερμὸν, τοῦ δὲ μᾶλλον. ἀναψύχει μὲν γὰρ τοὺς ἐγκεκαυμένους τῷ χλιαρῷ δηλονότι τῆς θερμότητος, ὀλίγον δέ τι καὶ τοὺς κατεψυγμένους θερμαίνει. διότι καὶ τοῦτο ἔργον ἐστὶ χλιαρᾶς θερμασίας, ὥσπερ γε καὶ τὰ βαλανεῖα καὶ τοὺς ῥιγῶντας θερμαίνει καὶ τοὺς ἐγκεκαυμένους ἀναψύχει.

Κεφ. ιβ'. Καὶ διὰ τοῦτο κἂν τοῖς ψύχειν ἢ θερμαίνειν πεφυκόσι φαρμάκοις, ἐὰν ἀναμίξῃς τὸ ῥόδινον, οὐδὲν ἐργάσῃ μέγα κακὸν, ὥσπερ δ' ἀξιόλογον ἀγαθὸν οὐδέν. ἡ γὰρ χλιαρὰ θερμασία βλάπτειν μὲν οὐκ ἔστιν ἱκανὴ τὰ κατεψυγμένα, θεραπεύειν δ' οὐ δύναται. δεῖται γὰρ τὸ

hoc non rofam, non oleum, non chamaemelum, non lini femen, fed neque anethum neque farinam, aut foeni graeci, aut triticeam, neque alia fexcenta, quae partim ad amuffim mediam temperiem fortiuntur, partim paulum ab ea recedunt, eandem ubique editura effe actionem, quando nec fani eandem omnes temperiem obtinemus, nec eisdem morbis affligimur aegroti. Jam rofaceum mediam inter oleum et rofarum fuccum temperiem poffidens, illo enim minus eft calidum, hoc autem magis, refrigerat quidem exuftos, idque caliditatis fuae tepore, algentes vero paulum etiam calefacit, quod videlicet is quoque affectus caloris fit tepidi, quemadmodum balneae rigentes quidem calefaciunt, aeftuantes vero frigefaciunt.

Cap. XII. Quocirca fi aut refrigerantibus medicamentis, aut calefacientibus rofaceum indideris, ficut nec magnopere obfueris, ita nec admodum profueris, nam caliditas tepida nec eft fufficiens quae refrigerata funt laedere, nec eadem curare potens. Etenim quicquid curari debet,

θεραπευόμενον ἅπαν, ὡς ἂν ἐξ ἀμετρίας τινὸς εἰς συμμετρίαν ἀγόμενον, οὐκ αὐτοῦ τοῦ συμμέτρου τὴν κρᾶσιν, ἀλλὰ τῆς ἐναντίας ἀμετρίας. εἰ γοῦν τὸ ψυχρὸν ὕδωρ βουληθείης εὔκρατον ποιῆσαι, τὸ μὲν εὔκρατον ἤδη μιγνύειν οὐ χρή· χλιαρὸν γὰρ οὕτως ἔσται τὸ μικτὸν ἐξ ἀμφοῖν. ἔρχεσθαι δ' ἐπὶ τὸ ζέον προσήκει καὶ τοῦτο μιγνύναι τῷ ψυχρῷ. καὶ τοσούτῳ γε θερμότερον εἶναι χρὴ τοῦ συμμέτρου τὸ τῷ ψυχρῷ μιγνύμενον, ὅσῳ περ ἂν καὶ τὸ ψυχρὸν αὐτὸ ψυχρότερον ἦν τοῦ συμμέτρου. οὔτε γὰρ τὸ βραχὺ τοῦ συμμέτρου ψυχρότερον ὑπὸ τοῦ πολὺ θερμοτέρου τὴν μέσην ἀπολήψεται κρᾶσιν, οὔτε τὸ πολλῷ ψυχρότερον ὑπὸ τοῦ βραχὺ θερμοτέρου. ἀλλ' εἴτε πολλῷ ψυχρότερόν ἐστι τὸ τῆς θεραπείας δεόμενον, ἀνάγκη καὶ τὸ θεραπεῦσον αὐτὸ πολλῷ θερμότερον ὑπάρχειν, εἴτ' ὀλίγῳ ψυχρότερον, ὀλίγῳ χρὴ καὶ τὸ θεραπεῦον εἶναι θερμότερον. ἑνὶ δὲ λόγῳ τοσοῦτον ἀπέχειν χρὴ τοῦ μέσου τὸ θεραπεῦσον, ὅσον περ καὶ τὸ θεραπευθησόμενον, ἐπὶ τἀναντία δηλονότι τῆς ἀποστάσεως ὑπαρχούσης ἑκατέρῳ. τὸ γὰρ ἐπὶ τὰ αὐτὰ παραπλησίως

tanquam quod ab immoderatione ad commoderationem reducitur, non id quod bene temperatum fit requirit, verum id quod contrariam habeat intemperiem. Siquidem fi aquam frigidam temperatam efficere ftudes, temperatam ei mifceri non oportet, fic enim tepidum evadet quod ex utrisque commixtum erit, fed fervens petenda eft, eaque frigidae mifcenda: hactenusque moderata calidior effe debet ea qua frigidam temperare voles, quatenus videlicet et frigida ipfa fymmetram frigiditate exuperat. Nam ficut quae leviter tantum fymmetra frigidior eft, ab ea, quae multo eft calidior mediam non recipiet temperiem, fic nec quae longe frigidior ab ea quae paulo calidior. Verum fi quod curationem poftulat multo eft frigidius, neceffe eft quod ipfum curabit multo quoque calidius exiftat; fin paulo frigidius, paulo etiam quod curabit calidius erit. Ut autem uno verbo exprimam tanto abeffe a medio quod medebitur quanto ipfum cui medela adhibebitur oportet, nimirum quum in contrarium utriusque vergat exceffus. Nam quod eandem in

ἀφεστηκὸς, ὅμοιον τῇ κράσει τῷ θεραπευομένῳ καθεστηκὸς, οὐδεμίαν ἀλλοίωσιν ἐπιφέρειν ἱκανὸν, ὥστε οὔτε βλάψει τι πάθος οὔτ᾽ ὠφελήσει. τὸ δ᾽ ἔλαττον ὠφελήσει μὲν, οὐ μὴν ἰάσεταί γε πάντως. εἰ τοίνυν τὸ μὲν πάθος εἴη ψυχρὸν, ἡ δὲ τοῦ φαρμάκου θερμότης χλιαρὰ, πάντως μέν τι προσωφελήσει τὸ πάθος, οὐ μὴν εἰς τὴν κατὰ φύσιν γε πάντως ἐπανήξει συμμετρίαν, ὥστ᾽ οὐδὲν ἐξιάσεται. πάλιν δὲ εἰ μὲν τὸ πάθος εἴη μικρὸν, ὡς ἂν ἀπὸ τῆς συμμέτρου θερμασίας τῆς κατὰ φύσιν εἰς οἷον χλιαράν τινα μεταπεπτωκέναι, τὸ δὲ φάρμακον εἴη ψυχρὸν, ἀνάγκη ἐπιψυχῆναί τε καὶ βλαβῆναι τὸ πάθος ὑπὸ τοῦ ψυχροῦ. τὸ δ᾽ αὐτὸ κἂν θερμότερον ᾖ τῆς συμμετρίας τὸ πάθος, ὑπὸ μὲν τῶν ὁμοίων αὐτοῦ φαρμάκων ἐν ταὐτῷ φυλαχθήσεται, βλαβήσεται δὲ ὑπὸ τῶν ἧττον ἑαυτῶν θερμῶν, οὐ μὴν ἐκθεραπευθήσεταί γε πάντως. [68] ἥκει δὴ κἀνταῦθα πάλιν ὁμωνυμία τις εἰς ὅλον ἐκτεταμένη τὸν βίον καὶ πολλαχόθι σφάλλουσα. καὶ γὰρ τὸ συμ-

partem cum corpore curando, idque aequo temperamento recessit, id quidem idoneum non est, quod alterationem ullam invehat, quare affectum neque laedet neque juvabit, quod autem minus aut plus recessit, alterabit quidem omnino affectum: sed quod plus distat, protinus etiam nocebit: at quod minus est juvabit quidem, non tamen persanabit. Ergo si affectio quidem frigida sit, at calor medicamenti tepidus, omnino necesse est affectum juvet quidem, verum haudquaquam ad naturalem symmetriam reducere poterit, quare nec persanabit. Rursum si affectio quidem sit parva, nempe ut a symmetra naturae caliditate ad tepiditatem declinet, sitque medicamen frigidum, omnino refrigerari affectum laedique a frigore necesse erit. Eodem quoque modo si calidior sit moderata temperie affectus, a similibus ipsius medicamentis in eodem statu servabitur, laedetur autem a calidioribus; porro juvabitur quidem ab iis quae se sunt minus calida, non tamen penitus persanabitur. Sane et hic quoque rursum homonymia in totam extensa vitam crebroque nos fallens occurrit. Etenim quod symmetro tem-

μέτρως κεκραμένον ὀνομάζομεν ἐνίοτε θερμὸν, ὥσπερ καὶ τὸ βαλανεῖον τὸ τοιοῦτον καὶ τὸ πόμα καὶ τὸ τούτου λειπόμενον οὐ πολλῷ, καὶ πρὸς τούτοις ἔτι τὸ θερμότερον ἅπαν. εἰ δέ γε τοῖς ὀνόμασιν ἀκριβῶς ἐχρώ(34)μεθα, τὸ μὲν σύμμετρον οὐ θερμὸν, ἀλλ᾽ εὔκρατον ἂν ἐκαλοῦμεν. ὅσον δ᾽ ἂν ἀμετρότερον τούτου, τὸ μὲν ἐπὶ τὸ θερμότερον ἄμετρον ἧττον τε καὶ μᾶλλον θερμὸν, τὸ δ᾽ ἐπὶ τὸ ψυχρότερον ἧττόν τε καὶ μᾶλλον ψυχρόν. οὕτω δ᾽ ἂν, οἶμαι, καὶ περὶ τῶν φαρμάκων ἀκριβῶς ὀνομάζοντες εὔκρατον ἂν ἐκαλέσαμέν τι καὶ μέσον, ὥσπερ τοὔλαιον· εἰ δέ τι θερμότερον αὐτοῦ, θερμὸν, ὥσπερ τὴν τῆλιν· εἰ δέ τι ψυχρότερον αὐτοῦ, ψυχρὸν, ὥσπερ τὸ ῥόδον. ἀλλὰ τοῦ μὴ χρῆσθαι τοῖς ὀνόμασιν τοῦτον τὸν τρόπον αἴτιον ὑπάρχει τοῦ μὴ ψύχεσθαι πάντα τὰ σώματα πρὸς τῶν τοιούτων φαρμάκων, οἷον καὶ τὸ ῥόδινόν ἐστι. τά τε γὰρ ὁμοίως αὐτῷ ψυχρὰ καὶ μᾶλλον ψυχρὰ, τὰ μὲν οὐδ᾽ ὅλως ἀλλοιοῖ, τὰ δὲ καὶ θερμαίνει. δόξειεν ἂν οὖν ἄλογον ὑπάρχειν, εἴ τι θερμαίνειν ὁμολογοῦντες εἶτα ψυχρὸν προσαγορεύομεν,

peramento eſt praeditum, id ſubinde calidum appellamus, ſicut balneum quod eſt ejusmodi ac poculum, tum id quod ab hoc non multum etiam deficit, ad haec quoque et quicquid calidius eſt. At ſi exquiſita nominum uteremur appellatione, quod ſymmetrum eſt non calidum, ſed temperatum nuncuparemus. Quod autem ab hujus excederet modo, ſi ad calidius quidem immoderatione ſua accederet tum plus tum minus calidum, ſin ad frigidius, plus minusque frigidum. Sic, opinor, in medicamentis, ſi exquiſite loqueremur, quiddam vocaremus temperatum exquiſite et medium, velut oleum: ſi quid autem eo eſſet calidius, calidum, ut foenum graecum, ſin frigidius, frigidum, ut roſam. Caeterum hujusmodi nominum abuſus cauſa extitit, quod non omnia corpora ob id genus medicamentis refrigerentur, quale eſt videlicet roſaceum. Nam quum alia peraeque ac illud frigida ſint, alia etiam frigidiora, illa quidem prorſum ne alterat quidem, haec vero etiam calefacit, ſaneque abſurdum videri poſſit, ſi quum quid calefacere fateamur, tamen frigi-

ὥσπερ εἰ καὶ τὸ φρεατιαῖον ὕδωρ ἐν χειμῶνι, τὸ ταῖς κατεψυγμέναις χερσὶ χλιαρὸν φαινόμενον, ὀνομάζοι τις ψυχρόν. ἐξ οὖν τούτων τῶν προφάσεων ἡ τῶν ὀνομάτων χρῆσις ταραχθεῖσα καὶ τὴν τῶν πραγμάτων ἐπιταράττει γνῶσιν. ὡσαύτως δὲ καὶ περὶ ξηροῦ καὶ ὑγροῦ τῶν ὀνομάτων συγχυθέντων καὶ ἡ τῶν πραγμάτων γνῶσις συνεχύθη. καίτοι σμικρὸν εἶναι δοκοῦν τὸ διελέσθαι καλῶς τὰ σημαινόμενα τῶν ὀνομάτων, τὴν μεγίστην ἔχον εὑρίσκεται δύναμιν εἰς τὴν τῶν πραγμάτων γνῶσιν. ἀλλὰ περὶ μὲν ὑγροῦ καὶ ξηροῦ μετ᾽ ὀλίγον ἐροῦμεν, ἐπειδὰν τὸν περὶ τοῦ θερμοῦ καὶ ψυχροῦ συμπεράνωμεθα λόγον. οὐδὲ γὰρ οὐδὲ λείπειν ἔοικέ τι πολὺ τῶν ἐν αὐτῷ διορισμῶν, ἅπαξ γε σαφῶς πεφηνότος ὡς οὐδὲν θαυμαστὸν ὑφ᾽ ἑνὸς φαρμάκου διαφέροντα σώματα τὰ μὲν θερμαίνεσθαι, τὰ δὲ ψύχεσθαι, τὰ δὲ μηδέτερον αὐτῶν πάσχειν. ἐν μὲν γὰρ τῷ πρός τι ῥᾷστον ἐπὶ τὰ κατὰ μέρος ἐλθόντα λέγειν ὡς τοιούτῳ μὲν σώματι προσαγόμενον ῥόδινον, ἐν ᾗ παρέλαβεν αὐτὸ κράσει φυλάττειν πέφυκε, ἑτέρῳ δέ τινι τοιῷδε θερμαίνει

dum vocitemus, ac ſi quis aquam putealem, quae hieme manibus refrigeratis tepida videtur, frigidam appellitet. His ergo occaſionibus perturbatus nominum uſus rerum quoque una perturbat notitiam. Similiter vero et de ſicco et humido confuſis ipſorum nominibus rerum quoque notitia confuſa eſt. Ac tametſi exile videatur nominum ſignificata probe diſtinguere, attamen maximum habere momentum et facultatem ad rerum cognitionem deprehenditur. Sed de humido et ſicco paulo poſt dicetur, ubi videlicet omnem de calido et frigido ſermonem perfecerimus. Nam non multum etiam de ejus diſtinctionibus reliquum eſſe videtur, ubi videlicet jam ſemel apparuit nihil miri eſſe, ab eodem medicamento corpora diverſa alia quidem calefieri, alia vero refrigerari, alia autem neutrum omnino perpeti. Etenim in eo, quod ad aliquid, facillimum eſt ad particularia accedentem dicere, quod ejusmodi corpori admotum roſaceum, in qua ipſum temperie natum eſt, in ea ſervare poteſt: alteri vero illiusmodi applicatum calefacere: alii autem refri-

Ed. Chart. XIII. [68. 69.] Ed. Bas. II. (34.)

προσφερόμενον, ἄλλῳ δὲ ψύχει. καθόλου δ' ἀποφήνασθαι περὶ τῆς δυνάμεως αὐτοῦ χαλεπὸν, ἄνευ τοῦ διαστείλασθαί τε καὶ συνθέσθαι περὶ τῶν ὀνομάτων. εἴη δ' ἂν ὅ τε διορισμὸς ἥ τε συνθήκη τοιάδε, ἐπειδὴ τὰ σώματα τῶν ἀνθρώπων καὶ ταῖς ἐξ ἀρχῆς κράσεσιν καὶ ταῖς κατὰ τὰς ἡλικίας αὐτοῖς προσγινομέναις καὶ ταῖς κατὰ τοὺς ἐθισμοὺς τοῦ βίου πάμπολυ διενήνοχε, ἀνάγκη δήπου πρὸς τῶν αὐτῶν φαρμάκων αὐτὰ διαφόρως ἀλλοιοῦσθαι. νέον γοῦν τινα φύσει θερμὸν, ἐργάτην τῷ βίῳ, πρεσβύτιδι γυναικὶ καὶ φύσει ψυχροτέρᾳ παραβάλλων οὐκ ἂν ἐλάττονα τὴν ὑπεροχὴν εὕροις ἢ τινος τῶν θερμαινόντων ἱκανῶς φαρμάκων πρὸς τὰ ψύχοντα.

Κεφ. ιγ'. Μέσον οὖν τινα νόησόν μοι τῶνδε, τήν τε φύσιν εὐθὺς ἐξ ἀρχῆς εὔκρατον, ἔθεσί τε προσήκουσιν τὴν εὐκρασίαν ταύτην διαφυλάττοντα. καὶ τρεῖς τούτους ὥσπερ σκοποὺς κράσεως ἐν τῇ διανοίᾳ παραθέμενος ἐπίσκεψαι τὸ καθόλου [69] θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν φάρμακον, ὡς πρὸς ποίαν ἐξ αὐτῶν κρᾶσιν ἀποβλέ-

gerare. At in univerſum de facultate ejus pronunciare, id vero difficile eſt, niſi nomina diſtinguas atque de iis convenias. Fuerit autem tum diſtinctio tum conventio talis. Quandoquidem corpora humana tum ea quam ab ortu nacta ſunt temperie, tum ea quam ex aetate poſtea acquirunt, tum ea quae ex vitae conſuetudine plurimum inter ſe differunt, ab eisdem ea medicamentis varie alterentur neceſſe eſt. Quippe ſi juvenem natura calidum, ex vitae inſtituto artificem exercentem, vetulae mulierculae eidemque natura frigidae compares, non minus illum excellere comperies quam ſi valide calefacientium medicamentorum quippiam cum refrigerantibus componas.

Cap. XIII. Medium ergo horum mihi quempiam intelligas, qui et natura ſit temperatus et moribus ac conſuetudine convenienti hanc tueatur eucraſiam. Dein tres hosce tanquam temperiei ſcopos animo commendes, ac circumſpicias, quod in genere calidum eſt, aut frigidum, aut ſiccum, aut humidum, cujus ex ipſis temperiei reſpectu tale

ποντα προσαγορεύειν ἐστὶ βέλτιον. ἆρά γε πρὸς τὴν εὐκρατοτάτην, ἥπερ δὴ καὶ μία τίς ἐστι καὶ μέση τῶν ἄλλων ἁπασῶν, ἢ πρὸς τὰς ἀμέτρους καὶ δυσκράτους καὶ ἀδιορίστους καὶ σχεδὸν ἀπείρους τὸ πλῆθος; ἐμοὶ μὲν γὰρ οὐδὲ παραβλητέον εἶναι δοκεῖ τὸ τῆς διαιρέσεως, οὐδὲ σκέψεώς τινος ἐπιδεὲς, ἀλλ' ἄντικρυς φαίνεσθαι τῷ καὶ σμικρὸν νοῦν ἔχοντι τὸ κατωρθωμένον σῶμα καὶ ἁπλοῦν καὶ ἓν οἷον κανόνα τινὰ καὶ σκοπὸν ὑποθέμενον ἀπευθύνειν, οὕτω κρῖναι καὶ τἄλλα πρὸς τοῦτο. κείσθω τοίνυν ἡμῖν τὸ τοιοῦτον σῶμα τῆς τῶν φαρμάκων δυνάμεως κανών. καὶ τὸ μὲν ὁμοίαν τῇ τούτου κράσει θερμασίαν ἀνάπτον εὔκρατον ὀνομαζέσθω, κἂν ὅτι μάλιστα θερμαίνειν ἐπιφανῶς δοκῇ πρεσβύτην κατεψυγμένον. τὸ δ' ἤτοι θερμαῖνον, ἢ ψῦχον τὸ τοιοῦτον σῶμα, καλείσθω τὸ μὲν θερμαῖνον θερμὸν, τὸ δὲ ψῦχον ψυχρόν. γινέσθω δὲ τούτων αὐτῶν εὐσήμου διδασκαλίας ἕνεκα τάξις τῶν ἀποστάσεων, ἐπὶ μὲν τὸ ψυχρὸν ἡ πρώτη μὲν ἐξ ἧς ἄν τις θείη τὸ ῥόδινον, ἡ δευτέρα δ' ἐξ ἧς ἔσται τὸ ῥόδον αὐτὸ καὶ τρίτη τις ἐπὶ ταύτῃ καὶ τετάρτη μέχρι περ ἂν ἐπὶ τὰ

appellare fit melius, nonne ad temperatiffimam, quae unica eft pariterque reliquarum media, an ad immoderatas et intemperatas atque indefinitas ac propemodum numero infinitas? Sane mihi ne conferenda quidem diftinctio videtur, neque ulla prope confideratione indigere, fed homini vel paulum etiam ingenii habenti perfpicuum effe, corpus omnibus numeris abfolutum et decorum fimplexque et unum velut regulam quandam et fcopum proponendum, ac ad ipfum alia omnia dirigenda effe. Efto ergo nobis corpus hoc medicamentorum facultatis regula: quodque fimilem illius temperiei caliditatem accendit, vocetur temperatum, etiamfi vel maxime calefacere fenem refrigeratum videatur: quod vero calefacit, aut refrigerat corpus ejusmodi, illud quidem calidum, hoc vero vocetur frigidum. Ego autem, quo haec dilucidius tradantur, ipforum exceffuum ordo, ad frigidum quidem primus cujus effe dicas rofaceum, fecundus cujus fit ipfa rofa, poft hunc tertius et quartus, quoad

ψυχρότατα τῷ λόγῳ παραγενώμεθα, κώνειόν τι καὶ μηκώνειον καὶ μανδραγόραν καὶ ὑοσκύαμον. ἐπὶ δ' αὖ τὸ θερμὸν ἄνηθον μὲν καὶ τῆλιν πρῶτα, δεύτερα δ' ἐφεξῆς ἅττα ἂν φανῆται δεύτερα, καὶ τρίτα δὴ καὶ τέταρτα, μέχρι περ ἂν ἐπὶ τὰ καίοντα παραγενώμεθα. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐπί τε τῶν ὑγραινόντων φαρμάκων, ἀρξάμενοι πάλιν ἀπὸ τοῦ συμμέτρου, τάξεις ἐφεξῆς ἄχρι τῶν ἄκρων ποιησώμεθα. τῆς γὰρ τοιαύτης γνώσεως εἰς τὴν θεραπευτικὴν μέθοδον οὐ σμικρά τις ἡ χρεία. μᾶλλον δ' εἰ χρὴ τἀληθὲς εἰπεῖν, εἰ μή τις οὕτω διορίσει, βλάψει μᾶλλον ἢ ὠφελήσει τοὺς ἀναγινώσκοντας. ὡς νῦν γε καὶ πρὸς τοῖς ἄλλοις οἷς ἁμαρτάνουσιν οἱ πολλοὶ τῶν ἰατρῶν τὰς τῶν ἁπλῶν φαρμάκων δυνάμεις ἐξηγούμενοι καὶ τοῦτό ἐστιν εὑρεῖν τὸ βλαβερώτερον, ἐν μὲν τοῖς θερμαίνουσιν εἰ τύχοι γεγραμμένον ἄνηθόν τε καὶ τῆλιν καὶ μίσυ καὶ τίτανον, ἐν δὲ τοῖς ψύχουσιν ῥόδινόν τε καὶ μανδραγόραν καὶ κώνειον, ὥσπερ ἐγγὺς ὑπάρχουσαν, ἢ τῆς τιτάνου τὴν τῆλιν ἢ τοῦ κωνείου τὸ ῥόδινον, ἀλλ' οὐ πολλαῖς ταῖς μεταξὺ τῶν φαρμάκων τάξεσι διωρισμένα. ἀλλ'

fermone ad frigidiffima pervenerimus, nempe cicutam fuccum papaveris, mandragoram, hyofcyamum. Rurfum ad calidum, anethum quidem et foenum graecum primus, fecundus vero deinceps, quicunque videatur fecundus tertiusque et quartus, donec ad exurentia perventum fit. Ad eundem modum in medicamentis humectantibus ac ficcantibus rurfus a fymmetro exorfi ordines deinceps ad fumma usque conftituamus, nam hujus notitiae ad medendi methodum non parvus eft ufus: imo nifi quis hoc pacto definiat, officiet magis legentibus quam proderit. Siquidem medici, qui nunc quidem fimplicium medicamentorum vires exponunt, praeter alia multa quae delinquunt hoc maxime noxium eft cernere, nempe quod in calidis verbi gratia anethum et foenum graecum et mify et calcem indifferenter numerent, in frigidis rofaceum, mandragoram et cicutam: tanquam fcilicet propinquum fit aut calci foenum graecum aut cicutae rofaceum, ac non multis eorum quae in medio funt medicamentorum ordinibus disjuncta. Verum nos pro

ἡμεῖς γε πειρασόμεθα καθάπερ οἷοί τέ ἐσμεν, οὕτω μέγα καὶ χαλεπὸν ἔργον εἰς τάξιν τινὰ καταστήσεσθαι καὶ γράψαι τά τε πλησίον ἀλλήλων ταῖς δυνάμεσι καὶ τὰ πόῤῥω. καὶ τοῦτο ποιήσωμεν οὐ λόγοις πιθανοῖς ἐπιτρέψοντες αὐτῶν τὴν κρίσιν, ἀλλὰ τῇ διωρισμένῃ πείρᾳ, καθότι καὶ τοῦτο πολλάκις εἴρηται διὰ τῶν ἔμπροσθεν. ἔστι δὲ δή που πρόδηλον ὡς ἡ τοιαύτη κρίσις ἀσφαλὴς μέν ἐστιν, ἀλλὰ μακρά τε ἅμα καὶ πόνον ἔχουσα πολὺν ἡμῖν τοῖς μέλλουσι δι' αὐτῆς ἐπὶ τὸ τέλος ἀφικέσθαι τοῦ προκειμένου, τοῖς μέντοι βουλομένοις ἀναλέγεσθαι ταυτὶ τὰ γράμματα μόνη τεχνῶσαι δυναμένη καὶ παρασχεῖν οἷον ὀφθαλμόν τινα διαγνωστικὸν τῆς ἀληθείας. ὅσα τοίνυν ἔτι λείπει πρὸς τὴν ὅλην στοιχείωσιν, ἐν τῷδε τῷ λόγῳ προσθέντες, ἐν μὲν τῷ τετάρτῳ περὶ τῆς τῶν χυλῶν δυνάμεως ἐροῦμεν, ἐπειδὴ καὶ τοῦτο τοῖς ἑταίροις ἔδοξεν· ἐν δὲ τῷ πέμπτῳ περὶ τῶν ἐν ἅπασι καθόλου τοῖς ἁπλοῖς φαρμάκοις δευτέρων τε καὶ συνθέτων δυνάμεων, εἶθ' οὕτως ἐπὶ τὰ κατὰ μέρος ἐν τοῖς ἐφεξῆς ὑπομνήμασι μεταβησόμεθα.

viribus rem tam immenfam tamque operofam in ordinem redigere tentemus et exponamus quae viribus propinqua funt, quaeque longe diffita. Atque id quidem efficiamus, non probabiles fermones, fed certam ac definitam experientiam pro judice fumentes, velut et id quoque fuperius faepenumero admonuimus. Enimvero ejusmodi judicium ut tutiffimum quidem erit, ita prolixum quoque ac plenum laboris, dum propofiti finem confequamur: eos tamen, qui haec relegere volent, hoc unicum ac folum efformare atque artificiofos reddere poterit ac velut oculum, quo veritatem agnofcant, praebere. Ergo quae adhuc reliqua funt, ad totam velut elementarem conftitutionem, pofiquam ea hoc libro confecerimus, in quarto de faporum viribus differemus: quandoquidem et hoc quoque ita vifum amicis eft. In quinto autem de omnibus in genere fimplicium medicamentorum fecundis quidem ac compofitis facultatibus. Atque ita ad particularia in iis quae dehinc fequentur libris tranfibimus.

Κεφ. ιδ'. [70] Λείπει δὴ πρῶτον μὲν, οὗ πολλάκις ἤδη καὶ πρόσθεν ὁ λόγος ἠναγκάσθη μνημονεῦσαι, τελέως δ' οὐκ ἐπεξῆλθεν. ἔστι δὴ τοῦτο σχεδὸν ἅπαντα τὰ φάρμακα, κἂν ἁπλᾶ πρὸς αἴσθησιν φαίνηται, τῇ φύσει γοῦν ὑπάρχει σύνθετα, καὶ πολλάκις γε καὶ τὰς ἐναντιωτάτας ἐν αὐτοῖς ἔχει δυνάμεις, οἷον ἐκκριτικήν τε καὶ σταλτικὴν παχυντικήν τε καὶ λεπτυντικὴν, ἀραιωτικήν τε καὶ πυκνωτικὴν, ἐμπλαστικήν τε καὶ διαῤῥυπτικὴν, συντατικήν τε καὶ χαλαστικὴν, ἁπάσας τε τὰς ἄλλας ἀντιθέσεις, ὡς ἐν τῷ μετὰ ταῦτα λόγῳ δείξομεν. οὐδὲν δὲ θαυμαστὸν, εἰ ἐπὶ τῶν τοιούτων δυνάμεων ἐνὶ καὶ ταὐτῷ φαρμάκῳ θερμαντική τε καὶ ψυκτικὴ φαίνοιτο, ἢ ξηραντική τε καὶ ὑγραντικὴ, (35) λεπτομερής τε καὶ παχυμερής. εἰ μὴ γὰρ αἱ πρῶται καὶ δραστικώταται τὴν τοιαύτην εἶχον συμπλοκὴν, οὐδ' ἂν αἱ μετὰ ταύτας ὁμοίως συνεπλάκησαν. ἀλλ' ἡμεῖς ἐὰν αὐτοὶ μίξωμεν, εἰ οὕτως ἔτυχεν, ῥοῦ χυλὸν μέλιτι, τὸ μικτὸν ἐξ ἀμφοῖν συγχωροῦμεν οὐ στυπτικὴν μόνην, ἀλλὰ καὶ ῥυπτικὴν ἔχειν δύναμιν οὐδ' ἐφε-

Cap. XIV. Reliquum autem eſt id, cujus ſubinde jam ante neceſſario mentionem quidem fecimus, verum abſolute nondum expoſuimus. Eſt autem iſtud, nempe omnia propemodum medicamenta, licet ſenſu ſimplicia appareant, natura tamen eſſe compoſita: quin et ſubinde quoque adverſiſſimas in ſeſe continere facultates, nempe excernendi et ſiſtendi, incraſſandi et extenuandi, rarefaciendi et condenſandi, illinendi atque abſtergendi, contrahendi et laxandi, caeteraſque oppoſitiones univerſas, ut in ſequenti hunc libro patebit. At mirum hoc videri minime debet in id genus facultatibus, quum uni et eidem medicamento vim calefaciendi et refrigerandi ineſſe appareat, aut exiccandi et humectandi, aut tenuium partium et craſſarum: quippe niſi primae efficaciſſimaeque virtutes hoc pacto conplicarentur, haud ſane quae ex illis ſequuntur ſimiliter conplicatae forent. Quin ſi nos ipſi rhu ſuccum verbi gratia melli commiſceamus, quod ex ambobus mixtis confectum eſt, non modo aſtringendi, ſed etiam abſtergendi poſſidere facultatem

κτικὴν γαστρὸς μόνον, ἀλλὰ καὶ κενωτικήν. ἐν δὲ τῷ γάλακτι τὰς δύο περιέχεσθαι δυνάμεις, ἐκκριτικήν τε ἅμα καὶ σταλτικὴν γαστρὸς, οὐκ ἔθ᾽ ὁμοίως συγχωροῦμεν. καίτοι τοῦτο μὲν καὶ διακρίνεται ῥαδίως εἰς ὀῤῥὸν καὶ τυρὸν, καὶ πᾶσιν ὁμολογεῖται τὸ μὲν ὑπάγειν τὴν γαστέρα, τὸ δὲ ἐπέχειν.

Κεφ. ιε΄. Τοῦτ᾽ οὐκ ἔτι συγχωροῦμεν ἑτοίμως καὶ ἐν τῇ κράμβῃ. ἐκθλίβοντες μὲν γὰρ αὐτῆς τὸν χυλὸν καὶ μόνον, ἢ μετὰ μέλιτος καταῤῥοφοῦντες, ὁρῶμεν καθαρτικὸν, οὐ μὴν ἐσθίειν γε δυνάμενοι τὸ λοιπὸν, ἀπιστοῦμεν ὅτι σταλτικόν ἐστιν. ἀλλ᾽ ἄν τις ὅλην ἑψήσας αὐτὴν ἀποχέῃ τὸ πρότερον ὕδωρ, ἐν ᾧ τὸν χυλὸν ἐναπέθετο, κἄπειτα αὖθις ἐμβαλὼν ἑτέρῳ καθαρῷ, καὶ πάλιν ἑψήσας ἀποχέῃ καὶ τοῦτο, τὸν μὲν χυλὸν εὑρήσει καθαίροντα, τὴν δὲ κράμβην αὐτὴν ἐπέχουσαν τὴν γαστέρα καὶ πολὺ μᾶλλον εἰ μὴ δὶς, ἀλλὰ τρὶς ἢ τετράκις ἀποχέῃ τις τὸ ὕδωρ. ὅσῳ γὰρ ἂν ἀκριβέστερον ἐναπόθηται τὸν χυλὸν αὐτῷ, καθαρτικώτερον μὲν ἐκεῖνο ποιήσει, τὴν δὲ ὑπόλοιπον αὐτῆς οὐσίαν τὴν οἷον σάρκα τοῦ λαχάνου σταλ-

concedemus: nec cohibendi folum ventris, fed et evacuandi. At in lacte duas contineri facultates, nempe proritandi ac ventrem fiftendi, haud itidem concedimus, tametfi id perfacile in ferum ac cafeum fegregetur, confeffumque fit omnibus illud quidem ventrem fubducere, hunc vero eundem cohibere.

Cap. XV. Neque id quidem etiam in braffica facile concedimus. Nam fi fuccum ejus expreffum aut folum aut cum melle haufèrimus, purgare ipfum cernimus: attamen quoniam quod reliquum eft edere nequeamus, aftrictorium effe diffidimus. Sed fi totam ipfam concoquas primamque ejus aquam, in quam fuccum depofuit, effundas, iterumque eam alteri aquae purae injicias rurfumque concoctam effundas, fuccum quidem purgare offendes, braffìcam vero ipfam ventrem aftringere, multoque magis fi non bis duntaxat, fed ter aut quater aquam effuderis, nam quanto exquifitius in aquam fuccum fuum depofuerit, tanto et illi quidem majorem purgandi vim adjiciet et reliquam fuam fubftantiam.

τικὴν ἐπιδείξεται. οὕτω δὲ καὶ ἐπὶ τῶν τεύτλων ἔχει καὶ σχεδὸν ἁπάντων τῶν ἄλλων, ὧν ἤτοι δριμὺς, ἢ νιτρώδης ἢ ἁλυκὸς ὁ χυλός ἐστιν, ἐπεί τοι καὶ τοῖς φακοῖς, καίτοι στύψιν ἱκανὴν ἔχουσι κατὰ τὴν γεῦσιν, ὅμως ὑπάρχει τι τοιοῦτον. ἔστι γὰρ καὶ τὸ τούτων ἀφέψημα λαπακτικὸν τῆς γαστρὸς, ἀλλ᾽ οὗτος μὲν ὁ χυλὸς ἐπίμικτος σαφῶς ἐστιν κατὰ τὴν γεῦσιν, ὡς εἰ καὶ νιτρώδες τι μίξεις αὐστηρῷ. ὁ δὲ τῶν θαλαττίων κογχαρίων, ἁπάντων τε τῶν ἄλλων ὀστρέων χυμὸς, ἁπλῶς ἁλυκός ἐστι καὶ λαπακτικός. αὐτὴ μέντοι γε καὶ τούτων ἡ σὰρξ ἐπέχει γαστέρα, καὶ πειραθήσῃ δὲ ἀληθοῦς τοῦ λεγομένου, σκευάσας ὁμοίως ταῖς κράμβαις αὐτά. καὶ γάρ τοι καὶ ὁ τῶν πρεσβυτέρων ἀλεκτρυόνων ζωμὸς ὑπάγει τὴν γαστέρα, καίτοι τῆς σαρκὸς σταλτικῆς οὔσης. ἔστι δὲ κἀν τῇ λεπίδι τοῦ χαλκοῦ δύναμις διττὴ, καθάπερ καὶ ποιότης, καὶ γὰρ στύφει καὶ δάκνει· καὶ διὰ τοῦτο τῷ μὲν [71] στύφειν ἐπουλεῖ τὰς ξηρὰς τῶν ἡλκωμένων σαρκῶν, τῷ δ᾽ αὖ δάκνειν τὰς πλαδαρὰς συντήκει. εἰ δ᾽ εἴσω τοῦ σώματος

quae velut oleris ipſius caro eſt, reſtringentem efficiet. Eadem eſt ratio in beta, atque adeo in omnibus ferme quibus ſapor aut acris aut nitroſus aut ſalſus ineſt. Quippe et lenticula ipſa, tametſi ſatis magnam aſtringendi potentiam guſtu referat, tamen ejusmodi quid ſortita eſt: nam et hujus decoctum ventris ſolvendi vim obtinet. Verum hic ſuccus, etiam ſi deguſtes, perſpicuam miſturam repraeſentat, tanquam ſi nitroſo auſterum quid commiſceas. Sed et conchularum maris caeterorumque fere oſtreorum ſuccus plane tum ſalſus eſt, tum ventrem ſolvendi vim obtinet, quamvis eorum caro ventrem reprimat. Verum quod dico deprehendes ſi ea quoque quomodo braſſicam cenſuimus, praeparare non graveris. Nam et gallorum veterum jus ventrem ducit, tametſi caro eundem ſiſtere poteſt. In aeris autem ſquama ſicut duplex qualitas, ita gemina quoque facultas ineſt, nam et aſtringit et mordicat: quare aſtrictione quidem ſiccatas ulceratarum carnium cicatrice obducit, mordicatione vero praehumidas colliquat. Quod ſi intro in cor-

ληφθείη, καθαίρει μὲν, οὐκ ἐπέχει δὲ τὴν γαστέρα. νικᾶται γὰρ ἡ στυπτικὴ δύναμις ὑπό τε τῆς δριμείας καὶ καθαρτικῆς, ὥσπερ εἰ καὶ ῥοῦ χυλὸν ἀναμίξαις σκαμμωνίᾳ. καθαρτικὸν γὰρ ἔσται τὸ ἐξ ἀμφοῖν, οὐκ ἐφεκτικὸν τῆς γαστρὸς, καίτοι γε πρὸς τὴν γεῦσιν ὁ αὐστηρὸς χυλὸς ἐπικρατήσει μᾶλλον. οὕτω δὲ καὶ μετὰ μήλου κυδωνίου σαρκὸς οὐκ ὀλίγα τῶν καθαιρόντων διδόμενα, τῇ μὲν γεύσει λανθάνει, τῇ δ' ἐνεργείᾳ μόνον φαίνεται. δίδοται δὲ καὶ διὰ φοίνικος ἔνια σαρκὸς, ἄλλα δὲ διὰ μύρτων ἢ μετὰ Χίας μαστίχης, ἢ μετ' ἄλλου τινὸς τῶν εὐστομάχων τε καὶ στυπτικῶν, ὡς καὶ τὴν γεῦσιν λαθεῖν καὶ τὸν στόμαχον ἧττον ἀνατρέψαι. ἀλλ' εἰ καὶ τῇ πρὸς τὴν γεῦσιν ποιότητι κρατοίη τὰ στύφοντα τῶν καθαιρόντων, τῇ γε ἄλλῃ δυνάμει κρατεῖται. πολλάκις γὰρ ἡ μὲν γλῶττα κατὰ τὸ πλεονάζον ἐνικήθη τῆς οὐσίας, ἡ δὲ ἐνέργεια κατὰ τὴν ἰσχὺν γίνεται τῆς δυνάμεως. ὅταν οὖν οὐσία σμικρὰ, σφοδρὰν ἔχουσα δύναμιν, ἀναμιχθεῖσα μεθ' ἑτέρας οὐσίας πολλῆς ἀσθενῆ δύναμιν ἐχούσης εἴσω τοῦ σώματος ἀφίκηται, τὴν μὲν γεῦσιν λανθάνει, τὸ δὲ ἔργον

pus fumatur, purgat quidem ventrem, verum non cohibet: vincitur enim ea aftringendi facultas ab acri purgatoriaque potentia, tanquam fi rhu fuccum fcammonio commifceas; nam quod ex ambobus mixtum erit, folvet ventrem, haud fiftet, licet guftu aufteritas exuperet. Sic autem non pauca purgantium medicamentorum cum carne mali cydonii exhibita guftu quidem fallunt, at affectu folo quid valent commonftrant. Dantur vero quaedam cum palmulae carne, alia autem cum myrtis, alia cum maftice Chia aut alio quopiam eorum, quae tum grata funt ftomacho tum aftringunt, quo fcilicet guftum fallant fimulque ftomachum minus evertant. Verum tametfi ea quae guftu percipitur qualitate purgantia ab aftringentibus vincantur, alia tamen facultate ipfa vincunt: perfaepe enim lingua a materiae victa eft copia, caeterum actio pro facultatis viribus ac robore perficitur. Itaque cum fubftantia exigua quidem, fed validis praedita viribus, mixta alteri fubftantiae plurimae eidemque imbecillae in corpus intro pervenit, guftum quidem fallit, attamen ef-

ἐνεργέστερον ἐκείνης διαπράττεται. θαυμάζεται δὲ καὶ ταῦτα πρὸς τῶν πολλῶν καὶ νομίζουσιν ἄπορον ὑπάρχειν, εἰ στυφόν τι σῶμα καθαίρειν πέφυκεν, οἷον ἀλόη καὶ λεπὶς χαλκοῦ καὶ χαλκὸς κεκαυμένος· ἐχρῆν γὰρ, φασὶ, τοὐναντίον μᾶλλον ἐπέχειν αὐτὰ, οὐ προτρέπειν τὴν γαστέρα. ὅτι δὲ τὸ μῆλον, εἰ οὕτως ἔτυχεν, τὸ μετὰ τῆς σκαμμωνίας στῦφον καθαίρει, τοῦτό γε οὐδεὶς θαυμάζει, καίτοι γε ἐντεῦθεν ὁρμηθέντα ῥᾷστον ἦν, οἶμαι, κἀπὶ τῆς ἀλόης συλλογίσασθαι μικτήν τινα δύναμιν ὑπάρχειν. καὶ εἴπερ ἦν οἷόν τε διακρῖναι τὸ καθαῖρον ἐν αὐτῇ τοῦ μὴ καθαίροντος, ὥσπερ ἐπὶ γάλακτος ἐργαζόμεθα καὶ κράμβης ἑτέρων τε παμπόλλων, οὐκέτ᾽ ἂν ἐθαυμάζετο. καὶ μὲν δὴ καὶ ποιῆσαι τοῦτό πως δυνατόν. ἐπιμελῶς γὰρ ἀλόη πλυθεῖσα παντάπασιν ἀσθενῶς ἢ οὐδ᾽ ὅλως ὑπάγει γαστέρα. ταὐτὸ δὲ τοῦτο καὶ λεπὶς χαλκοῦ καὶ αὐτὸς ὁ κεκαυμένος χαλκὸς πέπονθεν, ὡς καὶ ἡμεῖς ἀκριβῶς πλύναντες ἐπειράθημεν, ἀμυδρῶς αὐτῶν καθαιρόντων. ἀλλ᾽ οὖν καὶ τὸ τῆς ποιότητος εὐθὺς ἅμα τῷ γεύσασθαι φαρμακῶδες ἐμφαίνει τὸ μικτὸν τῆς δυνάμεως.

fectum, quam illa efficaciorem exhibet. Sane permultos hujus rei admiratio detinet, remque rationis expertem abſurdamque exiſtimant, ſi corpus quodpiam aſtringens purgare queat, velut aloë et aeris ſquama atque aes uſtum: nam contrarium potius oportebat, nempe ventrem reprimere, haudquaquam ciere. Caeterum quod malum verbi cauſa cui inditum eſt ſcammonium aſtringens purget, nemo miratur, tametſi hinc orſis facilius erat et in aloë mixtam ineſſe facultatem colligere. Ac ſi quod ex ea purgat ab eo quod non purgat ſegregari poſſet, ſicuti in lacte facimus et braſſica aliisque permultis, non etiam admiratione afficeret: quamquam id ſane quodammodo praeſtari queat. Nam ſi aloë accurate lavetur, aut debiliter aut plane nihil ventrem ſubducit. Idem uſu venit aeris ſquamae aerique uſto, quippe quae nos diligenter elota obſcuram modo purgandi vim retinuiſſe ſumus experti. Quin imo ipſius quoque qualitatis medicamentis ſapor primo ſtatim guſtu facultatis mix-

εἴπερ γὰρ ἦν ἀεὶ μία ποιότης ἐν ἑκάστῳ τῶν τὴν γεῦσιν στυφόντων φαρμάκων, οὐκ ἂν ἦν ποτε αὐτῶν τὰ μὲν ἐδώδιμα, τὰ δὲ φαρμακώδη, ἀλλὰ μόνον ἐν τῷ μᾶλλον ἢ ἧττον στύφειν ἀλλήλων διέφερον. νυνὶ δὲ οὐχ οὕτως ἔχει. φαίνεται γὰρ ἡ μέν τις ἡδεῖα καὶ προσηνὴς στύψις, ἡ δέ τις ἀηδής τε καὶ φαρμακώδης, ἀπίου μὲν καὶ μήλου καὶ ῥοιᾶς ἡδεῖα, λεπίδος δὲ χαλκοῦ καὶ ἀλόης ἀηδής τε καὶ φαρμακώδης. καίτοι γε ἧττον στύφει κυδωνίου μήλου λεπὶς χαλκοῦ, ὥστε μηδὲ τῷ σφοδρῷ τῆς στύψεως ἔχειν ἂν ἐνεγκεῖν τὸ τῆς ποιότητος ἀλλόκοτον. ὁμοίως δὲ καὶ ἄλλα τῶν ἐδωδίμων ἀλόης καὶ λεπίδος χαλκοῦ καὶ αὐτοῦ τοῦ κεκαυμένου χαλκοῦ στύφει μᾶλλον. ἐπὶ μὲν δὴ τῶν τοιούτων ἄντικρυς φαίνεται τὸ μικτὸν τῆς οὐσίας, ἐπ᾽ ἄλλων δὲ, κἂν μὴ φαίνηται, συλλογίζεσθαι χρὴ καὶ μὴ νομίζειν ἄλλο μέν τι κατὰ τὴν ἀλόην ἐργάζεσθαι τὴν στύψιν, ἄλλο δέ τι κατὰ τὸ μῆλον. ἓν γὰρ ἐν ἅπασι ποιεῖν εὔλογόν ἐστι κατά γε τὴν ἑαυτοῦ φύσιν, οὐ τὴν στύψιν μόνην, ἀλλὰ καὶ τῶν ἄλλων ποιοτήτων ἑκάστην. τῷ δὲ μηδὲν εὑρίσκεσθαι καθαρὸν ἀκριβῶς μηδὲ ἄμικτον

tionem demonftrat. Nam fi unica femper qualitas unicuique guftu aftringentium medicamentorum ineffet, haud fane inter ipfa alia efui apta alia medicamentofa forent, fed tantum in eo quod magis vel minus aftringant differrent. At non ita fe res habet. Nam haec quidem aftrictio mitis ac fuavis apparet, alia ingrata et medicamentofa, velut pyri quidem mali et mali punici fuavis, fquamae vero aeris et aloës ingrata atque medicamentofa, tametfi malo cydonio aeris fquama minus aftringat. Quamobrem nec aftrictionis vehementia eam qualitatis abfurditatem invehit, quando inumera prope alia eorum quae edendo funt, aloë, aeris fquama et ipfo etiam aere ufto, plus aftringant. Atque in hifce utique fubftantiae miftura clare perfpicitur. At in aliis etiam fi non appareat, tamen eam ratione colligere oportet, ac non putare aliud in aloë aftrictionem moliri, aliud in malo: unum enim in omnibus efficere pro fua natura non adftrictionem modo, fed et aliarum qualitatum unamquamque, rationi confentaneum eft. Caeterum quia

ἑτέρων ποιοτήτων, αἱ διαφοραὶ τῶν ἐνεργειῶν ἄλλαι κατ᾽ ἄλλο τῶν στυφόντων εἰσίν. ἄλλο μὲν γὰρ μεσπίλου τοὔργον ἐστιν, ἄλλο δὲ λεπίδος, ἄλλο δὲ ἀλόης, ἕτερον δὲ μόρων, εἰ οὕτως ἔτυχεν ἢ [72] κηκίδος, ἢ σιδίων, ἢ στυπτηρίας, ἢ ῥοῦ, καὶ βέλτιον ἦν, ὅσοι τι περὶ τῶν στυφόντων φαρμάκων τῆς ἐνεργείας ἐτόλμησαν ἀποφήνασθαι, καθόλου περὶ τῆς στύψεως αὐτῆς μᾶλλον ἢ περὶ τῶν στυφόντων εἰρῆσθαι. τὸ μὲν γὰρ στῦφον οὐ στύφει μόνον, ἀλλ᾽ ἤτοι δριμὺ πρὸς τὸ στύφειν ἐστὶν, ἢ λιπαρὸν, ἢ γλυκὺ, ἢ πικρὸν, ἢ ἁλυκὸν, ἢ ὀξῶδες. ἡ δὲ στύψις ἓν τοῦτο μόνον ἐστὶ διὰ παντὸς ὅπερ ἐστὶ, ὥσπερ καὶ ἡ γλυκύτης καὶ ἡ ἁλυκότης ἑκάστη τε τῶν ἄλλων ποιοτήτων. εἰ δ᾽ ὥσπερ ἡ στύψις μία, καὶ τὸ στῦφον ἓν ὑπῆρχεν, ἓν ἂν ἦν αὐτοῦ διὰ παντὸς τοὔργον. ἐπεὶ δὲ πρὸς τὸ στύφειν ἔτι καὶ ἄλλας δέδεικται ποιότητας οὐκ ὀλίγας, ἀεὶ μὲν ἐνεργήσει κατὰ πάσας, ἀλλ᾽ ἐπιφανῶς ἄλλοτε κατ᾽ ἄλλην τὴν ἐπικρατοῦσαν, ὡς πρὸς τὴν τοῦ πλησιάζοντος σώματος διάθεσιν. φαίνεται γοῦν καὶ τὸ γάλα καὶ ἡ φακὴ καὶ ἡ κράμβη

nullum omnino ab aliis qualitatibus fincerum reperitur, idcirco diverfi effectus ab aliis atque aliis aftringentium edi confpiciuntur. Nam alius eft effectus mefpili, alius aeris, alius aloës, alius mororum exempli gratia aut gallae aut corticis mali granati aut aluminis aut rhu, praeftitiffetque forfitan, qui de aftringentium medicamentorum viribus pronunciare funt aufi, in genere de ipfa potius aftrictione, haudquaquam de aftringentibus dixiffe. Nam quod aftringit non aftringit modo, fed et praeter aftrictionem acre eft aut pingue aut dulce aut amarum aut falfum aut acidum: at aftrictio unum id folum perpetuo eft quod eft, uti et falfitas et dulcor et aliarum qualitatum una quaelibet. Quod fi, ut aftrictio una, ita aftringens unum effet, fane unum quoque perenniter ejus effet opus. Verum quum praeter aftrictionem infuper alias qualitates recipiat non paucas, femper quidem omnibus illis aget, fed evidentibus alias per aliam nempe vincentem, idque ut ad corporis fcilicet cui admotum eft affectionem: quippe quum et lac et lens et

τῶν μὲν ὑπάγοντα, τῶν δὲ ἴσχοντα τὴν γαστέρα. τὴν μὲν οὖν αἰτίαν τοῦ μὴ διὰ παντὸς ἐνεργεῖν ἐπιφανῶς καὶ (36) καθ᾽ ἕκαστον τῶν σωμάτων μίαν ἡντιναοῦν ποιότητα καὶ δύναμιν τοῦ φαρμάκου κατὰ τὸν ἑξῆς ἐρῶ λόγον. νυνὶ δὲ ἀναμνῆσαι τοῦ γινομένου πρόκειταί μοι μόνον, ἵνα μή τις ἀπιστήσῃ κατὰ τὰ πλεῖστα τῶν φαρμάκων ἐναντίας εἶναι ποιότητάς τε καὶ δυνάμεις. ἀλλὰ καὶ αὐτὸ τοῦτο πολλῆς ἐπισκέψεως ἔχεται καὶ διορισμῶν οὐκ ὀλίγων, εἰ καὶ πᾶσιν ἔδοξε ῥᾴδιον εἶναι τὰς ἐναντίας ἀλλήλοις ποιότητάς τε καὶ δυνάμεις ἐξευρεῖν. ἐξ ἑτοίμου γοῦν ἅπαντες σχεδὸν ἐναντίον εἶναι τίθενται τὸ στύφειν τῷ καθαίρειν. ἔστι δὲ οὐδαμῶς ἐναντίον, ὡς ἐγὼ προϊόντος ἐπιδείξω τοῦ λόγου. κατὰ μέντοι τὸ παρὸν ἐκ περιουσίας ὁ λόγος ἐπεράνθη μοι δεικνύντι, κἂν ἐναντία τις ὑπάρχειν αὐτὰ τίθεται, μηδὲν συμβαίνειν ἄτοπον, ἐνδεχομένου γε ὄντος εἰς μίαν οὐσίαν ἐνίοτε ἐναντιωτάτας συνέρχεσθαι ποιότητάς τε καὶ δυνάμεις. ἐπὶ μέν γε τῶν χυλῶν ἐλέχθη καὶ πρό-

brassica, horum interim ciere alvum illorum vero sistere cernantur. Et causam quidem quamobrem non perpetuo evidenter agat in corpore unoquoque unica duntaxat qualitas visque medicamenti, eam quidem jam mox in sequenti sermone edisseram. In praesentia vero id quod res habet commemorare solummodo proposui, ne quis plerisque medicamentis contrarias tum qualitates tum facultates inesse diffidat. Sed et id quoque multam considerationem et distinctiones non paucas requirit, tametsi omnibus perfacile videatur contrarias invicem et qualitates et facultates invenire. Ergo citra controversiam omnes propemodum astringens contrarium ei quod purgat esse statuunt. Verum neque illud huic contrarium est, quod nos procedente sermone declarabimus. At in praesentia ex superabundanti illud quoque monstravimus, etiam si ea quis esse contraria ponat, nihil inde sequi absurdum, cum fieri possit ut in unam substantiam conveniant, vel maxime contrariae tum qualitates tum facultates, quippe cum supra ostenderimus in

ὅθεν ἕτερον μὲν εἶναι τὸ βαρύτατον ἐν αὐτοῖς, ἕτερον δὲ τὸ κουφότατον, ἄλλο δὲ τρίτον ἀναμεμιγμένον τῷ χυλῷ ὅλῳ. καὶ θαυμαστὸν οὐδὲν, εἰ κἀν τῷ τοῦ ῥόδου χυλῷ τὸ μέν ἐστι βαρύτατον ἀνάλογον ἀμόργῃ καὶ τρυγὶ, τὸ δὲ κουφότατον ἀνάλογον καὶ τοῦτο τοῖς ἐποχουμένοις ἄνθεσιν ἑκάστῳ τῶν χυλῶν· ἄλλο δὲ τρίτον, οἷον ἐν τῷ γλεύκει τὸ ζέον, ἐφ᾽ οἷς τέταρτον αὐτὸ τὸ εἰλικρινέστατον καὶ καθαρώτατον, οὗ ταῦτά ἐστι τὰ τρία περιττώματα. συμβαίνει δὲ τοὺς μὲν ἄλλους ἅπαντας χυλοὺς ὀξύνεσθαί τε καὶ σήπεσθαι διαφθειρομένους, μόνα δὲ τοὔλαιον καὶ τὸ μέλι καὶ τὸν οἶνον ἐξαρκεῖν εἰς μακρόν. ὥστε οὐδὲ τῇ ζέσει καὶ διακρίσει τῶν ἄλλων χυλῶν ἐναργῶς ἐστιν ἐξευρεῖν ἑκάστου τῶν περιττωμάτων τὴν ἰδέαν, ἀλλ᾽ εὐθὺς ἐξ ἀρχῆς ἑψήσεώς τέ τινος αὐτοῖς δεῖ καὶ μίξεως τῆς πρὸς ἕτερόν τινα τῶν διαμενόντων χυλῶν. οὕτως οὖν καὶ τὸν τοῦ ῥόδου χυλὸν ἀποτιθέμεθα μέλιτι μιγνύντες, ἢ ἐλαίῳ συνέψοντες, ἢ ἐναποβρέχοντες ὅλα τὰ ῥόδα. ἀλλ᾽ ὅτι γε κἀν τούτῳ πιθανὸν ἐνυπάρχειν τὰ τέτταρα γένη, τό τε

fuccis aliud effe quod graviffimum eft, aliud quod leviffimum, aliud tertium toti fucco permixtum. Nec miri quicquam eft, fi et in rofae fucco aliud quidem eft graviffimum, amurcae et faeci proportionale, aliud leviffimum et ipfum proportione refpondens floribus in quoque fucco fupernatantibus: aliud tertium, quale eft quod in mufto fervet, ad haec quartum ipfum videlicet puriffimum ac fincerifflimum, cujus haec tria excrementa exiftunt. Evenit autem alios quidem fuccos et acefcere et corruptos putrefcere, fola vero oleum, mel et vinum in longum temporis fpatium perdurant. Itaque neque per ebullitionem, neque per fecretionem, in aliis fuccis has excrementorum differentias invenire perfpicuo licet, verum protinus ab initio coctione quadam illis eft opus, aut faltem alicujus perdurantis fucci mixtura: nam fic rofae fuccum melli mifcentes aut oleo incoquentes, aut totas ei immergentes reponimus. Caeterum quod et in his quoque probabile fit, quatuor illa ineffe

Ed. Chart. XIII. [72. 73.] Ed. Baf. II. (36.)
οἰκεῖον αὐτοῦ τοῦ χυλοῦ καὶ τὰ τρία περιττώματα, πρόδηλον συνιδεῖν, καὶ μάλιστα ὅτι τὸ τῆς ποιότητος αὐτῶν οὐχ ἁπλοῦν ἐστιν, ἀλλὰ ἔχειν μέν τινά σοι δόξει καὶ στύψιν τὸ ῥόδον, εἰ διαμασήσασθαι βουληθείης αὐτό. ἔχει δὲ καὶ γλυκύτητά τινα καὶ οἷον δῆξιν βραχεῖαν. ἤρκει δὲ κἂν μηδὲν τούτων ἐφαίνετο γενομένοις, ἐκ τοῦ μὴ τελέως εἶναι στῦφον αὐτὸ, τὰς τῶν ἄλλων χυλῶν ἐννοῆσαι μίξεις. [73] εἴπερ γὰρ ὁ αὐστηρὸς μόνος, ἄκρος ἂν ἦν, ὥστε εἴπερ οὐκ ἔστιν ἄκρος, οὐδὲ μόνος ἐστίν. ἣν γὰρ ἂν ὑπέθη τῆς στύψεως γένεσιν, ἂν μόνην τῶν ἄλλων ἐγγίγνεσθαι νοήσαις, ἄκραν ἀναγκαῖόν ἐστιν ἀπεργασθῆναι ταύτην, ὥσπερ εἰ καὶ μόνη θερμότης ἐγγίγνοιτο σώματί τινι, τελέως ἔσται τὸ τοιοῦτον πῦρ. αἱ γὰρ τῶν ἐναντίων ἐπιμιξίαι τὰς ἀκρότητας θραύουσιν.

Κεφ. ιστ΄. Ἐν μὲν δὴ τοῖς ὁμοιομερέσι σώμασι θερμότης γέ ἐστι καὶ ψυχρότης, ὑγρότης τε καὶ ξηρότης αἱ δημιουργοῦσαι τὰς κατὰ μέρος ἁπάσας διαφοράς· ἐν δὲ τοῖς ἀνομοιομερέσι δριμύτητές τε καὶ ὀξύτητες, αὐστηρότητές τε

genera, proprium ipfius fucci videlicet et tria excrementa intellectu clarum eft, ac potiffimum quia qualitas earum non fimplex eft, imo aftrictionem quoque quandam obtinere, fi] rofam dentibus mandere voles, videtur. Habet autem et dulcedinem et amaritudinem, quafique mordicationem quandam levem. Verum fatis erat, etiamfi horum nihil guftantibus deprehendi poffet, tamen ex eo quod non extreme aftringat, aliorum quoque faporum mixturam intelligere. Etenim fi folus fit aufterus, fummus itidem fuerit: at fi non fummus, fequitur quod neque etiam folus. Quam enim propofui adftrictionis generationem eam fi folam citra alias ineffe cogites, fumma haec fit neceffe eft: quomodo fi fola corpori cuipiam caliditas fumme ineffet, id ignis utique foret: nam contrariorum mixturae fummitates ipfas frangunt.

Cap. XVI. Atque in fimilaribus quidem corporibus calor, frigiditas, ficcitas, humiditas, particulares differentias efficiunt: in diffimilaribus vero acrimoniae, aciditates, aufteritates, acerbitates, dulcedines, amaritates, falfitates, aquo-

καὶ στρυφνότητες καὶ γλυκύτητες καὶ λιπαρότητες, ὥσθ' ἕκαστον μὲν τῶν ὁμοιομερῶν ἐν αὐτοῖς τοῖς μορίοις μὴ πολλὰς, ἀλλὰ μίαν ἔχει ποιότητα, τὸ δὲ ὅλον ἀνομοιομερὲς παμπόλλας. χιλίων γὰρ, εἰ οὕτως ἔτυχεν, ἐν τῷ κυάθῳ τοῦδέ τινος τοῦ χυλοῦ περιεχομένων ὁμοιομερῶν σωμάτων, ἑκατὸν μὲν ἐξ αὐτῶν ἐγχωρεῖ στύφειν, ἑξήκοντα δὲ δάκνειν, ἑξακόσια δὲ εἶναι τὰ γλυκέα, διακόσια δὲ τὰ πικρὰ, τεσσαράκοντα δὲ τὰ ἁλυκὰ, πάντα δὲ ἀλλήλοις ἀναμεμίχθαι ταῦτα καὶ μηδὲν δύνασθαι λαμβάνειν αἰσθητὸν μόριον οὕτω μικρὸν, ὅτῳ μὴ πάντων μέτεστιν. ὥστε ἐν τῷ ψαύειν τῆς γλώττης ἐνεργεῖν μὲν ἅπαντα κατὰ τὸ διαφέρον ἕκαστον αὐτῶν μόριον, ᾧπερ ἂν ὁμιλῆσαν τύχῃ, διαδίδοσθαι δὲ τὴν διάθεσιν ἐκ τοῦ πρώτου παθόντος εἰς ὅλην αὐτὴν, ὥσπερ ὅταν εἰς ὕδωρ ψυχρὸν ἕνα δάκτυλον ἀθρόως καθέντες ἐν ψύχει σφοδρῷ φρίξομεν ὅλην τὴν χεῖρα, πολλάκις δὲ καὶ σύμπαν τὸ σῶμα· ταχεῖα γὰρ ἡ διάδοσις ἐν τοῖς αἰσθητικοῖς σώμασιν ἐκ τοῦ πρώτου παθόντος εἰς ὅλον γίνεται τὸ ζῶον, ὥστε καὶ θερμαινομένῳ συνθερμαίνεσθαι καὶ ψυχομένῳ συμψύχεσθαι καὶ ξηραινομένῳ

ſitates et unctuoſitates. Itaque unaquaeque ſimilarium in ipſis partium non multas, ſed unam qualitatem obtinet: quod vero totum eſt diſſimilare, complures. Nam ſi mille exempli gratia hoc in cyatho hujus ſucci corpora contineantur ſimilaria, fieri poteſt ut centum adſtringant, ſexaginta mordicent, ſexcenta ſint dulcia, ducenta amara, quadraginta ſalſa, ſicque mutua mixtione omnia temperata, ut partem nullam accipere ſit quantumvis parvam, quae non ſit omnium particeps, ut in linguae contactu omnes quidem agant, diverſa tamen unaquaeque ejus parte, nempe cui ipſam appropinquare contigerit: ipſa vero affectio ex eo quod primo affectum eſt, in totam eam diffundatur: veluti ſi in frigore ingenti digitum in aquam gelidam repente immittas, tota interim manu horrebis, ſaepenumero vero et corpore toto. Nam velox eſt ex eo quod primo affectum eſt in corporibus ſenſilibus, in totum animal diffuſio, ut videlicet cum calefacto una concaleſcat, refrigerato ſimul refrigeſcat, ſiccato

συγξηραίνεσθαι καὶ ὑγραινομένῳ συννγραίνεσθαι, καὶ πολλάκις τἀναντία πάσχειν ὅλον ὑφ᾽ ἕνα καιρόν. ἵνα δὲ μᾶλλον εἰς ἔννοιαν ἀφίκῃ τοῦ λεγομένου, βέλτιον ἴσως ἐστὶ καὶ παραδείγματι προσέχειν ἑτέρῳ τὸν νοῦν. εἶδες οὖν, οἶμαι, ποτὲ λίθου τινὸς ἐμβληθέντος εἰς ὕδωρ ἀτρεμίζον, ἀρξάμενον μὲν ἐκ τούτου κινεῖσθαι τὸ ὕδωρ, ἐν κύκλῳ δὲ τὴν κίνησιν ἐκτεῖνον, ὥσπερ εἰς κέντρον τὸ πλῆξαν. ὅταν οὖν ὑφ᾽ ἕνα καιρὸν εἰς διαφέροντας τόπους ἀτρεμίζοντος ὕδατος ἐμβληθέντες δύο λίθοι γεννήσωσι δύο κύκλους δι᾽ ἀλλήλων φερομένους, ἐναντίας ὄψει κινήσεις ἐν ἅπαντι μορίῳ τοῦ ὕδατος, ὅθεν καὶ ἀπορίαν παρέσχε τὸ φαινόμενον τοῦτο καὶ αὐτοῖς τοῖς φυσικοῖς ἀνδράσιν, εἴθ᾽ ἕτερα μόρια πρὸς ἑκατέρας τῶν κινήσεων, εἴτε καὶ ταὐτὰ κινεῖται πρὸς ἀμφοτέρων. ὅτι μὲν γὰρ οὐχ ἵστησιν ὁ κύκλος τὸν κύκλον οὔτε κωλύει φέρεσθαι πρόσω προδήλως ὁρᾶται. ταὐτὸν δὴ τούτῳ νόει μοι, ὅταν ὑφ᾽ ἕνα καιρὸν ἐμβάλλωμεν εἰς μὲν ψυχρὸν ὕδωρ τοὺς πόδας, εἰς δὲ θερμὸν τὰς χεῖρας. εἰς ὅλον μὲν γὰρ τὸ σῶμα τοῦ πάθους ἑκατέρου διέρχεται ἡ κίνησις, ἀπαντῶσι δὲ ἀλλήλαις ὑπεναν-

pariter ficcefcat, humectato cohumefcat, atque adeo frequenter etiam contraria uno tempore perpetiatur. Quo autem id facilius quod dicitur intelligas, alteri etiam exemplo adhibere animum praeftiterit. Vidifti opinor quandoque conjecto in aquam quietam lapide ex hoc quidem moveri aquam incipientem, in orbem autem motum extendentem, tanquam centrum fit id quod percuffit. Quum ergo uno tempore in diverfas placidae tranquillaeque aquae partes duo lapides conjecti duos effecerint circulos, qui per fefe invicem ferantur, contrarios confpicies in quavis aquae particula motus. Quae res viris etiam naturae ftudiofis dubitationem non parvam attulit, num aliae partes ab utroque motuum, an eaedem ab utroque moverentur: nam quod circulos circulum non fiftat, nec ultra prorfumque ferri prohibeat, id manifeftiffime cernitur. Id ipfum item fieri mihi intellige, quum eodem tempore pedes quidem in calidam, manus vero in frigidam indideris: in totum enim corpus utriusque affectionis motus pervadit, fubcontrariique invi-

τίαι. διαφέρει δὲ ἴσως οὐδὲν οὐδ' εἰ μὴ τὴν ἐναντίαν ἴοιεν, ἀλλ' ἡ μὲν ἀπὸ θατέρου τῶν ποδῶν, ἡ δ' ἀπὸ θατέρου τὴν ὁρμὴν λαβοῦσα προσέρχοιντο. τηνικαῦτα γὰρ οὔτε μηδὲν πάσχειν ὅλον τὸ σῶμα δυνατὸν εἰπεῖν οὔθ' ὑπὸ θατέρου μόνον πάσχειν. καὶ γὰρ πάσχει σαφῶς καὶ ὑπ' ἀμφοῖν πάσχει θερμαινόμενόν τε ἅμα καὶ ψυχόμενον, [74] ὥσπερ, οἶμαι, κἀν ταῖς λειπυρίαις καὶ τοῖς ἠπιάλοις συμπίπτει πυρετοῖς, πλὴν οὐκ ἔξωθέν γε ἐν ἐκείνοις, ἀλλ' ἐξ αὐτοῦ τοῦ σώματος ἥ τε τῆς ψύξεως καὶ ἡ τῆς θέρμης ὁρμᾶται διάθεσις. εἰ δὲ μηδὲ νῦν ἕπηταί τις τῷ λεγομένῳ, ἀλλ' ἐκ τοῦ λεχθησομένου ῥᾷστον αὐτῷ τὴν πεῖραν λαβεῖν. καὶ γὰρ οὐδὲ πόῤῥω τῶν ζητουμένων ἐστὶν, ἀλλ' ἐξ αὐτῶν τι τῶν τῆς γλώττης ὑπάρχει παθῶν. εἰ γὰρ ἀναμίξας ἀκριβῶς ἴσον ἀψινθίου καὶ μέλιτος ὄγκον ἐπιθείης τῇ γλώττῃ, γλυκύπικρον, ὥσπερ οἱ ποιηταὶ τὸν ἔρωτα προσαγορεύουσι, φανεῖταί σοι τὸ μικτὸν ἐξ ἀμφοῖν, οὐκ ἐν ἄλλῳ μέν τινι χρόνῳ μέλιτος αἰσθανομένης τῆς γλώττης, ἐν ἄλλῳ δὲ ἀψινθίου, οὔτε θατέρου μόνου, ἀλλὰ διὰ παντὸς ἀμφοῖν ἀήθη τινὰ μίξιν μεμιγμένην. τοιον-

cem occurrunt, referatque forsan nihil, etiam si contraria non incedant semita, sed unus ab uno, alter ab altero pede proficiscatur. Tunc enim nec nihil pati corpus nec ab altero duntaxat dicere queas: nam et manifesto patitur et ab ambobus patitur, incalescens ac frigescens. Quod utique et in febribus lypeiriis et epialis evenire autumo, nisi quod in illis non extrinsecus, sed ex ipso corpore caliditatis frigiditatisque affectus exoritur. Quod siquis dicta assequi nequeat, certe ex eo quod jam dicetur facillime periculum facere possit: etenim non longe ab iis quae inquirimus abest, sed ex linguae affectuum numero existit. Nam si parem absinthii portionem melli exquisite commixtam linguae imponas dulcamarum, quemadmodum poëtae amorem cognominant, quod ex ambobus mixtum fuerit videbitur: nimirum quum haud alio tempore mellis saporem lingua sentiat, alio vero absinthii, neque alterum solum, verum perpetuo ex utrisque insolentem quandam mixtionem permix-

δέ τι γίγνεται κἀν τῷ συνελθεῖν εἰς ἕνα χυμὸν αὐστηρὸν καὶ νιτρώδη δύναμιν, ἤτοι τῆς φύσεως αὐτῆς ἀναμιξάσης ἢ τινος ἰατροῦ συνθέντος. ἥ τε γὰρ γλῶττα τῆς ἑκατέρου τῶν χυμῶν ποιότητος ὑφ' ἕνα χρόνον αἰσθάνεται, καὶ εἴπερ αἰσθάνεται, δηλονότι καὶ διατίθεται κατὰ τὰς οἰκείας αὐτῶν δυνάμεις, ἕκαστόν τε τῶν ἄλλων τοῦ σώματος μορίων ἀνάγκη πάσχειν ὡσαύτως, εἰ καὶ μὴ τῶν ποιοτήτων αἰσθάνηται· οὐ γὰρ δὴ τῷ γε πάσχειν ἢ μὴ διαφέρειν τῶν ἄλλων ὑποληπτέον τὴν γλῶτταν, ἀλλὰ (37) τῷ μὴ λανθάνειν αὐτὴν μηδὲν τῶν οἰκείων παθῶν ἀκριβείᾳ δυνάμεως αἰσθητικῆς. συντελεῖ μὲν οὖν εἰς τοῦτο καὶ ἡ μανότης αὐτῆς. ῥᾷον γὰρ εἰς τὸ βάθος οἱ χυλοὶ κατιόντες ἐνεργοῦντές τε περὶ τὰ μαλακὰ τῶν μορίων ἰσχυρὰν μὲν τὴν διάθεσιν, ἐναργεστέραν δὲ καὶ τὴν αἴσθησιν αὐτῆς ἀπεργάζονται. ἀλλ' ἡ μείζων δύναμις ἐν τῷ τῆς αἰσθήσεως ἐστὶν ἀκριβεῖ μᾶλλον, οὐκ ἐν τῷ τῆς διαθέσεως ἰσχυρῷ, τὸ μὲν γὰρ τῆς διαθέσεως ἰσχυρὸν οὐδὲν ἧττον κἀν τοῖς ἡλκωμένοις γίγνεται μορίοις, ἀλλὰ τῷ τὴν ἀκρίβειαν τῆς αἰσθήσεως ἀπεῖναι λανθάνουσιν αἱ τῶν χυλῶν ποιότητες.

tam. Tale quid evenit quum in unum ſuccum coierint auſtera et nitroſa facultas, ſive id natura miſcuerit ſive a medico fuerit compoſitum. Nam eodem tempore lingua utriusque ſucci qualitatem percipit: ac ſi percipit, nimirum et afficitur, idque pro familiaribus illorum viribus. Neceſſeque eſt quamque aliarum corporis partium ſimiliter affici, etiam ſi qualitates ipſas non ſentiat: neque enim in patiendo, aut non patiendo, ab aliis linguam differre putandum, verum eo quod ipſam nihil familiarium affectuum ob exquiſitam ſentiendi facultatem latere poſſit. Quod ſi ad id nonnihil faciat ipſius raritas, quippe ſucci facilius in profundum penetrantes atque in molliculas partes actionem exerentes, tum validam quidem affectionem tum vero ſenſum ejus imprimunt evidentiorem: verumtamen major vis in ſenſu accurato potius quam in affectionis robore conſiſtit: quum affectionis robur nihilo ſecius et in exulceratis partibus fiat, ſed quia exacta ſentiendi vi carent, idcirco ſuc-

ἔνεστι μέντοι καὶ κατ᾽ ἐκεῖνα καὶ πρὸ ἐκείνων ἔτι, μήπω τοῦ δέρματος ἡλκωμένου, συλλογίσασθαι τὴν μικτὴν ἐνέργειαν ἐκ τῶν ἐναντίων δυνάμεων, ἅμα τοῖς σώμασιν ἐγγινομένην. εἰ γὰρ ἐπιθείης φλεγμαίνοντι μορίῳ στρύχνου χυλὸν, ὄψει πυκνούμενον αὐτὸ καὶ πιλούμενον καὶ τὰς διαπνοὰς ἐπεχομένας. ὥστ᾽ εἰ καὶ μέχρι πλείονος οὕτω ποιήσαις, οὐδ᾽ ἐρυθρὸν ἔτι φυλάξαις τὸ μόριον, ἀλλ᾽ ἤτοι πελιδνὸν ἢ μέλαν ἐργάσῃ, ὁποῖόν τι κἀν τοῖς ἐρυσιπέλασι ποιοῦσι συνεχῶς οἱ πλεῖστοι τῶν ἰατρῶν. καὶ γὰρ καὶ ταῦτα μελαίνουσι καὶ σκληρύνουσιν ἐν τῷ χρόνῳ, καταψύχοντες ἀμέτρως. εἰ τοίνυν μὴ στρύχνον, ἀλλ᾽ ἀνθεμίδα κατὰ τοῦ φλεγμαίνοντος ἐπιθείης μέρους, ὄψει πάντα τἀναντία πάσχον αὐτό. καὶ γὰρ ἀραιὸν καὶ κεχυμένον καὶ μαλακὸν καὶ χαλαρὸν ἔσται καὶ διαπνευθήσεται πολὺ τοῦ κατ᾽ αὐτὸ περιττοῦ καὶ πελιδνὸν καὶ μέλαν οὐδέποτ᾽ ἔσται, κἂν πολλοῖς ἐφεξῆς ἡμέραις χρήσῃ τῷ χαμαιμήλῳ, χεῖν γὰρ τοῦτο πέφυκε καὶ διαφορεῖν, οὐ συνάγειν οὐδὲ πυκνοῦν οὐδ᾽ εἴργειν τὰς διαπνοάς. ὅτι μὲν οὖν ἐστιν ἐναντίας δυνάμεως τῷ στρύχνῳ τὸ χαμαίμηλον ἐκ τῶνδε

corum qualitates non percipiunt. Liceat vero quum in illis tum etiam ante illas, nondum videlicet cute exulcerata mixtam ex contrariis facultatibus actionem fimul in corpore fieri colligere. Etenim fi parti inflammatae folani fuccum imponas, denfari eam conftiparique et cohiberi tranfpiratus confpicies. Itaque fi plufculo id ipfum tempore facias, non rubram fervabis particulam, fed aut lividam aut atram efficies, id quod affidue in eryfipelatis a medicis plerisque fieri videre eft, nam et ea tempore dura atraque, immodice refrigerando efficiunt. Quod fi ergo non folanum, fed anthemida parti inflammatae impofueris, eam prorfum contra effici videbis, quippe quae rara, fufa, mollis laxaque evadet, multumque illius fuperfluitatis, quae fub ipfa continetur, tranfpirabit, nec livida amplius atrave erit, etiam fi vel plurimis deinceps diebus chamaemelo utaris. Fundere enim hoc ac digerere per halitum poteft, haudquaquam contrahere, condenfareve, aut tranfpiratus prohibere. Quod ergo folano chamaemelum contrarium fit, il-

δῆλον· ὅτι δ᾽ εἰ κἂν μίξαις ἄμφω, σαφῶς τὰς ἑκατέρου θεάσῃ δυνάμεις, ἐγὼ μὲν πειρασθεὶς σοὶ λέγω, βουλοίμην δ᾽ ἂν καὶ σὲ διὰ τῆς πείρας αὐτῆς εἰς γνῶσιν ἀφικέσθαι τῶν γιγνομένου μᾶλλον ἢ διηγουμένῳ μοι πιστεῦσαι. τοῦτο μὲν οὖν οἶδα ὅτι ποιήσει πᾶς ὃς ἂν ἀληθείας ὑπάρχῃ ἐραστής. χρὴ δὲ ὡς ἤδη πεφηνότα τὸν ἐφεξῆς λόγον ἐμὲ περαίνειν. εἰ γὰρ ἐπιτιθέντων ὁμοῦ στρύχνου τε καὶ ἀνθεμίδος, οὔθ᾽ οὕτως πυκνὸν καὶ σκληρὸν καὶ περιτεταμένον καὶ πελιδνὸν, ὡς εἰ καὶ στρύχνῳ μόνον ἐχρῆτό τις, οὔθ᾽ οὕτως ἀραιὸν καὶ μαλακὸν καὶ χαλαρὸν καὶ ἐρυθρὸν, ὡς εἰ καὶ χαμαιμήλῳ μόνον ἐχρῆτό τις, ἀλλὰ τὴν μέσην ἑκατέρων τῶν εἰρημένων διάθεσιν ὁρᾶται λαμβάνον τὸ μόριον, [75] εὔλογόν ἐστιν ἀμφότερα τὰ φάρμακα κατὰ τὴν ἑαυτῶν ἐνεργῆσαι δύναμιν. εἴτε γὰρ μηδέτερον ἔδρασεν, ἀλλ᾽ ἡσύχασεν ἄμφω, τὴν ἐξ ἀρχῆς ἂν ἐφύλαττε τὸ μέρος διάθεσιν, ὡς εἰ καὶ μηδὲν ὅλως ἐπεθήκαμεν, εἴτε τὸ μὲν ἕτερον αὐτῶν ἐνήργησε, τὸ δὲ ἕτερον ἐνικήθη τελέως, οὐκ ἂν τὴν μέσην διάθεσιν, ἀλλὰ τὴν ἑτέραν τῶν ἄκρων ἐπεπόνθει τὸ μέρος. καὶ μὴν εἴπερ ἑκάτε-

hinc liquet, quod vero etiam ſi utramque commiſceas, evidenter tamen utriusque vires perſpicias, ego ſane expertus ediſſeram, quamquam te quoque malim ipſa experientia eventum cognoſcere quam narranti mihi fidem habere: id quod ſcio efficiet quisquis veritatis amore tenetur. Oportet vero, ut in re jam patenti orationem abſolvere. Si enim ſimul impoſitis ſolano et anthemide neque ita denſa, dura, tenſa, lividaque reddatur, atque ſi ſolo uſus ſolano eſſes, neque adeo rara, mollis, laxa, rubensque, ac ſi chamaemelo ſolo uſus fores, ſed dictorum mediam accipere affectionem particula conſpiciatur, conſentaneum eſt utrumque medicamentum ſecundum ſuam operatum eſſe facultatem. Nam ſi neutrum quicquam egiſſet, ſed quieviſſet utrumque, quam ab initio affectionem particula habebat, eam haud dubie ſervaſſet, non ſecus ac ſi omnino nihil impoſitum foret: ſin autem alterum quidem eorum operatum fuiſſet, alterum vero penitus devictum, non mediam affectionem, ſed extremarum alteram perpeſſa particula eſſet. At ſi utrumque

ρον ἐνήργησεν, ἦν δὲ ταῦτα ἐναντία ταῖς δυνάμεσιν, ἔπασχε δὴ τἀναντία κατὰ τὸν αὐτὸν χρόνον τὸ σῶμα. οὐ γὰρ δὴ μερισάμενά γε τοὺς χρόνους ἐνήργησεν, ὥστε εἰ τύχοι δι᾽ ὅλης ἡμέρας ἐπιτεθέντων ἀμφοῖν ἓξ μὲν ταῖς πρώταις ὥραις θάτερον τῶν φαρμάκων, ἓξ δὲ ταῖς ὑπολοίποις θάτερον ἐνεργῆσαι. ληρώδης γὰρ ἡ ὑπόθεσις αὕτη καὶ πάσης οὐκ ἀποδείξεως μόνον, ἀλλὰ καὶ πιθανότητος ἔρημος. οὔκουν οὐχ οὕτως συνέβη χυθῆναί τε καὶ συναχθῆναι τὴν ὑποκειμένην οὐσίαν, ὡς τοῖς λουσαμένοις μὲν ἐν βαλανείῳ, μετὰ ταῦτα δὲ εἰς ψυχρὸν ὕδωρ ἐμβᾶσιν, ἀλλὰ μᾶλλον ὡς εἰ τῷ λουομένῳ προσραίνοις ὕδατος ψυχροῦ. οὕτω γὰρ οὐκ ἐν διαφέρουσι χρόνοις, ἀλλὰ καθ᾽ ἕνα τἀναντία πείσεται. ὡς οὖν ἐπὶ τῶν συνθέτων φαρμάκων οὐδὲν ἐστι θαυμαστὸν ἐναντίας ἅμα διαθέσεις ἐγγίγνεσθαι τοῖς σώμασιν, οὕτως οὐδ᾽ ἐπὶ τῶν ἁπλῶν, ὅταν καὶ ταῦτα πρὸς μὲν τὴν ἄλλην αἴσθησίν τε καὶ διάγνωσιν ἁπλᾶ φαίνεται, πρὸς δὲ τὴν φύσιν αὐτὴν ὑπάρχῃ σύνθετα. καὶ μὲν δὴ καὶ ὡς ἐφ᾽ ὧν ἡμεῖς αὐτοὶ συντίθεμέν τι καὶ μίγνυμεν, ἐνίοτε μὲν εἰ οὕτως ἔτυχε πλείονα μὲν τὸν

agit, eaque contraria facultatibus fuere, contraria utique eodem tempore corpus perpeffum eft, nec enim partitis inter fe agendi viribus operabantur, tanquam fi utrisque exempli caufa totum diem impofitis, fex horis prioribus medicamentorum alterum, reliquis vero fex alterum fuo viciffim munere fungeretur: nugax enim haec eft hypothefis, nec folum demonftratione, fed probabilitate quoque omni deftituta. Quamque profecto nec ita quidem fundi contrahique fubjectam contingit fubftantiam velut in iis qui in balneis lavantur poftеaque ingrediuntur frigidam, fed potius ita ut fi lavanti frigidam aquam adfpergas, fic enim non diverfis temporibus, fed eodem contraria perpetietur. Igitur quemadmodum in medicamentis compofitis mirum non eft, fi contrarii fimul affectus corporibus infligantur, ita neque in fimplicibus, quum et ipfa fenfu quidem omni atque cognitione fimplicia appareant, verum natura fint compofita. Quin etiam quemadmodum in iis quae nos componimus ac commifcemus, interim, fi ita vifum eft, plus ad-

στύφοντα χυλὸν ἐμβάλλοντες, ἐνίοτε δὲ τὸν γλυκὺν, ἢ πικρὸν, ἢ ἁλυκὸν, ἢ δριμὺ, ἤ τινα ἕτερον τῶν ἐναντίων, ἐνίοτε δ' ἴσους ἀμφοτέρους, οὕτως ἐγχωρεῖ καὶ τὴν φύσιν ἐν δένδροις καὶ θάμνοις καὶ πόαις καὶ ζώοις καὶ κατ' αὐτὴν τὴν γῆν μιγνύναι τοὺς ἐναντίους χυμοὺς ἢ τοῖς ὄγκοις ἢ ταῖς δυνάμεσιν. ἔστι δ' ὅτε καὶ τὸν ἕτερον ἐπικρατέστερον, ὥστε καὶ τὰς ἐνεργείας αὐτῶν ἐν μὲν ταῖς ἴσαις μίξεσιν ὁμοίας ὑπάρχειν, ἐν δὲ ταῖς ἀνίσοις διαφερούσας. μὴ τοίνυν, ὥσπερ εἴρηται καὶ πρόσθεν, ἤδη ταὐτὸν εἶναί τις ὑπολαμβανέτω περί τε στύφοντος χυλοῦ διαλέγεσθαι καὶ περὶ στύψεως αὐτῆς. ἡ μὲν γὰρ στύψις ἓν ἁπλοῦν νοεῖται πρᾶγμα, τὸ δὲ στῦφον σῶμα διττόν ἐστιν, ὥσπερ καὶ θερμαῖνον, τὸ μὲν ἁπλοῦν καὶ ἄκρον, οἷόν περ τὸ πῦρ, τὸ δ' ἐπικρατείᾳ θερμότητος, οἷον τὸ αἷμα. καὶ στῦφον ἤδη τὸ μέν ἐστιν ἄκρον, οἷον εἰ τύχοι στυπτηρία καὶ μελαντηρία καὶ κικὶς καὶ ῥοῦς, τὸ δὲ τῷ μετέχειν τι καὶ τῆς στυφούσης ποιότητος, οἷον ἄπιόν τε καὶ οἶνος καὶ μῆλον

ſtringentis ſucci indimus, interim plus dulcis aut amari aut ſalſi aut acris aut alterius cujuspiam contrariorum, nonnunquam vero utrosque partibus paribus, ita quoque naturam in arboribus, fruticibus, herbis et animalibus et in ipſa quoque terra contrarios temperare ſuccos paribus aut portionibus aut viribus alienum non eſt, poteſt etiam quandoque alterum vincentem efficere. Itaque actiones eorum in miſturis paribus ſimiles evadent, in imparibus autem diverſae. Ne quis ergo putet, quod et ſupra monuimus, nihil referre adſtringentem ſuccum dicas an adſtrictionem, nam adſtrictio una res ſimplex intelligitur, corpus autem adſtringens duplex, ſicut et calefaciens partim ſimplex et ſummum ut ignis, partim per exuperantiam caloris ut ſanguis. Si adſtringens quoque aliud ſummum eſt, ut exempli cauſa alumen et melanteria, ſive atramentum ſutorium et galla et rhus, aliud quia adſtrictionis cujusdam eſt particeps velut pyrum, vinum, malum, roſa, nam minimum omnino eſt in roſa quod adſtringit multis numeris eo, quod non eſt

Ed. Chart. XIII. [75. 76.] Ed. Baf. II. (37.)

καὶ ῥόδον. ὀλίγιστον γὰρ τὸ στῦφον ἐν πολλαπλασίῳ τῷ μὴ τοιούτῳ μέμικται κατὰ τὸ ῥόδον, ὥστε καὶ τῆς στύψεως ἔργα βραχέα κατὰ λόγον ἐστὶν, ἄχρι τοῦ μὴ διαλύεσθαι τῶν ὁμιλούντων αὐτῷ σωμάτων τὸν τόνον, ὑπὸ τῆς ἐν τῷ ῥόδῳ χαλαστικῆς δυνάμεως. οὐδὲν οὖν θαυμαστὸν ἄκος αὐτὸ φλεγμονῶν ὑπάρχειν καὶ μάλιστα ἐν ἐπιδόσει τε καὶ αὐξήσει, μᾶλλον δὲ καὶ ἀρχομένων ἔτι.

Κεφ. ιζ. Τὸ δὲ ῥόδινον, ὡς ἂν ἐλαίου τε καὶ ῥόδου μεταξὺ τὴν φύσιν ὑπάρχον ἐν ταῖς αὐξήσεσι τῶν φλεγμονῶν, ἄριστον εἶναι φάρμακον. αὐτὸ μὲν γὰρ τοὔλαιον ἐν ταῖς ἀκμαῖς τῶν φλεγμονῶν χρηστὸν, ὡς ἥ τε πεῖρα δείκνυσι κἀν τοῖς τῆς θεραπευτικῆς [76] μεθόδου γράμμασιν ἐροῦμεν τὴν αἰτίαν. τὸ δὲ ῥόδινον ἐν τῷ μεταξὺ τῶν ἁπλῶν, ἐξ ὧν ἐγένετο κερασθὲν, ἐν τῷ μεταξὺ καιρῷ τὴν ὠφέλειαν ἐπιδείκνυται. κατὰ μὲν γὰρ τὰς ἀρχὰς ἀποκρούεσθαι χρὴ μᾶλλον καὶ στέλλειν τὰς ἐπιῤῥοάς, κατὰ δὲ τὰς ἀκμὰς ἀδήκτως διαφορεῖν, κατὰ δὲ τὰς ἐπιδόσεις ἀποκρούεσθαί τε ἅμα καὶ διαφορεῖν, ὃ χωρὶς μὲν τῶν προειρημένων λογισμῶν ἀκούσας τις ἴσως

ejusmodi fuperante. Quapropter non ab re exigui quoque adftrictionis affectus funt tanti, fcilicet dum a relaxandi facultate, quae rofae ineft, corporum illi admotorum robur non exolvatur. Itaque mirandum non eft, medelam effe eam inflammationum, ac potiffimum dum increfcunt atque augentur plusque etiam dum incipiunt.

Cap. XVII. Rofaceum vero, utpote cujus natura olei rofaeque in medio eft, in inflammationum augmentis optimum eft remedium. At oleum commodum eft, ubi inflammationes maxime vigent, id quod experimenta docent: caufam autem nos in tractationibus de medendi ratione exponemus. Porro rofaceum, ut quod in medio eorum ex quibus confectum eft confiftit, utique et in medio tempore utilitatem oftendit. Nam per initia repellere comprimereque influxus oportet, in vigore autem ita per halitum digerere ut morfus abfit, at in incrementis repellere fimul ac digerere. Id quod fiquis nudum citraque jam dictas ratio-

ἀπιστήσειεν. νυνὶ δ᾽ οὐκ οἶδα εἴ τις οὕτως ἐστὶν ἐνεὸς ὡς μήπω πεπεῖσθαι τῷ λόγῳ. καὶ γὰρ τὰς ἐνδείξεις ἐν ταῖς ἀναβάσεσι τῶν φλεγμονῶν ἀναγκαῖον ἐναντίας ὑπάρχειν. ἀθρόως γὰρ ἀπὸ τῶν στυφόντων καὶ συναγόντων τὴν οὐσίαν ἐπὶ τὰ χαλῶντα καὶ χέοντα μεταβαίνειν ἄτοπον, ἔν τε τῷ μεταξὺ τῆς ἀκμῆς τε καὶ ἀρχῆς αὐξανομένων ἔτι τῶν νοσημάτων οὔθ᾽ ἁπλῶς ἀποκρούεσθαι δίκαιον, ὡς ἐν ἀρχαῖς, οὔτ᾽ ἤδη διαφορεῖν, ὡς ἐν ἀκμαῖς, ἀλλ᾽ ὥσπερ ἡ κατάστασις τοῦ πάθους μέση τῶν ἐναντίων ἐστὶν, οὕτω χρὴ καὶ τὴν ἴασιν μέσην εἶναι, μήτε στύφουσαν, ὡς ἐν ταῖς ἀρχαῖς, μήτε διαφοροῦσαν, ὡς ἐν ταῖς ἀκμαῖς. καὶ δὴ ἅπαν τὸ μέσον ἐκ τῶν ἐναντίων μικτόν ἐστιν, ἤτοι δι᾽ ὅλων ἀλλήλοις κεραννυμένων αὐτῶν, ἢ κατὰ σμικρὰ μόρια, καὶ τὴν αἴσθησιν ἐκφεύγοντα τῶν παρακειμένων. εἴτ᾽ οὖν οὕτως εἴτ᾽ ἐκείνως βούλει κεκρᾶσθαι τὸ ῥόδινον ἐκ τῶν ἐναντίων, ἐμοὶ μὲν οὐδὲν διαφέρει, δείκνυται γὰρ ἑκατέρως (38) τὸ προκείμενον. οἶδα δὲ ὅτι τοῖς περὶ τούτων λογισμοῖς ἅπασιν, οἷς τε ὁ Θεόφραστος

cinationes audiat, fortaſſis fidem non habebit, nunc autem mirer, ſi quis adeo ſit ſtupidus, ut rationi nondum acquieſcat. Etenim indicationes in inflammationum incrementis contrarias eſſe neceſſe eſt, nam ſemel unoque impetu ab adſtringentibus contrahentibusque ſubſtantiam ad laxantia fundentiaque tranſire plane abſurdum eſt, ſicuti ſane aequum eſt in intermedio principii ſtatusque ſpatio, dum videlicet morbi adhuc increſcunt, nec plane repellere ſicut in principiis, nec itidem digerere, ſicut in vigoribus, ſed perinde ut morbi conditio media eſt inter contraria, ita medicinam quoque mediam eſſe oportet, quae videlicet non ut in principiis adſtringat, nec ut in vigoribus digerat. Atqui medium omne ex contrariis mixtum eſt, iisque totis per tota temperatis, aut per exiguas particulas ſenſum effugientes eorum quibus apponuntur. Porro hoc, an illo modo roſaceum mixtum eſſe velis, mea quidem certe nihil refert, nam utroque modo propoſitum demonſtrari poteſt. Satis autem certo ſcio ſi ratiocinationes omnes, tum quas Theo-

Ed. Chart. XIII. [76.] Ed. Baf. II. (38.)

ἔγραψε καὶ οἷς ἡμεῖς ἐν ὅλῃ τῇδε τῇ πραγματείᾳ λέγομεν, ἐπὶ πλέον ὁμιλήσεις, εὑρήσεις τὸν δεύτερον τρόπον τῆς μίξεως. καὶ μὴν καὶ τὸ δύεσθαι κατὰ τοῦ βάθους καὶ μᾶλλον ὑγραίνειν ἐλαίου τὰ ξηρὰ τῶν σωμάτων ὑπάρχει τῷ ῥοδίνῳ. καί τινας οἶμαι τεθεᾶσθαί σε πολλάκις ἀνατρίβοντας ῥοδίνῳ τὰς πυκνὰς τῶν δερματίνων ἐφεστρίδων. ἔλαιον γὰρ καὶ ὑδρέλαιον οὐ τέγγει καλῶς αὐτὰς ἁδρομερέστερον ὑπάρχον ἢ ὡς εἴσω δύεσθαι δύνασθαι· τῷ δὲ ῥοδίνῳ συμβέβηκεν πρὸς τοῖς ἄλλοις οἷς ἔχει καὶ τὴν στύψιν ὀλίγην οὖσαν οὐ σμικρὰ συντελεῖν εἰς τοῦτο. τὰ μὲν γὰρ σφοδρῶς αὐστηρὰ καὶ στρυφνά, πυκνοῦντα τὴν ἔξωθεν ἐπιφάνειαν εὐθὺς ἅμα τῷ προσπίπτειν αὐτῇ κωλύει τὰς ὑγρότητας εἴσω φέρεσθαι. τὰ δ' ἐπ' ὀλίγον μὲν στύφοντα, τὸ πλεῖστον δ' ἐν αὐτοῖς ἔχοντα λεπτομεροῦς τε ἅμα καὶ χλιαρᾶς οὐσίας, οὐχ ὅπως οὐ κωλύεται πρὸς τῆς στύψεως ἐγκαταβαίνειν τῷ βάθει τῶν πλησιαζόντων σωμάτων, ἀλλὰ καὶ συνεργεῖται μᾶλλον ἐπωθούμενα πρὸς αὐτῆς. ὅσα μὲν γὰρ ἁπλῶς ἐστι λεπτομερῆ καὶ θερμά, δια-

phraftus memoriae prodidit, tum quas nos toto hoc tractatu complectimur, multum animo verfaveris, te fecundum mixtionis modum reperturum. Quin et in profundum penetrare et corpora arentia magis quam oleum humectare rofaceum poteft, arbitrorque fubinde rofaceo te praedenfas coriaceas tunicas teri vidiffe, quoniam neque oleum neque hydrelaeum, quod ex aqua et oleo mixtis conftat, eam probe mollire ac madefacere poffit, quia videlicet craffiorum funt partium quam ut penitus imbibi ac penetrare queant, rofaceo vero praeter caetera, quae poteft, paucula quaedam ineft adftrictio, haud parum huic rei conferens. Nam quae magnopere auftera acerbaque funt, primo ftatim contactu fuperficiem condenfantia humorem ingredi imbibique prohibent, at quae paulum quidem adftringunt, caeterum plurimum in fe continent effentiae tum tenuis tum tepidae, tantum abeft ut prae adftrictione ingredi altius corpora admota prohibeantur, ut etiam ab ea magis fcilicet impellente juventur. Quae autem penitus tenuia calidaque funt, magis

φορεῖ μᾶλλον ἐκ τῶν σωμάτων οἷς πλησιάζει τὰς ὑγρότητας καὶ οὐ προστίθησιν ἑτέρας. ὅσα δὲ παχυμερῆ τε ἅμα καὶ ψυχρὰ, τὴν ἀρχὴν οὐδ᾽ εἰσάγειν οὐδεμίαν ὑγρότητα πέφυκεν. ἐν οἷς δ᾽ ἐστὶν ὑγρότης χλιαρά τε ἅμα καὶ λεπτομερὴς, ταῦτ᾽ οὐδὲν κωλύει διὰ μὲν τὸ λεπτομερές τε ἅμα καὶ χλιαρὸν τῆς οὐσίας ἑτοίμως κινούμενα διεξέρχεσθαι τοὺς πόρους τῶν κινουμένων σωμάτων. ὅτι δὲ οὐχ ἱκανῶς θερμαίνει δῆλον ἐκ τοῦ τὴν ὑπάρχουσαν αὐτοῖς ὑγρότητα μὴ διαφορεῖν. εἰ δὲ πρὸς τῷ τοιαῦτα τυγχάνειν ὄντα καὶ βραχείας τινὸς μετέχει στύψεως, οἵας ἐπωθεῖν τε καὶ πρὸς τὸ βάθος ὅσον ἔφθασεν εἰσδῦναι τοῖς πόροις λεπτομερὲς, σφίγγειν τέ πως καὶ πυκνοῦν τὴν ἔξωθεν ἐπιφάνειαν, πάντων ταῦτα τῶν ὑγραινόντων ἄριστα δραστήρια. ἡ μὲν γὰρ στύψις ἀποκλείειν φθάνουσα τοὺς πόρους, [77] εἰς ἑαυτήν τε συνάγουσα καὶ πιλοῦσα τὴν πλησιάζουσαν οὐσίαν, ἐμποδὼν ἵσταται τοῖς τέγγειν πεφυκόσιν. ἡ δὲ οὕτως ἀσθενὴς, ὡς ἐν τῷ ῥοδίνῳ νικωμένη μᾶλλον ἢ νικῶσα, φθάσαι μὲν οὐχ οἵα τέ ἐστι τὰ

digerunt discutiuntque humores ex corporibus, quibus admoventur, quam alios ipsa apponant. Porro quae frigida sunt et crassioris essentiae, omnino nullum introducere humorem queunt. In quibus vero humiditas inest tenuis pariter et tepida, haec per essentiae quidem tenuitatem et tepiditatem prompte mobilia, corporum quae contingunt meatus subire nihil prohibet. Quod vero non admodum calefaciunt ex eo liquet, quod existentem in illis humiditatem non digerant. Si vero praeterquam, quod sint ejusmodi, insuper exiguam adstrictionem possideant, quae tenues particulas meatum jam ingressas in profundum propellere valeat, ipsamque extrinsecus superficiem quadantenus constringere ac condensare, ea inter omnia humectantia efficacissime humectant. Adstrictionis enim natura est ut meatus occludere praeoccupans, vicinamque substantiam ad se contrahens constipansque iis quae humectare valent impedimento existat. At quae adeo infirma, est ut in rosaceo, quae vincatur ipsa potius quam vincat, tenues calidasque

λεπτομερῆ καὶ λεπτὰ τοῦ ῥοδίνου μόρια, δυνόντων δ᾽ εἰς τὸ βάθος ἐκείνων ἐνεργεῖν ἄρχεται περὶ τὴν ἐκτὸς ἐπιφάνειαν, πιλοῦσα καὶ συνάγουσα καὶ πυκνοῦσα καθ᾽ ὅσον οἵα τέ ἐστιν. ἐξ ὧν ἀνάγκη προωθεῖσθαι μὲν εἴσω τὰ φθάσαντα τοῖς πόροις εἰσδῦναι σμικρομερῆ σώματα, κωλύεσθαι δὲ ἔξω παλινδρομεῖν ἀποκλεισθέντων τῶν πόρων.

Κεφ. ιη΄. Εἰς δὲ δὴ τὰ τοιαῦτα· τῶν ἔργων καὶ ἡ τῶν ἡμετέρων σωμάτων ἔμφυτος θερμότης οὐ σμικρὰ συνεργάζεται. καὶ γὰρ εἴσω τε πρὸς ἑαυτὴν ἐπισπᾶται καὶ λεπτύνει καταθραύουσα ταύτῃ καὶ τὰ φύσει ψυχρὰ φάρμακα, τὰ δηλητήρια καλούμενα, κώνειον καὶ μήκων καὶ ὑοσκυάμου σπέρμα καὶ μανδραγόρας καὶ ὅσα ἄλλα τοιαῦτα, θᾶττόν τε καὶ μᾶλλον ἐν ταῖς θερμαῖς φύσεσιν ἐνεργεῖ. καί σοι καὶ τοῦτο τῶν ἀπόρων ὑποληφθὲν ἓν εἶναι προβλημάτων, εἰ μὴ ῥαθύμως προσέχοις τοῖς λεγομένοις, ἑτοίμως ἕξει τὴν λύσιν. εἰ γὰρ δὴ τὸ μὲν ἀποκτεῖναι τοῖς τοιούτοις ἀδύνατον, εἰ μὴ καὶ τὴν καρδίαν αὐτὴν καταψύξαιεν, εἴσω δήπου βαδίζειν

rofaceo particulas praevertere quidem nequit, fed ubi illae altius penetraverint, in ipfam jam tum fuperficiem agere incipit, pro viribus conftipando, contrahendo ac condenfando. Ex quo neceffario fequitur, ut quae ingredi meatus anteverterint exigua corpufcula intro propellantur, ac meatibus praeclufis foras regredi inhibeantur.

Cap. XVIII. Sane ad opera ejusmodi non mediocriter confert innata corporibus noftris caliditas, quippe quae intro ad fefe attrahat et comminuendo extenuet. Hinc eft, quod et quae natura frigida funt, medicamenta nempe, quae deleteria nuncupantur, ut puta cicuta, papaver, hyoscyami femen, mandragora et quae ejus funt generis citius magisque in calidis naturis vim fuam exerant, cujus et tu tametfi unum ex ambiguorum difficiliumque problematum numero habitum id fuerit haud difficulter, modo non fegniter iis quae dicimus adverteris animum, folutionem inveneris. Etenim quum fit impoffibile ut talia interficiant nifi prius cor refrigerent, fane intro comminuta extenuata-

αὐτὰ χρὴ καταθραυόμενα καὶ λεπτυνόμενα. τοῦτο δ' ἐκ μὲν τῆς οἰκείας οὐκ ἔχει φύσεως, ἁδρομερῆ τε γάρ ἐστι καὶ δυσκίνητα καὶ τὴν εἰς λεπτὰ τομὴν καὶ πρόσω φορὰν ἐξ αὐτῶν οὐκ ἄν ποτε σχόντα, ἐπικτήτου τέ τινος δεῖται θερμότητος, τεμνούσης καὶ λεπτυνούσης καὶ καταθραυούσης εἰς μικρὰ καὶ οἷον ποδηγούσης τε καὶ παραγούσης, εἰς τοὺς κατὰ λεπτὸν πόρους ἁπάντων τῶν μορίων. ἔστ' ἂν οὖν ἀπορῇ τοιαύτης, μέλλει καὶ βραδύνει, τοῖς τε μεγάλοις τῶν πόρων ἰσχόμενα καὶ ταῖς φλεψὶ καὶ ταῖς ἀρτηρίαις οἷον ἐννηχόμενα καί που τί κἂν τῷ χρόνῳ κατὰ τὴν πολλὴν ἄλην ὑπὸ τῶν ἐν αὐταῖς χυμῶν ἀντιπάσχοντα. δέδεικται γὰρ ἤδη πολλάκις ὡς εἰς ἀλλήλας αἱ ποιότητες πᾶσαι δρῶσι κατά τι καὶ λίθος ἔπαθεν ὑπὸ συνεχοῦς πληγῆς ὕδατος σταλαγμοῦ καὶ ξίφος ἠμβλύνθη τέμνον κηρὸν, ἐπιδέδεικταί τε τὰς ἐν τοῖς ζώοις ἐνεργείας ὑπὸ τῶν στερεῶν σωμάτων ἐν αὐτοῖς γίγνεσθαι, ἐπειδὰν μηδέπω ταῦτ' ᾖ κατεψυγμένα πρὸς τῶν ψυχόντων φαρμάκων, ἀναγκαῖον

que ingrediantur neceffe eft: id quod ex fua natura praeftare nequeunt, quippe quae craffarum funt partium nec facile moveri poffunt: nec ut minutim concidantur prorfumque ferantur ex fua natura obtinent, verum adfcititiam caliditatem requirunt, quae in minuta fecet, extenuet, atque comminuat, quaeque velut manu ducat atque in fubtiles partium omnium meatus deducat. Itaque fi quando ea abfit, cunctantur tardantque, in majoribus meatibus haerentia et venis, atque arteriis velut innatantia ac temporis fpatio interim per longos errores ac multas jactationes ab humoribus quae in eis funt viciffim nonnihil perpetiuntur. Oftenfum eft enim jam faepenumero in fefe mutuo qualitates omnes quadantenus agere, nam et lapis ab affiduo aquae ftillicidio excavatur, gladiusque ceram fecando hebetatur. Monftratum etiam eft actiones a folidis animantium partibus perfici, quare cum hae nondum a refrigerantibus medicamentis refrixerint, animans fuperfit neceffe eft. Porro refrigerari nequeunt prius quam illa in proprios iftarum

ἐστι περιεῖναι τῷ ζώῳ· οὐ καταψύχεται δὲ πρὶν εἰς τοὺς οἰκείους αὐτῶν πόρους ἐνδῦναι. τοῦτο δ᾽ ἐξ αὐτῶν οὐχ ὑπάρχει τοῖς ἀδρομερέσι καὶ ψυχροῖς φαρμάκοις, εἰ μὴ τύχῃ τοῦ ποδηγοῦντος. ποδηγεῖ δὲ ὡς τὸ μὲν πρῶτον αἴτιον ἡ ὁλκὴ τῶν ἀρτηριῶν. ἐδείχθησαν γὰρ ἐν τῷ διαστέλλεσθαι πᾶν ἕλκουσαι τὸ πλησιάζον, ὡς δὲ τὸ δεύτερόν τε καὶ ὑλικὸν ἡ λεπτομέρεια τῆς οὐσίας, ἣν ἐξ ἑαυτῶν οὐκ ἔχοντα τὰ ψυχρότερα καὶ παχυμερέστερα φάρμακα, δεῖται τῶν παρεξόντων. ὅσα τοίνυν ἐστὶ τῶν σωμάτων ψυχρὰ ταῖς κράσεσι, τήν θ᾽ ὁλκὴν τῶν ἀρτηριῶν ἀσθενεστέραν ἔχει ταῦτα τῶν θερμῶν, ἐδείχθη γὰρ καὶ τοῦτο, καταθραύειν ταχέως εἰς μικρὰ τὰς τῶν φαρμάκων οὐσίας ἀδυνατεῖ. κἀκ τούτου βραδῦνον τὸ φάρμακον ἐν τῷ χρόνῳ τι καὶ αὐτὸ πάσχειν εἰκὸς, ὥστ᾽ ἔστιν ὅτε καὶ πεφθῆναι καθάπερ καὶ ὁ τῆς θριδακίνης χυλός. ἐν γὰρ τῷ χρόνῳ καὶ οὗτος πέττεται· [78] φθάσας δὲ εἰς τὴν καρδίαν ἀκραιφνὴς ἐξικέσθαι παραπλησίως ἀναιρεῖ κωνείῳ. πάσχουσι δὲ τοῦτο καὶ οἱ ἄλλοι πάντες σφοδρῶς ψύχοντες χυλοί. εἰ

meatus fubierint, atqui ex fua id natura craffioribus frigidisque medicamentis datum non eft, nifi fuccurrat, quod velut deducat. Deducit porro, ut caufa primaria arteriarum attractio; oftendimus enim ipfas inter dilatandum vicinum omne attrahere, ut fecundaria vero et materialis effentiae tenuitas, quam quum ex natura fua non obtineant frigidiora craffiorumque partium medicamenta, iis utique opus habent quae praebeant. Corpora itaque quaecunque temperamenti funt frigidioris, ea arteriarum tractum imbecilliorem poffident, id quod etiam demonftratum eft, atque in minutas particulas medicamentorum fubftantiam redigere nequeunt. Proinde medicamentum et ipfum cunctando tardandoque temporis fpatio aliquid perpetiatur par eft. Itaque interim accidit ut concoquatur velut lactucae fuccus, nam et is tempore concoquitur, at fi integer ad cor pergere properaret, non fecus, atque cicuta hominem interficeret. Evenit autem id ipfum aliis quoque omnibus admodum re-

γὰρ μὴ δυνηθεῖεν ἐν τάχει διαφθεῖραι, τοὐντεῦθεν ἤδη παντάπασιν ἄπρακτοι καθίστανται. τοῖς δὲ κατὰ διάβρωσίν τε καὶ σῆψιν ἀναιροῦσιν ἰσχυροῖς ὑπάρχει γίγνεσθαι χρονίζουσι. σήπεται γὰρ ἐν τῷ χρόνῳ πάντα καὶ ἔτι μᾶλλον ἐν ὑγρῷ καὶ θερμῷ χωρίῳ. δεόντως οὖν οἷς μὲν ἐκ τοῦ ψύχειν ἡ βλάβη, τὸ τάχος τῆς ἐνεργείας εἰς ὄλεθρον συντελεῖ. θερμαινόμενα γὰρ τῷ χρόνῳ τὴν δύναμιν ᾗ τὸ δρᾷν εἶχεν ἀπόλλυσιν. οἷς δ' ἐκ τοῦ σήπεσθαι τὸ δρᾷν ἐστιν, αὐξάνει τὴν ἐνέργειαν ὁ χρόνος, ὅτι καὶ τὴν σῆψιν. ἀπολέσθαι μὲν γὰρ ζῶον οὐκ ἐγχωρεῖ οὐδὲν, ἄνευ τοῦ παύσασθαι τὴν καρδίαν ἐνεργοῦσαν, οὐκ ἐνδέχεται δὲ παύσασθαι ταύτην ἄνευ μεγίστης τινὸς δυσκρασίας. οὐ γὰρ δὴ ἁπλῶς θερμοτέρα τοῦ δέοντος εἰς ὅσον ἔτυχεν ἢ ψυχροτέρα γεννηθεῖσα παύσεται κινουμένη. κατὰ δὲ τὸν αὐτὸν τρόπον οὐδ' εἰ ξηρὰ μετρίως ἢ ὑγρὰ γένοιτο. χεῖρον μὲν γὰρ ἐνεργήσει διὰ τὰς τοιαύτας δυσκρασίας, ἀκίνητος δὲ οὐκ ἔσται, πρὶν ἐξαισιόν τινα θερμασίαν, ἢ ψύξιν, ἢ τῶν ἄλλων τινὰ τῶν δραστικῶν ποιοτήτων ἀναδέξασθαι. παραπλήσιον δέ τι συμβαίνει τοῖς κατὰ ψύξιν

frigerantibus fuccis, nam nifi celeriter interimere poffint, fane ex hoc omnino nullius effectus redduntur. At quae aut erofione aut putredine enecant, iis ut tempore invalefcant accidit, fiquidem temporis fpatio putrefcunt omnia, idque magis in humido calidoque loco. Merito ergo fit ut quae frigore fuo noxam inferunt, iis actionis celeritas ad perniciem proficiat, quippe quae alioqui fpatio excalefacta, vim per quam agebant deperdant, at quibus actio confiftit in putredine, iis tempus actionem adauget, quoniam fcilicet et putredinem. Nec enim animal ullum interire poteft, quin cor ab agendi munere ceffet, fieri porro ut ceffet nequit citra maximam intemperiem, fiquidem non fimpliciter quam par eft aut calidius aut frigidius moveri defmet, eodem modo fi modice ficcum aut humidum evadat. Minus enim fuo fungetur ob hafce quidem intemperies munere; caeterum motu non vacabit prius quam immenfam aut caliditatem aut frigiditatem aut reliquarum qualitatum aliquam acceperit. Porro medicamentis, quae frigore occi-

ἀναιροῦσι φαρμάκοις, ὅταν ἐν τῷ πρὸς μὲν καρδίαν ἔρχεσθαι βραδύνῃ, τῷ πολλάκις ἐπὶ τῶν ὑγρῶν τε καὶ χλωρῶν ξύλων γιγνομένῳ. καὶ γὰρ καὶ ταῦτα, πολλὰ μὲν ἀθρόως ἐπιτιθέντα τῷ πυρὶ κατασβέννυσιν ἐν τάχει, περιτεθέντα δ' ἐν κύκλῳ πάντα καὶ προξηρανθέντα καὶ προθερμανθέντα, κἄπειτα τιθέμενα κατ' ὀλίγον, οὐ μόνον οὐ κατασβέννυσιν, ἀλλὰ καὶ τροφὴ γίγνεται τοῦ πυρός. οὕτως οὖν καὶ τὸ κώνειον ἄνθρωπον μὲν ἀναιρεῖ, τῇ τε τῶν πόρων εὐρύτητι καὶ τῷ πλήθει τῆς θερμότητος καὶ τῇ ῥώμῃ τῆς τῶν ἀρτηριῶν ὁλκῆς, ἰσχυρὸν ἔτι πρὸς τὴν καρδίαν ἀφικνούμενον. οὐκ ἀναιρεῖ δὲ τοὺς ψᾶρας, ἐπὶ τοῖς ἐναντίοις αἰτίοις ἐπεχόμενόν τε καὶ βρα(39)δῦνον καὶ φθάνον ἐν τῷ χρόνῳ προπέττεσθαι καὶ προπαρασκευάζεσθαι, καθάπερ ἑστίᾳ τινὶ τῇ καρδίᾳ προθερμαινόμενον, ὡς ἔξω τὸ ξύλον ὥστε οὐδὲ τοῦτο θαυμαστὸν οὐδὲ ἄπορον, ἀλλ' οἷόν τι καὶ ταῖς θριδακίναις ὑπάρχει. τρέφουσι γὰρ αὗται τοὺς ἀνθρώπους ἐσθιόμεναι συμμέτρως. εἰ δὲ καὶ θλίψας αὐτῶν τὸν χυλὸν, καταῤῥοφήσειέ τις δαψιλῆ, τὸν αὐτὸν τρόπον τεθνήξεται τοῖς τὸ κώνειον,

dunt, ubi ad cor pergere cunctantur, fimile quid accidit, quod lignis humidis viridibus frequenter evenit. Haec fiquidem fi multa acervatim in ignem conjiciantur, eum celerrime extinguunt, fin undequaque in orbe compofita prius ficcentur ac incalefcant, et deinde fenfim injiciantur, tantum abeft ut extinguant, ut etiam alimento illi efficiantur. Sic hominem quidem cicuta necat tum ob meatuum amplitudinem caloriſque multitudinem, tum ob attractionis arteriarum robur validum etiamnum ad cor pertingens; fturnos vero ob caufas contrarias haud enecat, utpote cum et retineatur et cunctetur, ac fefe temporis tractu concoqui praepararique a corde, tanquam a foco incalefcens finat non fecus ac ligna extrinfecus. Quare nec id quidem mirum dubiumque relinquitur, fed eft quale lactucis accidit, quippe quae moderato efu hominem nutriant; at fi quispiam expreffum earum fuccum largiter haufèrit, non fecus profecto morietur quam qui aut cicutam aut papaver fumpfe-

ἢ μηκώνειον προσενεγκαμένοις. ὡς οὖν ἡ θριδακίνη, φθάσασα μὲν ἀποψῦξαι τὴν καρδίαν ἀναιρεῖ, πεφθεῖσα δὲ τροφὴ γίνεται τοῦ ζώου, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον καὶ τὸ κώνειον ἄνθρωπον μὲν ἀναιρεῖ τῷ φθάνειν, ψάρας δὲ τρέφει τῷ βραδύνειν. ἀναιρήσει δὲ οὐδὲ ἄνθρωπον, ἂν ὀλίγον ληφθείη. καὶ τοῦτο καὶ ἡ Ἀττικὴ γραῦς ἔδειξεν, ἧς ἅπαντες μνημονεύουσιν, ἀπ᾽ ἐλαχίστου μὲν ἀρξαμένη κωνείου, προελθοῦσα δὲ ἀλύπως ἐπὶ πλῆθος ἱκανόν. ἐξ ἀρχῆς μὲν γὰρ ἐνικήθη τὸ βραχὺ δι᾽ αὐτὴν τὴν ὀλιγότητα, τῷ δὲ ἐθισμῷ σύμφυτον ἐγένετο. καὶ οὐ νῦν καιρὸς ἀποδιδόναι τὴν αἰτίαν τοῦ πλεῖστον δύνασθαι τὰ ἔθη καὶ φύσεις ἐπικτήτους, ὥσπερ οὖν εἴρηται πρὸς τῶν παλαιῶν ὑπάρχειν. οὕτω γὰρ ἄν μοι τὸ πάρεργον μεῖζον τοῦ ἔργου γένοιτο, πρὸς τῷ καὶ γεγράφθαι κατὰ μόνας ὑπὲρ αὐτοῦ. συνάπτειν δὲ χρὴ καὶ περαίνειν τὸν ἐνεστῶτα λόγον.

Κεφ. ιθ΄. [79] Τῶν τοίνυν ἀναιρούντων κατὰ ψύξιν φαρμάκων οὐδὲν ὑπάρχει τῷ γένει δηλητήριον, ἀλλὰ

rit. Sicuti ergo lactuca, fi cor refrigeravit, interimit, fin concoquatur, alimentum animali efficitur, ad eundem, arbitror, modum cicuta hominem quidem celeritate diftributionis interficit, fturnos vero tarditate ipfa nutrit. Si vero exiguum quiddam fumatur, mortem homini nequaquam inferet. Id quod anus Athenienfis experimento docuit, cujus apud omnes percelebris memoria eft. Etenim ea a minima cicutae portione aufpicata, nullo detrimento ad permagnam progreffa eft copiam, principio enim paucum exiguitate ipfa devictum eft, at confuetudo naturale reddidit. Nec enim nunc locus eft ut cur plurimum poffit confuetudo, curque velut altera ac adfcititia natura fit, ut a veteribus proditum eft, caufam reddam, nam ita majus evaderet operis acceffforium quam ipfum opus, ut omittam quod feparatim de hoc tractavimus. Verum connectendus eft perficiendusque praefens fermo.

Cap. XIX. Eorum ergo medicamentorum quae frigore interimunt nullum genere lethale eft, fed fola quan-

τῷ ποσῷ μόνον. ἐπὶ δέ γε τῶν διαβιβρωσκόντων τε καὶ σηπόντων καὶ θερμαινόντων οὐχ ὡσαύτως ἔχει. ἀλλὰ περὶ μὲν τούτων ὀλίγον ὕστερον ἐροῦμεν. ὅσα δὲ τῷ ψύχειν ἀναιρεῖ, ταῦτα οὐκ ἀναιρήσει σμικρὰ τῷ πλήθει ληφθέντα, καθάπερ οὐδ' εἰ πολλῇ φλογὶ βραχὺ καταχέαις ὕδωρ, ἢ ξύλον ἐν ἐπιθείης ὑγρόν τε καὶ χλωρόν. ὥσπερ γὰρ εἰ μὴ θερμασίαν ἔχοι δαψιλῆ, καταθραύουσάν τε καὶ ποδηγοῦσαν αὐτὸ μέχρι τῆς καρδίας, ἀδύνατον ἀναιρεῖν ἐστιν, οὕτως εἰ τὸ καταθραῦον αὐτὸ καὶ ποδηγοῦν ἰσχυρότερον εἴη πολλῷ, τελέως ἐπικρατήσει καὶ μεταβαλεῖ καὶ τροφὴν ποιήσει αὐτῷ τὸ φάρμακον.

Κεφ. κ'. Εὐθὺς μὲν οὖν ἐν τῷδε κἀκείνου μεμνῆσθαι χρὴ, τοῦ καὶ τὰ ψυχρὰ τῇ φύσει φάρμακα δεόντως ὑπὸ τῶν ἀρχαίων εἰρῆσθαι δυνάμει ψυχρά. λαμβάνει γάρ πως καὶ ταῦτα τὸ ψύχειν ἐξ ἡμῶν, ὥσπερ καὶ τὸ θερμαίνειν τὰ θερμά. εἰ δὲ καθ' ἕτερον μὲν ἐκεῖνα, καθ' ἕτερον δὲ καὶ ταῦτα τρόπον, οὐδὲν διαφέρει. τὸ γὰρ καθόλου καὶ κοινὸν ἐν ἀμφοτέροις ταὐτὸν, ἡ ἀρχὴ τῆς ἀλλοιώσεως ἐκ τοῦ μέλλοντος πάσχειν σώματος εἰς τὸ μέλλον δρᾶσαι φάρμακον. ἀλλοιοῦ-

titate; at in erodentibus, putrefacientibus atque calefacientibus haud ita se res habet, sed de his paulo post dicetur. Quaecunque autem frigiditate occidunt, ea exigua quantitate sumpta mortem non afferent, non magis quam si copiosae flammae pauxillum aquae instilles, aut lignum injicias humidum ac viride. Quemadmodum itaque nisi calorem habeant abundantem, qui tum comminuat tum ad cor usque perducat interficere non poterunt, sic si quod comminuit ac deducit, multo valentius fuerit, prorsum devincet mutabitque ac alimento ut sibi sit medicamentum efficiet.

Cap. XX. Quamobrem ejus quoque nunc protinus meminisse oportet, veteres medicamenta natura frigida potestate dixisse frigida, nam ea quoque quadantenus refrigerandi potentiam a nobis accipiunt, sicut calefaciendi calida. Quod si alio modo illa, alio vero ista, nihil utique refert; generale enim idem communeque utrisque est, nempe alterationis principium ex passuro corpore in acturum medicamentum procedens. Nam quae potestate quidem sunt ca-

Ed. Chart. XIII. [79.] Ed. Baf. II. (39.)

ται δὲ τὰ μὲν τῇ δυνάμει θερμὰ τῷ θερμαίνεσθαι μόνον ὑφ' ἡμῶν, τὰ δὲ τῇ φύσει ψυχρὰ τῷ καταθραύεσθαί τε καὶ κίνησιν προσλαμβάνειν ἐπίκτητον. ἐπεὶ τοίνυν ὡς ψυχροῖς αὐτοῖς δρᾷν οὐκ ἄνευ τοῦ πάσχοντος σώματος ὑπάρχει, δεόντως εἴρηται δυνάμει ψυχρά. τὸ γὰρ ἐνεργείᾳ ψύχειν ἡμᾶς οὐκ ἔχει τελέως ἐξ αὑτῶν, ἀλλὰ πρότερον ὑφ' ἡμῶν δεῖται παθεῖν, ἵνα ψύξῃ. τό τε γὰρ εἰς μικρὰ καταθραυσθῆναι καὶ τὸ κίνησιν ἐπίκτητον προσλαβεῖν πάθη τῶν φαρμάκων ἐστίν. τῷ μέντοι βουλομένῳ καλεῖν ἐνεργείᾳ ψυχρὰ καὶ τὰ τοιαῦτα συγχωρητέον, ἐν ὀνόματι λοιπὸν ἐσομένης τῆς διαφωνίας, ἐὰν ὁμολογῆται τὸ πρᾶγμα. δεῖται γὰρ, ὡς ἄρτι δέδεικταί μοι, τὰ τοιαῦτα πάντα θερμοῦ σώματος εἰς τὸ δρᾶσαι. καὶ διὰ τοῦτο καὶ τὸ μηκώνειον καὶ τὸ κώνειον οἴνῳ μιχθέντα θᾶττον ἀναιρεῖν πέφυκεν, ἀλλ' οὐκ ἐν ἁπάσῃ συμμετρίᾳ. παμπόλλῳ μὲν γὰρ ἐλάχιστα κραθέντα κἂν νικηθείη τελέως· ὀλίγῳ δὲ πολλὰ ποδηγεῖται μὲν ἐπὶ τὴν καρδίαν, νικᾶσθαι δὲ οὐ δύναται. εἰ δὲ καὶ φθάνοι μέν τις ἤδη πεπωκὼς ὀπὸν μήκωνος ὃς ἀναιρεῖν μὲν πέφυκεν, ἔτι δὲ εἴη ζῶν, εὐλόγως

lida alterantur eo duntaxat, quod incalefcant a nobis, at quae natura frigida, tum quod comminuantur tum quod adfcititium accipiant motum. Quum itaque ipfis tanquam frigidis agere absque corporis patientis auxilio non licet, jure poteftate frigida dicuntur, nam ut actu nos refrigerent non prorfum ex fefe obtinent, verum a nobis prius perpetiantur ut refrigerent oportet, etenim in minuta conteri et adventitium motum accipere affectus funt medicamentorum. Attamen fi cui libeat ea actu frigida nominare, haud equidem repugnem, modo omnis in verbo diffenfio fit, res autem utrisque confeffa, fiquidem, quod paulo fupra monuimus, id genus omnia calidum corpus, quo agere poffint, poftulant. Ea propter meconium hoc eft fuccus papaveris et cicuta, fi vino mixta bibantur, ocius necant, licet non quovis temperata modo. Si enim ipfa pauciffima plurimo vino mifceantur, prorfum devinci poffint, fi vero pauculo multa, deducuntur quidem ad cor, vinci autem nequeunt. Si quis vero papaveris fuccum quantus interficere poteft hauferit, ac

καὶ τοῦτον ἰᾶται ὁ παλαιὸς καὶ πολὺς οἶνος πινόμενος, καὶ μᾶλλον εἰ τῶν εὐγενῶν εἴη· καὶ γὰρ καὶ θερμαίνει μᾶλλον. ὅτι μὲν γὰρ οὔπω κατέψυκται σφοδρῶς ἡ καρδία, δηλοῖ ἐκ τοῦ ζῇν ἔτι τὸν ἄνθρωπον. ὅτι δὲ πάντως ἐν τῷ βραδεῖ τῆς ὁδοιπορίας προμεταβέβληταί πως ἤδη τὸ φάρμακον ὑπὸ τοῦ σώματος, ὥσπερ τὸ χλωρὸν ξύλον ὅταν ἐγγὺς εἴη κείμενον τοῦ πυρὸς, οὐδὲ τοῦτο ἄδηλον. οἶνος οὖν ἐν τούτῳ θερμὸς πινόμενος ἄριστον ἴαμα, καὶ ἡμεῖς ἤδη τινὰ κατεψυγμένον ἐσχάτως ἀνεσώσαμεν οἴνῳ Λεσβίῳ. δύναιτο δ᾽ ἂν καὶ Φαλερῖνος καὶ Σουῤῥεντῖνος, Ἀριούσιός τε καὶ Τμωλίτης ὁ αὐστηρὸς, οἵ τε ἄλλοι πάντες θερμοὶ καὶ ἀκριβῶς οἰνώδεις οἶνοι τὴν αὐτὴν ἐνέργειαν ἐπιδείξασθαι τῷ Λεσβίῳ. καθόλου γὰρ ὃς ἂν ᾖ λεπτὸς μὲν [80] καὶ διαυγὴς τὴν σύστασιν, κιῤῥὸς δὲ ἢ ξανθὸς τὴν χρόαν, εὐώδης τε κατὰ τὴν ὀσμὴν, κἂν τῷ κεράννυσθαι πλείστου δεόμενος ὕδατος, ἱκανῶς θερμαίνειν πέφυκε καὶ πάντη τοῦ σώματος ῥᾳδίως φέρεσθαι. τοιοῦτος οὖν οἶνος τῇ φύσει καὶ παλαιὸς τὴν ἡλικίαν, ἀκρατέστε-

etiamnum tamen fuperfit, recta ratione et hunc quoque fanabit large epotum vinum vetus, magisque etiam, fi generofum fuerit, nam id quoque magis calefacit. Quod vero cor nondum admodum refrixerit, quandoquidem adhuc homo vivit, tum autem diftributionis in corpus tarditate quadantenus mutatum jam a corpore effe medicamentum, ficuti lignum viride, ubi proxime ignem aliquandiu jacuerit, nec id quidem obfcurum eft. Calidum itaque id temporis vinum ebibitum praefentiffimum eft remedium, nosque etiam quendam extreme jam refrigeratum vini Lesbii potione fervavimus. Poteftque idem Falernum, Surrentinum, Ariufium, Tmolites aufterum, ac quotquot calida fimul exquifite vinofa fuerint vina, eundem cum Lesbio praeftare valent effectum. In fumma quod tenui perlucidaque fubftantia eft, colore vermiculo aut flavo, odore gratum, quodque dum temperatur plurimam aquam expofcit, id tum admodum excalefacere eft natum, tum facile undique per corpus univerfum deferri. Tale ergo natura vinum, aetate vetus, meracius

Ed. Chart. XIII. [80.] Ed. Baf. II. (39.)

ρος κεραννύμενος ἰᾶται καὶ τοὺς ἤδη κατεψυγμένους οὐχ ὑπὸ μήκωνος ὀποῦ μόνον, ἢ τινος ἄλλου τῶν τοιούτων ψυχόντων φαρμάκων, ἀλλὰ καὶ τοὺς ἤτοι στομαχικῶς ἢ καρδιακῶς ἐν νόσοις συγκοπτομένους. ὁ δὲ σὺν αὐτοῖς τοῖς ψύχουσι φαρμάκοις πινόμενος ὑπὲρ τοῦ θᾶττον ἀναιρεῖν, οὔτε πολύς οὗτός ἐστιν οὔτ᾽ εὐγενὴς, ἀλλ᾽ ὅσον εἰς τὸ καταθραῦσαί τε καὶ παραπέμψαι μόνον ἐπὶ τὴν καρδίαν αὐτὰ τῇ ῥύμῃ τῆς ἀναδόσεως. καὶ περὶ μὲν τούτων ἀρκείτω ταῦτα.

Κεφ. κα΄. Ἐπεὶ δὲ καὶ περὶ τῶν κατὰ σηπεδόνα καὶ διάβρωσιν ἀναιρούντων φαρμάκων ἐρεῖν ὑπεσχόμην, ὡς ἐν τῷ χρόνῳ χείρω γίγνεται καὶ τῷ γένει φθαρτικὰ τῆς ἡμετέρας ὑπάρχει φύσεως, οὐχ ὡς τὰ ψύχοντα τῷ πλήθει μόνον, ἤδη μοι καιρὸς ἂν εἴη καὶ περὶ τούτων εἰπεῖν. καὶ γάρ πως καὶ συνῆπται κατά τι τοῖς περὶ τῶν δυνάμει θερμαινόντων φαρμάκων ὁ λόγος αὐτῶν. εἰκὸς μὲν γὰρ εἶναι τά γε πλεῖστα τῶν τοιούτων ἤδη θερμὰ καὶ κατ᾽ ἐνέργειαν, ἀλλ᾽ ἡμᾶς λαν-

temperatum, eos etiam qui refrigerati jam funt perfanat, nec folum a papaveris, aut alio quopiam refrigerantium medicamentorum, verum etiam qui in morbis aut ex ftomachi aut ex cordis affectu fyncopen patiuntur, At quod cum refrigerantibus medicamentis, quo celeriorem mortem afferant, bibitur, id nec multum eft nec generofum, fed quod comminuere ea ac diftributionis fui impetu in cor perducere modo valeat. Atque de his quidem haec fufficiant.

Cap. XXI. Quoniam autem de iis etiam medicamentis quae erofione ac putredine interimere funt nata dicturum me, quod tempore perniciofiora reddantur et ipfo genere naturam noftram corrumpere poffint, non ut refrigerantia duntaxat multitudine, fum pollicitus, tempus nunc eft promiffis fatisfacere. Conjuncta eft enim quadantenus quae de his habetur oratio iis, quae de medicamentis poteftate calidis dicuntur, verifimile fiquidem eft pleraque eorum etiam actu effe calida, fed iccirco nos fugere quoniam

θάνειν, ἢ ὅτι πλείονος αὐτοὶ μετέχομεν θερμασίας ἢ ὅτι παχυμερὴς αὐτῶν ἐστιν ἡ οὐσία. πάλιν γὰρ τῶν αὐτῶν ἀναμνησθῶμεν, ὡς ἐν τῷ βαλανείῳ ψυχρὸν ἡμῖν φαίνεται τὸ οὖρον. ἀναμνησθῶμεν δὲ καὶ ὡς εἰς δεξαμενὴν θερμὴν ἐνίοτε καταβῆναι μὴ δυνάμενοι, προκαταβάντες εἰς ἑτέραν ἧττον αὐτῆς θερμὴν, ἀλύπως ἐχρησάμεθα τῇ τέως ἀφορήτῳ φαινομένῃ. καὶ μὲν δὴ καὶ τὸ πηγαῖον ὕδωρ ἐν χειμῶνι τοῖς μὲν ψυχρὰς ἔχουσι τὰς χεῖρας φαίνεται χλιαρὸν, τοῖς δὲ ἄλλοις οὐ φαίνεται τοιοῦτον. καθόλου γὰρ, ὡς καὶ πρότερον ἐλέγετο, κατὰ τὴν ἑαυτοῦ διάθεσιν ἕκαστον τῶν σωμάτων αἰσθάνεται τῶν πλησιαζόντων. οὕτω γοῦν ἐὰν μὲν ψυχρὰν ἔχων τὴν χεῖρα καθήσῃ εἰς σωρὸν πυρῶν, αἰσθήσῃ σαφῶς θερμότητος, ἐὰν δὲ θερμὴν, οὐκ αἰσθήσῃ· σωρῷ μέντοι κόπρου περιστερῶν, καὶ μάλιστα τῶν ἀγρίων, κἂν θερμὴν ἐνθῇς τὴν χεῖρα, σαφοῦς αἰσθήσῃ θερμασίας. οὕτω δὲ καὶ μίσυ καὶ χαλκῖτις, ἰός τε καὶ τίτανος καὶ ἕτερα μυρία τῶν τοιούτων, εἰ σεσωρευμένοις αὐτοῖς ἐμβάλῃς τὴν χεῖρα, παραχρῆμά σοι φανεῖται θερμά. βῶλον μέντοι λαβὼν ἐξ αὐτῶν τινα, τὴν

aut ipfi plurimum habeamus caloris aut craffa eorum effentia fit. Redigamus enim eadem rurfum in memoriam; nempe quod in balneo frigida videatur urina; itidemque memoria repetamus, quod quum in folium calidum defcendere non valeremus, aliud prius minus calidum ingrelli nullo negotio, quod antea intolerandum videbatur, poftea pertulerimus. Quin et aqua fontium tempore hiberno quibus manus algent tepida apparet, quum aliis minime videatur ejusmodi. In fumma enim, id quod antea quoque diximus, pro fuo unumquodque affectu corpora admota fentire confuevit; fic ergo fi manum habens frigidam, eam in tritici acervum immiferis, luculenter calorem percipies, fin calidam nequaquam. At fi ftercori columbino accumulato potiffimum fylveftrium columbarum, manum inferas, etiam fi calidam, manifeftam tamen fenties caliditatem. Sic mify, fory, chalcitis, aerugo, calx, aliaque id genus innumera, fi illis acervatis manum altius injicias, protinus videbuntur effe calida. Caeterum fi bolum ex eis unam acceperis, cu-

ἐκτὸς ἐπιφάνειαν ὑπὸ τοῦ ἐκτὸς καὶ πέριξ ἀέρος κατεψυγμένην, εὐλόγως οὐδεμιᾶς αἰσθήσῃ θερμότητος. καὶ γὰρ τῶν κατεψυγμένων αὐτῆς ἅπτῃ μορίων καὶ πρὶν εἰς λεπτὰ καταθραῦσαι. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐν χειμῶνι πολλάκις, ἢ φρεατιαῖον ὕδωρ, ἢ ἄλλως πηγαῖον ἐφάνη θερμὸν τοῖς ἁπτομένοις, ἀλλ᾽ εἰ προθερμήνας τις τὰς χεῖρας ἅπτοιτο, φανεῖται ψυχρὸν, ἕτερά τε μυρία τοιαῦτα (40) δυνατὸν ἀναμνήσκειν ἐστὶν, ἐξ ὧν οὐκ ἄν τις ἀπιστήσειεν, ὡς τὰ δυνάμει θερμὰ τῶν φαρμάκων, ὡς πρὸς ἡμᾶς ἑτέρῳ γένει ζώων ἐστὶν ἐνεργείᾳ θερμά.

Κεφ. κβ'. [81] Τοῦτο μὲν οὖν, οἷον ὁδοῦ τι πάρεργον λελέχθω. τὰ δ᾽ ἐν τῷ πλησιάζειν ἡμῖν ἤτοι κατὰ διάβρωσιν, ἢ κατὰ σῆψιν ἀναιροῦντα, περὶ τούτων γὰρ ἦν ὁ λόγος, εὐλόγως ὑπείληπται τῷ γένει δηλητήρια τῆς ἀνθρώπου συστάσεως ὑπάρχειν, οὐχ ὥσπερ τὰ ψύχοντα τῷ ποσῷ μόνον. ταῦτα μὲν γὰρ καὶ νικᾶταί ποτε καὶ τροφὴ γίγνεται τοῦ ζώου, τὰ δὲ σηπόμενα κἂν ἐλάχιστα τοῖς ὄγκοις ληφθῇ, πάντως διαφθείρεται, τῷ σήπεσθαι μὲν ἅπαντα τὰ σηπτὰ,

jus extrinſeca ſuperficies ab ambiente extrinſecus aëre ſit refrigerata, merito nullum percipies calorem, quippe qui refrigeratas tantum ejus partes contingas, idque antequam in minutas redactae ſint. Ad eundem modum hieme ſaepenumero tum putealis, tum magis fontalis, calida tangentibus eſt viſa, verum ſiquis calefactis prius manibus contigerit, frigida videbitur. Memorarique ſane poſſint alia id genus infinita, quibus facile adduci quivis poſſit ut credat, medicamenta poteſtate ut ad nos calida, alteri animantium generi actu eſſe calida.

Cap. XXII. Atque haec quidem obiter dicta ſunt. Caeterum quae nos contactu aut per putredinem aut per eroſionem interſiciunt, nam de his habebatur oratio, ea recta quidem ratione humanae naturae deleteria toto genere exiſtimata ſunt, non ut refrigerantia duntaxat quantitate, haec interdum vincuntur et nutrimentum animali redduntur, putrefacientia autem, etiam ſi quantitate minima ſumantur, omnino tamen corrumpunt, quia videlicet quae

θερμαινόμενά τε καὶ ὑγραινόμενα, θερμὸν δὲ εἶναι καὶ ὑγρὸν τὸ αἷμα. παύσασθαι τοίνυν οὐδέποτε δύναται σηπόμενά τε καὶ ἀντισήποντα, τὰ σηπεδονώδη φάρμακα. καὶ διὰ τοῦτο μετὰ πάμπολυν ἔνια χρόνον ἀναιρεῖ τοῦ ληφθῆναι, καὶ μάλισθ᾽ ὅσα παχυμερῆ καὶ γεώδη ταῖς οὐσίαις ἐστίν. ἐνιζάνοντα γὰρ ταῦτα τοῖς σώμασιν ἡμῶν, εἶτα ἐν τῷ χρόνῳ σηπόμενα, διαβιβρώσκει τε καὶ συνδιαφθείρει τὰ πλησιάζοντα τοῦ ζώου μόρια.

Κεφ. κγ΄. Τὰ μὲν γὰρ λεπτομερέστερα κἂν ἐκκριθείη ποτὲ μετὰ τῶν περιττωμάτων καὶ σχεδὸν διὰ δύο ταύτας αἰτίας οὐκ ἀνεῖλέ ποτε τῶν κατὰ σηπεδόνα καὶ διάβρωσιν ἀναιρούντων ἔνια· μίαν μὲν, ἣν νῦν πέπαυμαι λέγων, ὅταν ἅμα τοῖς περιττώμασιν ἐκκριθέντα τύχῃ, πρὶν ἀδικῆσαι τὸ σῶμα· τὴν δ᾽ ἑτέραν, ὅταν εὐτυχήσῃ πως ὁ λαβὼν αὐτὰ χρώμενος ἐδέσμασιν, ἢ τοῖς ἄλλως ἂν ὠφελήσασιν, ἢ τινος ἐπιστατοῦντος, εἰ οὕτως ἔτυχεν, ἰατροῦ. μεγάλης μὲν γὰρ οὔσης τῆς βλάβης ἀπ᾽ αὐτῶν, οὐκ ἐγχω-

putredini obnoxia ſunt, calore humiditateque putreſcere ſolent, atqui calidus humidusque ſanguis eſt. Itaque putreſcere nunquam ceſſare poſſunt, ſimulque viciſſim putrefacere, quae σηπεδονώδη a putrefactione vocantur medicamenta. Proinde longo etiam poſt tempore, a quo ſumpta ſunt, nonnulla interimunt, potiſſimum quae craſſa terrenaque eſſentia ſunt. Haec enim corporibus noſtris inhaerentia inſidentiaque, dein temporis ſpatio putreſcentia, erodunt corrumpuntque vicinas corporis partes.

Cap. XXIII. At quae tenuiora ſunt etiam excerni interim cum excrementis poſſint, fereque accidit ut duas ob cauſas illas quandoque medicamenta putredine eroſioneve necantia interficiant, unam videlicet quam modo admodum dicere deſii, nempe quum una cum excrementis excernuntur prius quam injuria corpus afficiant, alteram ſi cui accipienti bona faveat fortuna, videlicet aut cibis, aut quae alioqui conſerunt utenti, aut medicum qui curando praeſit nacto; nam ubi gravis ab iis noxa illata eſt, malum neque victus ra-

Ed. Chart. XIII. [81.] Ed. Baf. II. (40.)

ρεῖ καταστῆναι, διαίτῃ καὶ χρείᾳ γενναίων τε φαρμάκων καὶ ἰατροῦ βοηθοῦντος. εἰ δὲ παντελῶς ὀλίγον εἴη τὸ δηλητήριον, ἐνδέχεται καὶ τοῦτο μηδὲν ἀνύσαι τῷ γε μετὰ τῶν περιττωμάτων ἐκκριθῆναι καὶ τῇ δεούσῃ διαίτῃ χρήσασθαι τὸν ἄνθρωπον, οἷον εἰ κανθαρίδος εἴη μέρος ἑκατοστὸν τῆς δραχμῆς. ἐκκριθήσεται γὰρ ἅμα τοῖς οὔροις τοῦτο πρὶν ἀδικῆσαι τὸ ζῶον. ἀμέλει καὶ μίγνυται κανθαρίδος οὐρητικοῖς φαρμάκοις, ὥσπερ καὶ πλείστων ἄλλων θανασίμων τοῖς ἀλεξιφαρμάκοις. καὶ τά γε τοιαῦτα τῶν συνθέτων φαρμάκων ὅταν ἐπιτηδείως μιχθῇ, δραστικώτατα γίνεται, καθάπερ καὶ τὸ διὰ τῆς κανθαρίδος οὐρητικόν. ἔστι μὲν γάρ πως καὶ ἄλλως ἡ ὁρμὴ ταῖς κανθαρίσιν ἐπὶ κύστιν δι᾿ οὔρων, οὕτω γοῦν αὐτὴν ἕλκουσιν ἀναβιβρώσκουσαι. ἀλλ᾿ ὅταν ὀλίγον αὐτῶν πολλοῖς χρηστοῖς μίγνυται, ποδηγεῖ μὲν ἐκεῖνα, διαβιβρώσκειν δὲ οὐ δύναται. δεῖ γάρ, οἶμαι, παντὶ τῷ δράσοντι, κἂν ἰσχυρότατον ᾖ, ποσοῦ τινος μεγέθους, ὅπου γε καὶ τὸ πῦρ, εἰ παντελῶς ἐλάχιστον

tione neque generoforum medicamentorum, medicique auxiliantis ope fifti poteft. Quod fi prorfum exile fit deleterium, nihil repugnat quo minus quoque nihil perficiat propterea quod cum recrementis excerni poffit, aut idonea victus ratione fuperari, ut puta fi cantharidis fit centefima drachmae particula; nam id priusquam noxam animali inferat, una cum urinis excernitur. Sane cantharides urinam cientibus medicinis mifcentur, ficut pleraque alia lethalia alexipharmacis, hoc eft amuletis. Atque id genus medicamenta compofita, fi apte mixta fuerint, omnino efficaciffima funt, quoniam admodum quod ex cantharide conficitur, urinae movendae accommodum eft. Feruntur enim alioqui fponte fua cantharides per urinam ad veficam, atque fic rodendo eam exulcerant, verum ubi paucum ex illis multis mifcetur bonis atque utilibus, illa quidem velut manu ducunt, rodere tamen nequeunt. Opus eft enim ut quicquid agat, etiam fi fit valentiffimum, aliquam tamen et magnitudinem habeat, quando nimirum et ignis ipfe, fi pror-

Ed. Chart. XIII. [81. 82.] Ed. Baf. II. (40.)

εἴη, πρὸς τῷ μὴ καίειν οὐδὲ θερμαίνειν δύναται. τὸ γοῦν ἑκατοστὸν μέρος τοῦ σπινθῆρος ἀναίσθητον ἡμῖν ἐστιν. ἐξ ὧν ἁπάντων εὔδηλον ὡς ὅσα μὲν τῷ ψύχειν ἀναιρεῖ βραχέα ληφθέντα [82] δύναιτ᾽ ἂν θρέψαι τὸ σῶμα, καθάπερ καὶ ὁ τῆς θριδακίνης χυλὸς, ὅσα δὲ τῷ διαβιβρώσκειν, ἢ σήπειν, οὐχ οἷά τε τρέφειν ἐστὶν οὐδ᾽ ἂν ὑπὸ σμικρότητος ἀλύπως διεξέλθῃ τὸ σῶμα. τῷ γένει γάρ ἐστι τὰ τοιαῦτα τῆς ἀνθρώπου συστάσεως ἐναντία.

Κεφ. κδ΄. Καθάπερ ἐπὶ τῶν χυλῶν ἔμπροσθεν εἴπομεν, ὡς σχεδὸν οὐδεὶς αὐτῶν ἐστιν ἄμικτος ἀλλοτρίας ποιότητος, ἀλλὰ κἂν δένδροις κἂν ταῖς πόαις κἂν τοῖς καρποῖς ἀναμεμιγμένοι τοῖς ἑτερογενέσιν εἰσὶν, οὕτω χρὴ νοῆσαι κἂν τοῖς φαρμάκοις ἀναμεμίχθαι πολλῶν ἑτερογενῶν οὐσίας. εὕροις γὰρ ἂν, εἰ λογίζοιο, κόκκον Κνίδιον διαφέροντα κνίκου τῷ πλείστης μετέχειν θερμότητος. τὴν μὲν γὰρ ὁμοιότητα τῶν οὐσιῶν ἀμφοτέρων ἔνεστί σοι καὶ διὰ τῆς ἁφῆς καὶ τῆς ὄψεως καταμαθεῖν. καὶ τρίτον ἐπὶ τούτοις, ὡς ἔστιν ἀμφότερα φλέγματος ἀγωγά. δέδεικται

ſum minimus ſit, praeterquam quod non uret, nec calefaciet quidem, quippe quum et centeſima ſcintillae portiuncula ſenſu nobis ſit imperceptibilis. Ex quibus patet, quaecunque frigiditate interimunt, ſi paucula ſumantur, nutrire corpus poſſe, velut lactucae ſuccum, at quae putrefaciendo erodendoque, ea nunquam nutrire, ne ſi prae parvitate quidem innoxie corpus permeent, genere namque talia humanae adverſantur naturae.

Cap. XXIV. Quemadmodum autem in ſaporibus ante monuimus, nullum prope eorum alienae eſſe qualitatis expertem, verum, ſive in arboribus, ſive in herbis, ſive in fructibus, mixtos ſemper alterius generis eſſe ſaporibus, ita in medicamentis intelligere oportet multas diverſi generis mixtas eſſe ſubſtantias, id quod invenias, ſi conſideres granum Cnidium hoc a cnico differre, quod plurimum habeat calididitatis. Nam ſimilitudinem utriusque ſubſtantiae tactu viſuque cognoſcere liceat, praeterque ea tertium eſt, quod ambo pituitam detrahant, oſtenſum eſt ſiquidem nobis in

γὰρ ἡμῖν ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ὡς οἰκειότητι τῶν ἐν ταῖς οὐσίαις ποιοτήτων αἱ ὁλκαὶ συντελοῦνται. μέμικται μὲν γὰρ θερμότητος ἱκανῆς τῷ κόκκῳ καὶ ταύτῃ τοῦ κνίκου διαφέρει. καὶ διὰ τοῦτο ἔνια τῶν καθαρτικῶν φαρμάκων, ὅταν ἀποτύχῃ καθαίροντα, τὰ μὲν πρὸς τῷ μηδὲν βλάπτειν τὸ σῶμα καὶ τροφὴ γίνεται τοῦ ζώου, τὰ δὲ εἰς τὸ φθαρτικόν τε καὶ δηλητήριον ἐκτρέπεται. πάντως μὲν γὰρ ὁμοιότητά τινα ἔχει τὸ καθαῖρον φάρμακον ἑνί γέ τῳ τῶν ἐν ἡμῖν χυμῶν, οὐκ ἐξ ἅπαντος δὲ ἐπιμέμικταί τις αὐτῷ δηλητήριος δύναμις, ὥστ᾽ οὐδ᾽ ἐξ ἅπαντος ἀδικήσει μὴ καθᾶραν, ἀλλὰ πεφθήσεταί τε καὶ γεννήσει τοιοῦτον χυμὸν οἷόν περ ἦν ἑλκτικόν.

Κεφ. κέ. Οὐκ ἀγνοῶ δὲ ὅτι τοῖς τοιούτοις λόγοις ἱκανῶς ἀκολουθεῖν οὐκ ἐγχωρεῖ μὴ προγεγυμνασμένους ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν. ἐδείχθησαν γὰρ ἐν ἐκείνοις ὡς ἐν οἰκειότητι ποιοτήτων ὁλκαὶ πλεῖσται γίνονται, καὶ διὰ τοῦτο καὶ τῶν τοῦ ζώου μορίων ἕκαστον

commentariis de naturalibus facultatibus quod qualitatum quae in fubftantiis funt proprietatibus attractiones perficiantur. Attamen grano Cnidio multum permixtum caloris eft, qua re a cnico diftat. Idcirco purgantium medicamentorum, ubi forte purgatione fruftantur, quaedam extra quam quod noxam corpori nullam afferunt, etiam alimentum homini praebent, alia vero in corruptionem ac tanquam in venenum vertuntur. Prorfum enim medicamentum purgans vel cum uno faltem humorum, qui in corpore funt noftro, fimilitudinem obtinet, non autem perpetuo permixta eft vis aliqua venenofa, quamobrem nec perpetuo, licet non purget, injuria afficiet, verum concoctionem recipiet talemque producet humorem qualem trahere natum erat.

Cap. XXV. Non autem me fugit, qui in naturalium facultatum commentariis exercitatus ante non fit, hafce ratiocinationes non fatis confequi poffe. Demonftratum enim ibi eft plerasque perfici attractiones qualitatum familiaritate, proinde quamque figillatim animantis particulam familiare

εἰς ἑαυτὸν τὴν οἰκείαν ἐπισπᾶται τροφήν. ἕπεται δὲ τῷ δόγματι τούτῳ καὶ τὰ καθαίροντα φάρμακα τοῖς μὲν ἑλκομένοις χυμοῖς ὑπάρχειν οἰκεῖα, δραστικώτερα δέ πως εἶναι τὰ ἕλκοντα, καθάπερ καὶ ἡ Μαγνῆτις λίθος τοῦ σιδήρου. σιδηρίζει μὲν γὰρ καὶ αὐτὴ κἀν τοῖς τοῦ σιδήρου μετάλλοις εὑρίσκεται καὶ δεινῶς αὐτῷ προσέοικεν τὴν ἰδέαν, ἀλλ᾽ ἰσχυροτέρα πώς ἐστιν, ὡς ἕλκειν μᾶλλον ἢ ἕλκεσθαι. καὶ μὲν δὴ καὶ τὸν κνίκον οὐκ ἀπελπιστέον εἶναι φλεγματώδη, [83] ὡς ἐν τῇ χρόᾳ δείκνυσιν, ἀλλ᾽ ὑπὸ θερμότητος ἰσχυρότερος φλέγματος, ὡς ἕλκειν μᾶλλον ἢ ἕλκεσθαι. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ ὁ Κνίδιος κόκκος, ἀλλ᾽ ἐὰν ποτε νικηθείη ὑπὸ τοῦ σώματος ἡμῶν, συμβαίνει δὲ κνίκῳ μὲν συνεχῶς τοῦτο, τῷ κόκκῳ δ᾽ οὐ πάνυ τι διὰ τὴν ἰσχὺν, ἀντὶ τοῦ καθαίρειν γίνεται τροφὴ, καθάπερ ὁ ἐλλέβορος ὀρτύγων ἀεί. βούλομαι δὲ, ἐπεὶ κατὰ τούτου τοῦ λόγου γέγονα, καί τινος θεωρήματος ἀναμνῆσαι λογικοῦ, δεδειγμένου κἀν τοῖς περὶ ἀποδείξεων ὑπομνήμασιν, εἰς τὰ παρόντα χρησίμου. ἔστι δὲ τὸ θεώρημα τοιόνδε. τῶν ἀπο-

ſibi nutrimentum attrahere. Ad quam ſententiam ſeu dogma ſequitur medicamenta purgantia eſſe quidem detrahendis humoribus familiaria, verum quae attrahunt quodammodo eſſe efficaciora valentioraque, ſicuti Magnes lapis ferro, quippe qui ad ferri naturam accedat, inque ferri metallis reperiatur eique magnopere ſpecie perſimilis ſit, verum fortior eſt quodammodo, ut attrahere ſit aptior quam attrahi. Quin nec cnicum quoque a pituitae natura alienum eſſe diffidendum eſt, uti colore ſuo prae ſe fert, ſed tamen colore ipſo quam pituita valentior eſt, ut trahere quam trahi magis par ſit. Ad eundem modum granum Cnidium, ſi quando forte a corpore noſtro vincatur, id quod aſſidue cnico uſu venit, rarius autem grano Cnidio, nimirum ob robur, vice purgationis alimentum efficitur, velut veratrum ſemper coturnicibus. Volo autem, quandoquidem in hunc ſermonem deſcendimus, logici cujuſpiam meminiſſe theorematis, quod et in commentariis de demonſtratione monſtravimus, caeterum in rem praeſentem haud inutilis. Eſt autem theorema

Ed. Chart. XIII. [83.] Ed. Baf. II. (40.)

δείξεων αἱ μὲν ὡς ἐξ ἀνάγκης ὑπάρχει τόδε τῷδε περαίνουσιν, αἱ δὲ ὡς ὑπάρχειν ἐνδέχεται. τούτων δὲ αὐτῶν μεταπίπτουσί τινες εἰς τὸ ἐξ ἀνάγκης ὑπάρχειν, ὅταν ἀναγκαίαις ἀρχαῖς ἕπωνται, καθάπερ καὶ ἐν αὐτῷ τούτῳ τῷ νῦν ἡμῖν ἀποδεδειγμένῳ. ἐν γὰρ τῷ κόκκῳ καὶ τῷ κνίκῳ τὸν φλεγματώδη περιεχόμενον χυμὸν ἐναργῶς μὲν οὐκ ἔστι δεῖξαι, τὸ δυνατὸν δὲ καὶ εἰκὸς καὶ ἐνδεχόμενον ὑπάρχει τῷ λόγῳ. ἀλλ' ἐπειδὴ καὶ τὰς ὁλκὰς ταῖς τῶν οὐσιῶν ὁμοιότησιν ἐδείξαμεν γίγνεσθαι, δέδεικται γὰρ πολλάκις ὡς ἐν ταῖς καθάρσεσιν ὁλκὴ τῶν οἰκείων τοῖς καθαίρουσι φαρμάκοις ἐστὶν, οὐ πάντων ὁμοῦ τῶν χυμῶν ἀλλοίωσις, ἀναγκαῖον ὁμοιότητά τινα ταῖς οὐσίαις ὑπάρχειν ἀμφοτέραις, τῇ τε τοῦ καθαίροντος καὶ τῇ τοῦ καθαιρομένου. ἐπεὶ τοίνυν τὸ καθαιρόμενόν ἐστι φλέγμα, πάντως δή που καὶ τὸ ἕλκον ἀνάγκη φλεγματῶδες ὑπάρχειν. φλεγματῶδες δ' εἶπον χρῆναι ὑπάρχειν τὸ ἕλκον, οὐκ ἄντικρυς αὐτὸ φλέγμα. καὶ γὰρ ὁμοιότητα ταῖς οὐσίαις ὑπάρχειν ἔφαμεν, οὐ ταυτότητα. τοὐναντίον γὰρ ἅπαν, οὔτε σίδηρος σίδηρον οὔτε

ejusmodi. Demonftrationum aliae, quod ex neceffitate hoc illi infit, concludunt, aliae quod ineffe poffibile eft. Harum ipfarum quaedam in id quod ex neceffitate ineft recidunt, quando videlicet ex neceffariis confequuntur principiis, velut in hoc ipfo quod modo monftravimus. Siquidem in grano Cnidio et cnico pituitofum ineffe fuccum evidenter monftrare non eft, tamen poffe effe ac probabile verifimileque effe, ratione colligitur. Sed quia attractiones fubftantiarum fieri fimilitudine oftendimus, demonftratum enim fubinde eft in purgationibus attractionem effe eorum quae purgantibus medicamentis fimilia funt, haud vero omnium fimul fuccorum alterationem, fimilitudinem ineffe quandam utrisque fubftantiis, et ejus videlicet quod purgat et ejus quod purgatur, neceffe eft. Porro quum quod purgatur pituita eft, quod trahit pituitofum fit oportet. Pituitofum autem effe oportere quod trahit diximus, non autem plane pituitam, etenim fimilitudinem ineffe fubftantiis diximus, non identitatem, contrarium enim cernimus. Nam neque

σὰρξ ἕλκει σάρκα, ἀλλ' ἡ μὲν σιδηρῖτις λίθος τὸν σίδηρον, ἡ δὲ σὰρξ τὸ αἷμα. διαφέρει γὰρ, οἶμαι, τὸ ταὐτὸ καὶ τὸ ὅμοιον. φλέγμα μὲν γὰρ φλέγματι ταὐτὸν καὶ κνῖκος κνίκῳ, φλέγματι δὲ ὅμοιον κνῖκος, οὐ μὴν ταὐτόν γε. οὐδὲ γὰρ ὅσα χολώδη τῶν ἐδεσμάτων ἢ φλεγματώδη λέγομεν, ὡς ἤδη χολὴν (41) ἢ φλέγμα περιέχοντα, τοιαῦτα προσαγορεύομεν. ἐδείχθη γὰρ καὶ ἡ τῆσδε τῆς δόξης ἀτοπία κατά τε τὰ τῶν φυσικῶν δυνάμεων ὑπομνήματα καὶ ἄλλοθι πολλαχόθι.

Κεφ. κστ'. Ταυτὶ μὲν οὖν καὶ τὰ τοιαῦτα πάντα παρετέον, ἐκεῖνο δὲ αὖθις ἀναληπτέον, ὡς αὐτῶν τῶν καθαιρόντων φαρμάκων ἔνια μὲν ἤδη κέκτηται τὴν εἰς ὁλκὴν ἐπιτηδείαν ὁμοιότητα, τινὰ δ' οὔπω μὲν ἔχει τελέως. ἐν δὲ τῷ τοῦ ζώου σώματι προσλαμβάνει, τοῖς καυστικοῖς ὁμοίως φαρμάκοις, ὥστε καὶ ἐπὶ τούτων διττὴν εἶναι τὴν ὁμοιότητα, τὴν μὲν ἐνεργείᾳ, τὴν δὲ δυνάμει, καθάπερ κἀπὶ τῶν ἄλλων ἁπάντων, καὶ δὴ καὶ μεμίχθαι τοῖς ὁμοίοις ἐν

ferrum attrahit ferrum neque caro carnem, fed lapis fideritis ferrum, caro fanguinem. Differunt enim mea quidem fententia idem et fimile, quippe pituitae pituita eadem eft et cnicum cnico, fimilis autem pituitae cnicus, non tamen idem. Neque enim quaecunque edulia aut biliofa aut pituitofa dicimus, perinde tanquam bilem aut pituitam continerent fic nuncupamus. Hujus enim opinionis abfurditatem deteximus quum in naturalium facultatum commentariis tum multis alibi locis.

Cap. XXVI. Quapropter praetereunda funt omnia hujusmodi. Illud vero rurfus repetendum eft, quod purgantium medicamentorum quaedam jam etiam poffident idoneam ad attractionem fimilitudinem, quaedam non perfecte quidem eam obtinent, verum in animantis corpore accipiunt non fecus atque urentia medicamenta, quae cauftica Graeci vocant. Itaque duplex quoque in his fimilitudo eft, una actu, altera potentia, velut et in aliis omnibus. Quin et permixtae funt fimilibus in unoquoque fuccis alii diffimi-

ἑκάστῳ χυμοῖς ἑτέρους ἀνομοίους, τοὺς φαρμακώδεις τοὺς δὲ μή. καὶ οὕτως ἐν ταῖς ἀποτυχίαις τῶν καθάρσεων, τὰ μὲν κακόν τι δρᾷν εἰς ἡμᾶς τῶν καθαιρόντων, τὰ δὲ τροφὴν ἄλυπον γίνεσθαι.

Κεφ. κζ΄. [84] Ἐπεὶ δὲ ἅπαξ εἰς τὸν περὶ τῶν καθαιρόντων φαρμάκων ἀφικόμην λόγον, οὐ χεῖρον ἴσως εἰπεῖν τι καὶ περὶ τῶν καλουμένων ὑπερκαθάρσεων. αὗται τοίνυν γίγνονται μὲν ἐπειδὰν ἱκανῶς κατισχύσαν τὸ καθαρτικὸν φάρμακον εἰς τὰ στόματα τῶν εἰς τὴν γαστέρα καθηκόντων ἀγγείων δῆξίν τε ἅμα καὶ ἀναστόμωσιν ἐργάσῃ τε πλείονα καὶ συνεχῶς ἐρεθίζον καὶ σπαράττον τὰ σώματα καταλύσῃ τὴν ἐν τοῖς ἀγγείοις δύναμιν. οἷον γάρ τοι κἀπὶ τῆς γαστρὸς ὁρᾶται συμβαῖνον, ὅταν εἰς ἐσχάτην ἀῤῥωστίαν ἡ δύναμις αὐτῆς καταπέσῃ, τοιοῦτον ἡγητέον γίγνεσθαι κἀν ταῖς φλεψί. τί δὴ τὸ συμβαῖνον ἐπὶ τῆς γαστρός ἐστιν; ἔμετοι μὲν ἅπαντος τοῦ καταποθέντος, ἐπειδὰν ἐν τοῖς ἄνω μέρεσιν αὐτῆς ἡ ἀῤῥωστία συμπέσῃ, λειεντερίαι δὲ, ἐπειδὰν ἐν τῷ κάτω. δείκνυται δὲ καὶ περὶ

les, qui partim quidem medicamentofi funt, partim non. Quare ubi purgationem haud affequuntur, quaedam purgantium malum corporibus noftris inferunt, quaedam vero alimentum exhibent.

Cap. XXVII. Porro quoniam femel fermonem de purgantibus medicamentis attigimus, praeftiterit fortaffis nonnihil quoque dicere de nimiis purgationibus, quas ὑπερκαθάρσεις Graeci vocant, quafi fuperpurgationes dicas. Evenire igitur eae folent, quum purgans medicamentum usque adeo invaluit, ut in vaforum ad ventrem pertinentium ofculis mordicationem apertionemque multam relinquat, affidueque irritans convellensque corpora quae in vafis funt vires diffolvat. Nam quod in ventre evenire confpicimus, ubi vires ejus in extremam inciderunt infirmitatem, idem in venis accidere putandum. Quid porro eft quod in ventre evenit? vomitus totius ejus, quod deglutiit, ubi videlicet fuperiores ejus partes debilitas occupavit, inteftinorum vero laevitas, ubi inferiores. Oftenfum eft autem et de hifce

Ed. Chart. XIII. [84.] Ed. Baf. II. (41.)

τούτων ἐπὶ πλέον ἐν ταῖς τῶν κενουμένων αἰτίαις. τοιοῦτόν τι πάθος ἡγητέον γίνεσθαι ταῖς φλεψὶν ἐν ταῖς ὑπερκαθάρσεσιν. οὔσης δὲ κατ᾽ ἀρχὰς μὲν ἔτι καὶ τῆς ἀναστομώσεως καὶ τῆς ἀῤῥωστίας μετρίας, τὸ λεπτότατόν τε καὶ ἧττον οἰκεῖον ἐκκρίνεται, ἐπὶ πλέον δὲ προηκόντων ἀμφοτέρων ἤδη καὶ τὰ παχέα καὶ τὰ οἰκειότατα τῷ ζώῳ κενοῦται. διὰ τοῦτο οὖν ἡ μὲν ξανθὴ χολὴ πρώτη, τὸ δὲ φλέγμα δεύτερον, ἡ δὲ μέλαινα τρίτη, καὶ τούτων ὕστατον ἁπάντων ἐν ταῖς ὑπερκαθάρσεσιν ἐκκρίνεται τὸ αἷμα, τοῦτο μὲν ὡς οἰκειότατος τῇ φύσει χυμὸς, ἔμπροσθεν δὲ αὐτοῦ πρῶτος μὲν ὁ λεπτότατος, ὕστατος δὲ ὁ παχύτατος. εἴρηται μὲν οὖν καὶ πρὸς Ἱπποκράτους ἐν τῷ περὶ φύσεως ἀνθρώπου βιβλίῳ περὶ τῆς κατὰ τὴν κένωσιν αὐτῶν τάξεως, εἰρήσεται δὲ καὶ νῦν, ὡς μηδὲν λείπειν τῷ λόγῳ. φλέγματος μὲν γὰρ ἀγωγὸν εἰ δοίης φάρμακον, ἡ ξανθὴ μὲν πρῶτον κατὰ τὰς ὑπερκαθάρσεις, δευτέρα δὲ ἡ μέλαινα, τελευταῖον δ᾽ ἐκκενοῦται τὸ αἷμα. χολῆς δὲ ξανθῆς ἀγωγὸν εἴπερ εἴη τὸ φάρμακον, ἕψεται μὲν τὸ φλέγμα, τρίτη δὲ ἡ μέλαινα, καὶ τέταρτον τὸ αἷμα. καὶ μὲν

latius in tractatu de vacuandorum caufis. Hujusmodi affectum exiftere in venis exiftimandum eft in fuperpurgationibus. Quum autem per initia modica etiamnum fit et apertio et imbecillitas, tum quod et tenuiffimum eft minimeque naturae familiare excernitur, fed ubi utraque adaucta eft, jam tum etiam craffa et quae naturae familiariffima funt evacuantur, quamobrem flava bilis primo, pituita fecundo loco, tertio loco atra bilis, poft haec poftremus omnium in fuperpurgationibus effunditur fanguis, utpote qui naturae fuccus fit familiariffimus. Ante hunc vero primus quidem qui tenuiffimus, poftremus qui craffiffimus. Differuit autem et Hippocrates in libro qui de natura humana infcribitur, de ordine qui in iftis evacuandis fervari folet. Ac nunc quoque ne quid huic fermoni defit, dicendum eft. Etenim fi quod pituitam ducat medicamentum exhibeas, prima quidem in fuperpurgationibus flava, mox atra, tertio loco fanguis ejicitur. At fi quod flavam bilem detrahat, pituita confequetur, tertia atra, quartus demum reddetur fanguis.

δὴ καὶ εἰ μελαίνης χολῆς εἴη καθαρτικὸν, ἐκείνην μὲν πρώτην ἐκκενώσει, μετὰ ταύτην δὲ τὴν ξανθὴν, εἶθ᾽ οὕτως τὸ φλέγμα, καὶ πάντων ὕστατον ἀκολουθήσει τὸ αἷμα, καθάπερ ἐξ ἀψύχων ἤδη ἀγγείων ἐκρέον, ἀῤῥωστίας τε μεγάλης αὐτὰ καταλαβούσης καὶ τῶν στομάτων εἰς ἐσχάτην διάτασιν ἀφικομένων. ἐξ ὧν δῆλον ὡς ὕστατος μὲν ἐν ταῖς ὑπερκαθάρσεσιν ὁ τοῖς ἀνθρώποις οἰκειότατος κενοῦται χυμὸς, τῶν δ᾽ ἄλλων ἕκαστος, ὡς ἂν αὐτῷ συμβαίνῃ λεπτότητος ἢ πάχους.

Κεφ. κη΄. Ἡ δε αἰτία τοῦ μὲν ὅλως ἐκκρίνεσθαι καὶ τοὺς ἀνοικείους τῷ καθαίροντι φαρμάκῳ χυμοὺς ἐν τρισὶ τούτοις κεῖται, τῇ τε ἀῤῥωστίᾳ τῶν ἀγγείων καὶ τῇ τῶν στομάτων εὐρύτητι καὶ τῇ δήξει τοῦ καθαίροντος. ὅταν γὰρ τὰ [85] μὲν ἀγγεῖα μηκέτι κατασχεῖν ἐν ἑαυτοῖς δύνηται τοὺς χυμοὺς, ἀναπεπταμένα δὲ αὐτῶν ᾖ τὰ στόματα, μένῃ δ᾽ ἐρεθίζον τὸ φάρμακον, ἕλκειν δὲ μηκέτι τὸν οἰκεῖον ἔχῃ χυμὸν, ἀνάγκη πᾶσα τοὺς ἄλλους ἐκκρίνεσθαι κατὰ τὴν εἰρημένην τάξιν. ἤρκει μὲν γὰρ ἴσως καὶ ἡ δῆξις μένουσα πρὸς τὴν ἔκκρισιν ἐπεγείρειν τὰ ὄργανα, πολὺ δὲ δὴ μᾶλλον, ὅτ᾽ ἂν

Quin et fi atram bilem purgare fit natum, eam quidem primam evacuabit, poft quam flavam, deinde pituitam, omniumque poftremus fequetur fanguis, tanquam ex inanimis jam vafculis effluens, ut quae fumma jam debilitas occupet, quaeque ad extremam ofculorum apertionem pervenerint. Ex quibus manifeftum eft poftremum in fuperpurgationibus evacuari humorem, qui idem et familiariffimus eft, aliorum autem unumquemque prout aut craffus eft aut tenuis.

Cap. XXVIII. Caeterum caufae quamobrem omnino et qui alieni funt a purgante medicamento fucci una excernantur, in hifce tribus confiftunt, vafculorum fcilicet imbecillitate, ofculorum laxitate et purgantis mordicatione. Quum enim vafcula non amplius in fefe continere fuccos poffint et ofcula eorum reclufa fuerint, nec irritare medicamentum definat, poffitque non amplius familiarem trahere fuccum, neceffe omnino eft reliquos quoque quo dicimus ordine excerni. Satis enim erat unica mordicatio, quae organa ad excretionem excitare poffet, multo ergo magis id

ἀναστόμωσίς τε ἅμα καὶ ἀῤῥωστία τῶν ἀγγείων συνδράμη. γίνεται δὲ ἡ μὲν ἀναστόμωσις, ὡς εἴρηται, διὰ τὴν ἰσχὺν τοῦ φαρμάκου, δι' ἥνπερ καὶ ἡ δῆξις· ἡ δὲ τῶν ἀγγείων ἀῤῥωστία, διά τε τὸν σφοδρὸν κάματον, ὃν ἐν τῷ δάκνεσθαί τε καὶ οἷον βδάλλεσθαι πρὸς τοῦ καθαίροντος φαρμάκου γίνεσθαι συμβαίνει καὶ προσέτι διὰ τὴν καταλαμβάνουσαν αὐτὰ δυσκρασίαν ἐν ταῖς ὑπερκαθάρσεσιν. ὃν γὰρ ἂν τῶν χυμῶν ὅλον ἐκκενώσῃς, ἀνάγκη πᾶσα δυσκρασίαν ἀκολουθεῖν. τοῦ μὲν δὴ κενοῦσθαι καὶ τοὺς ἀνοικείους τῷ καθαίροντι ταῦτα τὰ αἴτια· τοῦ δὲ ἐν τῇ προειρημένῃ τάξει λεπτότης τε καὶ παχύτης αὐτῶν ἐστι τῶν κενουμένων χυμῶν αἰτία, καὶ πρὸς τούτοις ἡ μᾶλλόν τε καὶ ἧττον οἰκειότης ἑκάστου τῶν χυμῶν τῇ τοῦ ζώου συστάσει.

ſiet, ubi et apertio et imbecillitas vaſorum coierit. Fit autem, ut ſupra diximus, apertio ob medicamenti facultatem, ob quam videlicet mordicatio item provenit, vaſorum autem imbecillitas tum ob ingentem defatigationem, quam ſcilicet, dum a purgante medicamento mordicarentur, ac veluti emulgerentur acquiſierant, tum ob intemperantiam, quae in ſuperpurgationibus occupat. Quemcunque enim humorum penitus evacuaveris, intemperantiam conſequatur neceſſe eſt. Itaque quod a purgante et alieni quoque vacuentur ſucci, eas habeto cauſas; quod vero ſupradicto ordine, vacuandorum humorum tum tenuitas tum craſſitudo in cauſa eſt, et ad haec prout magis et minus animantium conſtitutioni ſuccus quilibet familiaris eſt.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΑΣΕΩΣ ΚΑΙ ΔΥΝΑΜΕΩΣ ΤΩΝ ΑΠΛΩΝ ΦΑΡΜΑΚΩΝ ΒΙΒΛΙΟΝ Δ.

Ed. Chart. XIII. [85.] Ed. Baf. II. (41.)

Κεφ. α΄. Ὅπως μὲν οὖν λέγεται ψυχρὸν, ἢ θερμὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν τῇ δυνάμει φάρμακον, ᾧτινί τε τρόπῳ δεῖ δοκιμάζειν αὐτὸ, δίῃρηται πρόσθεν. ἐπειδὴ δὲ καὶ μαλακτικόν τι λέγεται καὶ χαλαστικὸν, ἀραιωτικόν τε καὶ πυκνωτικὸν, ἐμπλαστικόν τε καὶ διαφορητικὸν, ἕτερά τε πάμπολλα παραπλήσια τούτοις, κάλλιον ἂν εἴη καὶ περὶ τῶν τοιούτων διελθεῖν· ἅμα δὲ αὐτοῖς, ἢ καὶ πρὸ αὐτῶν ἔτι, καὶ περὶ τῆς

GALENI DE SIMPLICIVM MEDICAMENTORVM TEMPERAMENTIS AC FACVLTATIBVS LIBER IV.

Cap. I. Quo pacto igitur dicatur frigidum vel calidum vel ficcum vel humidum facultate medicamentum, tum qua ratione id explorare oporteat, fupra definitum eft. Quum autem nonnullum emolliens dicatur, relaxans, rarefaciens, condenfans, emplafticum ac difcutiens, aliaque permulta his fimilia, praeftiterit et de his differere, una vero cum iftis, aut etiam ante ea, de faporum omnium et effen-

τῶν χυμῶν ἁπάντων οὐσίας τε ἅμα καὶ δυνάμεως, ὑπὲρ ἧς εἴρηται μὲν κἀν τῷ πρώτῳ τῶνδε τῶν ὑπομνημάτων ἐπὶ τῆς τελευτῆς, ὁπότε καὶ τὴν τοῦ Πλάτωνος ἐκ Τιμαίου παρεθέμην ῥῆσιν· ἀλλ᾽ ἐκεῖ μὲν, ἕνεκα τοῦ τῶν αἰσθητῶν ἀναμνῆσαι παθῶν, ὧν ἡ γλῶττα πέφυκε καθ᾽ ἕκαστον αὐτῶν πάσχειν, ἐνταυθοῖ δὲ περὶ τῆς οὐσίας τε καὶ δυνάμεως ὁ λόγος ἔσται μοι. πάσχει μὲν γὰρ δήπου καὶ τἄλλα τοῦ ζώου μόρια τῇ γλώττῃ παραπλησίως, οὐ μὴν ἀκριβῶς αἰσθάνεται τῶν παθῶν, ἡ δέ γε πρὸς τῷ πάσχειν ἔτι καὶ τὸ τῆς αἰσθήσεως ἀκριβὲς κεκτημένη διαγνωστικὴ τῆς φύσεως ἁπάντων τούτων ἐστίν. [86] οὐ καὶ δὴ τότε θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν τὴν μὲν γλῶτταν ἤτοι ψύχειν, ἢ θερμαίνειν, ἢ ξηραίνειν, ἢ ὑγραίνειν, οὐχὶ δέ γε καὶ τῶν ἄλλων ἕκαστον πέφυκεν, ἀλλ᾽ ὥσπερ ταύτην, οὕτω καὶ τἄλλα διατίθησί τε καὶ ἀλλοιοῖ κατὰ τὸ μᾶλλον καὶ ἧττον ἐν αὐτοῖς γιγνομένης τῆς διαφορᾶς, οὐ κατὰ τὸ πάσχειν, ἢ μὴ πάσχειν. ὅτι μὲν γὰρ καὶ ξηροῦ καὶ ὑγροῦ καὶ θερμοῦ καὶ ψυχροῦ σώματος οὐδὲν ἧττον ἁπάντων τῶν ἄλλων τοῦ ζώου μορίων ἡ γλῶττα πέφυκεν

tia et facultate, de qua et in fine primi horum commentariorum verba fecimus, quando fcilicet Platonis ex Timaeo dictionem adfcripfimus. Verum ibi quidem gratia paffionum fenfibilium, quas lingua in quoque eorum perpeti eft nata, at hic de effentia et facultate fermo habebitur, quandoquidem et aliae animantis partes fimiliter ut lingua perpetiuntur, fed paffionum fenfum non exacte percipiunt. At lingua praeterquam quod perpetiatur, fenfus etiam perfectionem poffidens, earum omnium naturas dignofcere poteft. Nec enim hoc dicendum eft, calidum, frigidum, humidum, ficcumque linguam calefacere, refrigerare, ficcare, aut humectare poffe, aliarum vero, quamvis non poffe, imo uti hanc, ita et alias omnes fingula afficiunt et alterant, tantum diverfitate in ipfis exiftente pro minoris majorisque ratione, haudquaquam in ipfo, ut fic dicam, affici, aut non affici. Quippe quod lingua non fecus atque alia quaevis animantis partium calidum, frigidum, ficcum, humidumque dignofcere

εἶναι διαγνωστικὴ πρόδηλον παντὶ, πικρότητας δὲ καὶ γλυκύτητας, ἁλυκότητάς τε καὶ ὀξύτητας, αὐστηρότητάς τε καὶ στρυφνότητας καὶ δριμύτητας, αὕτη μόνη διακρίνειν πεπίστευται, καίτοι τήν γε ὁμοιότητα τῶν παθῶν ἔστιν εὑρεῖν κἀν τοῖς ἄλλοις ἅπασι μέρεσιν, καὶ μάλιστα ἐν τοῖς ἡλκωμένοις. ἡ γάρ τοι τοῦ δέρματος σκληρότης καὶ πυκνότης ἀποστέγει καὶ ἀπομάχεται καὶ κωλύει διέρχεσθαι πρὸς τὴν σάρκα τὰς τῶν ἔξωθεν αὐτῇ προσπιπτόντων δυνάμεις.

Κεφ. β'. Οὕτω γὰρ εἴρηται (42) κἀκεῖνο πρὸς Ἱπποκράτους, ἕλκεσι τὸ μὲν ψυχρὸν δακνῶδες, καίτοι γε τῷ δέρματι πρὶν ἑλκωθῆναι δακνῶδες οὐκ ἦν. ἔστι δὲ καὶ ὀφθαλμοῖσι καὶ μυκτῆρσι καὶ ἐν τῷ στόματι μέρεσι τοῦ ζώου, δακνῶδες τὸ ψυχρόν. οὐχ ἥκιστα δὲ γαστρός τε καὶ ἐντέρων τοῖς ἔνδον, ὥστε καὶ χαλεπὸν εἶναι διακρῖναι πολλάκις εἴτε κατεψυγμένος τις, εἴτε καὶ διὰ χυμοῦ δριμύτητα δάκνοιτο, συμβαίνει δὲ ταῦτα εὐλόγως· ἐπειδὴ γὰρ τὸ ψυχρὸν, ὧν ἂν ψαύσῃ, συνάγει τε τὴν οὐσίαν αὐτῶν καὶ πυκνοῖ καὶ σφίγγει, πρῶτον μὲν ἀναγκαῖον ἐν τῷδε τὰς λεπτὰς ὑγρότητας ἐκκρί-

corpus valeat, cuivis clarum eft, amarorem vero, dulcedinem, falfedinem, aciditatem, aufteritatem, acerbitatem, acrimoniam, haec fola difcernere creditur, tametfi paffionum fimilitudinem invenire eft cum in partibus omnibus tum maxime in ulceratis. Nam cutis durities denfitasque excludit, refiftit, prohibetque quo minus foris incidentium facultates intro in carnem ipfam penetrent.

Cap. II. Sic enim et illud ab Hippocrate dictum eft, *ulceribus frigidum mordax,* tametfi cuti priusquam ulceraretur mordax nequaquam effet. Eft vero et oculis et naribus et ori externis partibus animalis frigidum mordax, nec minus internis, ventri et inteftinis, ut difficile fit nonnunquam difcernere, an a frigore quis, an ab humorum mordicetur acrimonia. Eveniunt autem haec non ab re. Siquidem quum frigidum quaecunque contingit, eorum et contrahat fubftantiam et condenfet conftringatque, primum tenues tum excernantur humiditates neceffe eft, ficut ex ocu-

νεσθαι, καθάπερ ἐξ ὀφθαλμῶν μὲν τὸ δάκρυον, ἐκ δὲ τῶν ῥινῶν τὴν κόρυζαν, ἔπειτα δὲ καὶ δακνῶδες αὐτοῖς φαίνεται, καθ' ἕτερον μὲν τρόπον τοῦ θερμοῦ. οὐ γὰρ τῷ διαβιβρώσκειν τὸ συνεχὲς, ἀλλὰ τῷ διασπᾷν ἀνιαρόν θ' ἅμα καὶ δακνῶδες ὑπάρχει τὸ ψυχρὸν, ὅθεν οὐδὲ τοῖς σκληροῖς σώμασι φαίνεται τοιοῦτον. ἐν γὰρ τῷ συνάγεσθαι καὶ θλίβεσθαι τὰ μαλακὰ, τό θ' ὑγρὸν αὐτῶν ἐκπιέζεσθαι συμβαίνει καὶ διασπᾶσθαι τὰ μόρια, τὸ μὲν ὑγρὸν ὡς ἐν τῇ συναγομένῃ τε καὶ πρὸς ἡμετέρων χειρῶν θλιβομένῃ σπογγιᾷ, τὸ διασπᾶσθαι δὲ ὡς ἐν τοῖς διαιρουμένοις καὶ διασπωμένοις, εἴτ' οὖν ὑφ' ἡμῶν ἑλκόντων ταῖς χερσὶν, εἴθ' ὑπό τινος ἑτέρου. τοιοῦτον γάρ τι καὶ τοῖς ἀραιοῖς τε καὶ μαλακοῖς σώμασιν ὑπὸ τοῦ ψυχροῦ πάσχειν ἀναγκαῖον, ὑποδεχομένης μὲν εἴσω τὴν ψῦξιν τῆς ἀραιότητος ἑτοίμως, ἔτι δὲ ἑτοιμοτέρως τῶν ἐν τῷ βάθει μορίων τῶν μαλακῶν ὑπ' αὐτῆς πηγνυμένων. καθ' ἕκαστον οὖν τῶν πόρων εἰσιὸν τὸ ψυχρὸν ἐν τοῖς ἀραιοῖς σώμασιν, οἷάπερ τά θ' ἡλκωμένα πάντα ἐστὶ καὶ ὀφθαλμοὶ καὶ μυκτῆρες καὶ στόμα καὶ τὰ κατὰ τὴν γαστέρα, ἐπιλαμβάνει πάντα τῶν ψυχομένων σωμάτων τὰ μόρια καὶ τρόπον τινὰ πολλαῖς

lis lachryma, ex naribus mucus, postea vero etiam mordax appareat, licet alia ratione quam in calido. Nec enim erodendo, quod continuum est, sed divellendo, molestum ac mordax est frigidum. Quare nec duris corporibus tale apparet. Nam dum mollia contrahuntur comprimunturque, humidum exprimi contingit simulque partes divelli, humidum quidem, sicut in spongia a manibus nostris contracta compressaque, divelli autem, sicut in iis quae distrahuntur divelluntur que sive a nostris manibus sive aliunde. Tale quid rara molliaque corpora a frigido perpetiantur necesse est, raritate frigus prompte intro recipiente multoque etiam promptius partibus in ea mollibus quae in profundo sunt a frigido concrescentibus. Frigidum itaque spiramenta cuncta in raris corporibus subiens, qualia sunt ulcerata omnia, oculique et nares ac os venterque, omnes refrigerandorum corporum partes circumquaque amplectitur et quodam-

ἐν κύκλῳ λαβαῖς αὐτὰ συνάγον καὶ πιλοῦν τῶν συνεχῶν ἀποσπᾷ. χώρας οὖν ἀναγκαῖον ἐν τῷδε τῷ πάθει γίνεσθαι κενὰς οὐκ ὀλίγας, οὐ μόνον τῷ τὰς λεπτὰς ὑγρότητας ἐκκρίνεσθαι πιεζομένας, ἀλλὰ καὶ τῷ τὴν μαλακὴν οὐσίαν εἰς ἐλάττονα τόπον συνάγεσθαι. χώραν δὲ κενὴν ἐν συνεχέσι σώμασιν οὐκ ἐγχωρεῖ συστῆναι φυλαττομένης τῆς συνεχείας. εἴπερ οὖν συνίσταται, δῆλον ὡς φθείρεται μὲν αὕτη, διασπᾶται δὲ τὸ συνεχὲς σῶμα, κἀν τούτῳ τὸ τῆς αἰσθήσεως ἀνιαρόν τε ἅμα καὶ δακνῶδες ὑπαντᾷ πάθος, [87] οὐ μὴν ἥ γε ποιότης ἀμφοῖν ἡ αὐτὴ, τῶν τε διὰ τὸ ψύχειν δακνόντων ἐστὶν καὶ τῶν διὰ τὸ θερμαίνειν, ἀλλ᾽ ἐπὶ μὲν τῶν προτέρων εὐθέως καὶ τὸ συνάγεσθαί τε καὶ σφίγγεσθαι τὴν οὐσίαν αἴσθησις ἡμῖν ἐστιν, ἐπὶ δὲ τῶν δευτέρων ἡ τοῦ διαλύεσθαί τε καὶ χεῖσθαι. καὶ δὴ καὶ τὸ τάχος οὐχ ὅμοιον ἐπ᾽ ἀμφοτέρων τῶν παθῶν, ἀλλ᾽ ἐπὶ μὲν τῶν ψυχόντων βραδύνει πως μᾶλλον ἡ δῆξις, ἐπὶ δὲ τῶν θερμαινόντων ὠκύτατα διεξέρχεται. ὁπότ᾽ οὖν αὐτάρκως ἤδη διώρισται καὶ τῇ φύσει τῶν πραγμάτων αὐτῇ καὶ τῇ πρὸς ἡμᾶς αἰσθήσει, καὶ λέλεκται σαφῶς

modo multis circumquaque anfis eas contrahens, atque condenfans a continuis avellit. Quae dum patiuntur, multa fieri fpatia inania neceffe eft, non tantum quia tenues exprimantur humiditates, verum etiam quia fubftantia mollis in arctum contrahatur. Atqui fpatium inane in fibi continuis corporibus fervata etiamnum continuitate fieri non poteft. Ergo fi fieri id conftet, clarum eft illam deperdi, ac corpus continuum diftrahi, ex quo molefta mordaxque fenfus exoritur affectio. Tametfi non eadem utrisque qualitas eft tum iis, quae frigore mordicant tum iis quae calore, fed in illis protinus et contractionis condenfationisque fenfus percipitur, in his diffolutionis et fufionis. Quin nec par eft utriusque affectus celeritas, verum in refrigerantibus quodammodo tardior et cunctantior eft mordacitas, at in excalefacientibus celerrime penetrat. Quando igitur abunde definitum eft tum ipfa rerum natura tum etiam qui in nobis fit fenfu, clareque expofitum eft quo pacto calidum

ὅπως μὲν τὸ θερμὸν, ὅπως δὲ τὸ ψυχρὸν δακνῶδες φαίνεται. χρὴ μὲν δήπου καὶ λογίζεσθαί τινα καὶ πρὶν ἀκοῦσαι παρ' ἡμῶν, ὡς τῶν δακνόντων φαρμάκων τὰ μὲν θερμὰ ταῖς δυνάμεσιν ἀναγκαῖον εἶναι, τὰ δὲ ψυχρά. καὶ παρ' ἡμῶν δὲ ἐπιμαθεῖν ἔστι τοὺς διορισμοὺς αὐτῶν ἀκριβῶς, ἀναμνησθέντας πρότερον ὡς καὶ τὸ πόμα καὶ τὸ βαλανεῖον, ὅταν εὐκράτως ἔχῃ, θερμὰ λέγομεν, ἐνίοτε καταχρώμενοι τῇ προσηγορίᾳ. εὔκρατα γὰρ ἐχρῆν αὐτὰ λέγεσθαι καὶ σύμμετρα μᾶλλον ἢ θερμά. τὰ μὲν οὖν οὕτω θερμὰ προσηνῆ τ' ἐστὶ καὶ φίλια. διαχεῖται γὰρ ἡμῶν τὸ συνεστός τε καὶ πεπηγὸς ἐν τοῖς σώμασιν, ἐν ᾧ μάλιστα πάθει τὸ ἥδεσθαι τοῖς ζώοις ἐστίν· χρονίζοντα δὲ καὶ ταῦτα κατ' ὀλίγον ἀνιαρὰ γίνονται. μεταπίπτει γὰρ εἰς ἀμετρίαν οὕτω γε χύσεως ὡς καὶ διαφορεῖσθαι καὶ διαλύεσθαι καὶ σκεδάννυσθαι τὴν οὐσίαν ἡμῶν. ἀλλὰ κἀν τούτῳ χωρὶς τοῦ δάκνειν ἀνιᾷ, λειποψυχίαν τε ἐμποιοῦντα καὶ κατάπτωσιν δυνάμεως, ὥστε καὶ τὸν θάνατον ἕπεσθαι. τὰ δ' ἔτι μᾶλλον τῶνδε θερμὰ τέμνει καὶ διαιρεῖ καὶ διΐστησι τὴν οὐσίαν, ὥστ' ἐξ ἀνάγκης δακνώδη φαίνεσθαι, καθά-

quoque frigidum mordax appareat, colligere quemque apud ſeſe nunc oportet, vel antequam a nobis id audiat, mordicantium medicamentorum alia calida facultate, alia frigida neceſſario eſſe. A nobis autem diſtinctiones eorum exacte addiſcere licebit, ubi prius commonefecerimus poculum et balneum, quum temperata ſunt, calida a nobis dici nonnunquam appellationis abuſu, quandoquidem temperata dici debebant, ac ſymmetra potius quam calida. Ergo quae ſic calida ſunt grata amiciaque ſunt, funditur enim quod in corporibus noſtris conſtiterat atque concretum fuerat, quo maxime affectu voluptas animantibus conſtat, at ſi moram etiam trahant, ſenſim quoque et ipſa moleſta evadunt, ad tantam enim fuſionis immoderationem ſic recidunt ut ſubſtantiam noſtram etiam digerant, diſſolvant, atque diſpergant. Verum nec ſic quidem mordicatione infeſtant, ſed animi afferunt deliquium viresque dejiciunt, ut mors quoque tandem ſequatur. At quae his magis ſunt calida, ſecant, diſtrahunt, dividuntque ſubſtantiam, quare neceſſario

Ed. Chart. XIII. [87.] Ed. Baf. II. (42.)

περ καὶ τὸ ζέον ὕδωρ καὶ τὸ πῦρ αὐτό. καὶ τῶν ψυχρῶν δὲ κατὰ τὸν αὐτὸν τρόπον ὅσα μὲν συνάγει, οὔπω δὲ διασπᾷ τὸ συνεχὲς τοῦ πλησιάζοντος σώματος, ψυχρὰ μόνον ἐστὶν, οὐ μὴν ἤδη γέ πως δακνώδη. τὰ δὲ πρὸς τῷ συνάγειν διασπῶντα, βιαίως δὲ δηλονότι πάντα τὰ τοιαῦτα κέχρηται τῇ πιλήσει, δακνώδη φαντάζεται. τὸ μὲν οὖν συνάγειν τε καὶ πηγνύειν τὴν ὑποβεβλημένην ὕλην ἴδιον ἀεὶ τοῦ ψυχροῦ· τὸ δὲ διαχεῖν τε καὶ τήκειν τοῦ θερμοῦ, κοινὸν δ᾽ ἀμφοῖν ἀμετρότερα αὐξηθέντων τὸ δάκνειν. ὅσα μὲν οὖν ἀκριβῶς ἐστι ψυχρὰ καὶ θερμὰ, πρὸς τοῖς ἄλλοις ἅπασιν οἷς ἔμπροσθεν εἴπομεν ἀραιοῖς τε καὶ μαλακοῖς μέλεσιν, ἤδη καὶ τοῦ δέρματος ἡμῶν ἅπτεται. μέμνημαι δ᾽ ἐγώ ποτε διὰ χιόνος ὁδοιπορήσας οὕτω πολλῆς, ὡς μηδὲν τῆς γῆς φαίνεσθαι γυμνόν· ἦν δὲ καθαρὸς ὁ ἀὴρ ἀκριβῶς φαινόμενος καί τι πνεῦμα τῆς χιόνος ἀπέπνει, ψυχρότατον οὕτως, ὡς οὐ τοὺς ὀφθαλμοὺς μόνους δάκνειν ἢ καὶ τοὺς μυκτῆρας, ἀλλὰ καὶ τὸ πρόσωπον ὅλον. εἰ δὲ καὶ χεῖρά τις ἔξω προὔβαλε, καὶ ταύτης ὁμοίως ἁπτόμενον. ὅσα δ᾽ ἀπολείπεται τῆς ἄκρας ψύξεως ἢ θερμότητος, οὐ δάκνει τὸ

mordacia videntur, velut aqua fervens ac ipfe ignis. Eundem in modum frigida quae contrahunt, nondum tamen contracti corporis continuitatem divellunt, frigida duntaxat funt, haud etiam mordacia. At quae fupra quam quod contrahunt, etiam convellunt, ea utique omnia violenta condenfatione utuntur, quocirca et mordacia apparent. Igitur fubjectam materiam contrahere et condenfare frigidi femper proprium eft, fundere autem atque liquare calidi, utriusque vero immoderatius aucti communis eft mordicatio. Etenim quae fumme frigida calidaque fuerint praeter omnes alias, quas modo memorabam, raras mollesque partes cutem etiam noftram invadunt. Memini me quandoque per nivem iter feciffe tam altam et copiofam, ut nulla terrae pars nuda confpiceretur, aër exactiffime purus erat, fpirabatque a nive quidam ventus adeo frigidus, ut non oculos modo et nares et totam adeo faciem mordicaret, verum etiam fiquis forte manum protuliffet, fimiliter illam afficeret. At quae a fumma frigiditate aut caliditate abfunt, cu-

δέρμα, τὰ μὲν ψύχοντα μήτε διασπᾶσθαί τι τῆς συνεχείας αὐτοῦ δυνάμενα διὰ τὴν σκληρότητα, μήτ' εἰς τὸ βάθος ἐνδῦναι φθάνοντα τῇ πυκνώσει τῆς ἐπιφανείας· τὰ δὲ θερμαίνοντα τῷ τε μὴ διαβιβρώσκειν, ἀλλὰ διαχεῖν μόνον, τῷ τε διεξέρχεσθαι τοὺς πόρους ἐνίοτε ἑτοίμως. μέγιστον δ' εἰς τὰ τοιαῦτα παθήματα συμβάλλεται τὸ τῆς οὐσίας τῶν φαρμάκων ἤτοι παχυμερὲς ἢ λεπτομερές. ἐπὶ μὲν γὰρ τῶν ψυχόντων τὰ λεπτομερῆ μᾶλλον ἐξικνεῖται πρὸς τὸ βάθος, καὶ διὰ τοῦτο δάκνει σφοδρότερον· ἐπὶ δὲ τῶν θερμαινόντων τὰ παχυμερῆ μᾶλλον ἑλκοῖ καὶ διὰ τοῦτο ἀνιᾷ βιαιότερον. λεπτομερέστερον μὲν οὖν ὁ ἀὴρ, παχυμερέστερον δὲ γῆ, μεταξὺ δ' ἀμφοῖν τὸ ὕδωρ. ἀλλ' ἀὴρ μὲν ἐκπυρωθεὶς φλὸξ γίγνεται, γῆ δὲ ἄνθραξ, τὸ δ' ὕδωρ δέχεται μὲν ἰσχυρὰν θερμασίαν, ἀλλ' οὔτε φλὸξ οὔτ' ἄνθραξ γίνεται, διὰ τὴν σύμφυτον ὑγρότητα. [88] φλὸξ μὲν γὰρ καὶ ἄνθραξ εἴδη πυρός. ἅπαν δὲ πῦρ ἐστιν θερμὸν καὶ ξηρὸν, οὐκ ἐγχωρεῖ δὲ τῷ ὕδατι γενέσθαι ξηρῷ καὶ διὰ τοῦτο, οὐ δέχεται τὴν τοῦ πυρὸς ἀκριβῶς ποιότητα, καθάπερ ἥ γῆ τε καὶ ὁ ἀήρ· φάρμακον μὲν οὖν

tem non mordicant, frigida quidem, quoniam continuitatem ejus ob duritiem distrahere nequeant, nec in profundum subire prae superficiei densitate valeant, calida autem tum quod non erodant, sed duntaxat fundant, tum quod interdum meatus prompte penetrent. Plurimum autem ad id genus passiones facit essentiae medicamentorum vel tenuitas vel crassities. Siquidem frigida quae tenuium partium sunt, quum magis in profundum transeant, vehementius etiam proinde mordicant, calida vero quae crassarum sunt partium, quoniam plus ulcerant, violentius idcirco etiam affligunt. Tenuiorum itaque partium aër est, crassiorum terra, medium eorum tenet aqua. Sed aër accensus fit flamma, terra autem pruna, at aqua vehementem sane caliditatem accipit, sed nec flamma nec pruna propter innatam humiditatem efficitur. Siquidem flamma et pruna ignis sunt genera, ignis autem omnis calidus est et siccus, at aqua sicca ut sit fieri nequit, proindeque ipsius ignis exacte qualitatem sicut aër et terra non accipit. Nullum est itaque aeque calidum

οὐδὲν οὕτω θερμόν ἐστιν ὡς φλὸξ ἢ ἄνθραξ ἢ ζέον ὕδωρ, ἀλλὰ κἂν θερμότατον ᾖ, πάντως πού γοῦν τούτων ἀπολείπεται πάμπολυ. μέχρι μέντοι τοῦ καίειν ἡ θερμότης αὐτῶν προέρχεται, ὅταν ἐν οὐσίᾳ περιέχηται παχυμερεῖ. τὰ δ' ἐν ταῖς λεπτομερέσιν ἐνίοτε μὲν οὐδὲ δάκνει τὴν ἀρχὴν, ἀλλὰ θερμαίνει μόνον. ἔστι δ' ὅτε δακνῶδες μέν ἐστιν, οὐ μὴν ἤδη καὶ καίει.

Κεφ. γ'. Μεμνῆσθαι δὲ χρὴ τῆς ἐννοίας τῶν λεπτομερῶν τε καὶ παχυμερῶν, ὡς τὰ μὲν εἰς λεπτὰ μόρια ταχέως διαλυόμενα λεπτομερῆ προσαγορεύομεν, ὅσα δ' οὐ δύναται πάσχειν τοῦτο, παχυμερῆ. τὸ μὲν οὖν διαλῦον αὐτὰ τὸ κατὰ τὸ σῶμα τοῦ ζώου θερμόν ἐστιν, ὥσπερ ἂν ἑκάστοτε τύχῃ προσφερόμενα· τὸ δ' εἰς λεπτὰ καὶ παχέα μόρια θραύεσθαι παρὰ τῆς ἑαυτῶν ἔχει φύσεως, ὥστε καὶ τῶν ψυχόντων φαρμάκων ὅσα (43) μέν ἐστι παχυμερῆ δάκνειν οὐ δύναται, μὴ φθάνοντά γε διαδύεσθαι τὴν ἔξωθεν τοῦ δέρματος ἐπιφάνειαν. ὅσα δὲ λεπτομερῆ καὶ διαδύεται ῥᾳδίως καὶ πρὸς τὸ

pharmacum, ut aut flamma aut pruna aut fervens aqua, imo ut fit vel calidiffimum, omnino tamen plurimum ab illis vincitur. Procedit autem ad uftionem usque medicamentorum caliditas, ubi videlicet in craffa confiftit effentia, quae vero tenuium partium funt calida, nonnunquam omnino non mordicant, fed calefaciunt duntaxat. Eft autem ubi et mordicent, non tamen urant.

Cap. III. Sed quid tenuium partium quidve craffarum effe intelligamus, commemorare oportet. Nempe quae celeriter in tenuia folvuntur, tenuium appellantur partium, at quae id perpeti nequeunt, craffarum. Quod ergo ea folvantur, calor qui eft in animantis corpore, cui unumquodque applicari contingit, in caufa eft, quod autem in tenues craffasve partes comminuantur, id a fua ipforum natura obtinent. Quocirca refrigerantium medicamentorum ea quae craffarum funt partium mordicare nequeunt, utpote quae extimam cutis fuperficiem penetrare non valeant. At quae tenuium funt partium, et perfacile penetrare poffunt et in

βάθος ἐξικνεῖται καὶ δάκνει τὰ μαλακὰ τοῦ ζώου μόρια, μᾶλλον δ' ἔτι δάκνει τὰ λεπτομερῆ τε ἅμα καὶ ταῖς κράσεσιν ἀνώμαλα. δέδεικται δ' ἐν τοῖς πρόσθεν ὡς σχεδὸν ἅπαντά ἐστιν ἀνώμαλα. ἢ γὰρ ἀδύνατον, ἢ πάνυ χαλεπὸν ἐξευρεῖν οὐσίαν ἡντιναοῦν ἀκριβῶς ὁμοιομερῆ. τὸν γοῦν οἶνον ἐλέγομεν ἓν μὲν ἔχειν ἐν αὐτῷ περίττωμα παχυμερὲς, ἐξ οὗ τῷ χρόνῳ διακρινομένου τε καὶ καταφερομένου συνίστασθαι τὴν τρύγα. ἕτερον δ', ὅπερ ἄνθος ὀνομάζεται, κατὰ μὲν τὸν τῆς ζέσεως χρόνον πολάζον, ὕστερον δ' εἰς τὴν τρύγα καταφερόμενον. ἄλλο δὲ τρίτον ὑδατῶδες, ἀναμεμιγμένον ἅπαντι τῷ οἴνῳ, οὗ καὶ τὴν ζέσιν εἶναι πρῶτον καὶ μάλιστα. τέταρτον δ' ἐπὶ τούτοις ἐστὶν αὐτὸς ὁ ὄντως οἶνος. δέδεικται δ' ὡς καὶ κατὰ τοὔλαιον καὶ τὸ γάλα καὶ τοὺς ἄλλους ἅπαντας χυλοὺς ὁμοία φύσις ἐστὶ περιττωμάτων, ἔτι δὲ μᾶλλον ἐν ὅλοις τοῖς μεταλλευομένοις ἅπασιν. ὧν ἀναμνησθέντας χρὴ νῦν ἐπισκέψασθαι περὶ τῶν φαρμάκων ἁπάντων, καὶ πρῶτον μὲν φυλάξασθαι παθεῖν ὅπερ οἱ πλεῖστοι τῶν τὰ τοιαῦτα ζητη-

profundum fubeuntia, molles animantis partes mordicant. Mordicant etiam magis, quae quum tenuium fint partium, infuper inaequabilem obtinent temperiem. Sed fupra demonftratum eft inaequabilia effe propemodum omnia, quippe aut impoffibile eft aut perdifficile ullam invenire fubftantiam quae adamuffim fimilarium fit partium. Vinum namque diximus unum quidem habere in fe recrementum craffarum partium, unde, dum temporis fpatio fecernitur ferturque deorfum, faex confiftit, aliud vero fecundum, quod florem nuncupant, quod dum vinum fervet, fupernatat, fed poftea ad faeces fubfidit, tertium aqueum, quod toti vino permixtum eft, hoc primario potiffimumque fervet, quartum praeter haec eft ipfum revera vinum. Oftenfum vero etiam eft quod tum in oleo tum in lacte tum in aliis omnibus fuccis eadem fit recrementorum natura, multoque magis in totis plantis metallicisque omnibus. Quae memoria tenentes nunc tempeftivum eft de medicamentis omnibus confiderare. Ac primum omnium cavendum eft ne no-

σάντων ἔπαθον. ὡς γὰρ ὁμοιομερῶν ἁπάντων ὄντων, οὕτω ποιοῦνται τὸν λόγον, οὐ συγχωροῦντες οὔτε τὸν οἶνον οὔτε τοὔλαιον οὔτε τῶν ἄλλων οὐδὲν ἐκ διαφερόντων ταῖς δυνάμεσι συγκεῖσθαι μορίων, ἔτι δὲ τούτων μᾶλλον ἐπὶ ὄξους θαυμάζουσιν εἰ τολμῶμεν αὐτὸ λέγειν, ἀπολωλεκέναι μὲν τὴν ἔμφυτον τοῦ οἴνου θερμότητα, τὴν δ' ἐκ σήψεως ἔχειν, ὅπερ δὴ καὶ Ἀριστοτέλει καὶ Θεοφράστῳ δοκεῖ. τὰ μὲν γὰρ οἰνώδη μόρια τοῦ οἴνου κατὰ τὴν εἰς ὄξος μεταβολὴν ἀποψύχεται, τὸ δ' ὑδατῶδες περίττωμα σηπόμενον ἐπίκτητόν τινα ἴσχει θερμότητα, ὥσπερ καὶ τἄλλα πάντα τὰ σαπέντα. καὶ γίγνεται σύνθετόν τι τὸ ὄξος ἐξ ἐναντιωτάτων ταῖς δυνάμεσι μορίων, τῶν μὲν ἀπεψυγμένων, τῶν δὲ θερμῶν, ὥσπερ αἱ τῶν καυθέντων ξύλων τέφραι πᾶσαι. καὶ γὰρ ἐν ἐκείναις τὸ μὲν οἷον ἐμπύρευμα κατὰ μικρὰ μόρια παρέσπαρται, καὶ τοῦτο μὲν ἱκανῶς ἐστι θερμὸν, τὸ δ' ἄλλο πᾶν γεῶδές τε καὶ ψυχρόν. καὶ διὰ τοῦτο ἐπειδὰν ὕδατι βραχεῖσα τέφρα διά τινων σωμάτων ἀραιῶν συμμέτρως ἠθεῖται, συναποφέρεται μὲν ἐν τῷδε τὰ θερμὰ καὶ

bis quoque quod plerisque omnibus qui talia fcrutantur accidat. Nam quafi omnia fimilarium forent partium, ita differunt, nec concedunt neque vinum neque oleum neque reliquorum ullum ex diverfis facultate partibus confiftere, imo multo magis mirantur, fi de aceto audeamus dicere ipfum ingenitam vini caliditatem perdidiffe, caeterum ex putredine aliam adeptum, cujus fane fententiae eft tum Ariftoteles tum Theophraftus. Nam vinofae vini partes, dum ipfum in acetum tranfit, refrigerantur, at aqueum recrementum putrefcens adfcititiam caliditatem obtinet, velut caetera omnia quae putrefcunt, fitque acetum quiddam ex contrariae facultatis partibus compofitum, partim refrigerantibus partim calidis, ficuti uftorum lignorum omnes cineres. Etenim in illis aliquid velut fomes quidam igneus per exiguas partes difperfum eft, quod et valde calidum eft, reliquum omne tum terreum eft tum frigidum. Iccirco quum cinis aqua maceratur, ac per quaedam corpora modice rara colatur, fit ut calidae acresque partes una feran-

Ed. Chart. XIII. [88. 89] Ed. Baſ. II. (43.)

δριμέα μόρια, τὸ δ' ὑπόλοιπον [89] οὐκέτι θερμόν ἐστιν, ἐναποθέμενον τῷ ὕδατι τὰ πυρώδη μόρια. καλοῦσι δὲ τὸ τοιοῦτον ὕδωρ οἱ ἄνθρωποι κονίαν, ἀνάλογον τῇ θαλάττῃ καὶ ἅλμῃ, διαθέσεως καὶ γενέσεως ἕνεκα καὶ δυνάμεως. ἐκεῖνα μὲν γὰρ ἐξ ὕδατος καὶ ἁλῶν σύγκειται, τὸ δὲ περιπλῦνον ὕδωρ τὴν τέφραν σύνθετον ἐξ αὐτοῦ καὶ ὧν ἐπηνέγκατο μορίων γενόμενον οὕτως ἀπειργάσατο τὴν ὀνομαζομένην κονίαν, ἣν εἰ μὴ φθάνοντες ἐγινώσκομεν, ὡς ἐξ ὕδατός τε καὶ τῶν αἰθαλωδῶν μορίων τῆς τέφρας ἐγένετο, τάχ' ἂν ὑπελαμβάνομεν ἁπλοῦν καὶ ἀσύνθετον ὑπάρχειν σῶμα. τοιοῦτον γάρ τι κἀπὶ τοῦ ὄξους πεπόνθαμεν, οὐ δυνάμενοι δι' αἰσθήσεως ἰδεῖν αὐτοῦ τὴν γένεσιν, ἀπιστοῦμεν τῷ λόγῳ· ἀλλ' εἰ μηδὲν ἄλλο, τὴν γοῦν τῆς ὄμφακος διαφορὰν πρὸς αὐτὸ κατανοήσαντες δίκαιοι πιστεύειν ἐσόμεθα ὡς οὐκ ὀξὺς μόνον, ἀλλὰ δριμύς τις ἕτερος ἀναμέμικται χυμὸς αὐτῷ, καὶ διὰ τοῦτο τελέως ὁ τῆς ὄμφακος ἐμψύχει χυλὸς, ὥστε καὶ πρὸς καῦσον ἄκρως ἁρμόττει, κατὰ τοῦ στόματος τῆς γαστρὸς ἢ τῶν ὑποχονδρίων ὅλων ἐπιτιθέμενος, καὶ πρὸς ἅπαν ὅ τι περ ἂν ἐμψύξαι βου-

tur; reliquum quod eſt, non amplius calidum eſt, nempe quod igneas ſuas particulas in aquam depoſuerit. Vocant eam aquam homines lixivium, idque proportione quadam aquae marinae et muriae, diſpoſitionis, generationis et facultatis ergo reſpondet, illa enim ex aqua ſaleque conſtant, at aqua quae cinerem abluit, tum ex ipſa tum ex partibus quas ſecum rapuit, compoſita, hoc pacto effecit nominatum lixivium, quod niſi antea ſcias ex aqua ac fuliginoſis cineris partibus effectum, forſitan ſimplex et incompoſitum eſſe corpus exiſtimes. Ejusmodi quiddam in aceto nobis evenit. Nam quum nequeamus ſenſu cernere ipſius generationem, rationi diffidimus. Caeterum ſi nihil aliud, ſaltem conſiderantes omphacis cum eo differentiam, aequum eſſe credere ſciemus, quod non acidus modo, ſed et acris quidam alius ei permixtus ſit ſapor. Quamobrem perſecte omphacis ſuccus refrigerat, hinc eſt quod ſumme ardoribus proſit, ſive ori ventris impoſitum ſive totis hypochondriis ſive cuilibet alii quod refrigerare libeat. Secus vero

λήθωμεν, οὐχ ὁμοίως δ' ὄξος. οὐ γὰρ ἀκριβῶς ἓν οὐδ' ὀξὺ μόνον ἐστὶν, ἀλλὰ καὶ δριμύ. τὸ μὲν οὖν ὀξὺ μόνον ὅ τι περ ἂν ᾖ ψυχρὸν πάντως ἐστὶν εἴτ' οὖν ἄπιος, εἴτε μῆλον, εἴτε ῥοῦς, εἴτε ὁ ἀπὸ τῶν βάτων καρπὸς, εἴτε ὁ ἀπὸ τῆς μορέας, εἴθ' ὁ ἀπὸ τῆς ῥοιᾶς, εἴθ' ὅστις οὖν ἄλλος ἢ καρπὸς, ἢ χυλὸς, ἢ φυτὸν, ὡς ὀξυλάπαθον καὶ ὀξαλὶς, ἣν δὴ καὶ ὀξύδα προσαγορεύουσιν. ἂν γάρ σοι γευομένῳ σφοδρὰ μὲν καὶ σαφὴς ἡ ὀξύτης ἐν αὐτῷ καταφαίνηται, μηδὲν δ' ἐμφαίνηται δριμύτητος, πάντως τοῦτον εὑρήσεις ἐμψύχοντα τὸν χυμὸν, καὶ χρῶ θαῤῥῶν, εἴτε πρὸς καῦσον ἐθέλοις χρῆσθαι καθ' ὑποχονδρίων ἐπιθεὶς, εἴτε πρὸς ἐρυσίπελας, εἴτε πρὸς ἄλλο τι πάθος θερμόν. ὡσαύτως δὲ καὶ τὰ ψυχρὰ πάντα νοσήματα βλαπτόμενα πρὸς αὐτοῦ σαφῶς εὑρήσεις. ὅταν δ' ἐπίμικτος ἡ ποιότης φαίνηταί σοι, μετὰ μὲν δριμύτητος καὶ ὑποτοπεῖσθαι χρὴ θερμότητα, μετὰ δὲ στύψεως ἕτερόν τι γένος ψυχρότητος. ἡ μὲν γὰρ ὀξεῖα ψυχρότης λεπτομερὴς, ἡ δὲ στύφουσα παχυμερής.

habet acetum, nec enim ad unguem unum eſt, neque tantum acidum, ſed et acris alius quidam ei ſapor permixtus eſt. Itaque quod tantum eſt acidum, quicquid id fuerit, plane frigidum eſt, ſive pyrum, ſive malum, ſive acinus uvae, ſive rubi, ſive ipſius mori, ſive fructus mali punici, ſive quivis alius tum fructus tum ſuccus tum planta, ut oxylapathum et oxalis, quam eandem oxyda quoque nominant. Quippe ſi guſtanti vehemens atque manifeſta illi ineſſe aciditas appareat, nec quicquam prae ſe ferat acrimoniae, omnino hunc ſuccum refrigerantem reperies; quin confidenter utitor, ſive ad ardores uti conſilium eſt hypochondriis impoſito, ſive ad eryſipelas, ſive ad alium affectum calidum. Similiter quoque frigidos morbos ab eo omnes palam laedi comperies. Porro ubi mixta tibi qualitas appareat cum acrimonia, conjiciendum eſt caliditatem quoque ineſſe, ſin juncta ſit aſtrictio, aliud eſt frigiditatis genus; nam acida frigiditas tenuium eſt partium, at adſtringens craſſarum.

Κεφ. δ'. Ἀλλὰ τούτων μὲν ὀλίγον ὕστερον ἐροῦμεν τὰς πίστεις. ὃ δὲ χρὴ πρότερον συμβουλεῦσαι τοῖς τὰ τοιαῦτα χωρὶς ἀλαζονείας σοφιστικῆς αὐτῆς ἕνεκεν τῆς ἀληθείας ἐπισκοπουμένοις, ἤδη μοι καιρὸς εἰπεῖν, ὡς οὐ χρὴ μόνῳ τῷ λόγῳ γεγυμνάσθαι δι' ὧν ἀεὶ παρακελεύομαι μεθόδων λογικῶν, ἃς ἐν τοῖς περὶ τῶν ἀποδείξεων ὑπομνήμασιν εἶπον, ἀλλὰ καὶ τὴν αἴσθησιν τὴν γευστικὴν ἐπὶ τῶν χυμῶν γυμνάζειν ἐπιμελῶς, ἀρχομένους ἀπὸ τῶν ἐναργεστάτην ἐχόντων ἡντιναοῦν ποιότητα μίαν. εἰ μὲν τὴν δριμύτητα κατανοῆσαι σαφῶς ἐθέλοις, ἐπὶ σκορόδου καὶ κρομμύου καὶ τῶν ὁμοίων αὐτοῖς, ἀπογευόμενός τε συνεχῶς καὶ διαμασώμενον ἐπὶ πλεῖστον καὶ τὴν μνήμην πειρώμενον ἀκριβῶς παρατίθεσθαι τοῦ γιγνομένου πάθους τὴν αἴσθησιν· εἰ δὲ τὴν στύψιν, ἐπὶ κικίδος τε καὶ ῥοῦ καὶ τῶν ὁμοίων· εἰ δὲ τὴν πικρότητα, νίτρου καὶ χολῆς γευόμενον· εἰ δὲ τὴν γλυκύτητα, σιραίου καὶ μέλιτος, ἔτι δὲ πρὸς τούτοις εἴτ' οὖν ἄποιον ἐθέλοις εἴτε μέσον ἐν ποιότητι τῇ πρὸς τὴν γεῦσιν ὑπολαμβάνειν, τὸ

Cap. IV. Sed horum paulo poſt probationes afferemus in medium. At quod prius conſilium dari oportet iis, qui talia absque ſophiſtica arrogantia, imo unius veritatis gratia ſcrutantur, id nunc tempeſtivum eſt expromere, nempe quod non ſola ratione exerceri per eas methodos logicas, ad quas nunquam hortari deſino, quasque in commentariis de demonſtratione tradidi, ſed etiam guſtandi exercere ſenſum in ſaporibus oporteat, principioque in iis exquirendis ſolicitos eſſe, quae unam quampiam habeant qualitatem maniſeſtiſſimam. Ut ſi acrimoniam cogitatione complecti clare velis, id in allio, caepis et quae ipſis ſimilia ſunt, efficies, aſſidue guſtando plurimumque dentibus mandendo, tum ita longo uſu paſſionis exiſtentis ſenſum memoriae diligenter mandando atque inſigendo. Sin adſtrictionem, in galla, rhu et ſimilibus. Si vero amarorem, nitri fellisque guſtu. Sin autem dulcedinem, guſtu ſiraei et mellis. Ad haec ſive inſipidum, ſive qualitate, quod ad guſtum attineat, medium voles comprehendere, aquam guſtare

Ed. Chart. XIII. [89. 90.] Ed. Baf. II. (43.)
ὕδωρ ἀξιῶ σε καὶ τούτου γευσάμενον, ἀκριβῶς ἔχειν ἐν τῇ μνήμῃ, καὶ μάλιστά γε τοῦ μηδεμίαν ὧν νῦν εἴρηκα ἐμφαίνοντος ποιότητα, μήτε γλυκύτητα μήτε δριμύτητα μήτ᾽ ὀξύτητα μήτε πικρότητα, καὶ πρὸς τούτοις ἔτι [90] μήθ᾽ ἱκανῶς θερμοῦ μήθ᾽ ὑπερβαλλόντως ψυχροῦ. ἐντεῦθεν γὰρ ὁρμώμενος ἑτοιμότερον ἐπί τε τὴν τῶν ἄλλων ἁπάντων ἀμυδρῶν χυμῶν ἀφίξῃ διάγνωσιν ἐπί τε τὴν τῶν ὡς ἐγὼ μέμφημι γλυκέων, ὡς δ᾽ ἄλλοι τινὲς, ὑδατωδῶν, οἷος ὅ τε τῶν καλάμων ἐστὶ τῶν χλωρῶν καὶ ἀγρώστεως καὶ προσέτι πυρῶν καὶ κριθῶν καὶ ζειῶν καὶ ἄλλων πολλῶν, ὧν καὶ Θεόφραστος μέμνηται, ζητῶν εἴτ᾽ εἴδη πλείονα θετέον ἐστὶν τῶν γλυκέων χυμῶν, εἴτε τῷ μᾶλλόν τε καὶ ἧττον αὐτοὺς ὑποληπτέον διαφέρειν ἀλλήλων. ἀλλὰ περὶ μὲν τούτων αὖθις διαιρήσομαι.

Κεφ. ε΄. Ὁποίαν δ᾽ ἂν σοι τὸ ἀποιότατον ὕδωρ αἴσθησιν παράσχῃ, τοιαύτην ὅταν ἔν τινι τῶν ξηρῶν εὑρίσκῃς, ἔξω δηλονότι πάσης τὸ τοιοῦτον θερμότητός τε καὶ ψυχρότητος ἐπιφανοῦς ἐστι, μέσην ὡς οἷόν τε μάλιστα κατά-

jubeo, et hanc ubi gustaveris, diligenter memoriae commendare eamque potissimum, quae nullam dictarum praeserat qualitatum, neque dulcedinem neque amarorem neque acrimoniam neque aciditatem, praeter haec, quae neque supra modum sit aut calida aut frigida. Nam hinc exorsus promptius et ad aliorum obscurorum omnium saporum agnitionem pervenies, et ad eorum quos ego quidem dulces, alii vero quidam aqueos appellitant, qualis utique est calamorum viridium et graminis, ad haec tritici, hordei, zeae, aliorumque multorum quae Theophrastus recenset, inquirens an plures sint ponendae dulcium saporum species, an vero in majoris tantum ac minoris inter se differre ratione existimandi sint. Sed de his alibi desiniam.

Cap. V. Porro si qualem praebet sensum aqua plane qualitatis omnis expers, talem in re sicca invenias, ea nimirum extra omnem est insignem tum caliditatem tum frigiditatem, mediam quoad fieri queat constitutionem obti-

στασιν ἔχον, ἢ καὶ μικρόν τι ῥέπον ἐπὶ τὸ ψυχρόν. ἀλλ᾽ εἴπερ οὕτως ἔχον ἐν τῇ κατὰ θερμότητα καὶ ψυχρότητα διαφορᾷ ξηρὸν εἴη τὴν σύστασιν, ἀνάγκη γεῶδες ὑπάρχειν αὐτὸ καὶ ξηραίνειν ἀδήκτως. ὀνομάζεται δὲ πρὸς τῶν ἰατρῶν ἅπαντα τὰ τοιαῦτα τῶν φαρμάκων ἐμπλαστικὰ, καθάπερ τὰ πλεῖστα τῶν ἀκριβῶς πεπλυμένων, ἄμυλος, πομφόλυξ καὶ ψιμμύθιον καὶ τίτανος καὶ καδμεία καὶ γῆ ἡ Κρητικὴ καὶ Κιμωλία καὶ χόνδρος καὶ Σάμιος ἀστὴρ καὶ ἡ τῶν γναφέων γῆ, τῶν ἐμπλαστικῶν ἐστι φαρμάκων. τινὰ δ᾽ ἐξ αὐτῶν οὐ γεώδη μόνον, ἀλλὰ καὶ ὑδατώδη τὴν (44) φύσιν ἐστὶν, ἔνια δὲ καὶ ἀέρα οὐκ ὀλίγον ἐν αὐτοῖς περιέχει, γλίσχρα μέντοι ταῦτα πάντα καὶ διὰ τοῦτο ἐμπλαστικά.

Κεφ. στ΄. Διττὴ γὰρ ἡ τῶν ἐμπλαστικῶν ἐστι φύσις, ἡ μὲν ἑτέρα γεώδης ἀκριβῶς καὶ ξηρὰ, ἡ δ᾽ ἑτέρα γλίσχρα μὲν πάντως, μικτὴ δ᾽ ἐξ ὕδατος καὶ γῆς καὶ τὰ πολλὰ καὶ ἀέρος, ὥσπερ καὶ τοὔλαιον τὸ γλυκύ. λέλεκται δ᾽ ἔμπροσθεν ὁποῖον λέγω τὸ γλυκύ. τουτὶ μὲν οὖν ἐξ ἀερώδους τε ἅμα καὶ γεώδους καὶ ὑδατώδους οὐσίας μέμικται· τὸ δὲ τοῦ ὠοῦ

nens, aut certe paulum ad frigidius declinans. At ſi talis quum ſit in caloris frigorisque differentia, inſuper conſiſtentiam nacta ſit ſiccam, terreſtris ſit ac citra morſum deſiccet neceſſe eſt. Appellitant ejus generis medicamenta omnia medici emplaſtica, velut pleraque quae exacte lota ſunt, amylum, pompholyx, ceruſſa, calx, cadmeia, terra Cretenſis, Cimolia, chondrus, Samius aſter et fullonum terra ex emplaſticis ſunt pharmacis. Sunt vero ex eis nonnulla non terrena ſolum, ſed aquea natura. Quin etiam quaedam non parum in ſe aëris continent, omnia quidem glutinoſa ac proinde emplaſtica.

Cap. VI. Duplex ſi quidem eſt emplaſticorum medicamentorum natura, altera exacte terrea et ſicca, altera viſcoſa quidem omnino, ſed ex aqua et terra et plerumque etiam aëre mixta, ſicut oleum dulce. Dictum autem retro eſt quid dulce vocitem. Ergo hoc ex aërea, terrea, aqueaque ſubſtantia temperatum eſt. At ovi albumen ex iisdem quodammodo, ſed magis tamen terrenum oleo eſt.

λευκὸν ἐκ τῶν αὐτῶν μέν πως, γεωδέστερον δέ ἐστιν ἐλαίου, καὶ μὲν δὴ καὶ τὸ τυρῶδες τοῦ γάλακτος ἐμπλαστικόν ἐστιν καὶ ἡ τοῦ ὑὸς πιμελή. ταύρου μὲν γὰρ καὶ τράγου πιμελὴ δριμύτητα πολλὴν ἔχει καὶ πυρώδη· βοὸς δὲ καὶ αἰγὸς ἧττον μὲν, ἤδη δέ πως καὶ τούτων τὸ στέαρ δριμύ. καὶ γὰρ δὴ καὶ στέαρ ὀνομάζεται τῶν τοιούτων ζώων ἡ πιμελὴ, διὰ τὸ πάχος. ἔτι γὰρ οὐ θερμοτέρα μόνον, ἀλλὰ καὶ γεωδεστέρα τῆς τῶν ὑῶν. χηνὸς δὲ καὶ ἀλεκτρυόνος ἐστὶ μὲν καὶ θερμοτέρα καὶ ξηροτέρα τῆν τῶν ὑῶν, ἀλλὰ καὶ λεπτομερής τε καὶ ἥκιστα γεώδης. οὕτω δὲ καὶ πάντων τῶν πτηνῶν, ὅτι καὶ ἡ οὐσία τοῦ σώματος αὐτῶν οὐκ ὀλίγον ἔχει τὸ ἀερῶδες. ἀλλὰ περὶ μὲν τούτων ἕτερος λόγος. ὅσαι δ᾽ οὖν πιμελαὶ μήπω δριμύτητά τινα ἔχουσιν, ἐμπλαστικαὶ τῶν πόρων εἰσὶν, καὶ μᾶλλον αἱ ξηρότεραι καὶ γεωδέστεραι. τοιοῦτος δ᾽ ἐστὶν καὶ ὁ πεπλυμένος κηρός. ἀποτίθεται γὰρ καὶ αὐτὸς τὴν ἐκ τοῦ μέλιτος δριμύτητα. [91] πρόδηλον δ᾽ ὡς οὐ περὶ τοῦ πικροῦ τῇ φύσει κηροῦ λέγεται ταῦτα, καθάπερ ὁ Ποντικός ἐστιν. ἐξ ἀψιν-

Quin et quod lactis eſt caſeoſum, emplaſticum quoque eſt et ſuillus adeps. Nam tauri ſane et hirci pinguedo acrimoniam et multam et igneam poſſidet, bovis autem capraeque minus quidem, jam vero quodammodo et horum adeps acris eſt, nam talium animantium pinguedo ob craſſitiem adeps appellatur, eſt enim non calidior tantum, ſed et magis terrena ſuum pinguedine, anſeris autem et gallinacei calidior eſt pinguedo et ſiccior quam ſuum, quin et tenuium partium et minimum terreſtris, ſicut et avium omnium, quandoquidem et corporis ipſarum ſubſtantia non parum habet aëris. Sed de his alibi tractabitur. Quaecunque ergo pinguedines nondum ullam nactae ſunt acrimoniam, emplaſticam et illinendi poros facultatem obtinent, eamque tanto efficaciorem, quanto ſicciores magisque terrenae fuerint. Hujusmodi eſt cera elota, deponit ſiquidem et ipſa quam habebat a melle acrimoniam. Satis vero conſtat haec a me non dicta eſſe de cera, quae natura ſua amara eſt, qualis eſt Pontica, ex abſinthio; namque ea amaritudinem obtinet, ea

θίου γὰρ ἐκεῖνος ἔχει τὴν πικρότητα, καὶ εἰ πλύναις αὐτὸν μυριάκις, οὐκ ἂν ἐκνίψαις τελέως τὴν πικρότητα. φυλάττεσθαι δὲ καὶ τὸν ἐκ δριμέος καὶ θυμώδους μέλιτος κηρὸν, ὅταν ἄδηκτον ἀκριβῶς ἐθέλοις σκευάσαι φάρμακον. ἐπιτήδειος οὖν ὁ ἐξ ὑδατωδεστέρου καὶ ἥκιστα δριμέος μέλιτος εἰς τὸ πλύνεσθαι.

Κεφ. ζ. Τὰ μὲν οὖν ἐμπλαστικὰ φάρμακα τοιαῦτα. περὶ δὲ τῶν στυφόντων τε καὶ ὀξέων αὖθις ἐπάνειμι. τὰ μὲν στύφοντα γεώδη μέν ἐστι καὶ παχυμερῆ ταῖς τῶν ὄγκων συστάσεσι, ψυχρὰ δὲ ταῖς ποιότησι· τὰ δ᾽ ὀξέα λεπτομερῆ μέν ἐστι τοῖς σώμασιν, ψυχρὰ δ᾽ ὡσαύτως τοῖς στύφουσι. πίστις δ᾽ ὑπὲρ ἀμφοῖν διττὴ, κατὰ μὲν τὴν αἴσθησιν ἐξ ἐπαγωγῆς, κατὰ δὲ τὸν λόγον ἐκ τῆς οὐσίας αὐτῶν. εἰρήσεται δὲ προτέρα τῶν πίστεων ἡ σαφεστέρα μὲν τοῖς πολλοῖς, ἀσθενεστέρα δ᾽ ὡς πρὸς ἀπόδειξιν ἐπιστημονικήν. οἱ ἀπὸ τῶν δένδρων καρποὶ πάντες, ὅσοι γλυκεῖς ἡμῖν φαίνονται πεπανθέντες, ἄρτι γεννώμενοι στρυφνοί τέ εἰσι καὶ ξηροὶ ταῖς συστάσεσι· καὶ κατὰ τὴν τοῦ

si vel sexcenties eam laveris, prorsum tamen omnem amarorem haud elueris. Fugienda vero etiam illa cera est, quae ex acri et thymoso melle conficitur, quum plane ab omni mordacitate alienum praeparare voles medicamentum. Quocirca ad lavandum idonea est quae ex melle facta est tum aquosiore tum minime mordaci.

Cap. VII. Atque emplastica quidem medicamenta ejusmodi sunt, sed ad acida astringentiaque revertor. Adstringentia certe terrena sunt et crassa corporis consistentia, qualitate vero frigida, acida autem tenuitate pollent corporis, sed perinde ut astringentia refrigerant. Utrique gemina probatio est, nempe ex sensu, quae ab inductione est, et ex ratione, quae ex substantia eorum colligitur. Prior autem probatio ea dicetur, quae vulgo quidem est apertior, caeterum ad scientificam demonstrationem minus habet virium. Arborum fructus quotquot nobis, ubi maturuerint, dulces apparent, nuper enati acerbi siccique sunt consi-

γεννῶντος δένδρου φύσιν ἕκαστος, ὥς που καὶ Θεόφραστος ἔλεγεν, ἐλαῖαι, σταφυλαὶ, μῆλα, ῥοιαὶ, μόρα, φοίνικες, ἄπιοι. προϊόντες δὲ τῷ χρόνῳ γίγνονται μὲν ὑγρότεροι, προσλαμβάνουσι δὲ ὀξύτητα τῇ στρυφνότητι, καὶ ταύτην ἀποτιθέμενοι κατὰ βραχὺ γλυκεῖς αὖθις γίνονται τελειούμενοι. τινὲς δ᾽ οὐδ᾽ ἐπὶ τοῖς δένδροις, ἀλλ᾽ ἀφαιρούμενοι μετὰ χρόνον ἀπολαμβάνουσι τὴν γλυκύτητα. ἄλλοι δέ τινες οὐδὲ διὰ μέσης τῆς ὀξύτητος, ἀλλ᾽ ἄντικρυς ἀπὸ τῆς στρυφνότητος ἐπὶ τὴν γλυκύτητα παραγίνονται, καθάπερ καὶ ὁ τῆς ἐλαίας. καὶ μὴν ὅτι γε τῷ θερμῷ πέπτονται πάντες δῆλον, ὅτι τε διττόν ἐστι τοῦτο, τὸ μὲν ἴδιον ἔμφυτον ἑκάστου, τὸ δ᾽ ἔξωθεν μὲν ἀπὸ τοῦ ἡλίου, σύμφυτον δὲ καὶ οἰκεῖον αὐτοῖς, εἴπερ μεμνήμεθα τῶν ὑποκειμένων ἡμῖν ἀεὶ στοιχείων, ἴσμεν δήπου σαφῶς. ἀλλ᾽ εἴπερ στρυφνότεροι μέν εἰσι κατ᾽ ἀρχὰς, πεπαινόμενοι δὲ γίνονται γλυκεῖς, ἐκ θερμασίας ἡ γλυκύτης αὐτοῖς ἐκ ψύξεως δὲ ἡ ὀξύτης τε καὶ στρυφνότης ὑπῆρξεν. ἐπεὶ δὲ καὶ

ſtentia, pro generantis arboris quisque natura, ceu quodam ait loco Theophraſtus, olivae, uvae, mala punica, mora, palmulae, pyra, at progreſſu temporis humidiores redduntur, adjiciunt acerbitati aciditatem, quam ſenſim exuentes, poſtea dum matureſcunt ac perficiuntur dulces evadunt. Sunt qui non in arboribus, ſed poſtea quum decerpti conditique aliquandiu ſuerint dulcedinem accipiunt. Alii ſunt, qui non interveniente aciditate, ſed palam ab acerbitate in dulcedinem tranſeunt, ſicut olivae. Quin quod calido matureſcunt coquunturque omnes, clarum eſt. Tum quod id ipſum duplex ſit, alterum proprium et cuique ingenitum, alterum externum, a ſole videlicet, ſed tamen naturae ipſorum conveniens ac familiare, ſi quidem meminimus quae nobis perpetuo propoſita ſunt elementa, et ipſum utique clare cognovimus. Porro ſi, quum initio acerbi eſſent, tempore matureſcentes dulceſcunt, ſequitur ex calore ipſis provenire dulcedinem, acerbitatem vero aciditatemque conſtitiſſe ex frigore. Quum

κατ᾽ ἀρχὰς μὲν ἔτι ξυλώδεις, ὡς καὶ Θεόφραστος ἔλεγε, ξηροί τέ εἰσιν ἅμα καὶ στρυφνοὶ, τὸ πλῆθος δ᾽ αὐτοὺς τῆς ἐπιῤῥεούσης ὑγρότητος ὀξεῖς ἐργάζεται, πρόδηλον ὡς γεωδέστερος μὲν ἐστιν ὁ στρυφνὸς χυμὸς, ὑγρότερος δ᾽ ὁ ὀξὺς, ὥστε καὶ Πλάτων ὁρίζων ὀρθῶς ἔλεγεν· ὅσα τοιαῦτα τοῖς χυλοῖς ἐμφέρεται γεώδη μόρια, κατατηκόμενα ταῦτα καὶ συνάγοντα καὶ ἀποξηραίνοντα τὰ ὑγρὰ τῶν τῆς γλώττης αἰσθητικῶν μορίων, τραχύτερα μὲν ὄντα στρυφνὰ, ἧττον δὲ τραχύνοντα αὐστηρὰ φαίνεται. καὶ ἡμεῖς δὲ πρὸς τούτοις, ὅτι καὶ ψυχρός ἐστιν τὴν κρᾶσιν ὁ τοιοῦτος χυμὸς ὀρθῶς ἐροῦμεν. ἂν γὰρ γεώδης ᾖ μόνον, ἐμπλαστικὸς, οὐ στρυφνὸς ἔσται, καί πως ὁ λόγος ἐπὶ τὴν οὐσίαν αὐτὴν ἤδη μεταβὰς τῶν χυμῶν ἐπιστημονικῆς [92] ἀποδείξεως ἅπτεται. εἰ γὰρ τῷ στρυφνῷ χυλῷ συνάγειν καὶ ξηραίνειν καὶ τραχύνειν τὴν γλῶτταν ὑπάρχει σαφῶς, ἐδείχθη δ᾽ ἐν τοῖς ἔμπροσθεν λόγοις ὑπὸ ψυχροῦ μόνου συνάγεσθαι καὶ σφίγγεσθαι καὶ πιλεῖσθαι τὰ σώματα, πρόδηλον ὡς πάντως ψυχρός ἐστιν ὁ στρυφνὸς χυμός· ἐπεὶ δὲ καὶ ἀνωμάλως

autem principio lignoſi quum ſint, ut et Theophraſtus dixit, ſicci quoque ſint ſimulque acerbi, verum affluentis poſtea humoris copia acidos efficiat, palam eſt ſaporem acerbum magis eſſe terrenum, acidum autem magis humidum. Itaque et Plato recte definiit dicens. Quaecunque partes ejusmodi in ſuccis deferuntur terreſtres, eae liquefactae contrahunt atque exiccant humidas linguae ſenſibiles partes, ac ſi exaſperant, acerbae, ſin minus id faciant, auſterae apparent. Recte autem et nos praeter haec dicemus frigidum eſſe temperie ſaporem ejusmodi. Nam ſi terrenus fuiſſet duntaxat, emplaſticus, non acerbus foret. Jamque oratio quodammodo ad eſſentiam ipſam transgreſſa ſaporum, demonſtrationem attingit ſcientificam. Quippe ſi acerbo ſapore manifeſte linguam contrahi, ſiccari aſperarique contingit, oſtenſumque ſuperioribus libris eſt ab unico frigido contrahi denſarique corpora, liquet plane frigidum eſſe ſaporem acerbum. Quoniam porro

ξηραίνει, τοῦτο γὰρ ἦν τὸ τραχῦνον, εἴη ἂν πάντως καὶ γεώδης. ὁμαλῶς γὰρ ἅπαντα ὁ ὑδατώδης διεξέρχεται. ὑπάρχει γὰρ ἀχώριστον αὐτῷ, κἂν διασπασθῇ, τὸ πάλιν ἑνοῦσθαι, τῷ δὲ γεώδει σώματι τῷ κατὰ τοὺς χυμοὺς ἐμφερομένῳ καὶ τὸ διασπᾶσθαι μὲν ἤδη πάρεστιν, καὶ τὸ μηκέτι δὲ συνιέναι ῥαδίως ὑπάρχει. καὶ μέντοι καὶ τὸ τῆς αἰσθήσεως ἴδιον ἑκατέρου πάθους ἀναμνησθέντι σοι τοῖς αὐτοῖς μαρτυρήσει. ταχεῖα μὲν γὰρ ἡ τῶν ὀξέων χυμῶν διέξοδος ἐν τοῖς αἰσθητικοῖς σώμασι φαίνεται γιγνομένη, βραδεῖα δ' ἡ τῶν στρυφνῶν. καὶ τὰ μὲν ὀξέα διὰ βάθους ἐνεργεῖν φαίνεται μᾶλλον, ἐπιπολῆς δὲ τὰ στρυφνά. ταῦτ' οὖν ἅπαντα παχυμερῆ μὲν εἶναι ἐνδείκνυνται τὰ στρυφνὰ σώματα, λεπτομερῆ δὲ ὑπάρχειν τὰ ὀξέα. ταυτὶ μὲν οὖν ἱκανῶς ἀλλήλοις ὡμολόγηται, τά τ' ἀπὸ τῆς οὐσίας αὐτῆς τῶν πραγμάτων εἰρημένα καὶ τὰ διὰ τῆς τῶν εὑρημένων κατὰ τὴν αἴσθησιν ἐπαγωγῆς· οὐδὲν δ' ἂν εἴη χεῖρον ἔτι καὶ ταῦτα προσθεῖναι, μεμνημένους πάλιν κἀνταῦθα τῆς τῶν ὀνομάτων χρήσεως, ὡς στύφειν μὲν ἄμφω λέγεται, τό τ' αὐστηρὸν καὶ τὸ στρυφνὸν, ἐν δὲ τῷ μᾶλλον

inaequabiliter deſiccat, id eſt enim quod exaſperat, fuerit ſane omnino etiam terrenus. Siquidem aqueum corpus omnia aequabiliter penetrat atque pervadit, eique inſeparabile eſt, etiamſi divulſum ſit, ut rurſum uniatur, at terreno corpori, quod in ſaporibus deſertur, jam antea ineſt divulſio, ſimulque ut nunquam deinceps facile coëat. Quin ſi ejus recorderis, quod utriusque ſingulatim paſſionis eſt proprium, iisdem ipſum ſubſcribet ac teſtificabitur. Velox ſiquidem acidorum ſaporum tranſitus in ſentientibus partibus ſieri conſpicitur, acerborum autem tardus, tum acida quidem in alto magis agere apparent, in ſuperſicie autem acerba. Haec itaque omnia craſſarum eſſe partium acerba indicant, acida vero tenuium. Multum ergo inter ſe haec conveniunt, tum ea quae a rerum dicta ſunt eſſentia, tum ea quae per inductionem eorum, quae ſenſu ſunt inventa. Porro nihilo deterius fuerit mentionem rurſum de nominum uſu facientes, haec quoque adjicere, nempe quod utraque adſtringere dicantur, tum quae acerba ſunt tum quae auſtera, ſed in

Ed. Chart. XIII. [92.] Ed. Baf. II. (44.)

καὶ ἧττον διαφέρει. καὶ μὴν καὶ ὅτι πολλαὶ τοῖς φαρμάκοις ὑπάρχουσι ποιότητες οὐ διάφοροι μόνον, ἀλλὰ καὶ μαχόμεναι πρὸς ἀλλήλας, ἐνίοτε δὲ καὶ παντάπασιν ὑπεναντίαι, δέδεικται μὲν ἔμπροσθεν αὐτάρκως, ἄρξασθαι δ᾽ ἀπ᾽ αὐτοῦ καὶ νῦν ἀναγκαῖον. εἰ μὲν γάρ σοι φαίνοιτο γευομένῳ καὶ στρυφνὸν ἅμα καὶ δάκνον ταὐτὸ, τουτὶ μὲν ἀπολιπεῖν σε κελεύσω τὸ φάρμακον, ἔρχεσθαι δ᾽ ἐπὶ τὸ στρυφνὸν ἄνευ τοῦ δάκνειν. εἰ δὲ μηδ᾽ ὀξὺ φαίνοιτο, μηδὲ γλυκὺ, μηδὲ πικρὸν, ἀλλ᾽ ὡς οἷόν τε μάλιστα μίαν ἔχον ἄμικτον ποιότητα τὴν τῆς στύψεως, οὕτως ἤδη βασανίζειν αὐτὸ τῇ πείρᾳ καθ᾽ ὃν πολλάκις ἔμπροσθεν ὑπεθέμην σοι τρόπον. ἐὰν γὰρ ἅμα τό τε στύφειν ἔχῃ καὶ τὸ δάκνειν ἤ τινα ἄλλην ἐναργῆ ποιότητα καὶ δύναμιν ἐπιμεμιγμένην τῇ στύψει, περιττὸν καὶ μάταιον εἰς πεῖραν ἄγειν τὸ τοιοῦτον φάρμακον, ἐπειδὰν δοκιμάζῃς ἐνέργειαν στύψεως. ἄδηλον γὰρ εἴτε διὰ τὴν στύψιν, εἴτε διά τινα τῶν ἀναμεμιγμένων αὐτῇ ποιοτήτων, εἴτε καὶ δι᾽ ἀμφοτέρας ἐνήργησεν ὡδί πως περὶ τὸ πλησιάζον αὐτῷ σῶμα. χαλκῖτις οὖν καὶ μίσυ

majoris minorisque ratione inter se differant, tum quod multae insint medicamentis qualitates, non diversae tantum, sed et pugnantes, atque interim etiam omnino subcontrariae. Id quod retro satis ostensum est, caeterum ab eo nunc rursus ordiri necesse est. Nam si gustanti tibi idem adstringens et mordax appareat, id missum facias medicamentum jubeo, atque illud quaeras quod absque mordacitate adstringat. Ac si neque acidum appareat, neque dulce, neque amarum, sed quam fieri maxime possit unam possideat qualitatem a mixtione alienam, nempe adstrictionem, ita denique experientia examinabis, quomodo saepenumero faciendum ante proposui. Sin adstringit simul ac mordicat aut aliam quamvis qualitatem seu facultatem adstrictioni junctam habeat, frustra est ac supervacaneum, ubi adstrictionis actionem explorare consilium est, ad experimentum tale ducere pharmacum; incertum est enim num ob adstrictionem an ob aliam quampiam admixtarum illi qualitatum, an ob utrasque, sic in corpore sibi applicato egerit. Etenim chal-

καὶ χάλκανθος καὶ λεπὶς χαλκοῦ καὶ σῶρυ, στύφοντά τε ἅμα καὶ δάκνοντα, δρᾷ μὲν κατ᾽ ἀμφοτέρας τὰς ποιότητας εἰς ἕκαστον τῶν ὁμιλούντων σωμάτων, οὐ μὴν διδάξαι γε ἡμᾶς δύναται σαφῶς εἴτε διὰ τὴν στύψιν ἔχει (45) τὸ καίειν, εἴτε διὰ τὴν δριμύτητα. καταλιπεῖν οὖν ἄμεινον αὐτὰ καὶ γεύεσθαι πολλῶν ἐφεξῆς ἄλλων ἐπισκοπούμενον εἰλικρινῆ στύψιν ἰδίᾳ καὶ καθ᾽ ἑαυτὴν ὡς οἷόν τ᾽ ἐστὶ μάλιστα, κἄπειδὰν τοιαύτην εὕρῃς, οὕτως ἤδη κρίνειν τὸ φάρμακον αἷς πολλάκις ἔμπροσθεν ἤκουσας μεθόδοις, οἷον εἴ σοι γευομένῳ φαίνοιτο βαλαύστιον, ἢ κικὶς, ἢ κύτινος, ἢ ὑποκυστὶς, ἢ στρύχνος, ἢ γλαύκιον, ἢ ἀκακία, ἢ ῥοῦ χυλὸς, ἤ τι τοιοῦτον ἕτερον ἀκριβῶς μὲν εἶναι στρυφνὸν, ἔκδηλον δ᾽ ἑτέραν ποιότητα μηδεμίαν ἔχον, ἐξετάζειν ἐπὶ τῶν τοιούτων ἤδη καὶ βασανίζειν ἀκριβῶς ἐνέργειαν στύψεως. ἡ δὲ ἐξέτασις, ὡς εἴρηται πολλάκις, ἐπί τε τῶν ἐν ἀρίστῃ κατασκευῇ σωμάτων ἀκριβῶς ὑγιαινόντων, ἐπί τε τῶν ἁπλῶν γινέσθω σοι παθῶν, ἤτοι θερμῶν, ἢ ψυχρῶν, ἢ ξηρῶν, ἢ ὑγρῶν. [93] εἰ μὲν γὰρ αὐτό τε τὸ ὑγιαῖνον

citis, mify, chalcanthos, fori, aeris fquama, cum fimul adftringant et mordicent, fecundum utrasque qualitates in quovis admotorum corporum actionem exerunt, nec tamen docere nos aperte queunt, an ab adftrictione urendi vim habeant, an ab acrimonia. Mittere itaque illa praeftiterit et multa deinceps alia guftare, finceram feorfum adftrictionem intuentem, ac quoad fieri poffit per fefe exiftentem, ac ubi tandem quampiam repereris, ita denique medicamentum judicare iis methodis quas fupra a me frequenter audivifti. Utpote fi guftanti tibi balauftium, aut galla, aut cytinus, aut hypocyftis, aut folanum, aut glaucium, aut acacia, aut fuccus rhu, aut id genus aliud, exacte quidem effe appareat adftringens, nec ullam manifeftam habens aliam qualitatem, in hoc jam expendere ac diligenter explorare adftrictionis actionem oportet. Porro exploratio ipfa fieri, ut faepe diximus, debet tum in optima corporum conftitutione ad unguem fanorum, tum in fimplicibus affectibus feu calidis feu frigidis, feu humidis feu ficcis. Nam fi cor-

σῶμα φαίνοιτο σαφῶς ἐμψῦχον, ἐπί τε τῶν θερμῶν ἁρμόττει παθῶν, ἐναργῆ δὲ καὶ αὐτῷ τῷ κάμνοντι τὴν ψυχρὰν προσβάλλει ποιότητα, τολμᾷν ἤδη τι περὶ τῆς στύψεως ὡς ψυχούσης ἀποφαίνεσθαι. εἰ δ' ἔμπαλιν ἔχον εὑρίσκοιτο καὶ τῶν ὑγιαινόντων σωμάτων ὑπ' αὐτοῦ θερμαινομένων καὶ τῶν θερμῶν νοσημάτων παροξυνομένων καὶ τῶν ψυχρῶν ὠφελουμένων οὐ ψύχειν, ἀλλὰ θερμαίνειν ἡγεῖσθαι χρὴ τὸ τοιοῦτον φάρμακον. οὕτω δὲ καὶ περὶ τῶν δριμέων αὐτῶν καθ' ἑαυτὰ ποιεῖσθαι τὴν βάσανον, ἐπί τε κρόμμυον ἰόντα καὶ σκόροδον καὶ πέπερι καὶ πύρεθρον καὶ ζιγγίβερι καὶ στρούθιον, ἑλένιόν τε καὶ τίτανον. ὥσπερ γὰρ ὁ μίξας στρύχνου χυλῷ πέπερι δοκιμάζειν οὐδέτερον αὐτῶν ἱκανός ἐστιν, οὕτως οὐδ' ὁ τὰ πρὸς τῆς φύσεως μεμιγμένα. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἀξιῶ σε καὶ τὴν ὀξεῖαν ποιότητα καὶ τὴν πικρὰν καὶ τὴν γλυκεῖαν ἐπισκέπτεσθαι σφοδρὰς καὶ μόνας ὡς οἷόν τ' ἐστὶν εἰς τὴν δοκιμασίαν ἄγοντα καὶ τῇ πείρᾳ τὰς δυνάμεις αὐτῶν ἐξευρίσκοντα. τὸ δὲ πᾶν ὅ τι περ ἂν ᾖ στρυφνὸν, η αὐστηρὸν, η πικρὸν, ἄγειν εἰς πεῖραν, ὡς ητοι στρυφνότητος, η αὐστη-

pus ſanum manifeſto refrigerare cernatur et calidis proſit affectibus et evidentem quoque laboranti ipſi frigidam afferat qualitatem, audendum erit de adſtrictione quod refrigeret pronunciare, ſin contra appareat, ſanaque ab eo corpora incaleſcant et calidi affectus exaſperentur frigidique juventur, non refrigerare, ſed excalefacere medicamentum ejusmodi putandum eſt. Eodem modo de acribus ſumendum experimentum in caepis, allio, pipere, pyrethro, zinzibere, ſtruthio, helenio, calce. Etenim quemadmodum qui ſolani ſuccum piperi miſcuit, neutrum ſatis explorare poteſt, ſic nec quae a natura ſunt mixta. Eundem in modum contemplandum de acida qualitate, de amara, de dulci cenſeo, vehementes nimirum et quae quantum licet ſolae ſint in explorationem ducendo et experientia vires eorum ſcrutando. Quippe quidvis te, quo modo ſit aut acerbum aut auſterum aut amarum, in experimentum ducere, tanquam in eo acerbitatis, auſteritatis, vel amaroris facturum periculum, plane abſurdum arbitror. Nam ſi unam duntaxat

ρότητος, ἢ πικρότητος ἐν αὐτῷ βάσανον ληψόμενον ἄτοπον δεινῶς. εἰ γὰρ μιᾶς μόνης μετέχει ποιότητος, τὴν αὐτὴν τοῦ φαρμάκου πεῖραν ἕξεις καὶ τῆς ποιότητος· εἰ δὲ πλειόνων, ἐξ ἁπασῶν ἤδη δηλονότι μικτὴν ἐνέργειαν ἐνεργήσει τὸ φάρμακον, ὥσθ' ἡ τῆς μιᾶς τῆς κρινομένης ἔτ' ἄδηλος μένει. εἴπερ οὖν ὡς προείρηται χρὴ κρίνειν, οὐκ ὀρθῶς ὑπέλαβον οἵ τε μηδ' ὅλως ἀποφήνασθαί τι δυνατὸν εἶναι νομίσαντες ὑπὲρ τῆς τῶν χυμῶν δυνάμεως, οἵ θ' ἑτέρως τὴν κρίσιν ποιησάμενοι. καὶ γὰρ ἀποφήνασθαί τι δυνατὸν ὑπὲρ αὐτῶν ἐστιν καὶ τὴν κρίσιν οὐκ ἄλλως ἢ ὡς εἴρηται νῦν προσήκει ποιεῖσθαι. εἰ μὲν οὖν ὅλως μηδὲν δεῖσθαι τῆς κατὰ τοὺς χυμοὺς ἐπισκέψεως εἰρήκεισαν, ἐπειδὰν τὰς δυνάμεις τῶν φαρμάκων ἐξετάζωμεν, ἐγχωρεῖ γὰρ καὶ χωρὶς τούτων ἐξευρίσκειν τῇ πείρᾳ τὴν δύναμιν αὐτῶν, ἐπῄνουν ἂν μᾶλλον ἢ ἐμεμφόμην αὐτούς. ἐπεὶ δ' ὡς ὑπὲρ ἀναγκαίου μὲν, ἀγνώστου δὲ διέρχονται, διχῇ μέμψασθαι τοὺς ἄνδρας δίκαιον, ὅτι τε τὸ μὴ ἀναγκαῖον ὑπέλαβον ὡς ἀναγκαῖον, ὅτι τε προαπέγνωσαν αὐτοῦ τῆς εὑρέσεως. ἡ γάρ τοι κρίσις ἑκάστου τῶν φαρμάκων τῆς

qualitatem poffideat, idem erit medicamenti ipfius et qualitatis experimentum, fin multas, ex omnibus nimirum mixtam medicamentorum actionem edet, quare unius adhuc ejus, quae in judicium veniebat actio obfcura et incerta permanet. Itaque fi ut prius dictum eft, judicare oporteat, non recte fenferunt qui nihil prorfum pronunciari poffe de faporum facultatibus exiftimarunt, quique aliter judicium ineundum cenfent, fiquidem et de ipfis aliquid afferi poteft, nec judicium aliter quam nunc eft dictum iniri conveniat. Sane fi id modo dixiffent, plane opus non effe faporum confiderationе, quum vires medicamentorum expendimus, nam absque his medicamentorum vires experientia invenire licet, laude illos potius quam vituperatione dignos putarem, verum ubi tanquam de re neceffaria quidem illa, fed incomprehenfibili differunt, bis reprehendendos judico, tum quod rem non neceffariam habeant pro neceffaria, tum quod confequi eam fe poffe defperent. Nam facultatis medicamenti

δυνάμεως ἄνευ τῆς τῶν χυμῶν διαγνώσεως αὐτάρκως εὑρίσκεται τῇ πείρᾳ μόνῃ βασανιζομένη καθ᾽ ὃν εἴρηκα μυριάκις ἤδη τρόπον. κἀγὼ νῦν, οὐχ ὡς οὐκ ἐνὸν ἄλλως ἐξευρεῖν τὸ ζητούμενον, ἀλλὰ διά τε τὸ πρὸς τὰς ἀρχὰς ἀκόλουθον, ἵν᾽ ἐπιδείξαιμι πάντα τοῖς τῶν στοιχείων λογισμοῖς ἑπόμενα καὶ μηδὲν μηδαμόθι μαχόμενον, ἐξελέγξαιμί τε τοὺς ἅπαντα τὰ στύφοντα θερμαίνειν εἰπόντας, ἐπὶ τὸν περὶ τῶν χυμῶν ἀφικόμην λόγον. εὑρεθείη δ᾽ ἄν τις αὐτοῦ καὶ χρεία πρὸς τὴν ἐνεστῶσαν ἡμῖν πραγματείαν. ἀλλὰ ταῦτα μὲν ὕστερον ἐπιδεῖξαι πειράσομαι· νυνὶ δὲ ἐπὶ τὸ προκείμενον ἐπάνειμι, παρακελεύομαί τε τῆς ἀληθείας ὀρεγομένοις, αὐτοῖς γευομένοις ἁπάντων τῶν στυφόντων, ὥσπερ ἡμεῖς ἐποιήσαμεν, ὅταν εὕρωσιν ἀκριβῶς κατά τι σῶμα τὴν στύψιν, ἄμικτον ὡς οἷόν τε μάλιστα τῶν ἄλλων ποιοτήτων, τηνικαῦτα διὰ τῆς πείρας ἐξετάζειν εἴτε θερμὸν, εἴτε ψυχρὸν, εἴτε ξηρὸν, εἴτε ὑγρὸν ὑπάρχει τὸ τοιοῦτον σῶμα. τουτὶ μὲν οὖν ἕκαστος, ἄν περ σωφρονῇ, ποιήσει καταμόνας αὐτός. ἐμοὶ δ᾽ ἀναγκαῖον ἴσως

cujusvis judicium abunde citra faporum dignotionem fola reperitur experientia eum in modum habita, quem fexcenties jam antea pofui. Atque ego fane non, quafi aliter inveniri quod inveftigatur non poffet ad fermonem de faporibus defcendi, fed partim propter eam, quae ad principia eft, fequelam, ut videlicet oftenderem omnia ad alimentorum rationes confequi, nec quicquam usquam inveniri pugnans, partim vero etiam ut illos coarguerem, qui adftringentia omnia excalefacere contendunt. Quinimo fuerit etiam nonnullus ejus ad praefens negocium ufus. Sed haec poftea monftrare conabor. At nunc ad rem propofitam revertor et hortor qui veritatis funt amatores, ut ipfimet adftringentia omnia deguftent, uti nos fecimus, ac ubi invenerint aliquo in corpore perfectam adftrictionem, quoad liceat, ab aliarum qualitatum mixtione alienam, tum denique experientia expendere tentent, frigidum fit an calidum, humidum an ficcum, corpus ejusmodi. Sed hoc quisquis fapiet feorfum ipfe faciet. Ego vero, ut aliquid de mea

ἀποφαίνεσθαί τι περὶ τῆς ἐμαυτοῦ πείρας ἐν μὲν τῷ νῦν ἐνεστῶτι λόγῳ καθόλου, κατὰ μέρος δὲ διὰ τῶν ἑξῆς ὑπομνημάτων. εἴη δ' ἂν ὁ μὲν καθόλου λόγος ὑπὲρ ἁπάντων τοιόσδε. [94] Πᾶν στῦφον σῶμα, τό γε τῶν ἄλλων καθαρεῦον, ὥσπερ πρὸς τὴν αἴσθησιν ποιοτήτων, εὗρον ἀεὶ πειρώμενος ψυχρόν. ἤδη δὲ καὶ τῶν ἐπιμίκτων ταῖς ποιότησιν ἔνια, τά τε μετρίως γλυκέα καὶ πικρὰ καὶ δριμέα, σαφῶς εὑρέθη ψύχοντα, κρατούσης γὰρ ἐν αὐτοῖς δηλονότι τῆς τοῦ στύφειν τε καὶ ψύχειν δυνάμεως, ὡς ἀμαυροῦσθαι τὰς ἄλλας. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τὰ ὀξέα πάντα, τά θ' ἁπλῶς ὀξέα, καθάπερ ὀξαλίδα καὶ ὀξυλάπαθον, ἔνιά τε τῶν ἐπιμίκτων ἑτέραις ποιότησιν, ἤτοι γλυκείαις ἢ δριμείαις ἢ πικραῖς, οὐδὲν ἧττον εὑρίσκεται ψύχοντα καὶ ῥοιαὶ καὶ μῆλα καὶ κοκκύμηλα καὶ σταφυλαὶ καὶ σῦκα καὶ συκάμινα καὶ κεράσια καὶ αὐτὸ τὸ ὄξος. ἀλλὰ τούτῳ μὲν, ὡς εἴρηται πρόσθεν, ἐπιμέμικταί τις δριμύτης, ταῖς δ' ὀπώραις γλυκύτητές τε καὶ στρυφνότητες, καί τισιν αὐτῶν καὶ πικρότητες ἀμυδραί. καὶ μέντοι καὶ

afferam pronunciemque, experientia fortaffis neceffarium fuerit, atque in hoc quidem libro in genere, fingillatim autem in commentariis fequentibus. Fuerit autem generalis de omnibus fermo ejusmodi. Corpus omne adftringens ab aliis, quod fenfu animadverti poffet, qualitatibus fincerum perpetuo comperi experiendo refrigerare. Quin etiam nonnulla ex iis, quae qualitatibus mixta erant, nempe quae modice dulcia, aut amara, aut acria, aperte quoque refrigerantia reperi, fcilicet quum in eis adftringendi refrigerandique facultas ita vincerent, ut alias obfcurarent. Eadem ratione acida univerfa, tum ea quae fimpliciter acida effent, ficut oxalida et oxylapathum, tum mixtis quoque aliis qualitatibus quaedam five dulcibus, five acribus, five amaris, nihilo fecius refrigerantia expertus fum, qualia funt mala punica, mala, pruna, uvae, mora, ficus, cerafa, ipfumque adeo acetum. Sed huic, ut fupra dictum eft, permixta eft quaedam acrimonia, fructibus autem dulcedines quaedam et acerbitates, quibusdam vero etiam amarores quidam obfcuri ac

ὅσα στύφει τε ἅμα καὶ ὀξέα ταῖς ποιότησίν ἐστιν, ἅπαντα καὶ ταῦτά μοι εὑρέθη πειρωμένῳ σαφῶς ψύχοντα· τὰ δὲ γλυκέα μόνον ἅπαντα κατὰ τὸ ποσὸν τῆς γλυκύτητος εὐθὺς καὶ τῆς θερμότητος μετέχειν, ὥστ᾽ οὐδὲν μὲν τῶν λίαν γλυκέων ψυχρόν· εἴη δ᾽ ἄν τι καὶ μετρίως γλυκὺ ψυχρὸν, ἐπειδὰν τὸ πλεῖστον αὐτοῦ τῆς τοῦ σώματος οὐσίας ὑδατῶδες ᾖ, οὐ μὴν οὕτω γε ψυχρὸν, ὡς τὸ στρυφνὸν ἱκανῶς ἢ τὸ ὀξύ. ἀλλ᾽ ὡς καὶ πρόσθεν που λέλεκται περὶ τῶν χλιαρᾶς θερμασίας μετεχόντων. καὶ τὰ πικρά γε πάντα θερμὰ, καθάπερ ἥ τε χολὴ καὶ τὸ νίτρον καὶ οἱ πάνυ παλαιοὶ τῶν οἴνων καὶ τῶν σπερμάτων μυρία. καὶ γὰρ τὸ τοῦ πηγάνου καὶ μάλιστα τὸ τοῦ ἀγρίου καὶ τὸ τοῦ τορδύλου καὶ τὸ τοῦ σπονδύλου καὶ τὸ τοῦ μελανθίου καὶ οἱ θέρμοι καὶ μᾶλλον οἱ ἄγριοι καὶ οἱ ὄροβοι, καὶ τούτων οἱ ἄγριοι μᾶλλον, ὅ τε προσαγορευόμενος πελεκῖνος. εὑρίσκεται δὲ ἐν τοῖς πυροῖς. ἀμυγδαλαῖ τέ τινες, αἳ δὴ καὶ δι᾽ αὐτὸ τοῦτο προσαγορεύονται πικραὶ, καὶ σικύων ἄττα σπέρματα καὶ τὸ τοῦ μήλου τοῦ Μηδικοῦ, καὶ πρὸς τούτοις ἕτερα μυρία πικρὰ φαίνεται τοῖς γευομένοις.

leves. Tum item quae adſtringunt pariter atque acida ſunt, ea omnia quoque manifeſto refrigerare experientia cognovi. Sola vero dulcia omnia pro dulcedinis modo protinus etiam calorem continent, quocirca eorum quae admodum dulcia ſunt nullum omnino eſt frigidum. Fuerint tamen quaedam modice dulcia itidem frigida, ſcilicet quando plurima corporis ipſius ſubſtantia aquea extiterit, ſed non adeo tamen frigida, ut id quod valde acerbum eſt aut acidum, ſed ſicut alicubi retro diximus de illis quae tepidum calorem poſſident. Porro amara omnia calida ſunt, ut bilis, nitrum, vina valde vetuſta, ac numeroſa ſeminum copia. Nam et ſemen rutae, potiſſimum ſilveſtris, et tordili et ſpondyli, melanthiique et lupini magisque agreſtes, orobi, et inter hos potius agreſtes, quique a ſecure pelecinus nuncupatus eſt, reperitur autem in tritico, amygdalae quaedam quae ob id ipſum amarae vocitantur, cucumerum quaedam ſemina et ſemen mali medici et ad haec infinita alia amara apparent guſtantibus.

Κεφ. η'. Ἀλλὰ περὶ μὲν τῶν πικρῶν ἐπὶ πλέον ἐφεξῆς εἰρήσεται. τὸν δὲ περὶ τῶν στυφόντων καὶ ὀξέων αὖθις ἀναλαβόντες λόγον ἐπιθῶμεν ἤδη τὴν προσήκουσαν αὐτῷ τελευτήν. τὸ τοίνυν αὐστηρὸν, ὅτι μὲν ἐκλελυμένον ἐστὶ στρυφνὸν ἀναμνησθῆναι χρὴ τῆς αἰσθήσεως. ἥτις δὲ ἡ γένεσις αὐτοῦ, νῦν εἰρήσεται. ἐπειδὴ τὸ στρυφνὸν σῶμα γεῶδές τε καὶ ψυχρὸν ἦν, ἐκλυθήσεται κατ᾽ ἀνάγκην τριχῶς, ἢ θερμαινόμενον, ἢ ὑγραινόμενον, ἢ συναμφότερον ἅμα πάσχον. ἂν μὲν οὖν θερμαίνηται μόνον, οὐκ ἔστι μὲν οὔθ᾽ ὑγρότερον οὔτε μαλακώτερον, ἀλλὰ σκληρὸν μένον ἐπικτήσεται γλυκύτητα, καθάπερ αἱ τῶν δρυῶν βάλανοι καὶ μάλιστα αἱ ὀνομαζόμεναι καστανεῖαι. ἐὰν δ᾽ ὑγραίνηται μόνον, ἐὰν μὲν παχυμερὴς (46) καὶ ὑδατώδης ἡ ὑγρότης, αὐστηρὸν ἀποτελεσθήσεται. παντὸς γὰρ χυμοῦ δύναμιν ἡ ὑδατώδης ὑγρότης ἀμβλύνει. ἐὰν δὲ λεπτομερής τε καὶ ἀερώδης, ὀξύνει. δέδεικται γὰρ ὡς τὸ λεπτομερὲς ψυχρὸν ὀξεῖαν ἀπεργάζεται ποιότητα. ἂν δὲ ὑγραίνηταί τε ἅμα καὶ θερμαίνηται, μετὰ μὲν ὑδατώδους ὑγρότητος εἰς γλυκύτητα τὴν μετάπτωσιν ἕξει, μετὰ δ᾽ ἀερώ-

Cap. VIII. Sed infra copiofius de amaris agemus. Nunc rurfum refumpto de adftringentibus atque acidis fermone, convenientem ei finem imponamus. Ergo aufterum, quod fit acerbum exolutum, fenfum ad memoriam revocare oportet. At quae fit ejus generatio nunc dicam. Quandoquidem corpus acerbum terreum eft ac frigidum, tripliciter neceffario exolvitur, aut incalefcens, aut humefcens, aut utrunque fimul perpetiens. Itaque fi calefcat duntaxat, id nec humidius eft nec mollius, fed durum manens folam acquiret dulcedinem, velut quercinae glandes, ac potiffimum quae vocantur caftaneae. Sin tantum humefcat, fiquidem ea craffarum fit partium et aquea humiditas, aufterum evadet, cujusque enim faporis vires aquea retundit ac hebetat humiditas. Si vero tenuium partium et aërea fit, acefcet; oftenfum namque eft frigidum fubtile acidam efficere qualitatem. At fi pariter et humefcat et calefiat, humiditate quidem aquea in dulcedinem, aërea vero tranfibit in pin-

δους εἰς λιπαρότητα. καὶ πρόδηλον ἤδη γέγονεν ὅπως οἱ καρποὶ κατ' ἀρχὰς ὄντες στρυφνοὶ, προϊόντος τοῦ χρόνου τινὲς μὲν ἀκριβῶς γίνονται γλυκεῖς, τινὲς δὲ ὀξεῖς, τινὲς [95] δ' αὐστηροὶ, τινὲς δ' ἀεὶ μένουσι στρυφνοὶ, τινὲς δ' ἀποτελοῦνται λιπαροί· καὶ δὴ καὶ κατὰ τὰς τῶν εἰρημένων ποιοτήτων ἐπιμιξίας παμπόλλην ἔχουσι τὴν ποικιλίαν. στρυφνὸς μὲν οὖν ἄχρι τέλους ἐστὶν ὁ τῆς πρίνου καὶ κομάρου καὶ φηγοῦ καὶ κρανίας, ὅτι καὶ ψυχρὸς καὶ ξηρὸς οἷός περ ἦν ἐξ ἀρχῆς παραμένει, μόνον μὲν αὐξανόμενος, οὐδεμίαν δὲ μεγάλην ἀλλοίωσιν ἑτέραν ἐπικτώμενος. ἔστι γὰρ καὶ αὐτὰ ταῦτα τὰ δένδρα πυκνότερά τε ἅμα καὶ ξηρότερα καὶ ψυχρότερα. στρυφνὸς δὲ ἅμα καὶ γλυκὺς ὅ τε τῆς μυρσίνης καὶ ὁ τῆς ἀχράδος καὶ ὁ τῆς δρυὸς, καὶ πλέον μὲν γλυκὺς ἢ στρυφνὸς ὁ τῆς καστανείας ὀνομαζόμενος· αὐστηρὸς δὲ μόνον ὁ τῶν ἀμιναίων ἀμπέλων καὶ καρπὸς καὶ οἶνος, ὅσοι τε παραπλήσιοι τοῖσδε. αὐστηρὸς δὲ ἅμα καὶ γλυκὺς ὁ τῆς φοίνικος καρπὸς καὶ τῶν οἴνων ὁ Σουῤῥεντῖνος καὶ ὁ Σαβῖνος καὶ ὁ Ἀλβάτης ὀνομαζόμενος, ὅσοι τε ἄλλοι τοιοῦτοι. γλυκὺς δὲ μόνον ὁ Θηραιός τε

guedinem. Perfpicuum ergo hinc jam evafit, quo pacto fructus principio acerbi quum fint, proceffu temporis quidem plane dulcefcant, quidam acefcant, nonnulli fiant aufteri, aliqui etiam acerbi permaneant, tum quidam etiam pingues reddantur. Et fane fecundum propofitarum qualitatum mixturas variam fortiuntur mutationem. Acerbus ad extremum perfeverat fructus ilicis, arbuti, fagi, corni, fiquidem frigidus ficcusque, qualis erat ab initio, permanet, tantummodo mole increfcens, nulla praeterea magna accedente alteratione, nam et arbores ipfae tum denfiffimae funt, tum ficciffimae ac frigidiffimae. Acerbus fimul et dulcis myrti fructus eft, et pyri agreftis ac roboris. Magis tamen dulcis quam acerbus fructus caftaneae quem nominant. Tantum aufterus vitis amineae tum fructus tum vinum, ac quotquot his fimilia funt. Aufterus unaque dulcis fructus palmae, et inter vina Surrentinum, Sabinum, Albates, ut vocant, et quae ejus funt generis. Solummodo dulce, The-

καὶ ὁ Σκυβελλίτης καὶ τὸ σίραιον, ὅσα τ᾽ ἄλλα τούτοις ἔοικεν. λιπαρὸς δ᾽ ἅμα καρπὸς καὶ χυλὸς ἀκριβῶς μὲν ὁ τῆς ἐλαίας ἐστὶν, ἤδη δὲ καὶ οἱ ἄλλοι πάντες ἐξ ὧν ἔλαιον σκευάζεται, οἷον ὅ τε τοῦ κίκεως καὶ ὁ τῆς ῥαφανῖδος, καὶ τὰ σήσαμα δὲ αὐτὰ καὶ τὰ κάρυα καὶ τὰ ἀμύγδαλα. πάντα γὰρ τὰ τοιαῦτα παλαιούμενα τελέως γίνεται λιπαρὰ, τῆς μὲν ὑδατώδους καὶ περιττωματικῆς ὑγρότητος ἐν αὐτοῖς ἀποπνεούσης, τῆς δ᾽ οἰκείας ὑπὸ τοῦ συμφύτου θερμοῦ κατεργαζομένης τε καὶ ἀκριβῶς ἐκπεττομένης.

Κεφ. θ΄. Ὅσοι μὲν οὖν τῶν καρπῶν ἐλαιώδεις γίγνονται μόνον, ἐδώδιμοί τέ εἰσι καὶ γλυκεῖς. ὅσοις δ᾽ ἐν τῇ μεταβολῇ προσγίνεταί τις πικρότης, ἄβρωτοι καθίστανται. τὸ γὰρ πικρὸν ἅπαν ἄβρωτόν ἐστι καὶ γίγνεται δι᾽ ὑπερβολὴν θερμασίας, ὡς ἐφεξῆς ἀποδείξομεν. ἀλλὰ τὸ μὲν γλυκὺ πᾶν θερμόν τέ ἐστι καὶ οὐκ ἀμέτρως ὑπερβάλλει τὴν ἐν ἡμῖν θερμότητα, ἀλλ᾽ ὥσπερ τὸ ὕδωρ τὸ θερμὸν, οὗ ψαύοντες ἡδόμεθα, καὶ μάλισθ᾽ ὅταν ὦμεν ἐῤῥιγωκότες, ἄχρι μὲν τοῦ διαχεῖν τὰ πεπηγότα πρὸς τοῦ ψυχροῦ μόρια τοῦ σώματος

raeum et Scybeliticum et firaeum et alia quaecunque cum iftis conveniunt. Pinguis exacte tum fructus tum fuccus oleae, tum etiam alii omnes ex quibus oleum conficitur, ficut ricini, raphanidis et ipfa fefama nucefque et amygdala. Nam id genus omnia vetuftate prorfum efficiuntur pinguia, quippe in quibus aquea quidem excrementitiaque humiditas digeritur, propria vero a colore nativo elaboratur atque exacte concoquitur.

Cap. IX. Quicunque ergo fructus oleofi funt folummodo, edendo ii funt et dulces, quibus vero dum alterantur amaror quidam advenit, ii edi non poffunt. Quippe amarum omne efui ineptum eft, taleque efficitur a caloris exceffu, ficuti poftea docebimus. Verum dulce omne calidum eft, nec immodice calorem noftrum exuperat, imo ficut aqua calida, cujus contactus voluptati eft, maxime ubi frixerimus, hactenus videlicet nos excalefaciens, dum

ἐκθερμαῖνον ἡμᾶς, οὐ μὴν διαλῦόν γε οὐδὲ τέμνον αὐτῶν τὸ συνεχὲς καὶ διϊστάν, ἥδιστόν ἐστι καὶ ὠφελιμώτατον. οὕτω καὶ πᾶν ἔδεσμα γλυκὺ θερμὸν μὲν ὑπάρχει πάντως, οὐ μὴν ἐπὶ πλέον γε ἥκει θερμότητος ὡς ἀνιᾷν, ἀλλ' ἐν τοῖς ὅροις μένει τοῦ διαχέοντος καὶ ὁμαλύνοντος καὶ μαλάττοντος. ἀναμνήσθητι δὲ πάλιν κἀνταῦθα τῶν πολλάκις ἡμῖν ἔμπροσθεν εἰρημένων, ὡς τινὰ μὲν ἤτοι κατὰ μίαν ἢ δύο ποιότητας ἐνεργεῖ τε καὶ πάσχει πρὸς ἄλληλα, τινὰ δὲ καθ' ὅλας ἑαυτῶν τὰς οὐσίας, ἐν οἷς καὶ φάρμακα μὲν οὐκ ὀλίγα καὶ τὰς τροφὰς δὲ πάσας ὑπάρχειν ἔφαμεν. ἔοικε δὲ διττὸν εἶναι τὸ γένος αὐτῶν, ὡς καὶ Θεόφραστος ἐπεσημήνατο. τινὲς μὲν γάρ εἰσι λιπαραὶ, καθάπερ ἡ πιμελὴ, τινὲς δὲ γλυκεῖαι μᾶλλον ἢ ἧττον, ὥσπερ οἵ τε καρποὶ πάντες οὓς ἐσθίομεν, αἵ τε τῶν ζώων σάρκες, ἤδη δὲ καὶ βοτάναι πολλαὶ καὶ ῥίζαι καὶ ἄνθη καὶ βλαστοί. καὶ γὰρ εἴ τι τῶν τοιούτων στρυφνόν ἐστιν, ὥσπερ αἱ ἀχράδες καὶ κράνια. πάντως μέντοι καὶ αὐτὸ μετέχει γλυκύτητος, εἴπερ γε μὴ ἀκριβῶς ἐστι στρυφνὰ, καθάπερ ἡ κηκὶς τε καὶ ὁ ῥοῦς, οὐ μὴν ἀλλὰ καὶ διὰ ταῦτα ἤδη καὶ ὡς φαρ-

concretas frigore in nobis particulas fundat, non tamen folvat aut fecet diftrahatve continuum, ea, inquam, ut fumma afficit voluptate ac utiliffima eft, fic omne edulium dulce calidum fane omnino eft, fed non tantum calore excedit, ut is laedat ac moleftus fit, fed inter limites fe continet fundentis, laevigantis ac mollientis. Rurfum mihi hic memoria repete quae faepe ante dixi, quaedam effe quae vel una vel duabus in fefe qualitatibus et agunt et patiuntur, quaedam vero quae totis fubftantiis fuis, quorum in numero et medicamenta non pauca dixi et nutrimenta univerfa. Horum duplex effe genus apparet, prout fignificavit et Theophraftus. Nam quaedam funt pinguia, velut pinguedo, quaedam dulcia magis minusve, velut fructus omnes quibus vefcimur et animalium carnes, tum herbae item multae ac radices, floresque et germina. Nam tametfi funt inter ea quaedam acerba, ficut pyra fylveftria et corna, omnino tamen dulcedine participant, nifi fumme fint acerba, velut galla, rhus, verum

μακων μᾶλλον ἢ τροφῆς αὐτῶν ἡ χρεία. φαίνονται γοῦν αἵ τε κιττῶσαι καὶ οἱ πεπληρωμένοι καὶ οἷς ὁ στόμαχος ἔκλυτος, ἀπογεύεσθαι τῶν τοιούτων ὀρεγόμενοι, πεινῶντες δ' ἔμπαλιν ἀποστρέφονται μὲν καὶ τὰ στρυφνὰ καὶ τὰ ὀξέα, προσίενται δὲ τά τε γλυκέα καὶ τὰ λιπαρὰ καὶ τούτων ἐπιπλησθῆναι ποθοῦσιν.

Κεφ. ι'. [96] Ἔστι δὲ δήπου καὶ τὸ λιπαρὸν αὐτὸ γλυκὺ, καὶ τὸ τρέφον δὲ πᾶν ἐκ τοῦ γένους ἐστὶ τῶν γλυκέων. καὶ τοῦτ' εὐλόγως αὐτοῖς ὑπάρχει καὶ κατ' αὐτὴν ὡς οἷόν τέ ἐστι τὴν οὐσίαν τῆς τροφῆς. ἀναπλήρωσις γάρ ἐστι τοῦ κενωθέντος ἡ θρέψις. οἰκεῖον δὲ ἦν τὸ κενωθὲν, ὥστε καὶ τὸ τρέφον οἰκεῖον ὑπάρχειν ἀναγκαῖον. εἰ δ' οἰκεῖον, εἶναι ἀνάγκης ἡδὺ καὶ φίλιον, εὐθὺς δὲ καὶ συμμέτρως θερμὸν ὡς πρὸς τὸ τρεφόμενον. ἀλλ' ἐν τούτῳ τε τὸ μᾶλλόν τε καὶ ἧττον οὐκ ὀλίγον, ὅτι μηδ' ἀκριβῶς κατὰ φύσιν ἔχοντες ἐπὶ τὰς τροφὰς ἀφικνούμεθα. μόνον μὲν γὰρ χρὴ κεκενῶσθαι τὸ σῶμα τῶν τῆς τροφῆς δεομένων, εἰ μέλλοιεν εὐγνώμονες

ob haec jam pro medicamentis iis magis quam pro cibis utimur. Apparent enim quae pica laborant mulieres, quique impleti funt et quibus exolutus eft ftomachus, ea appetere deguftare, alioqui fi efuriant, contra refpuunt potius tum acerba tum acida, expetunt autem ac fumunt quae dulcia funt et pinguia hisque expleri defiderant.

Cap. X. Eft autem fortaffis et pingue ipfum dulce et quicquid nutrit ex genere eft dulcium. Evenit autem id illis non abs re, fed fecundum ipfam quantum fieri poteft nutrimenti fubftantiam, quippe nutritio eft evacuati repletio. Atqui quod evacuatum eft familiare erat, quamobrem et quod nutrit familiare fit neceffe eft. Porro fi familiare, neceffario jucundum amicumque fuerit, protinus etiam ut ad id quod nutritur moderate calidum. Sed in hoc non parva eft majoris minorisque ratio, quando nimirum nec ad cibos accedimus plane fecundum naturam affecti, folum enim corpus eorum qui cibum defiderant, inanitum fit oportet, fi exacti futuri fint familiaris

ἀκριβεῖς ἔσεσθαι τῆς οἰκείας αὐτῶν ποιότητος. ἂν δὲ πρὸς τούτῳ θερμότεροι τοῦ δέοντος, ἢ ψυχρότεροι γενηθῶσιν, ἢ τὸ σύμπαν σῶμα, ἢ τοὺς περὶ τὴν γλῶτταν ἢ τὴν γαστέρα τόπους, οὐ τῶν θρεψόντων μόνον, ἀλλὰ καὶ τῶν ἤτοι ψυχόντων, ἢ θερμαινόντων δεήσονται. καὶ διὰ τοῦτο καὶ τῶν σιτίων ἄλλοτε ἄλλο τοῖς τοιούτοις ἥδιον φαίνεται. διττοῦ γὰρ ὄντος τῷ γένει τοῦ ἡδέος, ἑτέρου μὲν τοῦ τὸ κεκενωμένον ἀναπληροῦντος, ὅπερ ἦν ἡ τροφὴ, ἑτέρου δὲ τοῦ τὸ ἠλλοιωμένον ἐξιωμένου, φάρμακον δ' ἤδη τοῦτο συμβαίνει τοῖς ἐδέσμασιν, ὅταν μὴ μόνον τοῖς σώμασι κεκενωμένοις, ἀλλὰ καὶ κατὰ ποιότητα μεταβεβλημένοις προσφέρηται, κατὰ διττὸν ἡδύνεσθαι ἤδη τρόπον, ὡς τροφαῖς τε ἅμα καὶ φαρμάκοις. ἀλλ' ὡς μὲν φάρμακα ψύχοντά τινα καὶ θερμαίνοντα καὶ ξηραίνοντα καὶ ὑγραίνοντα κατὰ λόγον ὀνήσει τε ἅμα καὶ ὠφελήσει, ὡς τροφαὶ δὲ μόνα τὰ σύμφυλα καὶ οἰκεῖα ταῖς ὅλαις τῶν τρεφομένων οὐσίαις. εὐθὺς τούτοις ὑπάρχει δηλονότι συμμέτρως εἶναι θερμοῖς, ὡς πρὸς τὰ τρεφόμενα. καὶ διὰ τοῦτο καὶ τῶν ἐδεσμάτων

ipforum qualitatis cognitores. Nam fi praeter id calidiores quam conveniat, aut frigidiores evaferint, feu toto corpore feu pertinentibus ad linguam ac ventrem locis, non folum quae nutriant, verum etiam quae refrigerent aut excalefaciant poftulabunt. Proinde fane cibi quoque illi alias alii videntur jucundiores. Nam quum duplex fit genere jucundum, alterum quod impleat id quod evacuatum eft, cujusmodi eft nutrimentum, alterum quod medatur ei quod alteratum eft, id quod jam medicamentum eft, evenit utique cibis, ubi non modo vacuatis exhibentur corporibus, fed etiam qualitate aliqua mutatis, ut duobus nominibus delectent, ut cibi fcilicet et ut medicinae. Sed ut medicamenta quidem refrigerando quaedam et excalefaciendo et exiccando et humectando, ex ratione juvabunt et proderunt, ut nutrimenta vero fola ea quae cognata funt et familiaria totis nutriendorum fubftantiis. Protinus vero iftis adeft, ut moderate fcilicet fint ad ea quae nutriuntur calida. Quamobrem nec eduliorum, nec

καὶ τῶν φαρμάκων οὐχ ἓν εἶδος ἅπασι τοῖς ζώοις ἐστί. κατὰ γὰρ τὴν οἰκείαν ἕκαστον αὐτῶν οὐσίαν τε ἅμα καὶ διάθεσιν ἥδεταί τε καὶ ὠφελεῖται πρὸς ἀμφοῖν· ἀλλ' εἴπερ οὕτω ταῦτ' ἔχει, τὸ μὲν ἧττον γλυκὺ τῶν ἐδεσμάτων ἧττον ἔσται καὶ θερμὸν, τὸ δὲ μᾶλλον γλυκὺ τοσούτῳ θερμότερον, ὅσωπερ καὶ γλυκύτερον. εἰ δ' εἰς ἀμετρίαν ἐμπέσοι θερμότητος, οὐδὲ γλυκὺ τὸ τοιοῦτο, ἀλλ' ἤδη φαίνεται πικρὸν, ὥσπερ τό τε μέλι παλαιούμενον καὶ καθεψόμενον, ἕκαστόν τε τῶν ἄλλων γλυκέων.

Κεφ. ια'. Ὡς γὰρ ὑπὸ συμμετρίας θερμοῦ διττὴ ἑκάστῳ τῶν σωμάτων ἡ γλυκύτης ἐγγίνεται· τὰ μὲν γὰρ οἰκείῳ τε καὶ συμφύτῳ θερμῷ γλυκέα, τὰ δὲ ἐπικτήτῳ· κατὰ τὸν αὐτὸν τρόπον καὶ τὰ πικρὰ, τὰ μὲν ἀμέτρως ὑφ' ἑαυτῶν ἐκθερμαινόμενα κατὰ τὰς ἐν τῷ χρόνῳ μεταβολὰς, ἔνια δ' ὑπὸ τῆς ἐπικτήτου θερμασίας ἐκπυρούμενα πάσχει τοῦτο. περὶ μὲν δὴ τῶν πικρῶν ἐφεξῆς ἐροῦμεν. ἅπαντα δὲ τὰ γλυκέα τῇ μὲν θερμότητι πλησίον ἥκει τῶν σωμάτων οἷς φαίνεται γλυκέα, κατὰ διττὸν δὲ τρόπον, ὡς εἴρηται, γίνεται

medicamentorum una eft animantibus omnibus fpecies, fiquidem pro fua quaeque familiari fubftantia fimul et affectione tum delectantur tum juvantur ab utrisque. Sed fi haec fic habent, id quod in cibis minus erit dulce, minus quoque erit calidum, quod dulcius, tanto nimirum erit calidius, quanto videlicet dulcius. Sin ad immodicum recidat calorem, nec ejusmodi dulce erit, fed jam amarum apparebit, velut mel vetuftum atque decoctum itidemque aliorum dulcium unumquodque.

Cap. XI. Etenim ut a moderato calore bifariam cuique corpori dulcedo provenit: partim enim funt proprio et infito calore dulcia, partim vero afcititio: ad eundem modum amara. Alia enim funt, quae fuapte natura immoderate excalefaciunt per eas, quae temporis fpatio eveniunt, mutationes, aliis autem id accidit ab acquifititio calore accenfis. At de amaris poftea dicetur. Caeterum dulcia calore proxime accedunt ad ea, quibus apparent dulcia. Fiunt autem talia, ut dictum eft, bifariam:

τοιαῦτα· τινὰ μὲν οἰκείῳ θερμῷ, καθάπερ τὸ μέλι, τινὰ δὲ ἐπικτήτῳ, καθάπερ (47) ἅπαντα τὰ διὰ πυρὸς σκευαζόμενα. [97] καὶ διὰ τοῦτό περ, ἄχρις ἂν ᾖ θερμὰ, μέχρι τοσοῦδε καὶ ἡδίω φαίνεται τοῖς ἀναθρέψεως δεομένοις. ἔοικε δὲ καὶ τὸ γλεῦκος οὐκ οἰκείᾳ μόνον, ἀλλὰ καὶ ἐπικτήτῳ θερμασίᾳ φαίνεσθαι γλυκύ. πολὺ γὰρ, ὡς καὶ Θεόφραστος καὶ Ἀριστοτέλης ἔλεγε, τὸ ἐκ τῆς ἡλιακῆς θερμασίας οἷον ἐμπύρευμά τι ταῖς τε ῥαξὶ καὶ τοῖς ἄλλοις ὑπάρχει καρποῖς, ὑφ᾽ οὗ τὸ ὑδατῶδες ἐν αὐτοῖς ἔτι καὶ οἷον ἡμίπεπτον, εἰς πέψιν ἄγεται καὶ κατεργάζεται τῷ μεταβάλλοντι συνεξομοιούμενον, ὥστε κἂν ἀποθλίψῃς τὸν χυλὸν ὀπώρας ἡστινοσοῦν, εὑρήσεις μὲν εὐθέως ζέοντα καθάπερ τὸ γλεῦκος, ἐν δὲ τῷ μᾶλλόν τε καὶ ἧττον διαφέρουσαν τὴν ζέσιν εἰς ὅσον ἂν καὶ ὁ καρπὸς τοῦ καρποῦ διαφέρει θερμότητος. μεταβληθέντος δὲ καὶ κατεργασθέντος τοῦ ὑδατώδους τε καὶ ἡμιπέπτου καὶ τῆς τὴν ζέσιν ἐργαζομένης θερμασίας διαπνευσάσης, αἱ τῶν χυλῶν οἰκεῖαι φαίνονται ποιότητες εἰλικρινεῖς, ὥστε καὶ τοὺς οἴνους τηνικαῦτα διαγινώσκομεν ὁποῖοί τινές εἰσι κατὰ τὴν οἰκείαν αὐτῶν φύσιν. ἐν

quaedam proprio calore, ut mel, quaedam afcititio, ut funt omnia quae ab igne praeparantur, ac proinde dum calida funt fuaviora iis, quibus opus eft inftauratione apparent. Porro muftum non fuo modo, fed et acquifititio calore dulce effe videtur. Multum enim ceu ardoris veftigia, ut Ariftoteles et Theophraftus cenfuere, ex folari calore tum acinis tum aliis ineft fructibus, a quo id quod illis aqueum ac velut etiamnum femicoctum reliquum eft ad concoctionem ducitur conficiturque, ac transmutanti fimile redditur. Nam ex quibuscunque pomis, fi fuccum exprimas, eum protinus non fecus atque muftum fervere deprehendes, tanto tamen fervoris diferimine, quanta erit unius fructus ab alio in calore diverfitas. Sed ubi jam quod aquofum ac femicoctum erat transmutatum fuerit atque confectum, et is qui fervorem concitabat calor evanuerit, jam tum denique quae propriae funt fuccorum proprietates fincerae confpiciuntur. Itaque tunc quae pro-

ῷ δὴ καὶ προσέχειν σε μάλιστα τὸν νοῦν ἀξιῶ, τῷ πάντας τοὺς αὐστηροὺς κατὰ βραχὺ παύεσθαι τοιούτους ὄντας. ἀεὶ γὰρ παλαιούμενοι δριμύτητα μέν τινα καὶ γλυκύτητα ἐπικτῶνται, τὴν δ' ἔμπροσθεν ὑπάρχουσαν αὐτοῖς στύψιν ἀποβάλλουσι τῷ χρόνῳ. ἔστι μὲν δὴ μετὰ τὴν ζέσιν ἔν τισι τῶν οἴνων γλυκύτης εἰλικρινὴς ἡδεῖά τε ἅμα καὶ οἰκεία τῆς αὐτοῦ τοῦ χυλοῦ φύσεως, οὐχ ὥσπερ ἡ πρόσθεν μικτή τις ἔκ τε τῆς οἰκείας καὶ τῆς κατὰ τὸ ἡμίπεπτόν τε καὶ ὑδατῶδες περίττωμα ζέσεως, ὥστ' εἴπερ ὡμολόγηται μὲν ἅπαντας τοὺς οἴνους χρονίζοντας γίγνεσθαι θερμοτέρους. συμβαίνει δὲ τοῖς αὐστηροῖς αὐτῶν ἐν τῷ παλαιοῦσθαι πρῶτον μὲν γλυκύτητά τινα καὶ δριμύτητα προσλαμβάνειν, ἀποτιθεμένοις τὴν στύψιν, ἐφεξῆς δὲ παραύξεσθαι μὲν τῇ δριμύτητι, παύεσθαι δὲ κατὰ βραχὺ τῆς γλυκύτητος, κἄπειτ' αὖθις ἐν τῷ πλείονι χρόνῳ δριμεῖς θ' ἱκανῶς γίγνεσθαι καὶ πικρότητα ἀεὶ προσλαμβάνειν καὶ τελευτῶντας, ἡνίκα παχύνονται, παντελῶς ἐκπικροῦσθαι. καὶ πρόδηλον, ὡς τὸ μὲν γλυκὺ θερμότερόν ἐστι τοῦ στρυφνοῦ, τὸ δὲ πικρὸν τοῦ γλυκέος. ἀλλ' εἴπερ ἡ γλυκύτης ὑπὸ

pria vinorum natura fit agnofcimus. Qua in re animum diligenter adverte, auftera fenfim aufteritatem deponant; femper enim quae inveterantur vina dulcedinem quandam et acredinem adfcifcunt, quae vero prius inerat illis adftrictio, eam tempore abjiciunt. Eft autem in quibusdam vinis, poftquam efferbuerint, dulcedo quaedam fincera, fuavis et propria ipfius fucci naturae, non qualis ante erat, mixta fcilicet ex proprio atque eo qui circa femicoctum aquofumque excrementum erat fervore. Igitur fi confeffum eft, vina omnia vetuftate fieri calidiora, auftera vero primum quidem tempore dulcedinem quandam atque acrimoniam depofita adftrictione acquirere, ac deinde increfcente acrimonia fenfim dulcedinem deponere, ac fubinde rurfum majori tempore acria admodum evadere affidueque amarefcere, ac denique ubi craffefcunt penitus fieri amara, fane conftat dulce acerbo effe calidius ac dulci

συμμετρίας θερμοῦ γίγνεται, δῆλον ὡς ἡ στρυφνότης ὑπὸ τοῦ ψυχροῦ κρατοῦντος ἀποτελεσθήσεται.

Κεφ. ιβ΄. Ὅτι δὲ καὶ ἡ ὀξύτης ὑπὸ ψύξεως δημιουργεῖται δέδεικται μὲν καὶ πρόσθεν ἡμῖν. ἀλλ᾽ ἐπειδὴ κατὰ τὸν παρόντα λόγον ὑπὲρ τῆς κατὰ φύσιν ἐν χρόνῳ μεταβολῆς τῶν οἴνων ἐδηλώσαμεν, εἴπωμέν τι καὶ περὶ τῆς παρὰ φύσιν. ὡς οὖν ὁ στρυφνὸς οἶνος ἐν τῷ χρόνῳ γλυκύτερος μὲν πρῶτον, ἐφεξῆς δὲ δριμύτερός τε καὶ πικρότερος ἀποτελεῖται καὶ τελευτῶν ἐκπικροῦται, κατὰ δὲ τὸν αὐτὸν τρόπον ὅ τε ῥιγώσας ὀξύτερος εὐθὺς γίγνεται καὶ εἰ τελέως ἀποψυχείη τελέως ὀξύνεται, ὅ τ᾽ εὐθέως ἐν τῇ συγκομιδῇ τῶν καρπῶν ὑετοῦ κατασχόντος ὀθνείας ὑγρότητος ἀναπλησθεὶς, ὅ τ᾽ ἄλλως ὕδατος προσλαβὼν, ὀξεῖς ἑτοίμως οἱ τοιοῦτοι πάντες ἐπὶ μικραῖς προφάσεσιν ἀποτελοῦνται. ἔμπαλιν δ᾽ αὐτοῖς οἱ πυρὶ πλησιάζοντες ἔν τε τῷ παραχρῆμα καὶ εἰς ὕστερον ἀεὶ καὶ μᾶλλον γίνονται γλυκεῖς. εἰς χρόνον δὲ πάμπολυν ἐκπίπτοντες καὶ οὗτοι μεταπίπτουσιν οὐδὲν ἧττον τῶν ἄλλων εἰς πικρό-

amarum. Atqui ſi verum eſt dulcedinem a moderatione provenire caloris, patet acerbitatem a frigido vincente perfici.

Cap. XII. Quod autem et aciditas a frigore procreetur et antea oſtendimus. Veruntamen, quandoquidem in praeſenti diſputatione de naturali vinorum, quae temporis ſpatio fiat, alteratione docuimus, non nihil quoque et de non naturali dicamus. Itaque ut vinum acerbum, tempore dulcius primum, mox acrius amariusque efficitur, denique plane etiam amarum redditur, ad eundem modum quod rigorem perpeſſum eſt, acidius protinus redditur, ac ſi prorſum refrigeretur, penitus aceſcit. Itemque quod in fructuum collectione vindemiaque per aſſiduam pluviam aliena humiditate impletum fuerit, quodque alio quovis modo humiditatem acceperit, levi occaſione ea omnia prompte aceſcunt. Contra evenit iis quae igni admoventur. Nam et protinus ſtatim et temporis progreſſu poſtea ſemper dulciora evadunt. Quod ſi multo etiam tempore duraverint, et ipſa nihilominus quam caetera ama-

τητα, καί πως ἔοικε τοῦτο καὶ κατὰ τὸν φυσικὸν λόγον ὁμολογεῖν ἑαυτῷ. [98] εἰ γὰρ ἡ ὄμφαξ μὲν ὀξεῖα, γλυκεῖα δὲ ἡ σταφυλὴ καὶ τὸ πεπαίνεσθαι τοῖς καρποῖς ἅπασι παρὰ τῆς ἡλιακῆς ἐγγίνεται θερμότητος, εὔδηλον ὡς τὸ μὲν ἀτελέστερον καὶ ψυχρότερον ὀξὺ, τὸ δὲ τελεώτερον καὶ θερμότερον ὑπάρχει γλυκύ. ὅταν οὖν ὁ οἶνος ἐν τῷ ψύχεσθαι πάλιν ἀποξύνηται, πρόδηλον ὡς εἰς τὸν αὐτὸν πάλιν ἐπανέρχεται χυλὸν ἐξ οὗπερ ἐγένετο. διενήνοχε μέντοι τὴν δύναμιν κατὰ τοσόνδε ὄμφακος χυλὸς ὄξους, ὅτι τῷ μὲν ὄξει προσέρχεταί τις ἐκ σηπεδονώδους θερμότητος δριμύτης. καὶ διὰ τοῦτο καλῶς ἔλεγεν Ἀριστοτέλης αὐτὸ, τὸ μὲν οἰκεῖον τοῦ οἴνου θερμὸν ψυχρὸν ὑπάρχειν, τὸ δ᾽ ἐπίκτητον θερμόν. ὁ δὲ τῆς ὄμφακος χυλὸς οὐκ ἔχει τὴν θερμότητα, καὶ διὰ τοῦτο οὐδὲ τὴν δριμύτητα. προσέρχεται δή τις αὐτοῖς κἀκ τοῦ μᾶλλόν τε καὶ ἧττον ἐν τῷ λεπτομερεῖ τῆς οὐσίας διαφορά. λεπτομερέστερον γάρ ἐστι τὸ ὄξος ὄμφακος χυλοῦ, καὶ δὴ καὶ ἡ αἴσθησις τῷ λόγῳ μαρτυρεῖ. διενήνοχε γὰρ ἡ ἀπὸ τοῦ ὄξους ἔμψυξις τῆς ἀπὸ τοῦ χυλοῦ τῶν ὀμφάκων τῷ σφοδρῷ καὶ ἐπιμίκτῳ.

refcunt, videturque id fibi quodammodo fecundum naturalem confentaneum effe rationem. Nam fi uva acerba acida eft, uva vero dulcis, ac fructibus omnibus maturatio a folari provenit calore, planum eft imperfectius et frigidius effe quod acidum, perfectius vero et calidius quod dulce fuerit. Quum ergo vinum perfrictione rurfum acefcat, manifeftum eft in eum illud humorem converti, ex quo provenerat. Diverfis tamen hactenus viribus uvae acerbae fuccus acetumque conftant, quod aceto accedat ex putrido calore acrimonia quaedam, proinde Ariftoteles recte dixit, acetum proprio quidem vini calore effe frigidum, adfcititio calidum. At uvae acerbae fuccus calorem adfcititium non habet, ac proinde nec acrimoniam. Accedit vero et in fubftantiae tenuitate diverfitas. Siquidem uvae acerbae fucco acetum tenuius eft, cui rei et fenfus adftipulatur, excellit enim quae ab aceto infligitur frigiditas eam quae ab uvae acerbae fucco vehementia et mixtione.

Ed. Chart. XIII. [98.] Ed. Baf. II. (47.)

ἀσθενεστέρα μὲν γὰρ ἡ ἀπὸ τῆς ὄμφακος ψύξις, οὐ μὴν μετέχουσά γε θερμότητος ἀλλοτρίας οὐδ᾽ ὀλίγον· ἡ δὲ ἀπὸ τοῦ ὄξους ἰσχυροτέρα μὲν εἰς τοσοῦτον, εἰς ὅσον καὶ λεπτομερεστέρα. μέτεστι δ᾽ αὐτῷ καὶ δριμύτητος θερμαινούσης, οὐχ ἱκανῆς μὲν ἐκνικῆσαι τὴν ἀπὸ τῆς ὀξύτητος ψύξιν, εἰς δὲ το τῆς διεξόδου τάχος ὑπηρετούσης. εἰς ὅσον γὰρ ἐστι τὸ θερμὸν τοῦ ψυχροῦ ποριμώτερον, εἰς τοσοῦτον καὶ ὁ δριμὺς χυμὸς τοῦ ὀξέος ἑτοιμότερον διέρχεται τῶν αἰσθητικῶν σωμάτων τοὺς πόρους, ὥσθ᾽ ὁ μὲν οἷον ὁδοποιεῖ φθάνων, ὁ δ᾽ οὐκ εἰς μακρὰν ἕπεται, κἀν τούτῳ τὸ τῆς αἰσθήσεως ἐπίμικτόν τε καὶ δυσερμήνευτον ἀποτελεῖται, οὔθ᾽ ἁπλῶς ψυχρὸν ἀποφήνασθαι τὸ ὄξος δυναμένης, αἰσθάνεται γὰρ ἐν αὐτῷ πυρώδους τινὸς δριμύτητος, οὔθ᾽ ἁπλῶς θερμόν. ἐπικαταλαμβάνουσα γὰρ ἀεὶ τὴν ἐκ τῆς προηγούσης δριμύτητος θάλψιν ἡ ἐκ τῆς ἑπομένης ὀξύτητος ψύξις ἀμαυροῖ καὶ κατασβέννυσι παραχρῆμα. καὶ διὰ τοῦτο πολὺ πλείων ἐστὶν ἡ ἐκ τῆς ψύξεως αἴσθησίς τε καὶ διάθεσις ἤπερ ἡ ἐκ τῆς θερμότητος.

Imbecillior enim eſt quae ab uva acerba ſit refrigeratio, quum etiam alienae in ſe caliditatis ne minimum quidem contineat. At quae ab aceto proficiſcitur, tanto eſt validior quanto et tenuior, ineſt vero et illi acrimonia quaedam excalefaciens, quae tamen ſatis non ſit ad ſuperandam ab aciditate provenientem frigiditatem, verum quae ad tranſitus celeritatem ſubſerviat. Nam quanto calidum frigido facilius penetrat, tanto acris ſuccus aptior eſt, qui ſenſibilium corporum meatus tranſeat, quam acidus. Itaque ille velut praecedens viam ſternit, hic vero haud longe inſequitur, quo tempore ſenſus perficitur mixtus et qui aegre exponi queat. Utpote qui nec plane frigidum eſſe acetum denunciet, quippe quum in eo ignea quaedam percipiatur acrimonia, nec plane calidum, nam perpetuo quod ex praecedente ſit acrimonia calefactionem frigus ab inſequente aciditate occupans obſcurat protinusque extinguit, quod ſit, ut major multo ex frigore percipiatur ſenſus quam ex calore. Porro ſi plurimo melli aceti paulum

εἰ δέ γε τῷ μέλιτι πλείονι μίξαις ὄξος ὀλίγον, αἰσθήσῃ σαφῶς αὐτίκα ψύξεως καὶ θερμότητος. εἰ μὲν γὰρ ὀλίγον τὸ μέλι πολλῷ τῷ ὄξει κεράσαις, πλέονι μέτρῳ ψυχρὸν ἢ θερμὸν φαίνεταί σοι τὸ μιχθέν· εἰ δὲ πολλῷ τῷ μέλιτι ὀλίγον τὸ ὄξος, μᾶλλον θερμαῖνον ἢ ψυχρόν· κἂν τοῖς ὄγκοις δ' εἰ μίξαις ἴσα, τῇ γοῦν δυνάμει κρατοῦν εὑρήσεις τὸ ὄξος ἔτι. εἰ δ', ὡς εἴρηται, πλέον εἴη πολλῷ τὸ μέλι, πάλιν ἰσάζουσαν εὑρήσεις ἐν τῇ τοιᾷδε κράσει τὴν ψύξιν τῇ θερμότητι. πολλαπλασίῳ γάρ τινι τῶν συμμέτρως θερμῶν ἐπὶ τὴν ψύξιν ἀποκεχώρηκε τὸ ὄξος ἤπερ ἐπὶ τὴν θερμότητα τὸ μέλι. δέδεικται γοῦν καὶ πρόσθεν ὡς οὐκ ἐγχωρεῖ βιαίαν θερμότητα συνεῖναι γλυκύτητι. καὶ καλῶς εἴρηται πάλαι τὸ πάντ' ἀλλήλοις ὁμολογεῖν τἀληθῆ. καὶ γὰρ οὖν καὶ καθ' ὑποχονδρίων ἐγκαιομένων ἀμείνων ὁ τῆς ὄμφακος χυλὸς ὄξους αὐτοῦ, τῷ μήτε βίαιον καὶ πληκτικὴν ἔχειν τὴν ψύξιν μήτ' ἐπίμικτον δακνώδει θερμότητι. δέονται δὲ οἱ πάσχοντες ὧδε παρηγορηθῆναι μὲν ἀβιάστως, ὡς εἴρηται, ἔξωθεν δὲ μηδεμίαν ἐπικτήσασθαι

admifceas, ftatim et calorem et frigus manifefte percipies. Nam fi paulum mellis aceto permifceas, magis frigidum quod fuerit mixtum quam calidum videbitur, fin multo melli pauxillum mifceas aceti, plus calefacere quam refrigerare confpicietur, et fi pari mole utraque mifcueris, acetum tamen etiam viribus fuperare comperies. Quod fi, ut eft dictum, plus fit multo mellis quam aceti, aequalia rurfum frigus ac colorem in ea mixtura confpicies, multis enim numeris acetum plus ab iis quae moderate funt calida ad frigiditatem receffit quam mel ad caliditatem. Proinde et fupra demonftravimus fieri non poffe ut vehemens coëat cum dulcedine caliditas, vetusque illud verbum pulchre dictum eft, vera inter fefe omnia confentanea effe ac convenire. Etenim ad hypochondria ardentia praeftantior eft fuccus uvae acerbae quam ipfum acetum, quod nec violentam ac ferientem habeat frigiditatem, nec eam mordaci admixtam caliditati. Debent enim qui fic laborant fine violentia mitigari, ut eft dictum, nec

δακνώδη θερμότητα ἢ δριμύτητα. ταυτὶ μὲν οὖν ἤδη πως ἅπτεται θεραπευτικῆς μεθόδου, κοινωνούσης πολλαχόθι τῇ νῦν ἐνεστώσῃ πραγματείᾳ, καὶ διὰ τοῦτο καταλιπόντες αὐτὰ πάλιν ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. ὁ τοίνυν τῆς ὄμφακος χυλὸς οὐκ ὀξὺς μόνον ἐστὶν, ἀλλὰ καὶ στρυφνός. ὡς γὰρ καὶ πρόσθεν εἴρηται, σχεδὸν ἅπαντες οἱ τῶν δένδρων καρποὶ κατὰ τὴν πρώτην γένεσιν, ὡς καὶ Θεόφραστος ἔλεγε, στρυφνοὶ γευομένοις εἰσὶν, εἶτ᾽ ἐπειδὰν ὑγρότητος πληρῶνται, (48) προσλαμβάνουσι μὲν ὀξύτητος, ἀφαιροῦσι δὲ τῆς στρυφνότητος. [99] ἔστι δ᾽ οὔτε τὸ προσγινόμενον οὔτε τὸ ἀφαιρούμενον ἴσον ἐν ἅπασι τοῖς καρποῖς οὔτε κατ᾽ εἶδος αὐτῶν οὔτε κατὰ γένος οὐδέν. αὐτίκα γέ τοι τῶν ὀμφάκων ἔνιαι μὲν τῆς στρυφνότητος πλέον, ἔνιαι δὲ τῆς ὀξύτητος πλέον, ἔνιαι δὲ ἀμφοτέρων ἰσαζουσῶν μετέχουσιν. ἀλλὰ πρός γε τὸ καύσους ἐμψύχειν εὐλόγως ἁρμόττουσιν ἅπασαι. οὐ μόνον γὰρ τὸ ὀξὺ ψυχρόν ἐστιν, ἀλλὰ καὶ τὸ στρυφνὸν, ὡς καὶ πρόσθεν ἐλέγομεν. ἀποχωρεῖ δὴ κἀνταῦθα πάλιν ὁ λόγος ἐπὶ τὴν θεραπευτικὴν μέθοδον. αὖθις οὖν αὐτὸν ἐπὶ τὸ προκεί-

foris ullam adfcifcere mordacem caliditatem aut acrimoniam. Atque haec quidem jam curandi attingunt methodum, quae multis in locis huic tractationi communis eft, quare iis denuo relictiis ad propofitum revertamur. Itaque uvae acerbae fuccus non acidus modo eft, fed et acerbus. Nam, ut fupra propofitum eft, omnes prope arborum fructus ortus fui principio, teftimonio etiam Theophrafti, guftantibus acerbi funt, dein, ubi humore implentur, accedit quidem aciditas, decedit vero acerbitas. Haud tamen et quod accedit et quod amittitur par eft in fructibus omnibus, neque fi fpeciem neque fi genus refpicias. Etenim inter uvas acerbas aliae plus acerbitatis, aliae aciditatis obtinent, funt et quae pari portione ambas fortitae fint, omnes tamen ad refrigerandos ardores non abs re conveniunt, quippe quum non folum quod acidum eft frigidum fit, fed et quod acerbum, velut et ante a nobis dictum eft. Recedit fane et hic rurfum oratio ad curandi methodum, quare et rurfum ad propofitum illam

μενον ἀναγάγωμεν. ἦν δ᾽ ἐξ ἀρχῆς, ὡς οἶμαι, προκείμενον ἐν τῷδε τῷ γράμματι περὶ τῶν χυμῶν ἁπάντων διελθεῖν, καὶ σχεδὸν μὲν ἤδη περὶ τῶν πλείστων εἴρηται, κατὰ δὲ τὴν τοῦ λόγου κοινωνίαν ἐφάψασθαι καὶ τῶν ἄλλων ἡμῶν ἀναγκασθέντων. οὐ γὰρ περὶ στρυφνοῦ καὶ αὐστηροῦ καὶ ὀξέος εἴρηται μόνον, ἀλλὰ καὶ περὶ γλυκέος ἤδη πολλάκις καὶ πικροῦ καὶ δριμέος. προσθεῖναι δ᾽ ἀναγκαῖόν ἐστι τὰ λείποντα πρὸς τὴν τοῦ παντὸς λόγου τελειότητα. λείπει δ᾽ ἐπὶ μὲν τῶν στυφόντων οὐδέν τι μέγα καὶ ἀξιόλογον, ὃ καὶ μὴ διὰ τῶν ἤδη λελεγμένων ἔσται δῆλον.

Κεφ. ιγ΄. Ἐπεὶ δὲ τῶν ὀξέων ἴσως ἄν τῳ δόξειε λείπειν, ὅ τινας καὶ τῶν ἐλλογίμων ἰατρῶν ἐξηπάτησεν· τῷ γὰρ τοὺς οἴνους τοὺς ἀσθενεῖς ἔν τε τῷ ἦρι καὶ τῷ θέρει μεταβάλλειν τε καὶ ὀξύνεσθαι, χειμῶνος δ᾽ ἐν ταῖς οἰκείαις φυλάττεσθαι ποιότησιν, ὑπὸ θερμοῦ τισιν ἔδοξεν ἡ ὀξύτης γεννᾶσθαι. συναύξει δ᾽ αὐτῶν τὴν ὑπόληψιν ὅ τε κινηθεὶς σφοδρότερον οἶνος, ὅ τ᾽ ἐν τοῖς πλοίοις μετακομισθεὶς πορῥώτερον. καὶ γὰρ οἱ τοιοῦτοι πάντες, ὅταν ἀσθενεῖς ὦσιν,

revocemus. Porro propofitum, ut reor, ab initio in hoc libro fuerat de faporibus omnibus differere, ac nunc quidem fere de omnibus verba fecimus, interim tamen orationis affinitate et alia attingere coacti. Nec enim de acerbo modo et auftero et acido jam diximus, fed et perfaepe de dulci et amaro et acri, reliqua tamen, quo tota oratio perfecta evadat, adjicienda etiam funt. Atque in adftringentibus haud ita multum etiam reliquum eft, quod non ex jam dictis clarum evadat.

Cap. XIII. At in acidis deeffe fortaffis etiamnum videatur, quod eximios quosdam medicos fefellit. Nam eo quod vina invalida vere atque aeftate alterentur atque acefcant, hieme vero fuas fervent qualitates, hinc adeo quibusdam a calore aciditatem nafci vifum eft. Quorum auget opinionem et quod vehementius motum eft vinum et quod longius in navigiis advectum, talia enim omnia quum infirma fuerint, celerrime acefcunt. Quin etiam

ὀξύνονται τάχιστα. καὶ μέντοι τοὺς πίθους ἔνιοι τῶν τὰ γεωργικὰ γραψάντων ἀξιοῦσιν ἐν οἴκοις κατορύττεσθαι πρὸς ἄρκτον ἐστραμμένοις, ὡς τῆς μὲν ψύξεως φυλαττούσης αὐτῶν τὴν ποιότητα, τῆς δὲ θερμότητος μεταβαλλούσης. ἀτὰρ οὖν καὶ φαίνεται τοῦτο πολλαχόθι γιγνόμενον, αὐτῇ τῇ πείρᾳ βασανισθέν. ὀξύνονται γὰρ ἔνιοι τῶν οἴνων ἑτοίμως, ὅταν ἐν μεσημβρινοῖς καὶ προσηλίοις χωρίοις ἀποκέωνται, καί μοι δοκεῖ τὴν ἀρχὴν τῆς τῶν εἰρημένων λύσεως ἐντεῦθεν ποιήσασθαι. τὸ γὰρ μήτε πάντας ὀξύνεσθαι θερμαινομένους, ἀλλ᾽ ὅσοι ψυχρότεροι καὶ ἀρχῆς εὐθέως εἰσὶ, μήτε τῶν παλαιωθέντων τινὶ συμπίπτειν τοῦτο, τὴν ἐπὶ τἀληθὲς ὁδὸν ἡμῖν εὑρήσει.

Κεφ. ιδ΄. Ζητήσει γὰρ ὁ λόγος τὴν αἰτίαν, δι᾽ ἣν ὑπὸ τῆς ἔξωθεν θερμότητος ὁ φύσει ψυχρὸς καὶ ἀσθενὴς οἶνος ἐλέγχεται, καίτοι τοῦτό γε αὐτὸ τὸ ῥῆμα τὸ ἐξελέγχεται ῥηθὲν ἁπάσας τὰς εἰρημένας ἀπορίας ἐπιλύεται. παραπλήσιον γάρ τι συμβαίνει τοῖς οἴνοις, ὅσοι φύσει ψυχρότεροι καὶ ὑδατωδέστεροι τυγχάνουσιν ὄντες, οἷόν τι καὶ ταῖς μικραῖς καὶ ἀσθενέσι φλοξί. καὶ γὰρ καὶ ταύτας ἐν ἡλίῳ καταθεὶς ἰσχυρῷ

quidam, qui de rustica fcripfere, dolia in aedibus ad aquilonem expofitis defodienda cenfent, tanquam frigus fcilicet qualitatem eorum fervet, mutet autem caliditas. Sane verum et id faepenumero ipfa experientia comprobatum conftat, acefcunt enim vina quaedam prompte, ubi in meridianis et foli expofitis locis repofita fuerint. Videorque dictorum hinc jam orfus folutionem. Etenim quod non omnia caliditate acefcant, fed quae initio tantum frigidiora funt, nec id veteri alicui accidat, id nobis ad veritatem viam inveniet.

Cap. XIV. Quippe caufam fermo fcrutabitur, propter quam vinum natura frigidum atque invalidum ab extrinfeco arguatur calore. Quamquam per verbum arguatur jam dictum omnes prius dictae ambiguitates diffolvantur. Perfimile enim quid vinis accidit, quae natura frigidiora aquofioraque funt, quale flammis exiguis et imbecillis, quippe fi eas ad folem fervidum exponas aut

τελέως ἀμυδρὰς ὄψει γιγνομένας, ἢ καὶ παντάπασιν ἀποσβεννυμένας. [100] οὕτω δὲ καὶ λύχνον καιόμενον, εἴ που ἄλλῃ φλογὶ σφοδρᾷ καὶ μεγάλῃ παραθείης, εἴτ᾽ ἐν ἡλίῳ καταθείης ἰσχυρῷ, μαραινόμενόν τε καὶ διαφορούμενον αὐτίκα θεάσῃ. καὶ μὲν δὴ κἂν εἰ ῥιπίζοις ἰσχυρῶς ἀσθενῆ καὶ μικρὰν φλόγα, θᾶττον ἀποσβέσεις αὐτὴν ἢ αὐξήσεις. οὔτε γὰρ κίνησιν οὔτε θερμασίαν ἰσχυρὰν ἀσθενὴς ὑπομένει φύσις, ἀλλὰ διαφορεῖται πρὸς αὐτῆς μᾶλλον ἢ αὐξάνεται, ἐπεί τοι κἀξεπίτηδες ἐν πολλοῖς χωρίοις κινοῦσί τε καὶ μεταφέρουσι τοὺς οἴνους, ὥσπερ οὖν καὶ ἡλιοῦσί γε καὶ θερμαίνουσιν, ὡς ἐνίους αὐτῶν ἀηδεῖς γίγνεσθαι τὴν ἀπὸ τοῦ καπνοῦ δεχομένους ποιότητα. καὶ παῤ ἡμῖν γε κατὰ τὴν Ἀσίαν, ἐπὶ τοὺς κεράμους τῶν οἰκιῶν ὅταν ἥκῃ θέρους ὥρα, λαγήνοις ἐγχεόμενοι σχεδὸν ἅπαντες ἐπιτίθενται, καὶ μετὰ ταῦτα καθαιροῦντες ἐν ὑπερώοις οἰκήμασιν, ὧν ἐν τοῖς κατωγέοις μέλλει καυθήσεσθαι φλὸξ πολλὴ κατατίθενται καὶ ὅλως πρὸς μεσημβρίαν τε καὶ πρὸς ἥλιον ἀεὶ στρέφουσι τὰς ἀποθήκας, οἷς μέλλει θᾶττον αὐτοὺς ἐκπέψαι τε καὶ ποτίμους ἐργάσασθαι. ὃ γὰρ ἐν χρόνῳ πολλῷ

prorfus obfcurari aut denique etiam extingui confpicies. Sic quoque fi ardentem lucernam aut juxta flammam vehementem magnamque deponas, aut ad folem fervidum exponas, marcefcere utique ac diffipari protinus videbis, quin etiam fi validius ventilaveris infirmam parvamque flammam, citius eam extinxeris quam inauxeris, natura enim infirma validum neque motum neque calorem fuftinet, verum ab iis diffipatur potius quam augetur. Quamquam ex induftria multis in locis vina et commovent et tranfportant, ficuti fane et in folem efferunt atque excalefaciunt, ut etiam quaedam infuavia fiant fumi contrahentia qualitatem. Apud nos fane in Afia in tecta aedium aeftate omne prope in lagenas transfufum imponunt, poftea in aedita cubicula, fub quibus inferne multa flamma luceat, tranfportant. In fumma autem ad meridiem folemque cellas obvertunt, in quibus et citius ea maturefcant et potui idonea evadant; nam quod multo tempore aliis, hoc

τοῖς ἄλλοις, τοῦτο τοῖς οὕτω θερμανθεῖσιν ἐν ἐλαχίστῳ περιγίγνεται. τῶν δὲ τὰ γεωργικὰ συγγραψάντων οὐδὲν θαυμαστὸν ἐνίους ὑπὸ τῆς κατὰ τὰ σφέτερα χωρία πείρας ὑπὲρ ἁπάντων οἴνων ἀποφήνασθαι προπετέστερον. ἀλλ' οἵ γε περὶ Θεόφραστον καὶ Ἀριστοτέλην τήν τ' ἐμπειρίαν ἐπὶ πλέον ἐκτείναντες καὶ διὰ τὴν ἐν φυσιολογίᾳ γυμνασίαν ἀκριβέστερον ἅπαντα διαρθρώσαντες, ἄλλα τε τοιαῦτα πολλὰ καὶ περὶ τῶν οἴνων ἡμᾶς ἐδίδαξαν, ὡς ὅμοιόν τι τοῖς ἡμῶν αὐτῶν πάσχειν σώμασιν. ἢ γὰρ οὐχὶ καὶ ταῦτα θεώμεθα, παρὰ τό πως ἔχειν ἀσθενείας ἢ ῥώμης. ὑπὸ τῶν αὐτῶν ὀνινάμενα καὶ βλαπτόμενα· καὶ γὰρ καὶ γυμνάσια σφοδρὰ καὶ ἥλιος ἰσχυρότερα μὲν ἐργάζεται τὰ θερμὰ καὶ ῥωμαλέα σώματα, καταβάλλει δὲ καὶ διαφορεῖ καὶ καταψύχει τὰ μὴ τοιαῦτα, καὶ τῶν οἴνων τοὺς μὲν θερμοὺς φύσει καὶ κίνησις ῥιπίζουσα καὶ ἥλιος ἐκθερμαίνων καὶ φλόγες πλησίον καιόμεναι πεπαίνουσι θᾶττον. ὅσοι δὲ ψυχρότεροί τέ εἰσι καὶ ὑδατωδέστεροι, τούτους ἐξελέγχει τε τὰ τοιαῦτα πάντα καὶ θᾶττον ἀναγκάζει πάσχειν, ἃ μικρὸν

iis, quae ſic excalefacta ſunt, breviſſimo advenit. Porro nihil mirum eſt eos, qui de colendis agris ſcripſerunt ob eam, quam de ſua regione habebant, experientiam audacius atque inconſiderantius de vinis omnibus definiviſſe. At Theophraſtus atque Ariſtoteles experientiam etiam ulteriorem nacti et in perſcrutandis naturae rationibus exercitatiores ac diligentius omnia diſtinguentes, cum multa hujusmodi, tum vero de vinis nos docuerunt, quod ſimile illis atque corporibus noſtris accidat. An non enim et ipſa quoque, prout aut robuſta ſunt aut imbecilla, ab iisdem tum juvari tum laedi conſpicimus? Etenim ut exercitia valida et ſol calida atque robuſta corpora etiam validiora efficiunt, proſternunt autem et digerunt refrigerantque quae non ſunt ejuscemodi, ſic vina natura calida motus velut ventilans, ſol excalefaciens, flammaeque juxta ardentes celerius concoquunt. Quae vero frigidiora ſunt et dilutiora, eorum arguunt omnia id genus imbecillitatem celeriusque perpeti cogunt quae alioqui poſt paſſura

ὕστερον ἔμελλε πείσεσθαι. φυλάττεται μὲν γὰρ ἕκαστον τῶν ὄντων ἐπὶ τῆς οἰκείας φύσεως οἰκείῳ θερμῷ, διαφθείρεται δὲ πρὸς τῆς ἔξωθεν ἀμετρίας, ἤτοι θερμότητος ὀθνείᾳ ἢ ψύξεως πλεονεξίᾳ. καὶ τὸ μὲν ἀποτελούμενον ὑπ᾽ ἀμφοῖν ἕν, ὁ δὲ τρόπος αὐτοῦ τῆς γενέσεως οὐχ εἷς. ὅθεν οὐδ᾽ ὁμοίως ἅπασι τοῖς ἰδιώταις εὐφώρατος ὁ τρόπος ὅδε τῆς διαφορᾶς. ἐπειδὰν μὲν ὑπὸ τοῦ ψυχροῦ νικηθῇ τὸ καθέκαστον τῶν ὄντων θερμῶν, εὔδηλόν ἐστι καὶ τοῖς ἐπιτυχοῦσιν. ἐπειδὰν δ᾽ ὑπὸ τοῦ σφοδροτέρου θερμοῦ περιστάντος ἔξωθεν διαφορηθῇ, λανθάνει τοὺς ἀγυμνάστους περὶ φύσιν, οὐκ εἰδότας ὡς τὸ μὲν σύμμετρον θερμὸν ἅπασιν ὠφέλιμον ὑπάρχει, τὸ δ᾽ ἄμετρον οὐχ ἧττον τοῦ ψυχροῦ βλαβερόν.

Κεφ. ιε΄. Ἀλλὰ καθόλου μὲν τοῦτο γιγνώσκειν καλὸν, ὡς ἡ ἐν τοῖς χυμοῖς ὀξύτης ἐν τῷ μεταβάλλεσθαι μὲν ὑπὸ τοῦ θερμοῦ, μὴ κρατεῖσθαι δὲ τελέως, μάλιστα ἔοικε γίγνεσθαι. τεκμήραιτο δ᾽ ἄν τις οὐχ ἥκιστα κἀν ταῖς ὀξυρεγμίαις, ὡς αὗταί γε ταῖς μὲν μηδ᾽ ὅλως ἐν τῇ γαστρὶ μεταβαλλομέναις τροφαῖς οὐχ ἕπονται, καθάπερ οὐδὲ ταῖς ἀκριβῶς πε-

effent. Quippe quum ita comparatum fit, ut res quaelibet in propria fervetur natura calore proprio, corrumpatur autem ab immoderatione extrinfeca, nempe caloris alieni aut frigoris abundantia. Atque quod ab utroque efficitur unum eft, non tamen unus generationis modus, quare non aeque idiotis omnibus facilis cognitu eft haec corruptionis ratio. Etenim ubi quid rerum calidarum a frigore devictum eft, ne vulgo quidem ignotum eft. At ubi a circumfiftente foris calore validiore digeftum ac diffipatum eft, eos fane qui circa naturam exercitati non funt, latet, ignorantes caliditatem moderatam omnibus effe utilem, immoderatam vero non minus frigiditate noxiam.

Cap. XV. Caeterum in genere hoc noffe pulchrum eft, quod aciditas in faporibus nafci potiffimum videtur, dum a calido quidem mutatur, ut tamen non fuperet, id quod ex acidis ructibus vel maxime conjicias. Nam haudquaquam, ubi nulla prorfum facta in ventre eft ciborum alteratio, provenire folent, quemadmodum nec ubi optime

φθείσαις, μόναις δὲ ταῖς ἡμιπέπτοις, ὡς ἂν οὕτω τις εἴποι. καλῶ δ' ἡμιπέπτους ὅσαι δεξάμεναι τὴν ὑπὸ τῆς ἐν τῇ γαστρὶ θερμότητος ἀλλοίωσιν οὐκέτι εἰς τέλος ὑπ' αὐτῆς ἐκρατήθησαν. [101] οὕτως δὲ καὶ γάλα καὶ πτισάνης χυλὸς καὶ τἄλλα πάντα τὰ τοιαῦτα κατὰ τὴν θερινὴν ὥραν ὀξύνεται θᾶττον ἢ ἐν χειμῶνι καὶ δεῖται ψυχρῶν οἰκημάτων, ἐν οἷς ἀποκείσεται πρὸς τὸ διαμεῖναι μέχρι πλείονος. ἐξ ὧν ἁπάντων δῆλον ὡς ἐν τῷ μεταβάλλεσθαι μὲν ὑπὸ τοῦ θερμοῦ, μηδέπω μέντοι κεκρατῆσθαι τελέως ἡ γένεσίς ἐστι τῆς ὀξείας ποιότητος. διὰ τοῦτο καὶ τῶν καρπῶν τοῖς πλείστοις ὑπάρχει, πρὶν πεπανθῆναι. καί πως ἔοικεν καὶ τοῦθ' ὁμολογεῖν τοῖς ἐξ ἀρχῆς εἰρημένοις περὶ τῶν ὀξέων χυμῶν. εἴπερ γὰρ ὅμοιόν τι πεπόνθασι ταῖς βορείαις καταστάσεσιν, ὡς λεπτομερεῖς ὑπάρχειν ἅμα καὶ ψυχρούς, πρόδηλον ὡς ἡ γένεσις αὐτῶν οὐκ ἄνευ θερμότητος, ὥσπερ οὐδὲ τῷ ἀέρι. καὶ διὰ τοῦτο τελέως ἡμᾶς καταψύχοντα καὶ νεκροῦν(49)τα, καθάπερ κώνειόν τε καὶ μηκώνειον, ὑοσκύαμος καὶ μανδραγόρα, ἥκιστά

concocti, fed tantum ubi femicocti, ut ita dixerim, fuerint. Voco autem femicoctos, qui a ventriculi calore alterationem perpeffi, non etiam perfecte ab eo fuperati fuerint. Sic lac, ptifanae fuccus et quaecunque ejus funt generis, tempore aeftivo citius acefcunt quam hieme, poftulantque aedes frigidas, ut in iis repofita plufculo tempore perdurent. Ex quibus omnibus patet, quod a calore mutante quidem, non tamen prorfum vincente aciditatis generetur qualitas, atque ob id plerisque ineft fructibus priusquam maturuerint, idque etiam iis quae ab initio de faporibus acidis diximus confentaneum videtur. Etenim fi fimile quid illis ufu venit, quod borealibus conftitutionibus accidit, ut tenuium partium fint, fimulque frigidi nafci eos haud fine calore fatis conftat, ficut nec illum ipfum aërem. Proinde quoque quae fumme nos refrigerant ac interimunt, veluti cicuta, papaveris fuccus, hyofcyamus, mandragora, minime omnium acida funt, quippe licet frigidi fint fapores acidi omnes, haud tamen eo usque refri-

ἐστιν ὀξέα. ψυχροὶ μὲν ἅπαντες οἱ ὀξεῖς χυμοὶ, οὐ μὴν εἰς τοσοῦτόν γε ψύχουσιν ὡς ἀναιρεῖν. οὐδὲ γὰρ ἂν οὐδὲ λεπτομερεῖς ὑπῆρχον, εἰ ἦσαν ἄκρως ψυχροὶ, ὥστ᾽ οὐ μόνον ὅτι ψυχρὸς ὁ ὀξὺς χυμὸς, ἀλλὰ καὶ εἰς ὅσα ψυχρὸς ἤδη πέφανται. βασανίζει δ᾽ αὐτὸν ὁποῖός τίς ἐστιν τὴν φύσιν ἐπὶ ὀξυλαπάθου καὶ ὀξαλίδος, ἣν δὴ καὶ ὀξύδα προσαγορεύουσιν. ἔστι δ᾽ αὕτη λάχανον ἄγριον, ἐν τούτοις γὰρ ἐφάνη μοι μάλιστά πως εἰλικρινὴς καὶ μόνος, οὐδεμιᾶς μετέχων στρυφνότητος, ὥσπερ οἱ τῶν δένδρων καρποί. φανερῶς γὰρ οὗτοι μετὰ στρυφνότητός τινος ἐπίμικτον ἔχουσι τὴν ὀξύτητα, καθάπερ μετὰ δριμύτητος τὸ ὄξος. τὸ μὲν οὖν ἰδίως ὀνομαζόμενον ἐν τοῖς χυμοῖς ὀξὺ μόνης τῆς γλώττης ἐστὶν αἰσθητὸν, ὥσπερ καὶ τὸ δριμύ. τὸ δὲ κοινὸν ἀμφοῖν, τὸ δακνῶδες, ἤδη καὶ τῆς ἀφῆς. ἑκατέρων δ᾽ ἐστὶν ἡ γλῶττα διγνωστική. τῶν μὲν γὰρ κοινῶν, ὡς καὶ ἄλλο τι τῶν αἰσθητικῶν σωμάτων, τῶν δ᾽ ἰδίων, ὡς γεύσεως ὄργανον. καί μοι δοκεῖ τοῦτ᾽ αὐτῇ τὸ ἐξαίρετον ὑπάρχειν κατὰ τὴν οἰκειότητά τε καὶ τὴν ἀλλοτριότητα τῶν ὅλων οὐσιῶν. εἴρηται γὰρ ἤδη καὶ δέδεικται πολ-

gerant ut interficiant, non enim tenuis forent effentiae, fi extreme effent frigidi. Itaque non modo jam quod frigidus fit fapor acidus, fed et quatenus jam apparuit. Exploranda porro ejus natura eft in oxylapatho et oxalide, quam etiam oxyda nuncupant, eft autem haec olus filveftre, in iftis enim maxime mihi fincerus eft vifus ac fimplex, nullius particeps acerbitatis, ut folent arborum fructus; perfpicuo enim hi cum acerbitate quadam admixtam habent aciditatem, ficut cum acrimonia acetum. Itaque quod proprie in faporibus appellatur acidum, a fola lingua percipi poteft, ficut et acre, caeterum quod utrique commune eft, nempe mordacitas, etiam a tactu fentitur. Utraque vero lingua agnofcere eft; nam quae communia funt, ficut et reliqua corpora fenfilia, quae vero propria, tanquam guftus organum percipit. Idque mihi videtur illi eximium ac peculiare effe juxta totarum fubftantiarum tum proprietatem tum alienitatem. Dictum autem de-

λάκις, οὐδὲν δ' ἧττον εἰρήσεται καὶ αὖθις οἷόν τι τὸ καθ' ὅλας τὰς οὐσίας ἐνεργεῖν ἢ πάσχειν ἐστίν. ἔοικα δὲ καὶ νῦν αὐτοῦ μνημονεῦσαι εἰς ὅσον ἀρκεῖ τοῖς παροῦσιν, ἐνθένδε ποθὲν ἀρξάμενος. ἐκ τῶν δ' στοιχείων αἱ γενέσεις ἅπασι τοῖς κατὰ μέρος σώμασιν ὑπάρχουσιν, ἄνισοί τε καὶ διαφέρουσαι ταῖς μίξεσιν. ἔνια μὲν γὰρ πυρὸς ἔχει πλέον ἢ τῶν ἄλλων στοιχείων, ἔνια δὲ ὕδατος, ἄλλα δ' εἰ οὕτως ἔτυχε γῆς, ἔνια δὲ ἀέρος. ἐξ οὖν τῆς τοιαύτης ἀνισότητος αἱ τῶν κατὰ μέρος σωμάτων ἰδιότητες ἀπετελέσθησαν. ἐκ μὲν τῶν στοιχείων αὐτῶν αἱ τῶν φυτῶν, ἐκ τούτων δὲ αἱ τῶν ζώων, ὡς ἐν τοῖς περὶ στοιχείων δέδεικται λόγοις. μεταβάλλει δὲ τὰ μὲν εὐθὺς εἰς ἄλληλα, τὰ δὲ διὰ μέσων ἑτέρων, οἷον αὐτίκα ἡ γῆ μὲν εἰς πυροὺς καὶ κριθὰς καὶ τἄλλα τὰ τοιαῦτα. τούτων δ' αὖ πάλιν ἕκαστον εἰς ἀνθρώπου σάρκα, οὐ μὴν αὐτῇ γε τῇ γῇ σαρκὶ γίνεσθαι δυνατὸν, ὑπερβάσῃ τὴν ἐν τῷ μέσῳ μεταβολήν. καὶ μέντοι καὶ τῶν εἰς ἄλληλα μεταβαλλόντων ἔνια μὲν ἑτοίμην τε καὶ διὰ ταχέων, ἔνια δὲ καὶ χαλεπὴν καὶ χρό-

monſtratumque faepenumero eſt, nec fecius alias quoque repetam, quid ſit fecundum totas ſubſtantias agere aut pati, imo vero et hactenus ejus nunc meminero, quod in rem praeſentem ſatis ſit, hinc ſumpto initio. Ex quatuor elementis particulatim corporibus omnibus conſtant generationes impares mixtura ac diverſae. Siquidem quaedam ignis quam aliorum elementorum in ſe plus continent, quaedam aquae, ſicut alia, ſi ſors ita tulit, terrae, nonnulla aëris. Et ejusmodi itaque imparitate proprietates corporum particularium ſunt perfectae, ex elementis quidem plantarum, ex his autem animalium, ſicut in libris de elementis demonſtratum eſt. Porro tranſeunt quaedam quidem protinus in ſeſe mutuo nonnulla vero mediantibus aliis, velut terra in triticum, hordeum et alia id genus, rurſum horum unumquodque in carnem humanam, quum tamen ipſa terra caro ut ſiat ſit impoſſibile, eam videlicet quae in medio eſt mutationem tranſiliendo. Attamen eorum, quae in ſeſe mutuo tranſeunt, quaedam promptam celeremque, quaedam diuturnam alterationem

νιον ἔχει τὴν ἀλλοίωσιν. ὅσα μέν ἐστιν ἐγγὺς ταῖς ὁμοιότησι, ταχεῖαν ἔχει, ὅσα δὲ πορρωτέρω, βραδυτέραν. ἐχρῆν οὖν, οἶμαι, γενέσθαι τι τοῖς ζώοις ὑπὸ τῆς φύσεως ὄργανον ὁμοιότητος καὶ ἀνομοιότητος τῶν οὐσιῶν διακριτικὸν, ὃ διαγιγνῶσκον τὰς φύσεις τὸ μὲν οἰκεῖον αἱρήσεται, τὸ δ' ἀλλότριον φεύξεται. τοῦτ' οὖν ἐστιν ἡ γλῶττα, τῷ περιττῷ τῆς αἰσθήσεως οὐ ψυχρῶν μόνον, ἢ θερμῶν, ἢ ξηρῶν, ἢ ὑγρῶν, ἀλλὰ καὶ τῶν οἰκείων τε καὶ οὐκ οἰκείων ἔχον διάγνωσιν. [102] εἰς τουτὶ γὰρ μόνον τὸ μόριον ἓξ ἐμφύονται νεῦρα. τῶν δ' ἄλλων ἕκαστον ἢ ἑνὸς ἢ δυοῖν μετείληφεν, οὐδ' οὖν οὐδὲ τούτων αὐτῶν οὕτω μεγάλων. ἐπειδὴ δὲ τὰ μὲν μᾶλλόν ἐστιν οἰκεῖα τῇ τοῦ σώματος ἡμῶν φύσει, τὰ δ' ἧττον, καὶ τὰ μὲν ἐν τῇδε τῇ συζυγίᾳ τῆς κράσεως, τὰ δ' ἐν τῇδε, πλέονες ἐξ ἀνάγκης αἱ γευσταὶ ποιότητες ἀπετελέσθησαν. ἀλλὰ τῶν μὲν τρεφόντων ἁπάντων κοινὸν τὸ γλυκύ· πᾶν γὰρ τὸ τρέφον ἢ μᾶλλον ἢ ἧττόν ἐστιν γλυκύ· τῶν δὲ μὴ τρεφόντων κοινὸν μὲν τὸ κατ' ἀπόφασιν τοῦ γλυκέος ἢ στερητικῶς ὀνομαζόμενον,

obtinent, at quae fimilitudinibus propinqua funt celerem, quae vero remotiora tardiorem. Oportebat itaque meo quidem judicio innafci animantibus organum, quod naturae fimilitudines ac diffimilitudines difcernendi poteftate polleret, quod agnofcens rerum naturas familiaria quidem eligeret, aliena vero refugeret. Ejusmodi ergo lingua eft, quae exuberanti fenfu non calida modo frigidaque, humida atque ficca, fed etiam, quae familiaria quaeque non familiaria funt agnofcit. In hanc enim duntaxat particulam fex inferuntur nervi, quum aliae omnes aut unius tantum aut duorum fint participes, nec ita magnorum tamen. Porro quum quaedam naturae noftrae magis fint familiaria, quaedam minus, ac partim in hac temperamenti conjugatione, partim in illa, neceffario plures guftus qualitates extiterunt. Caeterum omnium quae nutriunt communis dulcedo eft; nam quicquid nutrit, aut plus aut minus eft dulce. His vero quae non nutriunt commune eft id quod per negationem dulcis aut privationem fic dici-

οἷον οὐ γλυκὺ καὶ ἀγλυκόν. αἱ κατὰ μέρος δὲ πλείους αἱ διαφοραὶ κατὰ λόγον ἐγένοντο, τὸ τῷ μὲν οἰκεῖον ἑκάστῳ τῶν ὄντων ἓν ὑπάρχειν, ὅτι καὶ μία φύσις ἡ ἴδιος αὐτοῦ, τὰ δ' ἀλλότρια πάμπολλα, τὰ μὲν μᾶλλον ἀποκεχωρισμένα τῆς οὐσίας αὐτοῦ, τὰ δὲ ἧττον. ὅσα μὲν οὖν ἐστιν ἀκριβῶς ὀξέα καὶ στρυφνὰ καὶ πικρὰ καὶ ἁπλῶς ἡντινοῦν ἄλλην ἔχοντα ποιότητα παρὰ τὴν γλυκεῖαν, ἄτροφα πάντ' ἐστὶν, ὥσπερ ὅσα γλυκέα μόνον, τρόφιμα πάντα, τῶν δ' ἐπιμίκτων ταῖς ποιότησιν ὅσα μὲν ἅμα γλυκέα τέ ἐστι καὶ στρυφνὰ, παχυμερέστερα ταῖς οὐσίαις ἐστὶ καὶ ψυχρὰ ταῖς κράσεσιν, ὥσπερ καὶ μικρὸν ἔμπροσθεν ἐδείκνυμεν· ὅσα δ' ὀξέα τε ἅμα καὶ γλυκέα, λεπτομερέστερα μὲν ἢ τὰ στρυφνὰ, ψύχει δ' αὖ καὶ αὐτά. καὶ δὴ καὶ τὰ μὲν πικρὰ θερμὰ, τὰ δὲ δριμέα καὶ τούτων ἔτι θερμότερα. τρέφει δ' οὖν ἅπαντα τὰ τοιαῦτα μετὰ γλυκύτητος. αὐτὸ δὲ καθ' ἑαυτὸ τῶν εἰρημένων οὐδὲν ἱκανὸν τρέφειν ἐστίν. ἐπίμικτα δὲ γίγνεται κατὰ τρόπον διττὸν, ἢ ἀνομοιομερῆ ταῖς οὐσίαις ὑπάρχοντα καὶ διαφερούσας κατὰ τὰ μόρια ποιότητας

tur, velut non dulce et indulce. Particulares autem differentiae complures merito evaferunt, quia id, quod cuique rerum familiare eft, unum eft, nempe quia et natura ejus familiaris una, aliena vero plurima, partim plus partim minus a fubftantia ejus diffidentia. Quae itaque fumme acida funt, acerba, aut amara, aut fimpliciter aliam quamvis qualitatem praeter dulcem fortita funt, ea omnia nutrire nequeunt, ficut quae folum dulcia funt omnia nutriunt. Inter ea autem, quae mixta funt, quotquot dulcia fimul et acerba funt, et craffioris funt effentiae et temperiei frigidae, velut paulo ante oftendimus. Quotquot vero acida fimul ac dulcia tenuiora quidem funt quam acerba, fed et ipfa tamen refrigerant. Quin etiam amara quidem calida funt, fed acria his etiam calidiora. Nutriunt ergo haec omnia, fi junctam habeant dulcedinem, caeterum per fe dictorum nullum ut nutriat fatis eft. Porro duplici ratione mixta effe affolent, nempe ut diffimilaria fint et diverfas habeant qualitates in diverfis partibus, aut fimpli-

ἔχοντα, ἢ ἁπλᾶ μὲν ὄντα καὶ ὁμοιομερῆ, κατὰ δὲ τὴν εἰς ἄλληλα τῶν πολὺ διαφερόντων γιγνόμενα μεταβολήν. οὔτε γὰρ τὸ μέλι ἐξαίφνης γίγνεται πικρὸν, ἀλλ' εἴθ' ἑψόμενον ἐπὶ πλέον, εἴτε παλαιούμενον, εἰς πικρότητα μεταβάλλει κατὰ βραχὺ πάσχον τὸ τοιοῦτο. οὐδ' ὅσοι τῶν καρπῶν ἀποτελοῦνται γλυκεῖς, ὥσπερ ἔνιοι τῶν σικύων τε καὶ μηλοπεπόνων, οὐδ' αὐτοὶ τὴν ἐξ ἀρχῆς ἀθρόως ἀποβάλλουσι ποιότητα. κατὰ βραχὺ γὰρ ἅπασι τοῖς φύσεως ἀλλοιουμένοις αἱ μεταβολαὶ συμπίπτουσι, καὶ μάλισθ' ὅταν εἰς πολὺ διαφερούσας, ἢ καὶ παντάπασιν ἐναντίας ποιότητας, ἡ ἀλλοίωσίς τε καὶ μετάστασις αὐτῶν ἀποτελῆται. ὥσπερ οὖν τὸ μὲν ἀκριβῶς γλυκὺ τρόφιμόν ἐστιν, τὸ δ' εἰλικρινῶς πικρὸν ἄτροφον, οὕτως τὸ μεταξὺ τρέφει μὲν, ἀλλ' ἧττον τοῦ γλυκέος. ὡσαύτως δὲ καὶ κατὰ τὰς ἄλλας ἔχει ποιότητας. ἄτροφοι γάρ εἰσι πλὴν τῆς γλυκείας ἅπασαι. καὶ μὲν δὴ καὶ αὐτὰ τὰ στοιχεῖα πολὺ μᾶλλον ἄτροφά τε καὶ ἄποια πρὸς τὴν γεῦσίν εἰσιν. καὶ διὰ τοῦτο καὶ ἡ γῆ καὶ τὸ ὕδωρ, ἄμφω γὰρ καὶ ταῦτα ἄποια πρὸς τὴν γεῦσίν εἰσιν καὶ ἄτροφα, καθάπερ ὁ ἀὴρ καὶ τὸ πῦρ· ὥστε καὶ κατὰ

cia et ſimilaria, ſed quae in mutua eorum quae multum diſſident alteratione conſiſtant. Neque enim mel extemplo ſit amarum, ſed aut multa coctione aut vetuſtate amaritudinem induit, nec id tamen illi niſi pedetentim accidit. Neque quotquot ex fructibus dulces ex amaris evadunt, ſicut quidam cucumeres et melopepones, et ipſi repente ſemelque ab initio qualitatem abjiciunt; nam iis omnibus, quae a natura mutantur ſenſim ſiunt mutationes, potiſſimum ubi in multum diſſidentes, aut plane contrarias qualitates alteratio tranſitusque perficitur. Sicut ergo quod eſt ſumme dulce aptum eſui eſt, quod vero ſincere amarum eſui ineptum, ſic quae in medio ſunt eorum nutriunt quidem etiam, verum minus quam dulce. Eadem ratio eſt in aliis qualitatibus, nam nutrire praeter dulcem nullae omnino poſſunt. At elementa multo ſane etiam minus nutriunt, nullamque guſtui qualitatem offerunt, proinde et terra et aqua, ſunt enim ambo guſtui inſipida, minime nutrire idonea ſunt, ſicut nec aër nec ignis. Ita

τῶν ποιοτήτων ἐπιμιξίαν ἐκλύεται πολλάκις ἡ τῶν γλυκέων ποιότης, ὑδατώδους μὲν οὐσίας ἐπικρατούσης ἐν τοῖς τῶν ἐπιγείων σχεδὸν ἁπάντων καρποῖς. καὶ γὰρ πυροὶ καὶ κριθαὶ καὶ κύαμοι καὶ ἐρέβινθοι καὶ τἄλλα ὅσα τοιαῦτα, διὰ ὑγρότητα κατ᾿ ἀρχὰς ἐγγὺς ἀποίων ὄντα τὴν γεῦσιν, ἐν τῷ χρόνῳ πεπαινόμενά τε καὶ ξηραινόμενα γίνεται γλυκύτερα, γεώδους δὲ καὶ ξηρᾶς ἐν ἀχύροις καὶ χόρτῳ καὶ ἀγρώστει καὶ καλάμοις ξηροῖς καὶ ξύλοις, ὧν ἔνια πρὶν ἀποξηρανθῆναι γλυκέα τε ἡμῖν ἐστι καὶ τροφὴν τῷ σώματι δίδωσιν ἐνίοτε, οἷον ὅ τε τοῦ φοίνικος ἐγκέφαλος, οὕτω γὰρ ὀνομάζουσι τὸ ἀνώτατον μόριον αὐτοῦ, καὶ τῆς ἀγρώστεώς τε καὶ τῶν καλάμων αἱ μαλακαὶ ῥίζαι, καὶ μάλιστα τῶν κατ᾿ Αἴγυπτον, ἤδη δὲ καὶ τῶν πλείστων δένδρων αἱ βλάσται. ὁμοιότητι μὲν γὰρ ἀεὶ τῇ πρὸς τὸ τρεφόμενον γλυκὺ φαίνεται το τρέφον, ἀνομοιότητι δ᾿ οὐ γλυκύ. [103] πολλῶν δ᾿ οὐσῶν ἀνομοιοτήτων πολλὰς ἀναγκαῖον ἐν τῷδε καὶ τὰς μὴ γλυκείας γίγνεσθαι ποιότητας, ἃς ἑρμηνεῦσαι μὲν ἀμήχανον, ἀναμνῆσαι δ᾿ ἐγχωρεῖ, πάντων ἀνθρώπων ἀκριβῶς εἰδότων, ἑτέραν μὲν τὴν ἐκ τῶν στρυφ-

que pro horum admixtione dulcium ſaepe qualitas exolvitur, aquea fere eſſentia in terreſtrium plantarum prope omnium fructibus ſuperante, nam triticum, hordeum, fabae, cicer et quae ejus ſunt generis, quum propter humiditatem principio qualitatum prope expertia ſint, temporis ſucceſſu maturata ac ſiccata dulciora evadunt, terreſtri vero et ſicca in paleis, foeno, gramine et arundinibus ſiccis et lignis. Quorum tamen quaedam priusquam aruerint, dulcia nobis ſunt, nutrimentumque interdum corpori exhibent, velut palmae cerebrum; ſic enim nominant ſummam ejus particulam et gramen et molles malvarum radices, maxime quae in Aegypto proveniunt, ad haec plerarumque arborum germina. Siquidem quod nutrit a ſimilitudine, quae illi eſt ad id quod nutritur, dulce apparet, diſſimilitudine vero non dulce. Porro multae quum ſint diſſimilitudines, multas proinde neceſſe eſt qualitates eſſe non dulces, quas verbis quidem aſſerri eſt impoſſibile, attamen memoriam earum movere ſuggerereque quodam-

νῶν αἴσθησίν τε καὶ διάθεσιν ἐν τῇ γλώττῃ γιγνομένην, ἑτέραν δὲ τὴν ἐκ τῶν ὀξέων, καὶ ἄλλην μὲν τὴν ἐκ τῶν ἁλμυρῶν, ἄλλην δὲ τὴν ἐκ τῶν πικρῶν.

Κεφ. ιϛ΄. Ὥσπερ οὖν ὅσα τῶν ἐδεσμάτων ὁμοιότατα ταῖς τῶν τρεφομένων ὑπάρχει φύσεσιν, γλυκύτητά τ᾽ ἐμφαίνεται καὶ σκευασίας οὐδεμιᾶς προσδεῖται, κατὰ τὸν αὐτὸν (50) τρόπον ὅσα πορῥώτερα τὴν κρᾶσίν ἐστιν τὰ μὲν ἡδυσμάτων, τὰ δὲ καὶ συναμφοτέρων προσδεῖται, καὶ οὐδέν γε θαυμαστὸν αὐτῶν τῶν ἡδυσμάτων μηδὲν ἐδώδιμον ὑπάρχον εἰς ἡδονὴν συντελεῖν τῷ δι᾽ ἑαυτοῦ σκευασθέντι. δυοῖν γὰρ ἀμέτροιν συνελθόντοιν ἐγχωρεῖ τὸ μικτὸν ἐξ ἀμφοῖν σύμμετρον ἀποτελεσθῆναι καὶ διὰ τοῦτο γλυκὺ φανῆναι, τῶν ἀμέτρων οὐκ ὄντων τοιούτων. ὅταν δὲ δὴ καὶ δι᾽ ἑψήσεως ἢ ὀπτήσεως ἢ ὅλως ὑπὸ θερμοῦ τινος ἡ σκευασία γίνηται τῶν ἐδεσμάτων, οὐδὲν οὔτ᾽ ἄπορον οὔτ᾽ ἄλογον ἃ πρότερον οὐκ ἦν ἡδέα γενέσθαι νῦν ἥδιστα. φαίνεται γὰρ ἡ τοῦ θερμοῦ φύσις οἷς ἂν ὁμιλήσῃ ταχέως ἀλλοιοῦν αὐτὰ καὶ μεταβάλλειν

modo licet, quum omnes homines certiſſime norint alium fieri in lingua ſenſum atque affectum ab acerbis, alium ab acidis et alium a ſalſis aliumque ab amaris.

Cap. XVI. Itaque quemadmodum edulia, quaecunque nutriendorum naturae ſimillima ſunt, ea et dulcedinem ſummam prae ſe ferunt, nec ullam praeparationem poſtulant, ſic quae temperiem nacta ſunt remotiorem alia condimentis, alia coctione, alia utroque indigent. Nec vero mirum eſt, quum condimentorum nullum edendo ſit, ad ſuavitatem tamen iis conferre quae per ipſa praeparantur, quippe quum fieri poſſit ut immoderatis duobus coëuntibus, id quod ex ambobus mixtum ſit commoderatum evadat, ac proinde quoque dulce appareat, quum immoderata minime ſint talia. Poſtea vero quam et per elixationem et per aſſationem et omnino per calidum quiddam praeparatio ſit ciborum, nihil etiam abſurdum eſt aut ambiguum, quae prius non erant ſuavia tunc fieri ſuaviſſima. Apparet enim calidi natura quibus admota fuerit ea

εἰς ἕτερον εἶδος, ὥστ' οὐκέτι οὐδὲ τοῦτ' ἄπορον, εἰ τινὰ μὲν ἡδίω, τινὰ δὲ ἀηδέστερα γίνεται τῷ πυρὶ πλησιάζοντα, καὶ τινὰ μὲν ἐλαχίστῳ χρόνῳ, τινὰ δ' ἐπὶ πλεῖστον ἑψηθῆναι χρήζει. τὰ μὲν γὰρ ὁμοιότατα ταῖς κράσεσι τῶν τρεφομένων σωμάτων χωρὶς ἑψήσεώς τε καὶ σκευασίας ἤδη φαίνεται γλυκέα, τὰ δ' ἀνόμοια πάντα μὲν ἀηδῆ, πρὶν σκευασθῆναι. δεῖται δὲ τὰ μὲν ὑπέρθερμα τῷ ψυχρῷ κολασθῆναι, τὰ δ' ἱκανῶς ψυχρὰ ταῖς τε τῶν θερμῶν ἐδεσμάτων μίξεσιν καὶ πυρί. κατὰ δὲ τὸν αὐτὸν τρόπον ὑγρότητι μὲν ὅσα γεώδη καὶ ξηρὰ, ξηρότητι δὲ τὰ πλέον ἢ προσῆκεν ὑδατώδη τε καὶ ὑγρά. τὰς μὲν οὖν ξηρότητας αἱ τῶν ὑγρῶν ἐπιμιξίαι, τὰς δὲ ὑγρότητας αἱ τῶν ξηρῶν καὶ τὸ πῦρ ἐπανορθοῦνται. μεγίστη δὲ τοῦ λεγομένου πίστις ἡ κατὰ τὸ στόμα γιγνομένη μεταβολή. τοῖς γοῦν ἐπὶ πλέον ἀσιτήσασιν ἁλυκὸν φαίνεται τὸ πτύελον, εἰ δ' ἐπὶ πλεῖστον, οὐχ ἁλυκὸν μόνον, ἀλλ' ἤδη καὶ πικρόν. οὕτω δὲ καὶ πᾶν ἐκχολοῦται τὸ σῶμα, καὶ εἴπερ ἦν αἰσθητικὸν ἅπαν ὁμοίως τῇ γλώττῃ, καὶ τῆς ἁλυκότητος

celeriter alterare atque in aliam ſpeciem mutare. Quocirca nec id quoque dubium eſt, quaedam ſuaviora, quaedam vero inſuaviora effici igni applicata, tum quaedam tempore minimo, quaedam plurimo coqui debere. Etenim quae nutriendorum corporum temperamentis ſimillima ſunt, ea vel citra coctionem aut praeparationem jam dulcia apparent, quae vero diſſimilia ſunt omnia inſuavia ſunt antequam praeparentur. Porro quae nimis quam calida ſunt frigido corrigi debent, quae vero multum frigida calidorum mixtura ciborum et igni; ad eundem modum humiditate quae terrea ſunt et ſicca, ſiccitate quae plus quam conveniat aquea ſunt et humida. Siccitates ergo humidorum admixtio, humiditates vero ſiccorum mixtura ignisque emendant. Maximam rei dictae fidem affert quae in ore fit mutatio. Nam qui pluſculum ſuſtinuerunt jejunium, iis ſaliva ſalſa redditur, qui vero plurimum, non ſalſa modo, ſed et amara; ſic etiam corpus univerſum biliosum habitum contrahit, ac ſi perinde ut lingua ſenſu

ἂν, οἶμαι, τῆς ἐν αὐτῷ ῥᾳδίως ᾐσθάνετο καὶ τῆς πικρότητος, ἔτι τε πρὸς τούτῳ καὶ αὐτῆς τῆς γλυκύτητος, ὑπαρχούσης γε ἀεὶ τῷ κατὰ φύσιν αἵματι. νυνὶ δὲ ἐπειδὰν ἤτοι ῥαγέντος ἢ ἀναστομωθέντος ἀγγείου τινὸς ἀθρόον τε καὶ θερμὸν αἷμα κατὰ τῆς γλώττης ἐκχυθῇ, φαίνεται γλυκύτατον, ὅταν, ὡς εἴρηται, κατὰ φύσιν ἔχῃ. ἐπεὶ τό γε νενοσηκὸς πικρὸν ἢ ἁλυκόν ἐστιν, ἤ τινα τοιαύτην ἑτέραν ἐμφαίνει ποιότητα, τὸ μέντοι καθ' ὅλον τοῦ ζώου τὸ σῶμα λανθάνει, καθάπερ αἱ χολαὶ καὶ τὸ φλέγμα. καίτοι τῶν χολῶν ἡ μὲν ἀεὶ πικρὰ φαίνεται, κἂν μικρῷ μορίῳ ψαύσῃ τῆς γλώττης, ἡ μέλαινα δ' ὀξεῖα. καὶ τοῦ φλέγματος καὶ τῇ γλώττῃ πλησιάζοντος τὸ μὲν γλυκὺ, τὸ δὲ ὀξὺ, τὸ δὲ ἁλμυρὸν ἐναργῶς ἐφάνη πολλάκις, ἄδηλον ὑπάρχον καὶ τοῦτο καθ' ὅλον τὸ ζῶον.

Κεφ. ιζ'. [104] Οὐδὲν οὖν θαυμαστὸν οὐδὲ διὰ τί τὸ γλυκύτατον ἁπάντων μέλι τὸν πικρότατον γεννᾷ χυμὸν καὶ διὰ τί μάλιστα τοῖς ἀκμάζουσί τε καὶ φύσει θερμοῖς καὶ πυρέττουσιν. ὡς γὰρ κἀκτὸς ἐπὶ πλέον ὁμιλῆσαν τῷ

polleret, falcedinem quoque quae in ipfo eft atque amaritudinem perfacile, reor, perciperet, ad haec etiam ipfam dulcedinem quae naturali inefi fanguini. At nunc ubi vafe quopiam aut rupto aut aperto affatim calidus fanguis in linguam effunditur dulciffimus apparet, utique fi fecundum naturam, ut dictum eft, habuerit; nam morbidus amarus aut falfus eft, aliamve ejus generis qualitatem prae fe fert. At qui in toto eft corpore nos fugit, non aliter quam aut bilis aut pituita, quamquam et bilis quidem flava vel minima quapiam parte linguam contingens perpetuo amara appareat, atra vero acida. Porro ubi pituita linguam attingit, partim quidem dulcis, partim acida, partim falfa faepe eft manifefto vifa, quum et ipfa in toto animali incognita fit.

Cap. XVII. Nihil mirum igitur, neque cur rerum omnium dulciffimum mel fuccum generet amariffimum, neque cur id maxime aetate florentibus et calidis natura et febrientibus accidat. Nam ut foris, quum plufculum igni

πυρὶ πικρὸν ἀποτελεῖται, κατὰ τὸν αὐτὸν τρόπον κἀν τοῖς τῶν ζώων σώμασιν, ὅταν ἀκραιφνεῖ πλησιάζῃ θερμότητι, τὸν χολώδη γεννᾷ χυμόν. ἐν δὲ ταῖς ψυχροτέραις κράσεσιν ἢ διὰ ἡλικίαν, ἢ διὰ φύσιν σώματος, ἢ διὰ νόσον, εἰς χρηστὸν καὶ σύμμετρον αἷμα μεταβάλλει ῥᾳδίως. οὐ γὰρ ὑπερθερμαινόμενον οὐδ' ἀλλοιούμενον ἐπὶ πλέον ἐν τοῖς τοιούτοις σώμασιν, ἀλλ' ὅμοιόν τι τῷ μετρίως ἑψηθέντι πάσχον ἐξομοιοῦται τελέως αὐτοῖς καὶ διαφυλάττει τὴν γλυκύτητα. καὶ τί θαυμαστὸν ὑπὸ τῆς σφοδροτέρας ἐν τοῖς ζώοις θερμότητος ἢ πλείονος ἑψήσεως ἐξίστασθαι τῆς ἀρχαίας γλυκύτητος τὸ μέλι, καὶ χωρὶς τούτων ὑπὸ τῆς ἐν αὐτῷ θερμότητος ἐν χρόνῳ πλείονι πικρὸν ἀποτελούμενον; ἐν γὰρ τῷ τάχει τῆς μεταβολῆς ἡ διαφορὰ μόνον, οὐκ ἐν τῷ πάσχειν ἕτερον πάθος ὑφ' ἑτέρας αἰτίας. καὶ γὰρ τὸ πάθος αὐτὸ καὶ τὸ μεταβάλλον αἴτιον ὄν. τὸ πάθος μὲν ἡ πικρότης, τὸ δ' αἴτιον ἡ ἀμετρία τῆς θερμότητος, ἀμετρίας δὲ τῆς εἰς ἀλλοίωσιν ἀγούσης διττῆς ὑπαρχούσης τῷ γένει, ῥώμης τοῦ πλη-

admovetur amarum efficitur, ad eundem modum et in animantium corporibus, ubi fincerum validumque nactum calorem fuerit, biliofum fuccum procreat. At in temperamentis frigidioribus, five propter aetatem five propter naturam corporis five etiam ob morbum, facile in bonum et moderatum fanguinem convertitur. Quippe quum neque nimirum in iis corporibus aut excalefiat aut alteretur, verum ei quod modice coctum fuerit fimile quiddam perpetiatur, plane illis affimilatur prorfumque fervat dulcedinem. Et quid, obfecro, miri, fi a valentiore animantis calore aut longiore coctione veterem mel dulcedinem exuat, quum etiam citra haec per fuum ipfius calorem fpatio temporis amarum evadat? Nam in mutationis duntaxat celeritate haudquaquam quod aliam perpetiatur paffionem ab alia caufa differentia confiftit, quippe et paffio eft eadem et caufa quae mutat, paffio quidem amaror, caufa vero caliditas immodica. Porro immodicum quod ad alterationem ducit duplex eft, aut enim in admoti confiftit

σιάζοντος, ἢ μήκους τοῦ χρόνου, τὴν μὲν ἑτέραν ἐξ ἡμῶν τε καὶ τοῦ πυρὸς, τὴν δ' ἑτέραν ἐξ αὐτοῦ λαμβάνει τὸ μέλι. καὶ δεόντως ἐν χρόνῳ πλείονι γίγνεται τοῦτο τὴν ἐξ αὐτοῦ, ὅτι καὶ τὸ μεταβάλλον ἀσθενέστερον. ὅπερ οὖν ὑπ' ἐλάττονος αἰτίας ἐν χρόνῳ πλείονι γίγνεται, τοῦθ' ὑπὸ μείζονος ἐν ἐλάττονι γίγνεσθαι τί θαυμαστόν; ἀλλ' οὐ τό γε γάλα, καίτοι γλυκὺ πρὸς τὴν γεῦσιν ὑπάρχον, ἐξ αὐτοῦ ποτε γίνεται πικρόν. κρατεῖται γὰρ ἐν αὐτῷ τὸ θερμὸν ὑπὸ τοῦ ψυχροῦ μᾶλλον ἢ κρατεῖ, καὶ διὰ τοῦτο ὀξύνεται κείμενον. ἐκ τριῶν μὲν γὰρ οὐσιῶν διαφερουσῶν ταῖς ποιότησι σύγκειται, καθότι καὶ πρόσθεν ἔλεγον, πρώτης μὲν τῆς παχείας, ἐξ ἧς ὁ τυρὸς γίνεται, δευτέρας δὲ τῆς λιπαρᾶς, ἐξ ἧς ὁ βούτυρος, καὶ τρίτης τῆς ὑδατώδους, ἣν ὀῤῥὸν ἐπονομάζομεν. ἀλλὰ τούτων ἡ μὲν λιπαρὰ μάλιστα εὔκρατος, ἡ δὲ παχεῖα μικρὸν ταύτης ἀποδέουσα. τὸ δ' ὀῤῥῶδες περίττωμα ψυχρόν τ' ἐστὶ καὶ ὑγρὸν, ὥστε τὸ μὲν σύμπαν γάλα τοῦ συμμέτρου τῇ θερμότητι σώματος ἀπολείπεσθαι συχνῷ, καὶ διὰ τοῦτο εἰς ὀξύτητα μεταβάλλει ἐξ ἑαυτοῦ μᾶλλον ἢ πι-

robore, aut in temporis diuturnitate, alterum ex nobis et igni, alterum ex se ipfo mel accipit. Et merito fane tempore majore id fit ex ipfo, fiquidem quod mutat imbecillius eft. Ergo quod a minore caufa longiori fit tempore, quid mirum eft a majore breviori perfici? Caeterum lac etfi guftu fit dulce, tamen ex fefe nunquam amarum efficitur, vincitur enim in eo a frigore magis caliditas quam ipfa vincat, proinde etiam repofitum acefcit. Ex tribus enim fubftantiis qualitate diffidentibus, velut fupra quoque dictum eft conftat, prima quidem craffa, ex qua cafeus conficitur, altera pinguis, ex qua butyrum, et tertia aquea, quod ferum nuncupamus. Verum ex hifce pinguis quidem vel maxime temperata eft, craffa vero paulum ab ea declinat, at excrementum illud ferofum et frigidum et humidum eft. Quare lac univerfum a modicae caliditatis corpore longo intervallo relinquitur, quapropter ex fe acefcit potius quam amarefcit. Ac fi guftari poffet,

κρότητα. καὶ εἴπερ οἷόν τε ἦν αὐτοῦ γεύσασθαι πεφθέντος ἔν τε τῇ γαστρὶ καὶ κατὰ τὰς φλέβας, εὑρίσκοιτο ἂν, οἶμαι, γλυκύτερον μέλιτος. ὃ γὰρ ἔξωθεν ἔχει καὶ παρ᾽ ἑαυτοῦ τὸ μέλι, τοῦτ᾽ ἐν τῷ πέττεσθαι λαμβάνει τὸ γάλα. καὶ ὅταν γε θερμὸν ἱκανῶς ὑπάρχῃ τὸ τοῦ ζώου σῶμα, τοσοῦτον ἐπικτᾶται τὸ γάλα τῆς γλυκύτητος, ὅσον ἀπόλλυσι τὸ μέλι. καὶ τοῦτ᾽ εὐλόγως γίνεται. τῷ μὲν γὰρ ἄκρως γλυκεῖ, καὶ διὰ τοῦτο μηκέτ᾽ ἐγχωροῦντι προσθήκην γλυκύτητος, εἰς τὴν ἐφεξῆς ἀνάγκη μεταβάλλειν ποιότητα· τῷ δέ γε ἐνδεεῖ τὸ τέλεον ἐκ τῆς πέψεως προσγίνεται. ταῦτ᾽ ἄρα καὶ διττὰς ἀπεπτούμενον ἐν τῇ γαστρὶ τὸ γάλα τὰς ἀλλοιώσεις ἐπιδέχεται· κατὰ μὲν τὴν ψυχροτέραν κοιλίαν ὀξυνόμενον, ἐν δὲ τῇ θερμοτέρᾳ κνισῶδές τε καὶ πικρὸν ἀποτελούμενον. οὐ μὴν τό γε μέλι τὴν εἰς ὀξύτητά ποτε μεταβολὴν δέχεται ἐν τῷ πέττεσθαι· θερμότερον γάρ ἐστιν ἢ ὥστε μὴ κρατούμενον ὀξυν[105]θῆναι. δακνώδη μὲν γὰρ ἄμφω τῇ γλώττῃ, τό τε ὀξὺ καὶ τὸ πικρὸν, οὐ μὴν ὡς ἴδιον γλώττης αἴσθησις τοῦτο κέκτηται. καὶ γὰρ εἰ καὶ κατ᾽ ἄλλης σαρκὸς ἡστινοσοῦν γυμνῆς τοῦ δέρματος ἐπιβάλλοις αὐτὰ, δάκνει

ubi in ventre et per venas concoctum est, ipso etiam melle dulcius inveniretur; nam quod foris et ex sese mel obtinet, id dum coquitur lac accipit et quum admodum ingens in animante calor extiterit, tantam acquirit lac dulcedinem quantam mel deperdit, rectaque id ratione evenit. Etenim quod summe dulce est, ac proinde etiam nihil apponi ad ejus dulcedinem potest, id ut in consequentem verti pergat qualitatem necesse est, at cui quid deest, id per concoctionem acquirit. Proinde sane lac ubi cruditatem in ventre perpetitur, duplicem suscipit alterationem: in frigidiore namque ventre acescit, in calidiore nidorosum amarumque efficitur. Non tamen mel coquendo unquam aciditatem admittit, quippe quum calidius sit quam ut ubi non superetur acescat. Itaque utraque linguam mordicant, tum quod acidum est tum quod amarum, non tamen id tanquam proprium linguae sensus possidet, quippe si in aliam quamvis carnem cute spoliatam ipsa

κἀκείνην, ᾧ δῆλον ὡς τὸ δακνῶδες τῆς ἁφῆς ἴδιον αἰσθητὸν, οὐ γεύσεώς ἐστιν· καὶ μὴν καὶ τοῖς δριμέσιν ὀνομαζομένοις, οἷον πυρέθρῳ τε καὶ σκορόδῳ καὶ κρομμύῳ ὑπάρχει τὸ δάκνειν, οὐ τὴν γλῶτταν μόνον, ἀλλὰ καὶ τὴν ἄλλην ἅπασαν ἡμῶν σάρκα. καὶ κοινὸν ἄρα τοῦτο τὸ δάκνειν τριῶν ἐστι χυμῶν, ὀξέος, πικροῦ, δριμέος, ἀλλὰ τοῦ μὲν ὀξέος ὡς ψυχροῦ τε ἅμα καὶ λεπτομεροῦς, ἐδείχθη γὰρ τοῦτο πρόσθεν, τοῦ πικροῦ δὲ καὶ δριμέος ὡς θερμῶν.

Κεφ. ιη'. Ὅτι μὲν οὖν ὁ πικρὸς χυμὸς θερμός ἐστιν ἀρτίως μοι δέδεικται. περὶ δὲ τοῦ δριμέος ἰδίως ὀνομαζομένου τὴν ἀρχὴν οὐδ' ἀποδείξεώς ἐστι χρεία. φθάνει μὲν γὰρ ἡ ἐκ τῆς αἰσθήσεως ἐνέργεια τὴν ἐκ τοῦ λόγου πίστιν, ὥστ' οὐδ' ἠμφισβήτησεν οὐδεὶς ὑπὲρ αὐτοῦ, ἀλλὰ καὶ Πλάτων ὡς περὶ θερμοτάτου πάντων ἀποφαίνεται καὶ Ἀριστοτέλης καὶ Θεόφραστος καὶ τῶν ἰατρῶν οὐδείς ἐστιν οὔτε τῶν παλαιῶν οὔτε τῶν νεωτέρων, ὃς ἕτερόν τι γιγνώσκει. κατὰ γὰρ τὸν τῆς οὐσίας αὐτοῦ λόγον ἐστὶ τὸ θερμαί(51)νειν, ὥστ' εἰ καὶ τῶν ἰδιωτῶν ὀντιναοῦν ἔροιο, τί καλεῖ δριμὺ

injeceris, et illam fane etiam mordebit. Ex quo conftat mordacitatem a tactu proprie, non a guftu fentiri. Quin et quae acria appellantur, velut pyrethrum, allium, caepa, non linguam modo mordicant, fed et omnem reliquam noftram carnem. Communisque eft mordicatio tribus iftis faporibus, acido, amaro, acri, verum acido quidem ut frigido fimul et fubtili, nam et id faepe monftratum eft, amaro vero et acri ut calidis.

Cap. XVIII. Quod itaque fapor amarus calidus fit modo oftendimus. At de acri vocato principio ne demonftratione quidem eft opus, praevenit enim fenfus evidentia rationis fidem. Quare nec quisquam de ipfo dubitaverit, imo et Plato de eo tanquam omnium calidiffimo pronunciat, tum Ariftoteles quoque et Theophraftus. Atque adeo nec veterum nec recentiorum medicorum quisquam eft, qui fecus fentiat, quippe quum excalefactio ex effentiae ejus fit ratione. Itaque fi vel ex plebe quem-

βρῶμα, φαίη ἂν, οἶμαι, τὸ θερμαῖνον ἰσχυρῶς ἐν τῷ γεύεσθαι, καθάπερ τὸ πέπερι καὶ τὸ πύρεθρον καὶ τὸ κάρδαμον καὶ τὰ σκόροδα καὶ τὰ κρόμμυα καὶ πάνθ' ὅσα τοιαῦτα. καί μοι δοκεῖ μόνον τοῦτο τὸ γένος τῶν χυμῶν ἰδίας ἀπορῆσαν προσηγορίας τῇ κοινῇ συγχρήσασθαι καθ' ὑπεροχήν. ὄντος γὰρ καὶ τοῦ πικροῦ χυμοῦ καὶ τοῦ ὀξέος δριμέων ἀμφοῖν, ἐν ὅτῳ ἂν σώματι σφοδρὰν εὑρίσκομεν τὴν δριμύτητα, κἂν μήτε πικρὸν ᾖ κἂν μήτε ὀξὺ, δριμὺ προσαγορεύειν εἰθίσμεθα, καίτοι πολλῶν ὄντων κατ' εἶδος τῶν τοιούτων σωμάτων. τὰ μὲν γὰρ αὐτῶν ἐστιν ἐδώδιμα, τὰ δ' οὔ. τὰ μὲν οὖν ἐδώδιμα γλυκεῖαν ἐξ ἀνάγκης ἔχει τινὰ μεμιγμένην ἀμυδρὰν ποιότητα. καὶ διὰ τοῦτο πολλοῖς ἐξ αὐτῶν ὡς ὄψῳ χρώμεθα, πολλοῖς δ' ὡς ἡδύσματι μόνῳ. ὡς σιτίοις μὲν γὰρ αὐτῶν οὐδενὶ, διὰ τὸ σφοδρὸν τῆς δυνάμεως. τῶν δ' οὐκ ἐσθιομένων τὰ μέν ἐστι θανάσιμα, τὰ δ' ἁπλῶς φάρμακα, πάντα δ' οὖν ἐπιτιθέμενα κατὰ τοῦ δέρματος ἡμῶν ἕλκος ἐργάζεται ῥᾳδίως. ἐμφαίνει δὲ καὶ τούτων ἔνια

piam roges, quid vocet edulium acre, dixerit fane, puto, quod fortiter dum guftatur excalefacit, velut piper, pyrethrum, nafturtium, allium, caepa et id genus omnia, videturque id adeo faporum genus, cum appellatione careret propria, communi per excellentiam ufum. Nam quum et fapor amarus et fapor acidus ambo etiam acres fint, in quocunque tamen corpore vehementem comperimus acrimoniam, tametfi neque amarum fit neque acidum, acre appellare confuevimus, quamquam multa in fpecie fint corpora ejusmodi, alia enim edi poffunt, alia efui funt inepta. Ea igitur quae idonea funt efui dulcem quandam faltem obfcuram admixtam habeant qualitatem neceffe eft; proinde multis ipforum pro opfonio utimur, multis vero ut condimentis tantum, at ut cibo ipforum omnino nullo, idque ob virium vehementiam. Porro eorum quae non eduntur alia mortifera funt, alia fimpliciter medicamenta, omnia faltem cuti noftrae impofita ulcus celeriter moliuntur. Quin et horum quoque nonnulla

πικρὰν ποιότητα, ὥσπερ τῶν ἐδωδίμων οὐκ ὀλίγα γλυκεῖαν, οὐ μὴν ὀνομάζεταί γε πικρὰ, διότι βραχεῖα μὲν αὕτη καὶ ἀσθενής ἐστιν ἐν αὐτοῖς, ἰσχυρὰ δὲ ἡ τῆς δριμύτητος. ἐνίων δ' οὐδὲ γεύσασθαι τολμῶμεν, οἷον ἤτοι θαψίας, ἢ κανθαρίδων, ἢ τινος ἑτέρου τῶν κατὰ διάβρωσιν ἢ σῆψιν ἀναιρούντων· ἀλλ' ἔστι καὶ τούτων εἰκάσαι δριμεῖαν εἶναι τὴν γεῦσιν ἐξ ὧν ἐργάζεται περὶ τὸ σύμπαν σῶμα. πολλὰ δὲ καὶ ταῖς ὀσμαῖς εὐθύς ἐστιν ἀλλόκοτα καὶ σαφῶς ἐνδεικνύμενα τὴν πρὸς ἄνθρωπον ἐναντιότητα, καθάπερ αὐτά γε ταῦτα τὰ προειρημένα, καὶ ὁ τοῦ κωνείου καὶ ὁ τοῦ μήκωνος, ἔτι τε μανδραγόρου καὶ ὑοσκυάμου χυλός. καὶ γὰρ δὴ νῦν ἐθεασάμεθα ἔναγχος βοτάνης χυλὸν, ὃν ἑκατόνταρχός τις ἐκ τῆς πρὸς Αἴγυπτον βαρβάρου χώρας ἐκόμισεν. οὕτως δ' ἦν βαρὺς καὶ ἀηδὴς τὴν ὀσμὴν ὡς μηδὲ γεύεσθαι τολμᾷν, ἀλλ' εἰκάζειν θανάσιμον ὑπάρχειν· ἐχρῆτο δ' αὐτῷ πρὸς τὰς ἀρθριτικὰς ὀδύνας ἀκμαζούσας, καὶ σαφῶς ἐδόκει καὶ αὐτοῖς τοῖς κάμνουσιν ψυκτικὴν ἔχειν τὴν δύναμιν. [106] ἔστι δ' ὑπόξανθος μὲν τὴν χρόαν, οὕτως δὲ βαρὺς κατὰ τὴν ὀσμὴν ὡς

qualitatem quandam amaram prae fe ferunt, quemadmodum efculentorum quaedam dulcem; non tamen vocantur amara, quandoquidem haec in eis levis eft et infirma, valida autem vis acrimoniae. Sunt et quae ne guftare quidem audeas, cujusmodi eft vel thapfia vel cantharides vel aliquod aliud eorum quae erofione aut putrefactione interimunt, fed et horum guftum effe acrem ex iis conjicere licet quae in toto agunt corpore. Multa vero etiam ipfo ftatim odore aliena funt, planeque pugnantiam cum homine indicant, velut et haec ipfa quae nunc dicta funt et cicutae, papaveris, mandragorae et hyofcyami fuccus. Quin et nuper quoque herbam quandam confpeximus, quam centurio quidam ex barbarica circa Aegyptum regione comportaverat, odore adeo gravi adeoque inamoeno, ut ne guftare quidem auderem, fed lethalem effe conjicerem. Utebatur autem ad urgentes articulorum dolores, atque ipfis etiam laborantibus refrigerandi pollere facultate eft vifa. Eft autem colore fubflavo, odore tam gravi quam cicuta,

Ed. Chart. XIII. [106.] Ed. Baſ. II. (51.)

τοῦ κωνείου, πλὴν ὅσα βραχείας ἀρωματιζούσης τινὸς εὐωδίας προσβάλλει. τὸ δ᾽ ὄνομα τῆς βοτάνης ἐξ ἧς ὁ χυλὸς γίγνεται λυκοπέρσιον ἔφασκεν εἶναι. ἀλλὰ περὶ μὲν τῶν δηλητηρίων φαρμάκων αὖθις εἰρήσεται. τοὺς δὲ δριμεῖς ἅπαντας χυμοὺς, περὶ τούτων γὰρ ἦν ὁ λόγος, ἄκρως θερμοὺς χρὴ γινώσκειν ὄντας. ἐφεξῆς δ᾽ αὐτῶν τοὺς πικροὺς, εἶτα τούτων ἑξῆς τοὺς γλυκεῖς. ἐν ἅπασι δ᾽ αὐτοῖς ἱκανοῦ τοῦ πλάτους ὑπάρχοντος, ὁ μὲν μᾶλλον δριμὺς καὶ πικρὸς καὶ γλυκὺς μᾶλλον δηλονότι καὶ θερμός ἐστιν, ὁ δ᾽ ἧττον εἰς τοσοῦτον ἀπολείπεται θερμότητος, εἰς ὅσον καὶ τῆς ἀκριβοῦς κατὰ τὴν γεῦσιν ποιότητος. ὅρος δὲ τοῦ μὲν πικροῦ χυμοῦ τὸ ῥύπτειν ἐστὶν, τοῦ δὲ δριμέος τὸ καίειν, τοῦ δὲ γλυκέος τὸ τρέφειν, ὅταν γε τελέως ἔχωσι κατὰ τὴν ἑαυτῶν ἕκαστον φύσιν, τουτέστιν ὅταν ὡς οἷόν τε μάλιστα ὑπάρχωσιν ἑτέραις ποιότησιν ἄμικτοι, οἷον ὁ πικρὸς ἔστι μὲν πάντως θερμὸς, ἀλλ᾽ ὁ μὲν ἄρτι γενόμενος ἐκ τῆς τοῦ γλυκέος μεταβολῆς ἧττόν τε πικρός ἐστι καὶ ἧττον θερμὸς, ὁ δὲ ἐπὶ πλεῖστον ἐξηλλαγμένος ἐσχάτως τε πι-

niſi quod levem quandam inſtar aromatum odoris adferat gratiam. Nomen herbae ex qua ſuccus hic exprimitur, lycoperſium eſſe dicebat. Verum de facultatibus deleteriis rurſus tractabitur. Scire autem oportet, acres ſapores omnes, nam de iſtis agebatur, ſumme eſſe calidos, ac deinceps poſt illos eſſe amaros, deinde vero dulces. Quum vero in omnibus ampla ſit latitudo, is, qui magis aut acris aut amarus aut dulcis eſt, magis quoque eſt calidus, qui vero minus, tantum amittit caloris quantum abeſt ab exacta guſtus qualitate. Terminus autem ſeu finis ſaporis amari eſt abſtergere, acris vero urere, at dulcis nutrire, ubi videlicet in ſua quisque natura abſolutus fuerit, hoc eſt, ubi quoad fieri poſſit minime alienis permixti ſint qualitatibus; velut amarus prorſum quidem eſt calidus, verum qui modo admodum ex dulci mutatione natus eſt, et minus amarus eſt et minus calidus, at qui jam diu mutatus eſt, ſummo amarus eſt et proxime ad

κρός ἐστι καὶ ἤδη πλησίον ἥκει τοῦ δριμέος, ὡς μὴ ῥύπτειν ἔτι μόνον, ἀλλὰ καὶ διαβιβρώσκειν καὶ δάκνειν, οἷον ἀριστολοχία μὲν καὶ ἶρις καὶ πάναξ αὐτὸ τοῦτο μόνον, ἀποῤῥύπτουσί τε καὶ καθαροποιοῦσι τὰ ἕλκη. ἀγρία δὲ σταφὶς οὐδὲν μὲν ἧττον τούτων δριμεῖά ἐστιν, εἰ μὴ ἄρα καὶ μᾶλλόν ἐστι πικρά· δριμεῖα γὰρ ἤδη καὶ μάλα καὶ θερμὴ σφοδρῶς, ὅθεν οὐδὲ τὸν ῥύπον ἀφαιρεῖ τῶν ἑλκῶν μόνον, ἀλλὰ καὶ αὐτὴν κατατήκειν πέφυκε τὴν σάρκα. τοιοῦτο δέ τι καὶ τοῦ σώματος εἴσω λαμβανόμενοι πεφύκασι δρᾷν οἱ πικροὶ χυμοὶ πάντες, οἷόν τι καὶ κατὰ τὰ ἕλκη· ῥύπτουσί τε γὰρ καὶ διακαθαίρουσιν αὐτὰ καὶ τὴν ἐν ταῖς φλεψὶ τῶν χυμῶν παχύτητα τέμνουσιν, ὅθεν ἐπιμήνιά τε κινοῦσι καὶ ταῖς ἐκ θώρακός τε καὶ πνεύμονος ἀναγωγαῖς τοῦ πύου συναίρονται, καὶ ὅλως, εἴτε παχὺ φλέγμα περιεχόμενον ἐν αὐτοῖς εἴτε πῦον εἴτ' ἄλλο τοιοῦτο εἴη, διακαθαίρουσιν, ἐπιληψίαις τε κατὰ τοῦτο βοηθοῦσιν, ὅσοι γε μὴ δηλητήριοι τὴν φύσιν ὑπάρχουσιν. ἐκεῖνοι γὰρ ὅλῳ τῷ γένει παρὰ φύσιν εἰσίν. οὕτω δὲ καὶ τοὺς πτύοντας αἷμα βλάπτειν πεφύκα-

acrem pertingit, ut non abstergat solum, sed etiam exedat et mordicet, velut aristolochia quidem, iris et panax id modo possunt, nempe ulcera abstergere atque expurgare. At vitis agrestis nihilo ab istis amarore vincitur, nisi vel ipsa quoque vincat, est enim jam etiam acris idque valde, tum multum quoque calida, ut non sordem ulceribus auferat modo, sed et ipsam quoque carnem colliquare possit. Porro quod in ulceribus nati sunt praestare amari sapores, id ipsum in corpus assumpti efficere valent. Abstergunt enim expurgantque et quae in venis est crassitiem incidunt. Quamobrem menses movent educendoque ex pectore pulmoneque puri auxiliantur, et in summa, sive crassa in eis pituita sive pus sive aliud quippiam contineatur ejusmodi, expurgant, eaque ratione et comitiali morbo competunt, quicunque certe naturam non habent deleteriam, illi enim toto genere praeter naturam sunt. Sed et iis qui sanguinem spuunt noxii sunt, quippe

σιν. τῶν στυφόντων γὰρ ἐκεῖνοι καὶ γλίσχρων, οὐ τῶν τεμνόντων καὶ διαιρούντων δέονται. ταυτὶ μὲν οὖν ἤδη πως ἅπτεται τῆς θεραπευτικῆς μεθόδου.

Κεφ. ιθ'. Περὶ δὲ τῶν πικρῶν χυμῶν τῆς δυνάμεως ἀφορισάμενοι καὶ τμητικοὺς αὐτοὺς εἰπόντες εἶναι καὶ λεπτυντικοὺς καὶ ῥυπτικοὺς, καὶ δηλονότι θερμοὺς εἰς τοσοῦτον ὡς μήπω καίειν, ἐπὶ τοὺς δριμεῖς αὖθις ἴωμεν τῷ λόγῳ. καὶ πρῶτον μὲν θερμοὺς ἀκριβῶς αὐτοὺς εἴπωμεν, εἶτα διαβρωτικούς τε καὶ καυστικοὺς καὶ ἐσχαρωτικοὺς καὶ συντηκτικούς· ἐπὶ μὲν τοῦ δέρματος ἐπιτιθεμένους ἅπαντας τοὺς τοιούτους εἶναι, εἴσω δὲ τοῦ σώματος λαμβανομένους, ὅσοι μὲν ὅλαις ταῖς οὐσίαις ἐναντιώτατα διάκεινται πρός τινα ζῶα, σηπτικούς τε πάντας εἶναι καὶ δηλητηρίους ἐκείνων τῶν ζώων. ὅσοι δὲ κατὰ τὴν ἀμετρίαν τῆς θερμότητος μόνον, εἰ μὲν παχυμερεῖς καὶ γεώδεις εἶεν, ἑλκωτικοὺς τῶν ἐντὸς, εἰ δὲ λεπτομερεῖς, διουρητικούς τε καὶ ἱδρωτικοὺς, καὶ ἁπλῶς εἰπεῖν τμητικούς τε καὶ διαφορητικούς. συναίρονται δέ τινες αὐτῶν ταῖς τε ἐκ τοῦ θώρακος ἀναπτύ-

quum isti adstringentia et viscosa, non incidentia dividentiaque exposcant. Atque haec quidem jam quadantenus curandi attingunt methodum.

Cap. XIX. Postea vero quam de saporibus amaris definivimus diximusque quod incidendi vim habeant et extenuandi, tum abstergendi ac nimirum etiam calefaciendi, hactenus tamen ut non urant, rursum ad acres orationem vertamus. Ac primum exacte ipsos calidos dicimus, deinde exedentes, urentes, crustam molientes ac denique etiam colliquantes, eosque omnes vel cuti impositos esse hujusmodi, sin intro in corpus sumantur, siquidem tota substantia animanti cuipiam summe adversentur, putrefacientes omnes deleteriosque ejus generis animantium, sin caloris duntaxat immoderatione, si crassae terreaeque sint essentiae interiora exulcerandi pollere facultate, sin tenuis, urinam movendi sudoresque ciendi vim habere, in summa autem incidendi et digerendi per halitum, ex quo genere quidam tum expuitionibus ex thorace tum mensium

σεσι [107] καὶ ταῖς τῶν καταμηνίων φοραῖς· ἀλλὰ πότε καὶ πῶς καὶ τίνι μεθόδῳ χρωμένων, οὐ τῆς νῦν ἐνεστώσης πραγματείας διελθεῖν. ὑπὲρ ἁπάντων γὰρ τῶν τοιούτων ἐν τῇ θεραπευτικῇ μεθόδῳ λεχθήσεται, ὥστε καὶ περὶ τῶν δριμέων χυμῶν τῆς φύσεως ἤδη παύσομαι τὰ πλείω γράφων. ἀρκεῖ δὲ μόνον ἔτι διορισμοὺς ἀκριβεστέρους αὐτοῖς προσθεῖναι, καθ᾽ οὓς διαφέρουσι τῶν πικρῶν. οὐ μόνον γὰρ ἰσχυρᾷ θερμότητι διαλλάττειν αὐτῶν πεφύκασιν, ἀλλὰ καὶ τῷ τοὺς πικροὺς μὲν ἅπαντας ὑπάρχειν οὐ θερμοὺς μόνον, ἀλλὰ καὶ ξηροὺς τὴν δύναμιν, ὡς ἄν τις μάλιστα σαφῶς εἰκάσειε, τέφρᾳ παραπλησίως, ἐν δὲ τοῖς δριμέσιν, ὅσοι γε οὐκ εἰσὶ πικροὶ, πολλὴν ἐνίοτε μεμίχθαι τὴν ὑγρότητα, καὶ διὰ τοῦτό γ᾽ ἐσθίειν ἡμᾶς οὐκ ὀλίγα τῶν τοιούτων σωμάτων. ὅτι δ᾽ οὐδὲ θερμὸς μόνον, ἀλλὰ καὶ ξηρός ἐστι τὴν κρᾶσιν ὁ πικρὸς ἅπας χυμὸς, ἥ τε διωρισμένη πεῖρα πρώτως καὶ μάλιστα διδάσκει, περὶ ἧς ἔμπροσθεν εἴρηταί μοι πολλάκις, ἔτι τε πρὸς τῇ πείρᾳ τῷ λόγῳ σκοπουμένοις ὡσαύτως συμβαίνει. θερμαινομένων γοῦν ἐπὶ πλέον τῶν γλυκέων, εἴθ᾽

motibus auxiliantur. Caeterum quando fit, quo modo et qua methodo utendum, non est praefentis tractationis exponere, de omnibus fiquidem ejusmodi in curandi methodo differetur. Quare de acrium faporum natura plura fcribere fuperfedebo; fat enim fuerit diftinctiones adjicere exactiores, quibus ab amaris differunt. Nec enim fola caliditate vehementi ab illis diverfi effe confueverunt, fed quod amari omnes non modo calidam habeant facultatem, fed et ficcam, cineri, uti eos quis optime comparet, affimiles. Acres autem quicunque utique amari non funt, multam interim humiditatem admixtam habent, proindeque corporum ejusmodi non pauca a nobis efitantur. Porro quod non calidus modo, fed et ficcus eft omnis fapor amarus, in primis nos maximeque difcreta docet experientia, de qua faepenumero verba fupra fecimus, iis vero qui praeter experientiam per rationem etiam fcrutantur fimiliter accidit. Admodum itaque calefactis dulcibus, five id ab

ὑπὸ πυρὸς εἴθ' ὑπὸ τῆς ἐμφύτου θερμότητος, ἡ τῶν πικρῶν σωμάτων ἐδείκνυτο γένεσις. εὐθὺς δὲ ταῦτα καὶ τῇ συστάσει μὲν ξηρότερα φαίνεται, καὶ τῷ δαπανᾶσθαι δ' ἀεὶ καὶ ἀποῤῥεῖν αὐτῶν τὸ ὑγρὸν, ἐξατμιζόμενον ὑπὸ τῆς θερμότητος ἀναγκαῖόν ἐστι τὸ καταλειπόμενον ἀποδείκνυσθαι γεωδέστερόν τε καὶ ξηρότερον. αὐτὸ μὲν γὰρ τὸ γλυκὺ πρὸς τῷ θερμὸν ὑπάρχειν ἢ μᾶλλον ἢ ἧττον, ἐξ ἀνάγκης δήπου καὶ ὑγρὸν ἢ μᾶλλον ἢ ἧττόν ἐστιν. εἰ δέ γε τῇ τοῦ σώματος ἡμῶν φύσει μάλιστα οἰκεῖον ὑπάρχει, αὕτη δ' ἦν εὔκρατος, ὑγρὰ καὶ θερμὴ, τὸ δ' οἷον ὑπεροπτηθέντος τούτου γιγνόμενον (52) ὅμοιον τιτάνῳ καὶ τέφρᾳ, ξηρὸν καὶ θερμὸν ἐξ ἀνάγκης ἀποτελεῖται. καὶ μέντοι καὶ δι' αὐτὸ τοῦτο ῥύπτειν τε πέφυκε καὶ καταθραύειν καὶ τέμνειν τοὺς γλίσχρους καὶ παχεῖς χυμοὺς, ὥσπερ ἡ τέφρα καὶ τὸ νίτρον. οὐδὲ γὰρ ἀερώδης αὐτῶν ἐστιν οὐδὲ λεπτομερὴς, ἀλλὰ οὐδὲ ὑδατώδης ἡ σύστασις, ἀλλ' ὥσπερ καὶ μικρῷ πρόσθεν εἴρηται, γεωδεστέρα, κατειργασμένη ἀκριβῶς ὑπὸ τοῦ θερμοῦ καὶ οἷον ὑπερωπτημένης αὐτῶν τῆς οὐσίας. ὡς μὲν οὖν τοῖς στύ-

igne five a calore ingenito, amarorum corporum conflare generationem indicavimus, quae protinus confiftentia quoque ficciore apparent, tum vero quoniam abfumatur femper ac defluat ab eis humor in vaporem a calore folutus, neceffe eft reliquum terrenius ficciusque effici, quippe quum dulce, praeterquam quod calidum fit five plus five minus, neceffario fane et humidum plus minusve exiftat. Si autem corporis noftri naturae maxime eft fimile, ipfa vero fit temperate tum calida tum humida, id quod ex dulci fuperaffato provenit, perinde ut calx cinisque calidum ficcumque neceffario efficitur, proinde abftergere quoque, comminuere, fecare craffos vifcofosque humores ficut cinis et nitrum eft natum. Nec enim aërea eft neque tenuis neque aquea eorum confiftentia, fed, ut paulo ante dictum eft, terrena, exacte a calore elaborata, ac velut fuperaffata ipforum effentia. In comparatione ergo adftringentium quidem non parum iis tenuiora funt medi-

φουσι παραβαλεῖν, εἴη ἂν οὐκ ὀλίγῳ τινὶ λεπτομερέστερα τὰ πικρὰ τῶν φαρμάκων, ὡς δὲ τοῖς δριμέσι, παχυμερέστερα καὶ διὰ τοῦτ' οὔτε διεξέρχεται ῥᾳδίως τῶν γλίσχρων τε καὶ παχέων χυμῶν, ὥσπερ ὅσα λεπτομερέστερα ταῖς οὐσίαις ἐστὶν, οὔτ' ἀδυνατεῖ τέμνειν ὁμοίως τοῖς παχυμερέσιν. ἐν δὲ τῷ μέσῳ χρὴ τετάχθαι τὸ μέλλον τέμνειν ἑκατέρας τῶν ὑπερβολῶν, ἵνα μήθ' ἑτοίμως ὡς αὐτὴ ἡ φλὸξ διεξέρχηται μήτ' ἐν τῷ μέλλειν καὶ βραδύνειν ἀδυνατῇ διαιρεῖν. ἀλλὰ περὶ μὲν τούτων κἂν τῷ μετὰ ταῦτα λόγῳ ῥηθήσεται τῷ πέμπτῳ. νυνὶ δ' ἀρκεῖ γινώσκειν τό γε τοσοῦτον, ὡς ἡ πικρὰ ποιότης ἅπασα θερμαῖς τε ἅμα καὶ ξηραῖς οὐσίαις συμβέβηκε, καὶ πρὸς τούτοις γ' ἔτι λεπτομερέσι καὶ γεώδεσιν. ἀκούειν δ' ὅλου χρὴ τοῦ λεγομένου συνάπτοντας εἰς ταὐτὸ καὶ μὴ κατὰ μόνας ἑκάτερον ἀναγινώσκοντας. καὶ γὰρ ἂν μάχεσθαι δόξειεν οὕτω γε τῷ γεώδει τὸ λεπτομερὲς, ἀλλ' οὐχ ἁπλῶς λεπτομερὲς, ἀλλ' ὡς ἐν γεώδει συστάσει τοιοῦτο εἶναί φημι τὸ πικρὸν, οἷον τίτανος καὶ τέφρα καὶ πᾶν ὅ τι περ ἂν ἀκριβῶς κατοπτηθῇ καὶ γένηται σποδιὰ, μᾶλλον δ' ἂν ἴσως ἀληθέστερον εἰκάζοιτο λιγνύϊ τινὶ καὶ αἰθάλῃ

camenta amara, ut ad acria vero craffiora, quamobrem neque facile craffos vifcofosque humores pertranfeunt, velut ea quae funt tenuiore effentia, nec incidere perinde ut craffiora nequeunt. In medio autem utriusque exceffus fint oportet, quae incifura funt, nempe ut neque prompte penetrent perinde ut flamma, neque dum cunctantur tardantque diffecare non poffint. Verum de iftis in fequenti libro qui ex ordine eft quintus tractabitur. Nunc autem tantum noviffe fufficerit, quod qualitas omnis amara calidis fimul, ficcisque fubftantiis accidit et praeter haec tenuibus et terrenis. Inaudiendum eft autem totum quod dicitur conjunctim, haudquaquam utrumque feparatim legendum, nam fic pugnare cum terreno videatur tenue. Verum non fimpliciter tenue, fed ut in terrena confiftentia tale effe amarum affero, velut calx et cinis et quicquid exacte perallatum fuerit cinisque redditum, forte autem verius affimiles fuligini ac ipfius flammae favillae, quippe

φλογὸς, ἢ καὶ γευομένοις πικρὰ φαίνεται. παχυμερὲς μὲν οὖν σῶμα γεῶδές ὅ τε σίδηρός ἐστιν καὶ ὁ λίθος, αἰθάλη δὲ καὶ τέφρα λεπτομερές. ὁ μέντοι διάπυρος εἴτ' οὖν λίθος ἢ σίδηρος παχυμερέστερός ἐστι τιτάνου καὶ τέφρας, καὶ πολὺ μᾶλλον αἰθάλης, καὶ πρὸς τούτοις γε θερμότερος. ἀλλὰ διαπύρῳ μὲν σιδήρῳ καὶ λίθῳ τὰ κατὰ διάβρωσιν ἀναιροῦντα φάρμακα προσέοικεν ὑπὸ τῆς ἐν αὐτῷ σώματι θερμασίας, εἰς τοῦτ' ἀγόμενα δηλονότι, [108] καθάπερ ἥ τε χαλκῖτις καὶ τὸ μίσυ καὶ τὸ σῶρυ, καὶ πρὸς τούτοις ἀρσενικὸν, ὑδράργυρος, λιθάργυρος καὶ ἕτερα μυρία. παχυμερῆ μὲν γάρ ἐστιν τὰ τοιαῦτα πάντα καὶ δυνάμει θερμὰ, καὶ διὰ τοῦτ' ἐκπυρούμενα τῷ χρόνῳ κατὰ τὴν ἐν τῷ ζώῳ μεταβολὴν ὁμοίως διαπύροις λίθοις ἢ σιδήροις ἑλκοῖ καὶ καίει τὰ κατὰ τὴν γαστέρα, μηδ' ἀναδοθῆναι δυνάμενα διὰ τὸ βάρος. τούτων δ' ἔτι λεπτομερέστερα, καί τοι γεώδη ταῖς συστάσεσιν ὑπάρχοντα, τίτανός τε καὶ κανθαρὶς καὶ ὁ θαλάττιος λαγωός· ὧν τινὰ μὲν ἄχρι τῶν καθ' ἧπαρ ἀνέρχεται χωρίων, ἔνια δὲ καὶ μέχρι κύστεως καὶ θώρακος, ἐν τῷ τοσούτῳ διαστή-

quae guſtantibus apparet amara. Ergo craſſum et terrenum eſt corpus ferrum ac lapis, favilla autem et cinis tenue. Ignita itaque ferrum lapisque calce cinereque ſunt craſſiora, multoque magis quam favilla, ad haec quoque et calidiora. Sed ferro lapidique ignito ea quae per eroſionem interimunt medicamenta ſimilia ſunt, quae a corporis nimirum calore huc perducuntur, velut chalcitis, miſy, ſory, ad haec arſenicum, hydrargyros, lithargyros et alia innumera. Craſſarum enim ſunt partium id genus omnia, ac poteſtate calida, ac proinde temporis ſpatio accenſa per eam, quae eſt in animante, mutationem non aliter quam lapis ferrumque ignitum ventrem tum exulcerant tum exurunt, quum ſcilicet in corpus diſtribui prae gravitate haud poſſint. Illis autem tenuiora ſunt, tametſi et ipſa terrenae ſint conſiſtentiae, calx, cantharis, lepus marinus, quorum quaedam usque ad jecoris pertingunt regionem, quaedam vero usque ad veſicam et pectus, in

μαι τῆς φορᾶς τὸ πυρῶδες προσκτώμενα, ἀριστολοχία δὲ καὶ ἶρις ἔτι καὶ τούτων αὐτῶν λεπτομερέστερά ἐστιν· καὶ γὰρ καὶ ὑγρᾶς οὐσίας μᾶλλον τούτων μετέχει καὶ ἀερώδους, δῆλον δ' ἐκ τοῦ μήθ' οὕτως εἶναι ξηρὰ καὶ κραῦρα μήθ' οὕτως βαρέα καὶ διὰ τοῦτ' ἐξέφυγε τὸ γένος τῶν δηλητηρίων. καὶ μὲν δὴ καὶ ἡ κανθαρὶς ὀλίγη ποτὲ ληφθεῖσα καὶ οἷς προσῆκε μιχθεῖσα πρὸς τῷ μηδὲν ἀδικεῖν τὴν κύστιν ἔτι καὶ διακαθαίρει νεφρούς, καὶ τά γε δραστικώτερα τῶν οὐρητικῶν φαρμάκων ἔχει τι καὶ κανθαρίδος. ἀλλὰ περὶ μὲν τῶν τοιούτων ἕτερος λόγος.

Κεφ. κ'. Ὁ δὲ πικρὸς χυμὸς ὅτι τοῖς ξηροῖς τῇ κράσει σώμασι συνυπάρχει κἀκ τοῦ δυσσηπτότατα πάντων εἶναι τὰ πικρὰ καὶ ἥκιστα σκώληκάς τε καὶ ἄλλ' ἄττα ζῶα γεννᾷν, οἷα δὴ πέφυκεν ἐν ῥίζαις καὶ βοτάναις καὶ καρποῖς σηπομένοις ἐγγίγνεσθαι πάρεστι συλλογίσασθαι. μάλιστα γὰρ ὁρῶμεν ἐν τοῖς ὑγροῖς σώμασι καὶ σκώληκας καὶ σηπεδόνας ἐγγιγνομένας. τὰ δ' ἀκριβῶς πικρὰ, καλῶ δ' οὕτως ὅσα μηδεμιᾶς ἑτέρας ποιότητος αἰσθητῆς μετέσχηκεν, ἅπασι

tanto interim itineris fpatio igneam acquirentia naturam. Porro ariftolochia et iris his etiam fubtiliores funt, quippe quae tum humidae effentiae tum aëriae plus quam illa obtinent, quod hinc conftat, quod neque adeo fint ficca duraque neque adeo gravia, quapropter et deleterium effugere genus. Sane vero et cantharis parce interim fumpta, quibusque oporteat admixta, praeterquam quod veficam nihil offendat, etiam renes expurgat, imo et quae efficaciora conficiuntur ad urinas movendas medicamenta, nonnihil habent cantharidis. Sed de hifce alias habebitur fermo.

Cap. XX. At amarus fapor quod ficcis temperie corporibus infit, hinc colligere licet, quod et minime omnium amara putrefcant, minimeque vermes aliaque nonnulla animalcula, qualia in radicibus herbisque ac fructibus putrefcentibus provenire folent, procreent, maxime namque videmus in humidis nafci corporibus vermes ac putrilaginem. At quae exacte amara funt, voco autem ita quae nulla fenfu notabili alia participant qualitate, omni=

σχεδὸν τοῖς ζώοις, οὐκ ἀνθρώποις μόνοις, ἐστὶν ἄβρωτα, τῷ πᾶν μὲν ζῶον ὑγρὸν ἢ μᾶλλον ἢ ἧττον ὑπάρχειν, ξηρὰ δ' εἶναι τὰ πικρὰ, τέφρᾳ καὶ κονίᾳ παραπλήσια. οὔτ' οὖν τέφραν ἢ κονίαν ἢ αἰθάλην ἢ τίτανον ἐσθίει ζῶον οὐδὲν οὔτε τῶν ἀκριβῶς πικρῶν. ἀψίνθιον μὲν γὰρ οὐ πικρὸν μόνον, ἀλλὰ καὶ στρυφνόν ἐστιν, ἡ θάλαττα δ' ἁλμυρὰ μᾶλλον ἢ πικρὰ καὶ πλείστου μετέχουσα τοῦ ποτίμου, καθάπερ καὶ Ἀριστοτέλει πάλαι τοῦθ' ἱκανῶς ἐπιδέδεικται. τὸ δὲ τῆς ἐν Παλαιστίνῃ Συρίᾳ λίμνης ὕδωρ, ἣν ὀνομάζουσιν οἱ μὲν θάλασσαν νεκρὰν, οἱ δὲ λίμνην ἀσφαλτῖτιν, ἔστι μὲν καὶ γευομένοις οὐχ ἁλυκὸν μόνον, ἀλλὰ καὶ πικρόν. ἔχει δὲ καὶ τοὺς ἐξ ἑαυτοῦ γεννωμένους ἅλας ὑποπίκρους ὁμοίως καὶ κατὰ τὴν ὄψιν εὐθὺς ἅμα πάσης θαλάσσης λευκότερόν τε καὶ παχύτερον φαίνεται, ἅλμῃ κατακορεῖ προσεοικὸς, εἰς ἣν οὐδ' ἂν ἐμβάλῃς ἅλας, ἔτι τακήσονται, πλεῖστον γὰρ τούτων μετέχει. καὶ εἴ τις εἰς αὐτὴν καταδὺς ἀνακύψειεν, ἄχνην ἁλῶν ἂν εὐθέως κύκλῳ περὶ πᾶν ἴσχει τὸ σῶμα, καὶ διὰ τοῦτό τε βαρύτερόν ἐστι τῆς ἄλλης θαλάττης

bus prope animantibus, nedum hominibus, efui inepta funt, quippe quum animal omne plus minusque fit humidum, amara autem, ficca, haud aliter quam cinis et pulvis. Itaque neque cinerem neque pulverem neque favillam neque calcem animal ullum efitat, neque eorum quae plane amara funt quicquam. Abfinthium enim non folum amarum eft, fed et adftringit, marina vero aqua falfa potius eft quam amara, plurimum in fe habens aquae potabilis, id quod et ab Ariftotele olim fatis eft demonftratum. At aqua, quae eft in lacu Palaeftinae in cava Syria, quem alii quidem mare vocant mortuum, alii ftagnum bituminofum, guftantibus non falfa modo, fed et amara eft. Salem vero etiam habet ex fefe natum perinde amarum. Primoque ftatim afpectu una cum univerfo mari tum candidior tum craffior apparet, merae falfugini feu muriae fimilis, in quam fi falem injicias ne liquari quidem etiam poffit, plurimum enim ejus in fe habet, ac fiquis in eam fe mergat, continuo fale tenuiffimo velut confperfus undi-

Ed. Chart. XIII. [108. 109.] Ed. Baf. II. (52.)

τὸ ὕδωρ ἐκεῖνο τοσοῦτον ὅσον ἡ θάλαττα τῶν ποταμῶν, ὥστ᾽ οὐδ᾽ εἰ βούλοιο κατὰ τοῦ βάθους καθεὶς ἑαυτὸν φέρεσθαι κάτω, δυνηθείης ἄν· οὕτως ἐξαίρει τε καὶ κουφίζει τὸ ὕδωρ, οὐχ ὡς φύσει κοῦφον ὑπάρχον, ὅπερ ἤδη τις εἶπε τῶν παλαιῶν σοφιστῶν, ἀλλ᾽ ὡς Ἀριστοτέλης ἔλεγε, διὰ βαρύτητα δίκην πηλοῦ βαστάζον τὰ κουφότερα. [109] καὶ κατὰ τοῦτό γέ τοι καὶ εἰ συνδήσας ἀνθρώπου τὼ χεῖρε καὶ τὼ πόδε μεθείης εἰς τὸ τῆς λίμνης ἐκείνης ὕδωρ, οὐκ οἰχήσεται κάτω. καὶ μὲν δὴ καὶ ὡς ἐν τῇ θαλάττῃ πλείονα φορτία τῶν ἐν ταῖς λίμναις τε καὶ ποταμοῖς βαστάζει τὰ πλοῖα μὴ βυθιζόμενα, κατὰ τὸν αὐτὸν τρόπον ἐν τῇ νεκρᾷ λίμνῃ πολλαπλάσια τῶν ἐν τῇ θαλάττῃ. τοσούτῳ γάρ ἐστιν τὸ κατ᾽ αὐτὴν ὕδωρ τοῦ θαλαττίου βαρύτερον ὅσον τὸ θαλάττιον τοῦ λιμναίου τε καὶ ποταμίου. πρόσεστι γὰρ ἡ τῶν ἁλῶν οὐσία, γεώδης τε καὶ βαρεῖα. καί σοι καὶ αὐτῷ γεννῆσαι θάλατταν ἔξεστιν, ἅλας ὕδατι ποτίμῳ διατήξαντι καὶ γνῶναι πόσῳ βαρύτερον ἀποτελεῖται τὸ τοιοῦτο ὕδωρ τοῦ γλυκέος. ἀλλὰ καὶ μέτρον ἤδη τι πεποίηνται τοῦ τὴν

que emergere conſpicitur. Quapropter etiam aqua illa quam alia marina gravior eſt, idque tanto pondere, quanto fluviali marina. Itaque ne ſi teipſum quidem dimittere velis in profundum, deferri deorſum poſſis, ita attollit elevatque aqua: non ſane quia natura levis ſit, quod quidam veterum ſophiſtarum prodidit, sed, ut cenſuit Ariſtoteles, propter gravitatem, inſtar luti, quae leviora ſunt geſtans. Proinde ſi hominem ligatis manibus pedibusque in ſtagni illius aquam conjeceris, deorſum haud feretur. Quin vero, ſicut naves in mari onera plura quam in fluviis citra ſubmerſionem portare valent, eundem in modum in ſtagno mortuo multo plura quam in mari; tanto enim eſt quae in illo eſt aqua marina gravior, quanto marina lacuſtri aut fluviali; ineſt enim ei ſalis ſubſtantia, quae terrea gravisque eſt. Ipſique tibi marinam, ſi lubet, efficere licet, ſale in aqua fluviali colliquato, cognoſcereque quanto gravior reddatur aqua eiusmodi, quam ſit dulcis. Quin et modum jam

ἅλμην εὔκρατον ὑπάρχειν εἰς τὰς ταριχείας, εἰ φαίνοιτο καὶ αὐτὴν ἐπιπλέον ᾠὸν, ὡς ἔτι γε καταφερομένου καὶ μήπω περὶ τὴν ἐπιφάνειαν τῆς ἅλμης ἐννηχομένου μᾶλλον ὑδατώδης ἐστὶ καὶ γλυκεῖα. δεινῶς δ' ἁλμυρὰ γίνεται τοσούτων ἐμβληθέντων ἁλῶν, ὡς μηκέτ' ἐγχωρεῖν ἐπιτήκεσθαι τοὺς ἐπεμβαλλομένους. καὶ τοῦτό σοι στήσαντι τὸ ὕδωρ ἁπάντων ὑδάτων εὑρεθήσεται βαρύτερον. ὥστ' ἔγωγέ ποτε μάταιον ἀπέδειξα τοῦ πλουσίου τὴν φιλοτιμίαν, ἐκ τῆς νεκρᾶς θαλάττης τοσοῦτο ὕδωρ κομίσαντος εἰς Ἰταλίαν, ὡς πληρῶσαι δεξαμενήν. ἑτοίμως γὰρ ἐποίησα ταὐτὸ, ἅλας παμπόλλους ἐμβαλὼν ὕδατι ποτίμῳ. μᾶλλον δ' ἂν ἔτι βαρύτερον ἐργάσαιο τὸ τοιοῦτο ὕδωρ, εἰ τήξας τοὺς ἅλας ὡς πλείστους ὑπὸ κυνὸς ἐπιτολὴν, ἡνίκα μάλιστα θάλπος ἐστὶ σφοδρότατον, ἐάσαις ἐξοπτηθῆναι, παραπλησίως τῷ κατὰ τὴν ἀσφαλτῖτιν λίμνην. οὕτω γὰρ ἔσται καὶ τοῦτο βαρὺ τὸ ὕδωρ ὡς ἐκεῖνο. καὶ εἰ ἐνδήσειας ἢ ἄνθρωπον ἢ ὁτιοῦν ἄλλο ἐμβάλλοις ζῶον εἰς αὐτὸ, παραπλησίως τοῖς πλοίοις ἐποχήσεται τῷ ὕδατι. καὶ μὲν δὴ (53) καὶ πικρότερον εὐθὺς ἔσται

invenerunt moderatam ad ſaliendum conficiendi ſalſuginem, ſi ovum in ea videatur natare; nam ubi etiamnum ſidit, ac nondum ſuper ſalſuginis ſuperficiem innatat, aquoſa magis eſt et dulcis; graviter vero ſalſa eſt, ubi tanta eſt ſalis copia indita, ut amplius liquari qui poſtea adiicitur nequeat. Quam aquam ſi pendere non gravaberis, omnium aquarum comperies graviſſimam. Itaque ego quandoque inanem eſſe divitis cujusdam ambitionem oſtendi, qui tantam in Italiam maris mortui aquam devexit, quae ciſternam implere poſſet; nam id ipſum ego expedite praeſtiti, ſale plurimo in aquam potabilem conjecto. Longe etiam graviorem ejusmodi effeceris aquam, ſi quamplurimum ſalis liquatum ſub Canis exortum, ubi potiſſimum aeſtus jam fuerit valentiſſimus, torreri ſiveris, haud aliter quam in ſtagno bituminoſo; ſic enim haec aqua perinde ut illa gravis efficietur, ac ſi ligatum hominem, aut aliud animal, in ipſam conjeceris, inſtar navis ſuper aquam fertur. Quin vero et amarior protinus

τὸ τοιοῦτο ὕδωρ, ὡς εἰ καὶ καθεψεῖν ὑπὸ πυρὸς αὐτὸ βουληθείης· ὅ τι γὰρ ἂν ἁλυκὸν ἐπὶ πλέον ἐκθερμήνῃς, ἔσται σοι πικρόν. οὕτω γοῦν καὶ αὐτὸ τὸ τῆς ἀσφαλτίτιδος λίμνης ὕδωρ ἐν κοίλῳ καὶ θερμῷ χωρίῳ περιεχόμενον ἐξοπτώμενόν θ᾽ ὑπὸ τοῦ ἡλίου γίγνεται πικρόν. διὰ τοῦτό γέ τοι καὶ τοῦ θέρους μᾶλλον ἢ χειμῶνός ἐστι πικρόν. καὶ εἰ ἀρυσάμενος αὐτοῦ τι καταθείης ἐν ἀγγείῳ κοίλῳ καὶ προσηλίῳ χωρίῳ, καθάπερ καὶ ἡμεῖς ἐποιήσαμεν ὥρᾳ θέρους, αὐτίκα μάλα πικρότερον αὐτοῦ φαίνεταί σοι γεγονός. ἀλλὰ ταῦτα μὲν ἅπαντα τοῖς ὀλίγον ἔμπροσθεν ὑπὲρ τῆς τοῦ πικροῦ γενέσεως εἰρημένοις ἱκανῶς μαρτυρεῖ. οὗ δ᾽ ἕνεκεν ὁ λόγος ἐπὶ τὴν ἀσφαλτῖτιν ἐξετράπετο λίμνην, οὔπω μοι πᾶν λέλεκται. φαίνεται γὰρ ἐν ἐκείνῳ τῷ ὕδατι μήτε ζῶον ἐγγιγνόμενόν τι μήτε φυτὸν, ἀλλὰ καὶ τῶν εἰς αὐτὴν ἐμβαλόντων ποταμῶν ἀμφοτέρων, μεγίστους καὶ πλείστους ἐχόντων ἰχθύας, καὶ μάλιστα τοῦ πλησίον Ἱεριχοῦντος, ὃν Ἰορδάνην ὀνομάζουσιν, οὐδ᾽ εἷς τῶν ἰχθύων ὑπερβαίνει τὰ στόματα τῶν ποταμῶν. κἂν εἰ συλλαβὼν δέ τις αὐτοὺς ἐμβάλοι τῇ λίμνῃ, διαφθειρομένους ὄψεται ταχέως· οὕτως τ.

quoque eiusmodi erit aqua, fi decoquere ipfam fuper ignem lubeat; nam quicquid falfum plufculum excalefeceris, amarum tibi evadet. Sic et ipfius bituminofi lacus aqua in cava calidaque regione contenta, dum fole torretur, amara efficitur; proindeque aeftate quam hieme amarior eft. Ac fi quid ejus hauftum in vafe cavo regioneque aprica, quemadmodum nos effecimus, aeftivo tempore deponas, continuo amarior fefe reddita videbitur. Verum haec omnia iis, quae paulo fuperius de amari generatione diximus, abunde fubfcribunt. Caeterum cuius gratia oratio ad bituminofum digreffa eft ftagnum, id nondum omne expofitum eft. Nullum enim in eo neque animal neque planta ineffe confpicitur; imo quum duo in eum fluvii confluant longe maximi pifciumque copia fcatentes, maxime qui prope Jerichontem fluit, quem Jordanem nominant, nullus omnino pifcium fluviorum oftia excedit, ac fi captos quis in lacum injiciat, celeriter mori confpicit; adeo eft omnibus tum hominibus

ἀκριβῶς πικρὸν ἅπασίν ἐστι καὶ ζώοις καὶ φυτοῖς πολέμιον, αὐχμῶδές τε καὶ ξηρὸν καὶ τὴν φύσιν οἷον περ αἴθαλος ὑπὸ τῆς κατοπτήσεως γεγεννημένον. καίτοι γε οὐδὲ τὸ τῆς λίμνης ἐκείνης ὕδωρ ἀκριβῶς ἐστι πικρὸν, ὅτι μηδ᾽ οἱ ἅλες αὐτοὶ, προσαγορεύουσι δ᾽ α᾽ τοὺς Σοδομηνοὺς ἀπὸ τῶν περιεχόντων τὴν λίμνην ὀρῶν ἃ καλεῖται Σόδομα, καὶ χρῶνται πολλοὶ τῶν περιοίκων εἰς ὅσα περ ἡμεῖς τοῖς ἄλλοις ἁλσί. δύναμις δ᾽ αὐτῶν οὐ ξηραντικὴ μόνον ἐπὶ μᾶλλόν ἐστι τῶν ἄλλων ἁλῶν, ἀλλὰ καὶ λεπτυντικὴ, διότι μᾶλλον τῶν ἄλλων ἐξώπτηνται. πᾶσι μὲν γὰρ τοῖς ἁλσὶν ὑπάρχει τι καὶ στυπτικὸν ἀμυδρὸν, ᾧ δὴ καὶ σφίγγουσι καὶ πιλοῦσι τὰ ταριχευόμενα τῶν κρεῶν καὶ μάλισθ᾽ ὅταν ὦσι χόνδροι τε καὶ δύσθραυστοι. [110] τοιοῦτοι δ᾽ εἰσὶν ἀκριβέστατοι μὲν οἱ πλεῖστοι τῶν ὀρυκτῶν, ἧττον δ᾽ αὐτῶν οἵ τ᾽ ἐκ τῆς θαλάττης καὶ πολλαχόθι τῆς γῆς ἐξ ὑδάτων ἐλαφρῶν ἀναξηρανθέντων γεννώμενοι. τρίτοι δ᾽ ἐπὶ τούτοις ὑπάρχουσιν οἱ ὀρυκτοὶ, ῥύπτειν μᾶλλον ἢ στύφειν τε καὶ συνάγειν πεφυκότες. ἐγγὺς δὲ τούτων εἰσὶ κατὰ τὴν δύναμιν οἱ Σοδο-

tum plantis inimicum quod exacte amarum est et quod squallidum pariter et siccum est, atque natura velut fuliginem ab exassatione referens. Quanquam ne illius quidem stagni aqua exacte amara sit; quippe quum nec ipse sal, vocant autem eum Sodomenum, a circumjacentibus stagnum montibus, quos Sodoma appellitant, multique ipsum accolae ad omnia, ad quae nos alio utimur sale, accommodant. Vis ejus non modo plus quam cujusvis alterius salis exiccatoria est, sed et extenuare nata, quia scilicet plus quam alius exassatus est. Omni enim sali obscura quaedam adstringendi vis inest, qua eas, quae condiuntur carnes constringit densatque potissimum, ubi durus et minime fragilis extiterit. Talis est exactissimus quidem fossilis fere omnis, minus autem illo marinus; tum qui multis in locis aquis leviter salsis arescentibus provenit, tertium locum obtinet abstergere magis quam adstringere contrahereque potens; proximas his vires habet Sodomiticus, aeque atque marinus durus; cae-

μηνοὶ χόνδροι μὲν ὄντες ὁμοίως τοῖς θαλαττίοις, ἀλλὰ διὰ τὴν ἀναμεμιγμένην αὐτοῖς πικρότητα ῥυπτικώτεροί τε καὶ διαφορητικώτεροι τῶν ἐκ τῆς θαλάττης ὑπάρχοντες. οὕτω δὲ δὴ καὶ τὸ νίτρον αὐτὸ καὶ ἀφρὸς αὐτοῦ καὶ τὸ συνθέτῳ προσηγορίᾳ καλούμενον ἀφρόνιτρον ἔτι μᾶλλον τῶν ἄλλων πέφυκε ῥύπτειν, ὡς ἂν ἥκιστα μὲν στύφοντα, πικρὰ δ᾽ ἀκριβῶς ὑπάρχοντα.

Κεφ. κα΄. Πλησίον μὲν γάρ ἐστιν ὁ ἁλυκὸς χυμὸς τοῦ πικροῦ, καὶ γὰρ γεώδεις ἀμφότεροι καὶ θερμοί. διαφέρουσι δ᾽ ὅμως οὐκ ἀσαφεῖ διαφορᾷ ἐν τῷ λεπτύνεσθαί τε καὶ κατειργάσθαι μᾶλλον ὑπὸ θερμότητος ξηρᾶς τὸν πικρόν. οὕτω δὲ δὴ καὶ αὐτῶν τῶν ἁλῶν ὅσοι σκληρότεροι καὶ πυκνότεροι καὶ γεωδέστεροι, τοιοῦτοι δ᾽ ὑπάρχουσιν ὀλίγου δεῖν οἱ ὀρυκτοὶ πάντες, ἧττον θερμοί τ᾽ εἰσὶ καὶ λεπτομερεῖς, ὅσοι δ᾽ εὔθρυπτοι καὶ χαῦνοι, λεπτομερέστεροί τε ἅμα καὶ θερμότεροι τὴν δύναμίν εἰσι, καί τινες ἐξ αὐτῶν ὑπόπικροι, μεταξύ πως ὑπάρχοντες ἁλῶν τε τῶν σκληρῶν καὶ ἀφρονίτρου. ἔστι μὲν οὖν δὴ καὶ αὐτῶν τῶν ἀφρονίτρων ἔνια σκληρὰ καὶ παχυμερῆ, καὶ οὐδὲ τήκεται ῥᾳδίως ἐφ᾽ ὕδατος. ἀλλ᾽

terum ob admixtum amarorem facultatem valentius abftergentem ac digerentem quam marinus poffidet. Sic et nitrum ipfum et ipfius fpuma et quod compofita appellatione vocatur aphronitrum, caeteris magis extergere poffunt, nempe quia minime adftringunt et exacte funt amara.

Cap. XXI. Etenim propinquus eft fapor falfus amaro, quippe terreni ambo funt et calidi; non obfcura tamen diverfitate diffident, quod videlicet amarus a calore arido plus fit extenuatus et elaboratus. Sic in genere falis, qui durior eft et denfior terreftriorque, qualis fere eft univerfus foffilis, minus calidus eft fubtiliumque minus partium; qui vero rumpi facilis laxusque, tenuior fimul et calidior eft; in quo genere eft et qui fubamarus eft, mediam quodammodo naturam inter falem durum et aphronitrum obtinens. Sane et inter aphronitra quaedam funt durae craffaeque effentiae, quaeque nec facile liquari in aqua queant.

οὐ περὶ τῶν μοχθηρῶν ὁ λόγος μοι νῦν, ἀλλ᾽ ὅσα κατὰ τοὔνομα πέφυκεν ἀφρώδη τὴν οὐσίαν, οἷός πέρ ἐστι καὶ αὐτὸς ὁ ἀφρὸς τοῦ νίτρου. λεπτομερέστατος γὰρ οὗτος ἁπάντων τῶν εἰρημένων, ὥσπερ γε καὶ τὸ τῆς Ἀσίας πέτρας ἄνθος. ἱκανῶς γὰρ καὶ τοῦτο λεπτομερὲς, ἀλλ᾽ ἧττον θερμὸν ἀφρονίτρου. διὸ καὶ τὰς ὑπεραυξανομένας σάρκας ἀλυπότερον ἀποτήκει, δάκνει δ᾽ αὐτὰς ἤδη τὸ ἄνθος τοῦ νίτρου, δάκνει δὲ καὶ τὸ ἀφρόνιτρον, οὐδὲν δὲ ἧττον καὶ τὸ νίτρον αὐτὸ, καίτοι γε ἧττον ἐκείνων ὑπάρχον θερμόν. ἀλλ᾽ εἴρηται καὶ πρόσθεν ὡς ἡ παχυμερὴς οὐσία διαβιβρώσκει μᾶλλον, ὅταν γε μετέχῃ δηλονότι θερμότητός τινος. οὐδὲν γὰρ αὐτῆς μόριον ἀλύπως καὶ ταχέως διεξέρχεται, καθάπερ τῆς λεπτομεροῦς, ἀλλ᾽ ἰσχόμενον καὶ μένον ἀεὶ καὶ βραδῦνον ἐν χρόνῳ τε πλείονι προσεδρεῦον ἑνὶ τόπῳ τοῦ σώματος ἡμῶν ἀνιαρὸν εἰκότως γίγνεται, δίκην σκόλοπος ἐμπεπηγότος τῇ σαρκί.

Κεφ. κβ΄. Ἐπεὶ δὲ περὶ τῶν χυμῶν ἁπάντων εἴρηται τὰ εἰκότα, λείποιτ᾽ ἂν ἔτι καὶ περὶ τῶν ἀτμῶν εἰπεῖν. ἐπὶ

Verum de pravis non eſt in hoc loco nobis sermo, ſed de iis, quae juxta nominis rationem eſſentiam habent ſpumoſam, qualis utique eſt et ipſa nitri ſpuma. Eſt enim ea omnium modo dictorum tenuiſſima, velut et Aſiae petrae flos, multum enim et hic quoque tenuis eſt, ſed aphronitro minus calidus. Quare utique carnium excreſcentiam minore cruciatu colliquat; mordicat autem eas nitri flos; mordicat vero et aphronitrum; nec ſecius quoque et ipſum nitrum, tametſi illis ſit minus calidum. Verum ſupra monuimus eſſentiam craſſam plus erodere, ubi nimirum calorem quendam nacta fuerit. Nulla enim ejus pars ſine cruciatu celeriterque tranſit, ſicut ejus quae ſubtilis eſt, verum retenta et immorans ac tardans pluſculoque tempore uni corporis noſtri particulae inhaerens, haud immerito moleſta redditur, inſtar pali carni infixi.

Cap. XXII. Caeterum ubi de ſaporibus omnibus quae convenire viſa ſunt expoſuimus, reliquum fuerit de

τούτῳ γὰρ τῷ γένει τῶν αἰσθητικῶν τὴν τῆς ὀσμῆς αἴσθησιν ἡ φύσις ἐδημιούργησεν. οἱ μὲν δὴ πλεῖστοι τοῖς χυμοῖς αὐτοῖς ὁμοίως ἡμᾶς διατιθέασιν. τά τε γὰρ ὀξέα πάντα καὶ πρὸ τούτων ὄξος αὐτὸ τὴν ὄσφρησίν τε καὶ τὴν γεῦσιν ὡσαύτως κινεῖ, τά τε δριμέα, καθάπερ σκόροδα καὶ κρόμμυα, καὶ ταῦτ᾽ οὐδὲν ἧττον τῆς γεύσεως ἀνιᾷ τε καὶ δάκνει τὴν ὄσφρησιν. οὕτω δὲ καὶ καθ᾽ ἕκαστον τῶν ἄλλων ὁμοία σχεδὸν ἡ τῆς ὀσμῆς αἴσθησίς ἐστι τῇ τῆς γεύσεως, ὥστε ἐνίων σωμάτων οὐδὲ γευσάμενοί ποτε, καθάπερ τῆς κόπρου, γιγνώσκομεν τὴν ποιότητα, καὶ κατὰ τοῦτό γε [111] τὴν ἀρχὴν οὐδ᾽ ἐπιχειροῦμεν γεύεσθαι, τῷ πάνυ σφόδρα πιστεύειν τῇ ὀσφρήσει. καὶ μέντοι καὶ τῶν εὐωδῶν ἐδεσμάτων ὅσα διασαπέντα κατὰ τὴν ὀσμὴν ἡμᾶς ἀνιᾷ, καὶ ταῦτ᾽ εὐθέως ἀποῤῥιπτοῦμεν, οὐδ᾽ ἐπιχειροῦντες γεύεσθαι, καὶ σχεδὸν ἐπὶ πάντων ὁμολογοῦσιν ἀλλήλαις ὄσφρησίς τε καὶ γεῦσις. ἐπὶ μέντοι τῶν ἡδίστων, οἷά περ καὶ τὰ ῥόδα, διαφέρουσί τε καὶ πάμπολυ διεστήκασιν. οὐ μόνον γὰρ οὐχ ἡδέα γευομένοις ἐστὶν, ἀλλὰ καὶ πικρότητος οὐκ ὀλίγον

vaporibus differere; quippe quum hujus fenfibilium generis gratia odoris fenfum natura crearit. Sane plerique fimiliter faporibus nos afficiunt. Siquidem acida omnia et ante ifta ipfum adeo acetum fimiliter odoratum guftumque movet; tum acria quoque, velut allia, caepae et ipfa non minus quam guftum, odoratum quoque offendunt mordicantque. Sic in aliis figillatim fimilis propemodum eft odoris fenfus fenfui guftus. Itaque quorundam corporum etiam non guftantes qualitatem cognofcimus, veluti fimi; proinde omnino ne guftare quidem aggredimur, quia fcilicet admodum fides habeatur odoratui. Quin etiam fi qua boni odoris edulia putrilagine corrupta odore nos fuo offendunt, protinus ea abjicimus, haud guftare dignati. Fereque in omnibus mutuo confentiunt odoratus et guftus; attamen in odore fuaviffimis, velut rofa, plurimum differunt diffidentque; tantum enim abeft, ut guftantibus fuavia fint, ut amaritudinem non paucam prae fe ferant, tametfi amarum nunquam odo-

ἐμφαίνει. καίτοι τόγε πικρὸν οὐδέποτ᾽ ἦν εὐῶδες οὐδ᾽ ὡς φάρμακον, οὐδ᾽ ὡς τροφὴ ἡμῖν ἡδύ. τίς οὖν ἡ τῆς διαφωνίας ταύτης αἰτία, διὸ καὶ Θεόφραστος μὲν ἐζήτησεν, ἄμεινον δ᾽ ἴσως καὶ ἡμᾶς ὅσα γιγνώσκομεν ὑπὲρ αὐτῆς εἰπεῖν. ἡ τοῦ πικροῦ γένεσις χυμοῦ ἐκ τῶν γλυκέων ὑπὸ θερμότητος λεπτυνομένων ἐφαίνετο συνίστασθαι καὶ εἶναι δηλονότι θερμότερά τε καὶ λεπτομερέστερα τῇ κράσει τὰ πικρὰ τῶν γλυκέων, ἀλλὰ καὶ ἡ τῆς ὀσμῆς αἴσθησις ἔν τε ταῖς κοιλίαις αὐταῖς γίγνεται τοῦ ἐγκεφάλου, καθότι καὶ δέδεικταί μοι περὶ τούτων ἑτέρωθι, καὶ οὐσία τῶν ὀσφρητῶν ἀτμώδης ἐστί. τὰ γὰρ ἀποῤῥέοντα τῶν σωμάτων ἀναμιγνύμενα τῷ περιέχοντι, κἄπειτα διὰ τῆς κατὰ τὰς ῥῖνας εἰσπνοῆς εἰς τὸν ἐγκέφαλον ἐνεχθέντα, κινεῖ τὴν αἴσθησιν. εὐλόγως οὖν ὅσα μὲν ὀσμώδη πάντα καὶ θερμά· τὸ γὰρ τῶν ἀτμῶν πλῆθος ἐπὶ θερμότητι· οὐ μὴν εὐθὺς καὶ πᾶν ὀσμῶδες ἡδὺ, διότι μηδ᾽ οἰκεῖόν ἐστιν ἅπαν τοῦ κατὰ τὰς κοιλίας τοῦ ἐγκεφάλου πνεύματος. ὥσπερ γὰρ τῶν προσπιπτόντων τῇ

ratum eſt, neque ut medicamentum nobis ſuave, neque ut cibus: Quaenam igitur hujus ſit diſſonantiae cauſa, licet Theophraſtus quaeſierit, tamen praeſtiterit et quae nos de ea cognoſcimus exponere. Amari ſaporis generationem ex dulcibus a calore extenuatis provenire jam clare docuimus; apparuitque calidiora ſimul et tenuiora temperie eſſe amara, quam dulcia. Sed et odoris ſenſus in ipſis cerebri eſt ventriculis, velut et id quoque alibi a nobis demonſtratum eſt; et odorabilium vaporoſa eſt ſubſtantia. Ea enim quae a corporibus defluunt, ambienti permixta ac deinde per narium inſpirationem in cerebrum delata, ſenſum movent. Recta ergo ratione quaecunque odorata eadem et calida ſunt, quippe quum vaporum copia a calore proveniat; non tamen protinus quicquid odoratum eſt ſuave eſſe colligitur, ſiquidem non omne id ſpiritui in cerebri ventriculis contento familiare eſt. Etenim quemadmodum qui linguae obveniunt ſapores, ii qui familiariſſimi, iidem et dulces erant; qui vero non familiares, complures habebant differen-

γλώττη χυμῶν οἱ μὲν οἰκειότατοι γλυκεῖς ἦσαν, οἱ δ᾽ οὐκ οἰκεῖοι πολλὰς ἐκέκτηντο διαφορὰς, οὕτω καὶ τῶν ἀτμῶν οἱ μὲν οἰκεῖοι τῷ κατὰ τὸν ἐγκέφαλον πνεύματι φίλιοί τ᾽ εἰσὶ καὶ ἡδεῖς, οἱ δ᾽ οὐκ οἰκεῖοι διαφέρουσι μὲν ἀλλήλων οὐκ ὀλίγαις διαφοραῖς, ὀνόματα δ᾽ αὐταῖς ἁπάσαις οὐ κεῖται καθάπερ ἐπὶ τῶν χυμῶν. ὀξεῖαν μὲν γάρ τινα καὶ δριμεῖαν ὀσμὴν ἔχειν τόδε τί φαμεν, αὐστηρὰν δὲ ἢ στρυφνὴν ἢ ἁλυκὴν, ἢ πικρὰν οὐκέτι λέγομεν, ἀλλ᾽ εἰς δύο (54) ταύτας ἀνάγομεν προσηγορίας τὰ πλεῖστα τῶν ὀσφρητῶν, εὐώδη τε καὶ δυσώδη προσαγορεύοντες· εὐώδη μὲν ἀνάλογον τοῖς πρὸς τὴν γλῶτταν γλυκέσι, δυσώδη δὲ τοῖς μὴ γλυκέσιν. ἀνώνυμον γὰρ, ὅσον ἐπί γε τῶν χυμῶν ἐστιν, ἑνὶ προσρήματι τὸ τούτων γένος. ἔοικε δὲ τῶν οὐκ ὀσμωδῶν σωμάτων ἤτοι παντελῶς ὀλίγον ἀποῤῥεῖν, ἢ τοῖς ὄγκοις ἀσύμμετρον, ὡς ἐπὶ τῶν ἀκριβῶς ἁλυκῶν καὶ στρυφνῶν. ἀκριβῶς δ᾽ ὅταν εἴπω τι τοῖον ἢ τοῖον ὑπάρχειν, εἰλικρινὲς καὶ ἄμικτον αὐτὸ, καθόσον οἷόν τε ποιότητος ἑτέρας εἶναι φημί. παχυμερής τε γὰρ ἀμφοῖν ἡ οὐσία καὶ πρὸς τούτῳ ψυχρὰ τῶν στρυφνῶν,

tias, ita odores, qui familiares funt cerebri fpiritui, iidem et grati funt et fuaves, qui vero non familiares multis differentiis a fefe mutuo diffident; caeterum non omnibus impofita funt nomina, perinde ut faporibus. Dicimus enim quippiam acidum acremque habere odorem, fed aufterum, acerbum, falfum aut amarum haud etiam dicimus. Verum in hafce duas appellationes odorabilium pleraque reducimus, beneolentia et graveolentia appellantes; beneolentia quidem proportione quadam ad ea quae linguae funt dulcia; graveolentia vero ad ea quae non dulcia; uno enim nomine totum hoc in faporibus genus appellari nequit. Videtur autem a corporibus non odoratis aut omnino paucum defluere, aut quod pro mole fua fit immoderatum, ficut in iis quae exacte tum falfa tum acerba funt. Exacte autem quum tale aut tale quid dicimus, fincerum et quantum fieri poffit alterius qualitatis expers dicimus. Siquidem craffa utrisque effentia eft et praeter hoc acerborum etiam

ὥστ᾽ εἰκὸς καὶ τὸ ἀποῤῥέον αὐτῶν ὀλίγον τε εἶναι καὶ παχὺ καὶ οἷον γεῶδες τοῖς ὄγκοις, καὶ διὰ τοῦτο μηδ᾽ ἐμπίπτειν ἐν ταῖς ἀναπνοαῖς εἰς τὸν ἐγκέφαλον.

Κεφ. κγ΄. Ὅθεν οὐδ᾽ ἀσφαλὲς ἐξ ὀσμῆς τεκμαίρεσθαι περὶ τῆς κράσεως τῶν αἰσθητῶν, ὥσπερ ἐκ τῆς γεύσεως. τὰ μὲν γὰρ ἄοσμα παχυμερῆ ταῖς οὐσίαις, ἀλλ᾽ οὔπω δῆλον ὅπως ἔχῃ θερμότητος καὶ ψύξεως, τὰ δ᾽ ὀσμώδη λεπτομερῆ τέ πώς ἐστι καὶ θερμά. τὸ μέντοι ποσὸν τῆς λεπτομερείας ἢ τῆς θερμότητος οὐκέτ᾽ ἐνδείκνυται. τὸ δὲ δὴ μέγιστον ἅπασι τοῖς ὀσμώδεσιν εἰς τὸ μηδὲν ἐνδείκνυσθαι σαφὲς ὑπὲρ τῆς κράσεως ἡ ἀνωμαλία τῆς οὐσίας ἐστὶν, ὑπὲρ ἧς εἴρηταί μοι πολλάκις ἤδη, δεικνύοντι τὰ πλεῖστα τῶν σωμάτων ἀνομοιομερῆ ταῖς ὑποστάσεσιν ὑπάρχοντα. [112] λεχθήσεται δὲ καὶ νῦν ἕνεκα σαφηνείας ἕν τι παράδειγμα. τὸ ῥόδον τοίνυν οὐ ταύτῃ μόνον ἀνομοιομερές ἐστιν, ᾗ τὸ μέν τι περιέχον ἐν αὐτῷ, τὸ δέ τι περιεχόμενόν ἐστι, περιέχον μὲν τὸ σκληρὸν καὶ γεῶδες, ἐν τούτῳ δὲ πε-

frigida; quare verifimile eft quod ab iis deflnit paucum effe et craffum et mole fua terreum, ac proinde per infpirationem in cerebrum non incidere.

Cap. XXIII. Itaque haud tutum eft ex odore de fenfibilium temperie conjicere perinde ut ex guftu. Nam quae odore carent craffam quidem effentiam obtinent, caeterum quae fit eorum in calore frigoreque natura, id vero nondum conftat. At quae odorata funt tenuia utique funt quadantenus et calida, verum ejus tenuitatis caliditatisque quantitas haud etiam indicatur. Porro maxima potiffimaque caufa cur in odoratis nihil evidens de temperie indicari queat inaequalitas eft fubftantiae, de qua faepenumero verba mihi jam habita funt, ubi demonftrabam corpora pleraque diffimilari effe fubfiftentia. Ac nunc quoque etiam claritatis gratia unum exemplum proponam, nempe rofam, quae non ea modo ratione diffimilaris eft, qua pars quidem ejus continet, pars vero continetur, continens quidem durum et terreum, quod continetur fuccus eft humidus, imo

ριεχόμενος ὑγρός τις χυλός. ἀλλ᾽ ὅτι καὶ αὐτοῦ τοῦ χυλοῦ τρία περιττώματα, καθότι καὶ πρόσθεν ἐδείκνυμεν, ἀναγκαῖον ὑπάρχειν, ἓν μὲν γεῶδες, οἷόν περ ἐν τοῖς οἴνοις ἡ τρύξ, ἕτερον δὲ ἀερῶδες, ἀνάλογον δὲ καὶ τοῦτο τῷ κατὰ τοὺς οἴνους ἄνθει, τὸ τρίτον ὑδατῶδες, ὅπερ ἐν ἅπασι τὴν ζέσιν αὐτῶν ἔφαμεν ἐργάζεσθαι καὶ τὴν φθορὰν, ἐπειδὰν μὲν μὴ κρατηθῇ μηδ᾽ ἀλλοιωθῇ τελέως ἐν τῷ χρόνῳ τῆς ζέσεως. ἕνεκά γε τοιούτου τοῦ περιττώματος ἔνιοι μὲν ἑψήσαντες ἀποτίθενται τοὺς χυλοὺς, ἔνιοι δ᾽ ἐν ἡλίῳ σφοδρῷ προξηράναντες. ἕνεκα μὲν γὰρ τοῦ γεώδους τε καὶ ἀερώδους οὐ πάνυ τι δεδίασι φθαρῆναι τοὺς χυλοὺς, ὁρῶντες αὐτὰ καὶ διακρινόμενα καὶ δύσσηπτα ταῖς οὐσίαις ὑπάρχοντα, διότι καὶ ξηρὰ ταῖς κράσεσιν. ἀλλὰ περὶ μὲν τούτων ἱκανῶς εἴρηται πρόσθεν. ἐν δὲ τῇ τοῦ ῥόδου φύσει τὸ μέν ἐστι στρυφνὸν γευομένοις, ὅπερ ἀναγκαῖον εἶναι γεῶδές τε καὶ παχυμερὲς καὶ ψυχρὸν, ἕτερον δὲ πικρὸν, ὃ δὴ λεπτομερές τ᾽ ἐστὶ καὶ θερμὸν, καὶ τρίτον ἐπὶ τούτοις τὸ ὑδατῶδες, ψυχρὸν μὲν ἐξ ἀνάγκης, ἀλλ᾽ ἐν τῇ κατὰ τὸ λεπτομερές τε καὶ παχυμερὲς

et fucci ipfius tria funt excrementa, quemadmodum fupra neceffarium effe demonftratum eft, unum terreum, quale eft in vinis faex, alterum aëreum, quod ipfum quoque vini flori proportione refpondet, tertium aqueum, quod in omnibus ebullitionem efficere corruptionemque diximus, ubi nimirum neque devictum neque plane alteratum ebullitionibus tempore fuerit. Sane hujus excrementi gratia quidam fuccos non nifi coctos reponunt, alii in fole ferventi praeficcatos; nam propter terrenum aëreumque non admodum corrumpendos metuunt, quum ea et feparari videant, aegreque corruptibilem fortita fubftantiam, quandoquidem temperamentum nacta funt ficcum. Sed de iftis fupra abunde differuimus. Caeterum in rofae natura aliud guftantibus acerbum eft, quod terreum ut fit et craffum frigidumque neceffe eft, aliud vero amarum, quod tenue eft et calidum, et tertium in iis aqueum neceffario quidem frigidum, fed in tenuitatis craffitieique oppofitione quadantenus

ἀντιθέσει μέσον πως ὑπάρχον τῶν ἄκρων, οὗ τῇ μίξει καὶ τὸ στρυφνὸν καὶ τὸ πικρὸν οὐκ ἔστιν ἄκρως τοιοῦτον ἑκάτερον οἷόν περ λέγεται· πάσας γὰρ ἐκλύει τὰς ποιότητας ἡ τοῦ ὑδατώδους ἐπιμιξία. τοῦτ᾽ οὖν αὐτὸ τὸ ὑδατῶδες ἔοικέ πως ἤδη τε καὶ κατειργάσθαι καὶ λελεπτύνθαι καὶ τεθερμάνθαι, καὶ διὰ τοῦτο ῥᾳδίως εἰς ἀτμοὺς ἄγεσθαι καὶ ταύτῃ τὸ ῥόδον ὀσμῶδές τε εἶναι καὶ ξηραίνεσθαι τάχιστα. καὶ ταῦθ᾽ ὑπὲρ αὐτοῦ πάντα διὰ μὲν τῆς γεύσεως ἔνεστι τεκμήρασθαι, διὰ δὲ τῆς ὀσμῆς οὐχ οἷόν τε τῷ μήθ᾽ ὁμοίως ἀτμίζειν ἅπαντ᾽ αὐτοῦ τὰ μόρια μήθ᾽ ὁμοίως κινεῖν τὴν αἴσθησιν. ἐπὶ δὲ τῆς γεύσεως ἅπανθ᾽ ὁμοίως τὰ μόρια τῶν γευστῶν σωμάτων προσπίπτει τῇ γλώττῃ καὶ κινεῖ τὴν αἴσθησιν ἕκαστον αὐτῶν κατὰ τὴν ἑαυτοῦ φύσιν, ὥστ᾽ οὐκ ἀσφαλὲς, ὡς εἴρηται, περὶ τῆς τῶν φαρμάκων δυνάμεως ἁπάσης ἐξ ὀσμῆς τεκμαίρεσθαι. ταυτὶ γὰρ μόνα διαγνῶναι δυνατὸν, ὅσα περ εἴρηται νῦν. ἔτι δὲ μᾶλλον οὐδ᾽ ἐκ τῶν χρωμάτων ἔνεστι στοχάσασθαί τι περὶ τῆς τῶν φαρμάκων δυνάμεως. καθ᾽ ἑκάστην γὰρ χρόαν εὑρίσκεται καὶ θερμὰ καὶ ψυχρὰ καὶ ξηρὰ καὶ ὑγρὰ, καθότι κἀν τοῖς πρώτοις ὑπο-

ſummorum medium, cujus mixtura, neque ipſum illud acerbum, neque ipſum amarum, ſumme eſt tale, quale dicitur, qualitates enim omnes exſolvit aquae admixtio. Ipſum itaque hoc aqueum elaboratum extenuatumque atque excalefactum quodammodo videtur, ac proinde facile in vaporem ſolvi et hac ratione roſa, tum odorata eſſe, tum celerrime reſiccari. Atque haec omnia de eo ex guſtu conjicias, at per odorem haud aeque, quippe quum non aeque omnes ejus partes evaporent, nec perinde ſenſum moveant. In guſtu autem omnes ſimiliter guſtabilium corporum particulae in linguam incidunt, ſenſumque movent pro ſua natura ſingulae. Quare certum tutumque, ut diximus, non eſt de tota medicamentorum facultate ex odore conjicere; nam ea ſola agnoſci poſſunt, quae modo poſuimus. Multo minus ex coloribus de medicamentorum viribus colligere quid valeas, quippe quum in ſingulis coloribus calida, frigida, humida ſiccaque reperias, quemadmodum

μνήμασι τῇσδε τῆς πραγματείας ἀποδέδεικταί μοι. καθ᾽ ἕκαστον μέντοι γένος ἢ σπέρματος ἢ ῥίζης ἢ χυλοῦ δυνατόν ἐστι κἀκ τῆς χρόας ἔνδειξίν τινα λαβεῖν τῆς κράσεως, οἷον αὐτίκα καὶ κρόμμυον καὶ σκίλλα καὶ οἶνος, εἰς ὅσον ἂν ᾖ λευκότερα καὶ ἧττόν ἐστι θερμά. τὰ δ᾽ ὑπόξανθά τε καὶ κιῤῥὰ θερμότερα, καὶ πυροὶ δὲ καὶ κέγχροι καὶ ὦχροι καὶ φάσηλοι καὶ ἐρέβινθοι καὶ ἡ τῆς ἴρεως ῥίζα καὶ ἡ τοῦ ἀσφοδέλου καὶ πολλῶν ἄλλων ὅμοιόν τι πεπόνθασιν. ἐν ἑκάστῳ γὰρ γένει τοὐπίπαν, ὅσα κιῤῥὰ καὶ ξανθὰ καὶ ἐρυθρὰ, θερμότερα τῶν λευκῶν ἐστιν, ὥστ᾽ εἴ τι κἀντεῦθεν ἐγχωρεῖ περὶ φαρμάκων δυνάμεως τεκμαίρεσθαι, προσκείσθω τῷ λόγῳ κάλλιστον μὲν, ὡς εἴρηταί τε καὶ λέλεκται πολλάκις, ἐκ τῆς διωρισμένης πείρας ἐξευρίσκειν τὰς δυνάμεις. οὐ γὰρ ἂν σφαλείης οὐδὲ ἐν τῇδε, πρὶν μέντοι τῇ πείρᾳ διαγνῶναι τὴν δύναμιν, ἡ γεῦσις ἐνδείκνυται τὰ πολλὰ, συνεπιμαρτυρούσης, ὡς εἴρηται, βραχέα καὶ τῆς ὀσμῆς.

in primis hujus operis commentariis oſtendimus. In quoque tamen ſigillatim genere aut ſeminis aut radicis aut ſucci ex colore indicationem quandam liceat ſumere, utpote caepa, ſcilla, vinum, quanto fuerint albidiora, tanto et minus ſunt calida, quae vero ſubflava fulvaque, calidiora. Idem uſu venit tritico, milio, ochris, phaſelis, ciceri, ireos radici aſphodelique, aliisque compluribus; in quoque enim genere in univerſum fulva, flava rubraque omnia albis ſunt calidiora. Itaque etſi hinc quoque de medicamentorum viribus conjectura fieri queat, tamen ſermoni adjiciatur, optimum ſane eſſe, ut et dictum et oſtenſum ſaepenumero eſt, per experientiam diſcretam facultates invenire; in hac enim falli non poſſint, quanquam prius quam experientia virtutem agnoſcas, guſtus pleraque indicet, pauculum etiam, ut dictum eſt, approbante ipſo odore.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΑΣΕΩΣ ΚΑΙ ΔΥΝΑΜΕΩΣ ΤΩΝ ΑΠΛΩΝ ΦΑΡΜΑΚΩΝ ΒΙΒΛΙΟΝ Ε.

Ed. Chart. XIII. [113.] Ed. Baſ. II. (54.)

Κεφ. α'. Πέμπτον τοῦτον ἐνστησάμενος λόγον ὑπὲρ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, ἀναμνήσω πρῶτον ὧν ἐν τοῖς ἔμπροσθεν ἀπέδειξα χρησίμων εἰς τὰ παρόντα, ποιησάμενος τὴν ἀρχὴν ἀπὸ τῶν στοιχείων, ὕδατός τε καὶ πυρὸς, ἀέρος τε καὶ γῆς, ἅπερ ἔνιοι παρονομάζοντες ἀπὸ τῶν ποιοτήτων ὑγρὸν καὶ ξηρὸν καὶ θερμὸν καὶ ψυχρὸν εἶναί φασιν. αὗται μὲν οὖν αἱ ποιότητες, ὑγρότης τε καὶ ξηρότης,

GALENI DE SIMPLICIVM MEDICAMENTORVM TEMPERAMENTIS AC FACVLTATIBVS LIBER V.

Cap. I. Quintum librum de ſimplicium medicamentorum facultatibus orſurus, ea primum repetam quae ſupra demonſtrata in rem praeſentem cenſentur accommoda, ſumpto ab elementis principio, aqua videlicet, igne, aëre ac terra, quae nonnulli a qualitatibus denominantes, humidum, calidum, ſiccum et frigidum eſſe ajunt. Sunt ergo qualitates hae, humiditas, ſiccitas, caliditas, frigiditas,

θερμότης τε καὶ ψυχρότης εἰσί. τὰ δ' ἀπ' αὐτῶν παρονομαζόμενα σώματα τά τε κοινὰ πάντων ἐστὶ στοιχεῖα καὶ τὰ κατ' ἐπικράτησίν τινος τούτων, ὑγρὰ καὶ ξηρὰ καὶ ψυχρὰ καὶ θερμὰ προσαγορευόμενα, καὶ τὰ πρὸς τὸ σύμμετρον ὁμογενὲς, ἢ ὁμοειδὲς παραβαλλόμενα καὶ τὰ πρὸς ὁτιοῦν τὸ ἐπιτυχόν. περὶ μὲν δὴ τῆς ἐν τούτοις διαφορᾶς εἴρηται πολλάκις, εἴρηται δ' οὐδὲν ἧττον καὶ ὅπῃ διαφέρει τροφὴ φαρμάκου, καὶ ὡς ἡ μὲν τροφὴ κρατεῖταί τε καὶ νικᾶται πρὸς τοῦ τρεφομένου. τὸ φάρμακον δὲ ἔμπαλιν αὐτὸ νικᾷ καὶ κρατεῖ τοῦ σώματος οὗπερ ἂν ὑπάρχῃ φάρμακον· ἐν τῷ πρός τι γὰρ ἑκατέρων εἶναι τὴν νόησιν. ἐδείχθη δὲ καὶ ὡς ἤτοι κατὰ μίαν ἡντιναοῦν ποιότητα τὸ φάρμακον ἀλλοιοῦν πέφυκεν, ἢ θερμαῖνον ἢ ψῦχον ἢ ξηραῖνον ἢ ὑγραῖνον ἢ κατὰ συζυγίαν τινὰ τῶν εἰρημένων, ἢ καθ' ὅλην αὐτοῦ τὴν οὐσίαν, ὥσπερ τῶν τε δηλητηρίων ἔνια καὶ τῶν ἀλεξητηρίων οὐκ ὀλίγα καὶ τὰ καθαίροντα πάντα καὶ τῶν ἐπισπαστικῶν ὀνομαζομένων πολλά. περὶ δὲ τούτων ἔτι μοι δο-

Quae vero ab illis denominantur corpora, ea funt tum communia omnium elementa, tum ea quae per harum excellentiam aut humida, aut ficca, aut calida, aut frigida nuncupantur; tum ea quae ad fymmetrum generis ejusdem aut fpeciei conferuntur, quaeque ad quidvis obvium. Sane de horum differentia frequenter tractavimus. Nec minus diximus quatenus differat nutrimentum a medicamento, et quod nutrimentum vincitur ac fuperatur ab eo quod nutritur, medicamentum autem contra, ipfum enim vincit atque fuperat corpus, cujus fuerit medicamentum, quippe quum utriusque referatur ad aliquid notio. Oftenfum praeterea eft medicamentum alterare natum effe, aut una quapiam qualitate, nempe aut calefaciendo, aut refrigerando, aut humectando, aut ficcando, aut dictorum conjugatione quapiam, aut tota fua fubftantia, ficuti complura deleteriorum, feu lethalium medicamentorum, nec pauca alexiteriorum, feu amuletorum, tum purgantia omnia, ac pleraque eorum quae attrahentia nuncupant. Sed de iftis quae reliqua

κῶ προσθήσειν ἐν τοῖς ἑξῆς τὰ λείποντα. [114] τὰ δὲ κατὰ μίαν ἢ δύο ποιότητας ἐνεργοῦντα περὶ τὸ σύμπαν ἡμῶν σῶμα κατὰ τόδε τὸ γράμμα δίειμι, λαβὼν κἀνταῦθα πάλιν ὑπόθεσιν ἀποδε(55)δειγμένην ἐν τοῖς ἔμπροσθεν, ὡς τὰ πλεῖστα τῶν ἁπλῶν φαρμάκων ἀνομοιομερῆ τε καὶ σύνθετα κατά γε τὴν ἀλήθειάν ἐστιν, ὀνομάζεται δὲ ἁπλᾶ τῷ φύσει τοιαῦτα ὑπάρχειν οἷάπερ ἐστὶν, οὐδὲν ἐξ ἐπιτεχνήσεως ἡμετέρας προσειληφότα. καὶ μὲν δὴ καὶ ὡς τὰ μέν τινα παχυμερῆ καὶ γεώδη ταῖς οὐσίαις ἐστὶν, τὰ δὲ λεπτομερῆ καὶ ἀερώδη, τὰ δ᾽ οἷον ὑδατώδη τε καὶ μέσα τῶν εἰρημένων, ἐπιδεδειγμένα καὶ ταῦτ᾽ ἐν τοῖς ἔμπροσθεν λόγοις ὑποθέσεις ἔστωσάν μοι πρὸς τὰ μέλλοντα λεχθήσεσθαι. τούτων οὖν ὑποκειμένων ἀρκτέον ἤδη τοῦ λόγου.

Κεφ. β΄. Ἡ χρεία τῶν φαρμάκων τοῖς ἀνθρώποις γίγνεται πολλάκις μὲν ὡς αὐτὸ τοῦτο μόνον, ἤτοι θερμαινόντων ἢ ψυχόντων ἢ ὑγραινόντων ἢ ξηραινόντων, ἢ κατὰ συζυγίαν τινὰ τούτων ἐνεργούντων, ἐνίοτε δὲ ὡς ἤδη τὸ πέρας τοῦ μετρίου κεχαλασμένον, ἐπιτεινόντων τε καὶ συνα-

ſunt, infra adjiciam. Quae vero una duabusve qualitatibus in univerſum corpus noſtrum agunt, ea hoc in libro exponam, rursum hic sumpta hypotheſi ſuperius demonſtrata, quod ſimplicium medicamentorum pleraque diſſimilarium ſint partium, reque vera compoſita, caeterum appellantur ſimplicia, quod cujusmodi ſunt, talia natura ſint, nec quicquam ex noſtra induſtria aſſumpſerint, quin etiam quod quaedam craſſarum ſint partium et terrena ſuis ſubſtantiis, quaedam tenuia et aërea, alia vero aquea et dictorum media. Haec quum ſint ſuperioribus libris demonſtrata, hypotheſes mihi ſunto ad ea quae nunc dicenda veniunt. His ergo ſuppoſitis ordienda jam oratio eſt.

Cap. II. Uſus eſt frequenter hominibus medicamentorum ob id ipſum tantummodo, ut aut refrigerent, aut humectent, aut caleſaciant, aut ſiccent, aut per conjugationem horum quid agant. Interim vero, ut quod ſupra modum laxatum eſt contendant atque contrahant, aut

γόντων, ἢ τὸ συντεταμένον χαλώντων, ἢ ἀραιούντων τὸ πεπυκνωμένον ἢ πυκνούντων τὸ μανὸν, ἢ μαλαττόντων τὸ σκληρὸν ἢ σκληρυνόντων ἀμέτρους μαλακότητας, ἢ κενούντων τὸ πλῆρες ἢ πληρούντων τὸ κενὸν, ἤ τι τοιοῦτον ἕτερον ἐργαζομένων. ὁ μὲν γὰρ ἐψυγμένος οὐκ ἰατρὸς μόνον, ἀλλὰ καὶ ἰδιώτης ὁστισοῦν, ὑπ᾽ αὐτῆς τοῦ πράγματος τῆς φύσεως ἀγόμενος, ἐξευρεῖν ἐπιθυμεῖ θερμαῖνον φάρμακον, οὕτως ὑπὸ καυσώδους πυρετοῦ διακαιόμενος ἐμψῦχον. οὕτω δὲ καὶ πλαδαρὸν ἕλκος ἔχων ἰδιώτης ὁστισοῦν ξηρᾶναι κελεύει τὸν ἰατρὸν αὐτὸ, καὶ εἰ ξηρὸν εἴη καὶ ἄνικμον, ὑγρᾶναι. καὶ δὴ καὶ ξηρότητος ἅμα θερμότητι καθ᾽ ὅλον αἰσθανόμενοι τὸ σῶμα, ὥσπερ καὶ οἵ τε ἐγκαυθέντες καὶ κοπωθέντες λούεσθαί τε ποθοῦσι καὶ πίνουσιν ὕδατος ψυχροῦ, καὶ πᾶν ὅ τι περ ἂν ὑγραίνειν τε ἅμα καὶ ψύχειν ἱκανὸν ᾖ, τοῦτο ἐξευρίσκειν μηχανῶνται, καὶ πορίζονταί γε πολλάκις ὑπ᾽ αὐτῆς τῆς φύσεως ἀγόμενοι πολλοὶ τῶν ἰδιωτῶν τὰ τούτων ἰάματα. φλεγμονῆς μέντοι καὶ σκίῤῥου καὶ οἰδήματος, ἐρυσιπέλατός τε καὶ σηπεδόνος, ἕρπητός τε καὶ γαγγραίνης, οὐκέτ᾽ οὐδεὶς

quod intenſum eſt laxent, aut quod condenſatum eſt rarefaciant, aut rarum condenſent, aut durum emolliant, aut immodicam mollitiem ad duritiem revocent, aut plenum evacuent, aut vacuum impleant, aut generis ejus aliud quid agant. Nam quisquis perfrixerit, non medicus tantum, ſed quivis etiam ex plebe ab ipſa rei natura ductus calefaciens medicamentum invenire desiderat, aut ardenti febre aeſtuans, quod refrigeret. Sic privatus quiſpiam ſi ulcus habeat nimis molle ac humidum, id medicum deſiccare jubet, aut ſi ſiccum et exuccum, humectare. Quin etiam quum ſiccitatem pariter atque caliditatem toto corpore percipiunt, ceu et qui aeſtuant, ſive uſti ſunt, et qui defatigati sunt, lavari expetunt, frigidamque bibunt, tum quicquid refrigerare ſimul et humectare poteſt, ſtudioſe exquirunt, votique ſaepe compotes ſiunt. Atque ipſa natura duce eorum remedia plerique idiotarum inveniunt; at phlegmones, ſcirrhi, oedematis, eryſipelatis, putredinis, herpetis, gangraenae,

αὐτῶν ἐπιχειρεῖ ζητεῖν τὴν ἴασιν ἑαυτῷ, ὡς μείζονος ἤδη τῶν τοιούτων ἑκάστου ὑπάρχοντος ἢ κατὰ γνώμην ἰδιώτου καί τινος ἐπιστήμης σεμνοτέρας δεομένου· ὀνομάζουσι δὲ τὴν τοιαύτην ἐπιστήμην ἰατρικὴν καὶ τὸν ἐργαζόμενον αὐτὴν ἰατρόν. καὶ μέχρι μὲν τοσούτου καὶ αὐτοὶ προΐασιν ὡς γινώσκειν ὅτι τὸ μὲν κοῖλον ἕλκος δεῖται σαρκώσεως, τὸ δὲ ῥυπαρὸν καθάρσεως, τὸ δ᾽ ὁμαλὸν ἐπουλώσεως· οὐ μὴν τό γε σαρκοῦν ἢ καθαῖρον ἢ ἐπουλοῦν φάρμακον ἴσασιν. οὕτω δὲ κἂν εἰ μῦν ἤ τένοντα σκληρὸν ἢ τεταμένον ἢ χαλαρὸν ἔχωσιν, ὅτι τῷ μὲν σκληρῷ χρεία τῶν μαλαττόντων ἐστὶν, τῷ δὲ τεταμένῳ τῶν χαλώντων, τῷ δὲ χαλαρῷ τῶν συντεινόντων, ἀκριβῶς ἴσασιν, οὐ μὴν τό γε μαλάττον ἢ χαλῶν ἢ συντεῖνον ἐπίστανται φάρμακον, ἀλλ᾽ ἰατροῦ μόνου τὰ τοιαῦτα εὑρίσκειν ἔργον. ἄχρι μὲν γὰρ τῶν θερμαινόντων καὶ ψυχόντων, ὑγραινόντων τε καὶ ξηραινόντων, ἐστὶν εὑρεῖν ἐνίους τῶν ἰδιωτῶν κοινωνοῦντας τῆς τῶν φαρμάκων εὑρέσεως τοῖς ἰατροῖς, ἐν οἷς δ᾽ εἴρηται νῦν, ἤδη πάντας ἀπείρως ἔχοντας. ἔστι μὲν οὖν, ὡς καὶ πρόσθεν ἐδείκνυτο, καὶ

nullus ex illis ſibi remedium perveſtigandum ſumit, tanquam unumquodque eorum majus jam ſit quam pro captu hominis plebei, ac ſcientiam requirat venerabiliorem. Eam ſcientiam nuncupant medicinam, et qui eam exercet medicum, atque hucusque et ipſi procedunt, ut ſciant ulcus cavum carne impleri, ſordidum purgari debere, aequabile cicatrice induci; non tamen norunt quid carne impleat, quid purget, quid cicatricem inducat. Sic ſane etiam ſi muſculum habeant durum ac tenſum laxumve, quod duro quidem mollientibus ſit opus, tenſo autem laxantibus, laxo vero contendentibus, id ſatis perſpiciunt, non tamen compertum habent medicamentum, quod aut emolliat, aut laxet, aut contendat, ſed ea invenire opus eſt medici. Siquidem invenias ex plebe quosdam, qui non ſecus atque medici medicamentorum pollent inventione, ſed hactenus, dum calida modo ac frigida, humida ac ſicca perquiruntur, verum in iis quae modo dicebamus prorſum rudes reperias. Tametſi, ceu ante monuimus, haud omnium tum calefacien-

αὐτῶν τῶν θερμαινόντων τε καὶ ψυχόντων, ὑγραινόντων τε καὶ ξηραινόντων ἡ εὕρεσις οὐχ ὡσαύτως ἁπάντων ἑτοίμη. νᾶπυ μὲν γὰρ καὶ [115] πύρεθρον ὅτι θερμαίνει, καὶ ἀνδράχνη καὶ στρύχνον ὅτι ἐμψύχει, καὶ τὸ μὲν ὕδωρ καὶ τοὔλαιον ὑγραίνει, τὸ δ' ὄξος καὶ ἡ θάλαττα ξηραίνει, σχεδὸν ἅπασιν οὐχὶ ἰατροῖς μόνον, ἀλλὰ καὶ τοῖς ἰδιώταις ὁμολογεῖται. τὸ μέντοι ῥόδινον, εἴτε θερμαίνειν εἴτε ψύχειν φατέον, ὡσαύτως δὲ καὶ ὄξος καὶ ἔλαιον, ἕτερά τε πολλὰ τοιαῦτα συχνὴν ἀμφισβήτησιν ἔσχηκεν. ὑπὲρ μὲν δὴ τῶν τοιούτων τῆς δυνάμεως ἐν τοῖς πρὸ τούτου τέσσαρσιν ὑπομνήμασι διῆλθον· ἐν μὲν τῷ πρώτῳ καὶ δευτέρῳ τὰ τῶν σοφιστῶν ἐξελέγχων ἐπιχειρήματα καὶ δεικνὺς τὴν ἀληθῆ μέθοδον, ᾗ χρώμενος ἄν τις εὑρίσκοι τὰς τῶν φαρμάκων δυνάμεις, ἐν δὲ τῷ τρίτῳ τῶν σοφιστῶν ἀποχωρήσας, ἅπαντα διῆλθον ἐξ ἀρχῆς τὰ λογικὰ ζητήματα, δι' ὧν ἄν τις μάλιστα διελθὼν καὶ ὡς ἄν τις εἴποι τεχνωθεὶς ἱκανὸς ἔσται πάντων τῶν φαρμάκων εὑρίσκειν τὰς δυνάμεις· ἐν δὲ τῷ δ' περὶ τῶν τῆς

tium, tum refrigerantium, tum humectantium atque exiccantium, aeque facilis est atque expedita inventio. Quippe quod napy pyrethrumque calefaciunt et portulaca solanumque refrigerant, tum aqua et oleum humectant, et acetum et marina aqua deficcant, pene omnibus non medicis duntaxat, sed et idiotis confessum est. At rosaceum an calefacere, an refrigerare dicendum, similiter acetum, oleum et ejus generis non pauca, ingenti controversia jactata sunt. Verum de talium facultate in quatuor ante hunc libris disputavimus, in primo ac secundo sophistarum redarguentes argumenta monstrantesque veram methodum, cujus quis ductu medicamentorum facultates inveniat. In tertio missis sophistis omnes ab initio logicas exposuimus quaestiones, quibus maxime insistas quibusque, ut sic dicam, artificiose efformatus idoneus sis ac sufficiens, qui medicamentorum omnium facultates investiges. In quarto de propriis linguae sensoriis disserui, quos sapores appellitant, id indicans quo pacto hinc orsus primas invenias tum qualitates tum facultates.

Ed. Chart. XIII. [115.] Ed. Baf. II. (55.)

γλώττης ἰδίων αἰσθητῶν ἐποιησάμην τὸν λόγον, ἃ δὴ χυμοὺς ὀνομάζουσιν, ἐπιδεικνύων ὡς ἄν τις ἐντεῦθεν ὁρμώμενος εὑρίσκοι τὰς πρώτας ποιότητάς τε καὶ δυνάμεις. ἡψάμην δ' εἰς ὅσον ἡ χρεία προὐκαλεῖτο καὶ τῶν ὀσφρητῶν ποιοτήτων ἐπὶ τελευτῇ τοῦ βιβλίου, δεικνύων ὁπόσον τι κἀντεῦθεν ἐγχωρεῖ λαβεῖν εἰς τὴν τῶν πρώτων δυνάμεων εὕρεσιν. ἐν δὲ δὴ τῷδε τῷ λόγῳ τῷ ε΄ γένος ἄλλο μοι πρόκειται δυνάμεων ἐξηγήσασθαι, δευτέρων ὡς ἂν εἴποι τις καὶ τρίτων ἐπὶ ταῖς πρώταις τε καὶ κοιναῖς ἁπάντων. ἐπειδὴ γὰρ ἕκαστον τῶν κατὰ μέρος οὐχ ὡσαύτως ἐξ ἐκείνων κέκραται, τὸ μὲν, οἶμαι, χαλαστικὸν αὐτῶν ἐγένετο, τὸ δὲ συντατικὸν ἢ μαλακτικὸν ἢ σκληρυντικὸν ἢ ἀραιωτικὸν ἢ πυκνωτικόν. ἔτι δὲ ἐκ τῶν ἔργων ἃ πέφυκε δρᾷν ἐλέχθη δυνάμεις ἔχειν ἐν αὐτοῖς ἀραιωτικάς τε καὶ πυκνωτικὰς, μαλακτικάς τε καὶ σκληρυντικὰς, ἐμπλαστικάς τε καὶ ῥυπτικὰς, ἑλκτικάς τε καὶ ἀποκρουστικὰς, ἔτι τε πρὸς τούτοις χαλαστικὰς, συντατικὰς, ἀναστομωτικὰς, συνακτικὰς, παχυντικὰς, λεπτυντικὰς, ἀνωδύνους, ὀδυνηρὰς, πεπτικὰς, ἐκπυητικὰς, δια-

Attigi porro etiam in extremo libro qualitates odoratus, docens quantum itidem et hinc juvari queas ad primarum inventionem facultatum. At in hoc quinto libro aliud mihi propofitum eft facultatum genus expromere, quas vocare potes fecundas, ac tertias poft primas et omnium communes. Siquidem quum particulatim unumquodque non pari modo ex illis temperatum fit, aliud puto ex iis laxans evafit, aliud conftringens, aliud emolliens, aut indurans, aut rarefaciens aut condenfans. Tum ex operibus, quae edere nata funt, facultates in fe habere dicta funt rarefaciendi, condenfandi, emolliendi, indurandi, illinendi, extergendi, attrahendi, repellendi, ad haec laxandi, conftringendi, ora referandi ac contrahendi, incraffandi, extenuandi, dolores fedandi ac ciendi, concoquendi, puris movendi, digerendi per halitum, fudoris provocandi, foporis conciliandi, ftupefaciendi, fomni provocandi, animum alienandi, putrefaciendi, urendi, erodendi, cruftam faciendi, fundendi,

φρικτικὰς, ἱδρωτικὰς, καρωτικὰς, ναρκωτικὰς, ὑπνωτικὰς, ἐκστατικὰς, σηπτικὰς, καυστικὰς, διαβρωτικὰς, ἐσχαρωτικὰς, χυτικὰς, πιλητικὰς, κακοχύμους, ἐπικεραστικὰς, καθαρτικὰς, σταλτικὰς, τραχυνούσας, λειαινούσας, ἐμφρακτικὰς καὶ ἐκφρακτικάς. καὶ πορρωτέρω προϊόντων ἔτι καὶ οἷον κατὰ μέρος ἐφ᾽ ἑκάστῳ τῶν ἔργων ὀνομαζόντων, οὐρητικὰς, ἐμετικὰς, ὑπακτικὰς, λαπακτικὰς, ἐῤῥίνους, ἀποφλεγματικὰς, ἐμμήνων ἀγωγοὺς ἢ ἐπισχετικάς. ὡσαύτως δὲ καὶ γάλακτος καὶ σπέρματος ἤτοι γεννητικὰς ἢ σβεστικὰς ἢ προκλητικὰς ἢ ἐπισχετικάς. ἔτι δὲ μᾶλλον ὅταν ἡπατικάς τινας ἢ σπληνικὰς ἢ ὠτικὰς ἢ ὀφθαλμικὰς ἢ ὀδοντικὰς ἢ ἰσχιαδικὰς ἢ νεφριτικὰς ἢ ποδαγρικὰς ἢ ἀρθριτικὰς ἢ πλευριτικὰς ἢ βηχικὰς ἢ λίθων θρυπτικὰς ὀνομάζουσι δυνάμεις, ἐπὶ τὰς κατὰ μέρος ἀφικνοῦνται. κατὰ δὲ τὸν αὐτὸν τρόπον εἴρηται καὶ σαρκωτική τις ἕλκους εἶναι δύναμις καὶ ἐπουλωτικὴ καὶ κολλητική τε καὶ καθαιρετικὴ καὶ σχεδὸν οὐδ᾽ ἀριθμεῖσθαι δυνατὸν ἁπάσας τὰς κατὰ μέρος δυνάμεις, ἐὰν ἑκάστου τῶν ἀποτελουμένων ἐπιχειρῶμεν αὐτὰς παρονομάζειν. ἀλλὰ καὶ

denfandi, fuccum pravum procreandi, temperandi, purgandi, fiftendi, exafperandi, leniendi, obftruendi, deobftruendi. Ac quum ulterius etiam procedunt ac prope particulatim opera appellant, urinas ciendi, vomitus proritandi, fubducendi ventris ac lubricandi, per nares et os purgandi, menfes movendi aut comprimendi, fimiliter lactis ac feminis tum generandi et extinguendi, tum provocandi et reprimendi. Magisque etiam quum quasdam hepaticas, fplenicas, oticas, ophtalmicas, odonticas, ifchiadicas, nephriticas, podagricas, arthriticas, pleuriticas, bechicas, lapides comminuentes facultates vocitant, ad particulares perveniunt. Pari modo quaedam dicta eft a procreanda in ulceribus carne facultas farcotica, ab inducenda cicatrice epulotica, a glutinando colletica, a purgatione cathartica, ab excrefcentia carnis detrahenda cathaeretica, fereque numerari nequeant omnes particulatim facultates, si ab unoquoque figillatim eorum, quae perficiuntur, deducta illis imponere nomina aggrediantur. Sed praeclarius fane ac

κάλλιον οἶμαι καὶ μεθοδικώτερον ἀποχωρήσαντα τοῦ μακροῦ λόγου καὶ ἀτάκτου χρησίμοις εἴδεσιν ἀφορίζεσθαι τὰς συνθέτους τῶν φαρμάκων δυνάμεις, οὐ διαπυητικὴν λέγοντας ἢ παρηγορικὴν ἢ ἀνώδυνον ἢ διαφορητικὴν ἢ χαλαστικὴν ἐν τῷ δι' ἀλεύρου πυρίνου καταπλάσματι δύναμιν ὑπάρχειν, ἀλλὰ συμμέτρως ὑγρὰν καὶ θερμήν. ἐῤῥέθη γὰρ ἐν τοῖς πρόσθεν ἐπὶ τίνος σημαινομένου τὴν τοιαύτην ἐπιφέρομεν λέξιν. [116] οὕτω δὲ καὶ ἶριν οὐκ οὔρων, οὐκ ἐμμήνων κινητικὸν ἢ βηχικὸν εἶναι φάρμακον ἢ πλευριτικοῖς ἢ περιπνευμονικοῖς ἢ ἐμπύοις ἁρμόττειν ἢ ἐπιληψίαις καὶ (56) σπασμοῖς καὶ παλμοῖς καὶ τρόμοις καὶ ῥήγμασι καὶ σπάσμασιν ἀρήγειν, οὐδὲ σαρκοῦν καὶ καθαίρειν ἕλκη καὶ κόλπους καὶ πλευρὰς καὶ ἥπατος καὶ σπληνὸς ἀλγήματα παύειν, οὐδὲ χοιράδας διαφορεῖν ἢ ἐξ ὀστῶν ἄγειν σάρκας. κατὰ δὲ τὸν αὐτὸν τρόπον οὐδ' ἐπὶ γονοῤῥοίας ἁρμόττειν ἢ εἰς ὑστερῶν πυρίας ὠφελίμως μίγνυσθαι, μαλάττουσάν τε καὶ ἀναστομοῦσαν, οὐ μὴν οὐδ' ὅτι φακοὺς ἢ ἐφήλεις ἀπο-

methodo dignius est, si missam facientes orationem tum prolixam tum confusam commodis speciebus compositas medicamentorum facultates compendio definiamus, non puris movendi, aut mitigandi, aut doloris sedandi, aut per halitum digerendi, aut laxandi in triticeae farinae cataplasmate facultatem inesse dictitantes, sed modice tum humidam, tum calidam, superius namque dictum est, in quo significato ejusmodi dictionem efferamus. Similiter quoque et irim non urinas aut menses provocans, aut bechicum esse medicamentum, aut pleuriticis, aut peripneumonicis, aut purulentis congruere, aut morbis comitialibus et convulsionibus, et palpitationibus, et tremoribus, et ruptionibus, et evulsionibus prodesse, neque carne implere aut purgare sinuosa ulcera, aut lateris, jecoris lienisve dolores sedare, neque strumas discutere aut ex ossibus carnes educere, ad eundem modum neque seminis effluvio congruere; aut in uteri fomenta utiliter misceri emollientem et reserantem, quin nec quod nervos et ephelides detergat, et inveteratum

καθαίρει καὶ κεφαλαλγίαν ἴᾶται χρονίαν ἢ διαφθείρειν ἔμβρυα καὶ κατασπᾷν πέφυκειν. ἀλλ᾽ ἀρκεῖ θερμὴν εἰς τοσόνδε καὶ ξηρὰν εἰς τοσόνδε καὶ λεπτομερῆ μέχρι τοσοῦδε τὴν κρᾶσιν αὐτῆς εἰπόντα τά τε νῦν εἰρημένα πάντα ἐνδεδεῖχθαι καὶ τούτων ἄλλα πλείω. καθ᾽ ἕτερον δ᾽ αὖ τρόπον ἀρκεῖ περὶ αὐτῆς εἰπεῖν, ὡς πικρὰ μέν ἐστιν, οὐ μὴν ἐσχάτως, ἀλλ᾽ ὥστε δοκεῖν ἐπιμεμίχθαι τινὰ γλυκύτητα. ὁ μὲν οὖν πρῶτος τρόπος τῆς διδασκαλίας ἐμπειρικῶν ἴδιός ἐστιν, ὁ δὲ δεύτερος ἀνδρὶ λογικῷ προσήκει μάλιστα, καὶ τοῦτον ἡμῖν πρόκειται νῦν διελθεῖν.

Κεφ. γ'. Ἔστι δὲ τὰ μὲν ἄλλα σύμπαντα τὰ πρόσθεν εἰρημένα διὰ τῶν δ' ὑπομνημάτων αὐτῆς τῆς περὶ τῶν φαρμάκων θεωρίας ἴδια, πλὴν εἴ που κατὰ κοινωνίαν ὁ λόγος ἥψατο μεθόδου θεραπευτικῆς. ὁ δὲ νῦν ἐνεστὼς ἐκείνης μᾶλλον οἰκεῖός ἐστιν, ὥστ᾽ ἐγὼ πολλάκις ἐβουλευσάμην ὑπερβῆναι τελέως αὐτόν. ἀλλ᾽ ὅτι τε προγυμνάζειν ἔδοξέ μοι τοὺς μέλλοντας ἀκολουθήσειν τοῖς τῆς θεραπευτικῆς μεθόδου λογισμοῖς, οἵ τε πλεῖστοι τῶν ἑταίρων καὶ μάλιστα

capitis dolorem fanet, aut foetum corrumpat excutiatque. Sed fufficit hactenus dixiffe calidam, hactenus ficcam et eatenus tenuium partium illis obveniffe temperiem, ficque tum omnia quae nunc memorata funt tum longe item plura indicaffe; quin alio quoque modo de ea dixiffe fat eft amaram effe, fed non extreme, imo ita ut dulcedo quaedam admixta appareat. At primus doctrinae modus empiricorum proprius eft, fecundus virum potiffimum rationalem decet, atque hunc mihi nunc exponere ftatutum eft.

Cap. III. Caeterum univerfa ea quae quatuor fuperioribus libris funt dicta propria funt ipfius de medicamentis fpeculationis, nifi fi quando per affinitatem curandi methodum fermo attigit. At in quo nunc verfamur, ad illam magis pertinet, quapropter faepe confilium mihi fuit omnino intactum praeterire. Verum quandoquidem vifum eft praeexercendos eos, qui affequi deberent curandi rationis intentiones, et plerique ex amicis potiffimumque ii,

οἷς χαριζόμενος ἐπὶ τήνδε τὴν πραγματείαν ἧκον, οὕτως ἠξίωσάν με διαπρᾶξαι, διὰ τοῦτο μεταχειριοῦμαι τὸν λόγον ἐν τῷδε τῷ γράμματι, τὴν ἀρχὴν ἀπὸ τῶν διαπυϊσκόντων τε καὶ μαλαττόντων ποιησάμενος. ἐπειδὴ θερμὰ μέν ἐστιν ἀμφότερα καὶ ὑγρὰ, καθ᾽ ἕτερον μὴν ἑκάτερον τρόπον. τὰ μὲν γὰρ ὡς ὁμοιοτάτην τῷ διαπυϊσκομένῳ σώματι θερμότητα γεννῶντα πρὸς τῷ μήτ᾽ ἀφαιρεῖν τι τῆς οὔσης ἐν αὐτῷ ὑγρότητος μήτε προστιθέναι, τὰ δ᾽ ὡς καὶ πλείονα τῆς κατὰ φύσιν ἀνάπτοντα καὶ συνάγοντά τι τῆς ὑγρότητος. ἀλλ᾽ ἡ μὲν τῶν διαπυϊσκόντων ἔννοια σαφής τε ἅμα καὶ γνώριμος ὑπάρχει πᾶσιν. εἰς πῦον γάρ ἐστιν ἡ διαπύησις μεταβολή.

Κεφ. δ᾽. Περὶ δὲ τῶν μαλαττόντων φαρμάκων καὶ αὐτῆς τῆς διαμαλάξεως οὐκέθ᾽ ἁπλῶς οὕτως εἰπεῖν ἐγχωρεῖ, διότι μηδὲ περὶ τοῦ σκληροῦ καὶ μαλακοῦ σώματος. εἴ γε δὴ τὸ μὲν ἁπλῶς σκληρὸν λέγεται καθάπερ ἡ γῆ, τὸ δὲ κατ᾽ ἐπικράτειαν, ὡς ὄνυξ καὶ πλῆκτρον καὶ κέρας, τὸ δὲ πρὸς τὸ σύμμετρον ὁμογενὲς ἢ ὁμοειδὲς, παραβαλόντα ὡς τόδε τι ζῶον, οἷον ἐλέφας, ἢ ὅδε τις ἄνθρωπος, οἷον ὁ Ἡρακλῆς, τὸ

quorum in gratiam hunc tractatum conſcribere ſum aggreſſus, ita me facere cenſuerunt; idcirco ſermonem hunc hoc in libro abſolvam, ſumpto exordio ab emollientibus et pus moventibus, quum utraque ſint calida humidaque, diverſo tamen utraque modo; haec enim ceu ſimillimum corpori in pus movendo calorem producentia, absque ulla exiſtentis in eo humiditatis aut conſumptione aut adjectione, illa vero ceu majorem quam pro natura accedentia, ac nonnihil quoque humiditatis contrahentia. Porro perſpicua eſt notaque omnibus pus moventium notio: ſiquidem ſuppuratio in pus eſt mutatio.

Cap. IV. Sed de emollientibus medicamentis ipſaque adeo emollitione non perinde ſimpliciter loqui licet, quia videlicet nec de duro mollique corpore. Siquidem partim abſolute durum dicitur, ut terra, partim per exceſſum, ut unguis, calcar, cornu, partim ad ſymmetrum ſui generis, aut ſpeciei, ut hoc animal, puta elephas, aut hic homo, puta Hercules, partim ad quidvis obvium collatum, ut

δὲ πρὸς ὁτιοῦν παραβαλλόμενον, ὡς ὁ Διογένης πρὸς τὸν Ἀριστοτέλη. [117] κατὰ δὲ τὸν αὐτὸν τρόπον λέγεται καὶ τὸ μαλακὸν ἢ ὡς ἄκρως τοιοῦτον ἢ κατ᾽ ἐπικράτειαν ἢ πρὸς τὸ σύμμετρον ὁμογενὲς ἢ ὁμοειδὲς ἢ πρὸς ὁτιοῦν τὸ ἐπιτυχόν. ὅτι δὲ καὶ τριχῶς ἐγχωρεῖ λέγειν τὰ τοιαῦτα πάντα, τὰ μὲν ὡς ἀμίκτους τε καὶ ἄκρας ἔχοντα τὰς ποιότητας, ἀφ᾽ ὧν παρονομάζεται, τὰ δὲ ὡς πρὸς τὸ σύμμετρον ὁμογενὲς ἢ ὁμοειδὲς, τὰ δ᾽ ὡς πρὸς ὁτιοῦν τὸ ἐπιτυχὸν παραβαλλόμενα, καὶ ὡς οὐδὲν διήνεγκεν ἢ ἐκείνως ἢ οὕτως εἰπεῖν, ἔτι ἐπιδέδεικταί μοι πολλάκις. ἐάσαντες οὖν τὰ λοιπὰ πάντα σημαινόμενα περὶ τῶν πρὸς τὸν ἄριστα κατεσκευασμένον ἄνθρωπον ἐπισκεψώμεθα μαλακῶν καὶ σκληρῶν, ὃν δὴ κανόνα καὶ μέτρον ἐποιησάμεθα τῶν οὕτω λεγομένων ἁπάντων, οὐδὲ τούτου πρὸς τὸ ἐπιτυχὸν μόριον, οἷον ὀστοῦν ἢ πιμελὴν, ἀλλὰ τὸ μέσον τῇ κράσει, τὸ δέρμα καὶ τούτου μάλιστα τὸ κατὰ τὰς χεῖρας, ἵνα περ ἡ ἁπτικὴ δύναμις ἀκριβοῦται· συμβαίνει δ᾽ εἰς ταὐτὸ καὶ τὸ κατ᾽ ἐπικράτησιν, ὡς πρὸς τὴν ὅλην οὐσίαν, οὕτως ὀνομάζεσθαι μαλακὸν ἢ σκληρὸν,

Diogenes ad Ariſtotelem. Pari modo dicitur molle, aut ut ſumme ejusmodi, aut per exceſſum, aut ad ſymmetron ſui generis aut ſpeciei, aut ad quidvis obvium. Quod vero tripliciter quoque id genus omnia dicere liceat, partim ut a mixtura aliena ſummasque habentia qualitates, a quibus nuncupata ſunt, partim ut ad ſymmetron ſui generis aut ſpeciei, partim ad quidvis obvium collata, et quod nihil retulerit, illo an hoc modo dixeris, frequenter mihi oſtenſum eſt. Omiſſis itaque caeteris ſignificatis de mollibus durisque ut ad optime comparatum hominem contemplemur, quem ſane regulam ac menſuram ſtatuimus omnium quae eum in modum dicuntur, nec tamen ad illius partem quamcunque, puta os adipemve, ſed quae temperie media eſt, nempe cutem maximeque eam quae in manibus eſt, ubi perfecta eſt tangendi potentia. In unum autem redit, ſi quod per exceſſum ad totam ſubſtantiam dicitur, ſic molle durumque appellites, quandoquidem medium quoddam eſt tactus noſter,

ἐπειδὴ μεσότης τίς ἐστιν ἡμῶν ἡ ἁφὴ, καθ᾽ ὃ καὶ Ἀριστοτέλης ἐδίδασκεν. οὕτω δέ πως καὶ ὁ Πλάτων ἔοικε γιγνώσκειν ὅταν ἔφη· σκληρὰ μὲν ὅσοις ἂν ἡμῶν σὰρξ ὑπείκῃ, μαλακὰ δ᾽ ὅσα ἂν ὑπείκῃ τῇ σαρκί. τὸ γὰρ δέρμα τοῦ ἀνθρώπου κατ᾽ αὐτὸ τοῦτο τὸ σύγγραμμα τὸν Τίμαιον ἐδείκνυεν εἶναι τῷ γένει σάρκα. καὶ μὲν δὴ καὶ Ἀριστοτέλης, ὅταν εἴπῃ μαλακὸν μὲν εἶναι τὸ ὑπεῖκον εἰς αὐτὸ, σκληρὸν δὲ τὸ μὴ ὑπεῖκον, ὡσαύτως ἔοικεν ἀποφαίνεσθαι τῷ Πλάτωνι, καὶ μάλιστα ὅτι πρὸς τὴν ἁφὴν τὰ τοιαῦτα κρίνεσθαί φησιν, ὡς πρὸς μεσότητα. τὸ δὲ ἐν τῇ πρὸς ὁτιοῦν παραβολῇ σκληρὸν ἢ μαλακὸν ἐν τῷ μᾶλλον ἢ ἧττον ὑπείκειν ἢ μὴ ὑπείκειν φαίνεται κρίνεσθαι. καὶ δὴ καὶ αὐτὸ τὸ δέρμα τὸ ἡμέτερον ἢ τὸν μῦν ἤ τι μόριον ἕτερον, ὅταν εἴπωμεν ἐσκληρύνθαι, τῇ κατὰ φύσιν αὐτοῦ καταστάσει τὴν ἐπίκτητον διάθεσιν παραβάλλοντες οὕτως ὀνομάζομεν. ἔστι δὲ δήπου τῶν οὕτως ἐχόντων σωμάτων ἡ εἰς τὸ κατὰ φύσιν ἐπάνοδος μάλαξις.

Κεφ. ε΄. Ἐπεὶ δὲ πολυειδῶς ἕκαστον γίνεται σκληρότερον ἢ ξηραινόμενον ἢ πηγνύμενον ἢ ὑπερπληρούμενον,

uti et Ariſtoteli viſum eſt et Plato quoque ſenſiſſe videtur, quum ait, *Dura quidem quibus caro noſtra cedit, mollia vero quae cedunt carni.* Nam cutem hominis eo ipſo in libro, Timaeo ſcilicet, genere eſſe carnem oſtendit. Quin et Ariſtoteles quum ait *molle eſſe quod in ſe cedit, durum quod non cedit,* idem quod Plato ſenſiſſe videtur, et maxime quod ad tactum ea judicanda cenſet, tanquam ad medium. Quod vero in comparatione ad quidvis obvium durum eſt ac molle, id in eo quod magis minusque cedat, aut non cedat, judicari videtur. Quin et ipſam cutem noſtram, aut muſculum, aut partem aliam quamlibet quum induratam dicimus, cum naturali ejus ſtatu adventitium affectum conferentes, ita nominamus. Sane corporum hoc pacto affectorum ad ſtatum naturalem reditus emollitio eſt.

Cap. V. Porro quum varie quidque durius efficiatur, nempe aut ſiccefcens, aut concreſcens, aut nimia re-

ὡς διατετάσθαι σφοδρῶς ἢ κατὰ συζυγίαν τινὰ πάσχον κατ᾽ αὐτὰ καὶ τὸ μαλάττεσθαι καθ᾽ ἕκαστον αὐτῶν ἴδιον ἔσται· διελώμεθα οὖν ὑπὲρ ἁπάντων ἑξῆς, ἀναμνήσαντες πρότερον ὡς τὸ τῶν ὀνομάτων τε καὶ ῥημάτων εὔχερὲς τὰ μὲν πολλὰ οὐκ ἀγεννὲς, ἀλλὰ μᾶλλον τὸ τούτου ἐναντίον ἀνελεύθερόν ἐστιν, ὅτε μὴ ἀναγκαῖον γίγνεται διαστέλλεσθαι περὶ αὐτῶν. οὕτω γὰρ ὅ τε Πλάτων ἔλεγεν, ἡμῖν τε νῦν εἰς τὸν παρόντα, διελέσθαι περὶ τῶν τοῦ σκληροῦ σημαινομένων ἀναγκαῖόν ἐστιν, αὖθις ἀπὸ τῶν αὐτῶν ὧν ἀρτίως εἰρήκαμεν ἐπαρξαμένοις. τὸ μὲν γὰρ ὑπεῖκον εἰς ἑαυτὸ μαλακόν ἐστιν, ἐάν γε ἁπλοῦν ὑπάρχῃ σῶμα· τὸ δ᾽ ἐκ πλειόνων συγκείμενον ἤτοι ψαυόντων, ὡς ὁ τῶν πυρῶν σωρὸς, ἢ ἐπιπεπλεγμένων πως, ὡς ὁ πόκος ἢ τὰ πλόκαμα, δύναιτ᾽ ἂν ὑπείκειν τε ἅμα καὶ μὴ εἶναι μαλακόν. ἔμπαλιν δ᾽ ἐπὶ τῶν πεπληρωμένων ἀκριβῶς, οἷον ἀσκῶν ἢ κύστεων, οὐχ ὑπείκει μὲν εἰς αὐτὸ τὸ συναμφότερον, οὐ μὴν σκληρόν γέ ἐστι τὸ περιεχόμενον, ἀλλ᾽ οὐδὲ τὸ περιέχον, ὁπότε πεπλήρωται, σκληρότερον ἑαυτοῦ γέγονεν, ἢ τινα ἐπίκτητον ἑτέραν εἴληφε διάθεσιν,

pletione adeo, ut vehementer diftendatur, aut conjugatione quapiam, fequitur ut et propria fuaque cuique emolliendi fit ratio. Itaque de omnibus deinceps diftinguamus, interim illud prius commonefacientes, nominum verborumque copiam plerumque non effe indecoram, fed potius ejus contrarium effe illiberale, quando fcilicet non eft neceffe de illis diftinguere. Nam ita et Plato prodidit, et nobis in praefens neceffitas incumbit de duri fignificatis definire, principio rurfum ab iis defumpto quae modo dicere defiimus. Nam quod in fe cedit molle eft, fi quidem corpus fimplex fuerit, fiquidem quod ex pluribus conftat aut fefe contingentibus, ficut tritici acervus, aut invicem implicatis, ut lana et pili, fimul et cedere poteft nec tamen effe molle. Contra in iis quae fumme plena funt, velut utres veficaeque, neutrum latus in fe cedit, nec tamen quod continetur durum eft, ficut nec quod continet ubi impletum eft, durius fe ipfo evafit, aut adventitium alium affectum eft adeptum,

[118] ὅτι μὴ τέταται μόνον ἐκ τοῦ τέως κεχαλασμένου. τὸ μὲν οὖν τοιοῦτον ἀντίτυπον ἔγωγε καλῶ καὶ οὐ σκληρὸν, ὅταν ἀκριβολογεῖσθαι προέλωμαι. συγχωρῶ μὴν εἴ τις ἐθέλοι καὶ σκληρὸν ὀνομάζειν καὶ αὐτὸς οὕτω καλῶ πολλάκις, ἐκεῖνο μόνον ἀναμιμνήσκων, ὅτι μήτε μία φύσις ἐστὶ τῶν ἐσκληρυμμένων μήθ᾽ ἓν ἴαμα. τὸ μὲν γὰρ ὑπὸ ξηρότητος σκληρυνθὲν ὑγρανθῆναι δεῖται, τὸ δ᾽ ὑπὸ πήξεως θερμανθῆναι, τὸ δ᾽ ὑπὸ πληρώσεως κενωθῆναι, τὸ δ᾽ ὑπὸ ξηρότητος ἅμα καὶ πήξεως ὑγρανθῆναί τε καὶ θερμανθῆναι, τὸ δ᾽ ὑπὸ πήξεως ἅμα καὶ πληρώσεως θερμανθῆναί τε καὶ κενωθῆναι. ξηραίνεται μὲν οὖν ἄνευ πήξεως ἔν τε γυμνασίοις ἀμέτροις τὰ σώματα καὶ ἡλίῳ σφοδρῷ καὶ ἐνδείαις ἰσχυραῖς καὶ πυρετῷ καυσώδει καὶ φαρμάκοις τισὶν, ὅσα ξηραίνει μὴ ψύχοντα. πήγνυται δὲ ὑπὸ μόνης ψύξεως ἰσχυρᾶς, ὥσπερ καὶ πληροῦται δι᾽ ἐπιῤῥοὴν ὑγρότητος δαψιλοῦς. ξηραίνεται δὲ ἅμα καὶ πήγνυται, συνδραμόντων ἐς ταὐτὸ τῶν συνυπάρξαι δυναμένων αἰτίων, οἷον εἴ τις ὑπερπονήσειεν ἐν κρύει. οὕτω δὲ καὶ πληροῦται καὶ πήγνυται διὰ ῥεῦμα

niſi quod nunc tenſum eſt, quod hactenus fuerat laxum. Quamobrem ego id renitens non durum appello, quando nimirum accuratius loqui propono, permitto tamen qui velit durum appellare, quin et ipſe perſaepe ſic nuncupo. Sed illud tamen moneo, non unam eſſe induratorum naturam, neque unam medelam; nam quod a ſiccitate induratum eſt, humectari poſtulat, quod vero a congelatione, excaleſieri, quod autem a repletione, inaniri, quod denique a ſiccitate ſimul concretioneque, humectari ſimul ac concaleſcere, quod vero a congelatione pariter et impletione, pariter quoque et caleſieri et evacuari. Siccantur itaque corpora citra congelationem tum in validis exercitiis, tum in ſole ferventi, tum in inedia ingenti, tum in febre ardenti et medicamentis, quae ita ſiccant ut non refrigerent quoque. Congelantur a vehementi duntaxat frigore, ſicut ſane et implentur a largi humoris affluxu. At ſiccantur ſimul et congelantur coëuntibus quae ſimul convenire poſſunt, cauſis, ut ſi quis ſupra modum laboret in frigore. Sic quoque re-

ψυχρὸν ἤ τινα ψύξιν τοῦ μορίου. τῆς ψύξεως (57) δ' αὖ πάλιν αἰτία τριττὴ, μία μὲν ἐκ τῶν ἔξωθεν προσπιπτόντων, οἷον ἀέρος, ὕδατος, ἢ φαρμάκου, καθάπερ ἐπὶ τῶν ἐρυσιπελάτων ἐργάζονται πολλάκις, ἑτέρα δὲ ἡ τοῦ πάσχοντος μέρους οἰκεία κρᾶσις, ἄλλη δ' ἐπ' αὐταῖς τρίτη παρὰ τοῦ ῥέοντος εἰς αὐτὸ χυμοῦ γιγνομένη, πολλάκις γὰρ ἐκεῖνος μὲν ἤδη θερμότερος ἑαυτοῦ γέγονεν, ἤτοι σηπόμενος ἢ ἐκ τῶν ψαυόντων αὐτῷ μορίων τῶν φύσει θερμῶν μεταβαλλόμενος, ἣν δὲ προσετρίψατό τινι μορίῳ τῶν φύσει ψυχροτέρων ψύξιν, ἕως πολλοῦ παραμένει. κατὰ τοσούτους μὲν τρόπους σκληρύνεταί τε καὶ μαλάττεται τὰ σώματα. τὸ μέντοι μαλακτικὸν φάρμακον οὐκ ἐπὶ πάντας ἔοικε φέρειν τοὺς τρόπους, ἀλλ' ἐξαιρέτως ἐπὶ τοὺς διὰ πῆξιν ἐσκληρυμμένους, ἔτι δὲ μᾶλλον, εἰ καὶ περιεχομένη τις ὑγρότης ἐν αὐτοῖς εἴη παρὰ φύσιν, ὡς ἐπὶ τῶν ἐσκιῤῥωμένων. εἰ γὰρ διὰ ξηρότητα σκληρὸν εἴη γεγονὸς, ὑγραίνειν μᾶλλον, οὐ μαλάττειν τὸν τοιοῦτον κελεύουσιν, ὥσπερ γε καὶ τὰ πεπληρωμένα κενοῦν, οὐ μαλάττειν. ἀλλὰ περὶ μὲν τῶν ὀνομάτων οὔτ' ἐρί-

plentur simul et congelantur ab influxu frigido, aut partis refrigeratione. Frigoris rursus ipsius causa triplex est: una foris incidentibus, puta aëre, aqua, medicamento, quemadmodum saepe factitant in erysipelatis, altera est propria patientis particulae temperies, tertia ab influente in ipsam humore provenit; nam is saepenumero se ipso calidior effectus est, aut putrescens, aut contractu calidarum natura partium alterascens, quum interim quod partibus natura frigidioribus affricuit frigus plurimo perduret tempore. Atque tot quidem modis corpora tum indurantur tum molliuntur. At medicamentum emolliens non de omnibus his modis efferre videntur, sed peculiariter de iis quae congelatione induruerunt, magisque etiam si in eis consentus sit humor praeter naturam, velut in scirrhosis. Quippe si a siccitate induruerit, humectare potius, non mollire id praecipiunt, sicut impleta evacuare, non emollire. Sed de nominibus neque contendere honestum est, neque curiosum

ζειν καλὸν οὔτ' ἀκριβοῦν ἀναγκαῖον. ἐπὶ δὲ τὰς ἐν τοῖς πράγμασι διαφορὰς ἰέναι βέλτιον, ἐν αἷς καὶ τὸ σφάλμα μεγάλην τοῖς ἀῤῥωστοῦσι φέρει τὴν βλάβην. τὸ μὲν οὖν ἐξηρασμένον τῶν ὑγραινόντων δεῖται φαρμάκων, ὑπὲρ ὧν καὶ ἤδη μοι πρόσθεν αὐτάρκως εἴρηται, τὸ δὲ πεπηγὸς ὑπὸ ψύξεως θερμαινόντων. οὐκ ἀγνοεῖται δὲ οὐδὲ ταῦτα, τὸ μέντοι γε πεπληρωμένον ἢ ψυχόντων ἢ θερμαινόντων ἢ τῶν ἰδίως ὀνομαζομένων ξηραινόντων. ἐκκενοῖ γὰρ τὴν περιττὴν ὑγρότητα ταῦτα σύμπαντα, καὶ ἴδιον ἕκαστον λόγον. ὅσα μὲν ψύχει κατὰ διττὸν τρόπον, ἀποκρουόμενά τε ἅμα καὶ συνεξαίροντα τῷ θερμῷ νοτίδα πολλὴν, ὡς Ἀριστοτέλης ἐδίδασκεν. ὅσα δὲ θερμαίνει, τῷ λύειν εἰς ἀτμοὺς μὲν τὸ περιεχόμενον ὑγρὸν ἐν τοῖς θερμαινομένοις σώμασιν, ὅσα δὲ ξηραίνει, καθάπερ τὰ διαφορητικὰ προσαγορευόμενα, κατὰ διττὸν καὶ ταῦτα τρόπον, ἢ ἀναπίνοντα τὰς ὑγρότητας, ὅταν ἐν πόροις τισὶν ὑπάρχωσιν, ἢ ὅλον ἀλλοιοῦντα τὸ μόριον. ὅστις δ' ἑκάστου ὁ καιρὸς τῆς χρήσεως οὐ τῆς ἐνεστώσης πραγματείας, ἀλλὰ τῆς θεραπευτικῆς ἐστι μεθόδου. ὅσα δ'

esse est necesse, verum rerum insistere diversitatibus praestat, in quibus si quid peccatur, ingens aegrotis damnum malumque provenit. Itaque quod resiccatum est, humectantia poscit remedia, de quibus supra abunde disserui. At quod a frigore congelatum est, excalefacientia postulat, quae nec ipsa obscura sunt. At quod impletum est, aut refrigerantia requirit, aut calefacientia, aut quae proprie vocantur siccantia, universa siquidem haec humorem superfluum evacuant, sed sua ac peculiari quodque ratione, frigida quidem duobus modis, nempe repellentia simulque cum calore multam educentia humiditatem, sicut Aristoteles docuit; quae vero excalefaciunt, dum contentum in calescentibus corporibus humorem in vapores dissolvunt, quae autem desiccant, velut quae vocantur diaphoretica, hoc est per halitum digerentia, et ipsa duplici ratione, aut humores ebibentia, quum poris quibusdam insunt, aut totam alterantia partem. Verum quando tempestivus cujusque sit usus non est praesentis negocii definire, sed ad curandi attinet methodum.

Ed. Chart. XIII. [118. 119.] Ed. Baf. II. (57.)

ὑπὸ ψύξεώς τε ἅμα καὶ ξηρότητος ἐσκλήρυνται, θερμαίνειν ὁμοῦ ταῦτα καὶ ὑγραίνειν προσήκεν, οὐχ οἷάπερ τὰ διαπυήσαντα, θερμότητι ἅμα καὶ ὑγρότητι συμμέτρῳ κατὰ φύσιν, ἀλλ᾽ ἐπὶ τοσοῦτον μὲν εἶναι χρὴ τὸ φάρμακον θερμότερον, ἐφ᾽ ὅσον ἡ ψύξις ἐκράτησεν, ἐπὶ τοσοῦτον δ᾽ ὑγρότερον, ἐφ᾽ ὅσον ἡ ξηρότης· ἔστι δὲ καὶ τούτων μέτρον ὁρίσαι τῆς θεραπευτικῆς μεθόδου. [119] τύπον δ᾽ ἀρκέσει τινὰ τῆς τῶν φαρμάκων ἰδέας ἐνταυθοῖ διελθεῖν ἐπὶ παραδειγμάτων ὀλίγων. ὑγραίνει τοίνυν καὶ θερμαίνει τὸ ὕδωρ τὸ θερμὸν καὶ τοὔλαιον. εἰ δὲ καὶ μιχθεῖεν εἰς ταὐτὸ ἀμφότερα, πολὺ δὴ μᾶλλον ὑγραῖνον ἅμα καὶ θερμαῖνον ἔσται τὸ μικτὸν ἐξ αὐτῶν, ὥσπερ καὶ λουτρὰ τῶν ποτίμων ὑδάτων σὺν ἐλαίῳ δαψιλεῖ. ταὐτὸ δὲ τοῦτο ἐργάζεται καὶ ἡ τῶν ἐδεσμάτων ποιότης ὡσαύτως ἔχουσα, διὰ τοῦτο καὶ τῶν βουλιμιῶν ἰάματα τοιαῦτα τετύχηκεν ὄντα. ψύξιν γὰρ ἅμα ξηρότητι τὸ πάθος ἔχει, καὶ ἡ ἴασις αὐτῶν διὰ τῶν ἐναντίων. τὸ μέντοι δι᾽ ἀλεύρου πυρίνου κατάπλασμα, τὰς εὐκράτους φύσεις διαπυΐσκον, οὔτ᾽ ἀπάγει τι τῆς κατὰ φύσιν ἐν τοῖς μορίοις

Quae vero a frigore pariter et ficcitate induruere, ea excalefacere pariter et madefacere expedit, non ficut pus moventia, calore et humiditate fecundum naturam temperatis, fed tanto effe medicamentum expedit calidius, quanto exuperavit frigiditas, tantoque humidius, quanto et vicit ficcitas, in quibus menfuram finire ad curandi itidem methodum pertinet. Sufficiat autem hic medicamentorum fpeciei formulam quandam exponere, idque pauculis exemplis. Igitur oleum et aqua calida humectant fimul et excalefaciunt. Quod fi ambo in unum mifceantur, multo magis tum excalefaciet tum humectabit quod ex ambobus erit mixtum, ficut aquae potabilis balnea cum oleo copiofo. Idem efficit eduliorum qualitas, fi fimiliter habeat. Itaque ingentis famis illiusmodi funt remedia; eft enim ea affectio frigiditas juncta ficcitati, et fanatio ejus per contraria perficitur. Enimvero cataplasma quod ex farina triticea conficitur, in temperatis naturis pus movens, nec quicquam naturalis partium humiditatis aufert quod quidem relatu fit

ὑγρότητος ὅ τι καὶ ἄξιον λόγου, καὶ πολὺ μᾶλλον οὐδὲ προστίθησιν, ὥσπερ οὐδὲ τὴν θερμασίαν, οὔτε ἐπιτείνειν πέφυκεν οὔτ᾽ ἀμβλύνειν, ἀλλὰ κατὰ μόνην αὐξάνειν τὴν οὐσίαν. ἔστι δὲ οὐ ταὐτὸ ἐπιτεῖναι τὴν ποιότητα καὶ τὴν οὐσίαν αὐξῆσαι. δειχθήσεται δὲ καὶ ταῦτα ἀκριβέστερον ὀλίγον ὕστερον. τὰ μὲν δὴ τοιαῦτα τῶν φαρμάκων ὑγρὰ καὶ θερμὰ λέγομεν, οὐχ ὡς ὑγρότερα καὶ θερμότερα τῆς ἡμετέρας οὐσίας, ἀλλ᾽ ὡς παραπλησίας ἡμῖν ὑπάρχοντα κράσεως, ὑγρᾶς καὶ θερμῆς οὔσης κατὰ τὸν παλαιὸν λόγον, ὡς ἐν τῷ περὶ κράσεων εἴπομεν. οὐ μὴν οὕτως ἢ τὸ ὕδωρ ὑγρὸν ἢ τὴν χαλβάνην θερμὴν εἶναί φαμεν, ἀλλὰ τὸ μὲν ὡς τέγγον τε καὶ διαβρέχον ἡμῶν τὴν σάρκα, τὴν δὲ ὡς θερμαίνουσαν. εἰ γὰρ καὶ θερμὸν εἴη τὸ ὕδωρ, ὡς κενοῦν ἐνίοτε δύνασθαι τὰ κατ᾽ ἐπιῤῥοὴν ὑγρῶν εἰς ὄγκον ἐξηρμένα, τά γοῦν ὁμοιομερῆ πάντως ὑγραίνει, καθότι κἀν τῷ πρώτῳ μοι δέδεικται λόγῳ.

Κεφ. στ΄. Τὰ τοίνυν ἐκπυΐσκοντα φάρμακα τῷ μὲν θερμαίνειν ὁμοίως ὕδατι θερμῷ διαφορεῖ τὴν περιττὴν

dignum, multoque magis nec apponit, ficut nec calorem intendere poteft, nec hebetare, fed tantum in fubftantia ipfa augere. Caeterum non idem eft qualitatem intendere et augere fubftantiam. Sed haec paulo poft accuratius oftendam. Attamen id genus medicamenta humida calidaque dicimus, non ceu calidiora humidioraque quam noftra fit fubftantia, fed ceu fimilem habentia nobis temperiem, quae calida et humida eft juxta veterum fermonem, velut in libris De temperamentis oftendimus. Nec tamen fic aquam humidam aut galbanum calidum dicimus, fed illam tanquam quae carnem noftram riget, hoc tanquam quod calefaciat. Nam tametfi aqua calida evacuare partes, quae per humorum influxum contumuerunt, valeat, fimilares tamen faltem omnino humectat, ficut in primo libro a me monftratum eft.

Cap. VI. Medicamenta itaque quae pus movent eo quod perinde ut aqua calida excalefaciant fuperfluum in

Ed. Chart. XIII. [119.] Ed. Baſ.. II. (57.)

ὑγρότητα, τὴν ἐν ταῖς κεναῖς χώραις περιεχομένην, ὡς ἐν τῷ περὶ τῆς ἀνωμάλου δυσκρασίας ἐπιδέδεικται γράμματι. τοῖς μέντοι κατὰ φύσιν ἔχουσι σώμασιν αὐτοῖς τοῖς ὁμοιομερέσιν οὐδὲν προστίθησιν ὑγρότητος, ὥσπερ οὐδ' ἀφαιρεῖ τι σαφὲς, οὐδ' αἰσθητόν. ἴσα γὰρ ὑπάρχοντα ταῖς κράσεσι φυλακτικὰ τῆς οὐσίας αὐτῶν ἐστιν, ὡς κατὰ μηδὲν ἀλλοιοῦν. ἐν γοῦν ταῖς ἐκπυήσεσιν ἡ μὲν ὑγρότης ἀλλοιοῦται, κἂν εἴ πού τις εἴη σὰρξ τεθλασμένη, τὰ δ' ἄλλα πάντα τὰ κατὰ φύσιν ἔχοντα διασώζει τὴν ἑαυτῶν οὐσίαν. τριῶν γὰρ γινομένων ἀλλοιώσεων ἐν τοῖς τῶν ζώων σώμασιν, ἡ μέν τις ἀκριβῶς ἐστι κατὰ φύσιν ἔχουσα, ὅταν ἐν τῇ γαστρὶ πέττηται τὸ σιτίον ἢ ἐν τοῖς σπλάγχνοις καὶ ἀγγείοις ὁ γεννηθεὶς ἐνταῦθα χυλὸς, ἵνα ἐκ τούτου πάλιν τρέφηται ἕκαστον μέλος· ἡ δέ τις ἀκριβῶς παρὰ φύσιν ἐν ἅπασι τοῖς σηπομένοις. αὗται μὲν οὖν ἐναντίαι πως ἀλλήλαις εἰσίν. ἡ τρίτη δ' ἐπίμικτος ἐξ ἀμφοῖν καὶ μέση, τὸ μέν τι τῆς πρώτης τε καὶ κατὰ φύσιν ἔχουσα, τὸ δὲ τῆς ἐναντίας αὐτῇ τῆς παρὰ φύσιν. ὑπάρχει γὰρ τῇ μὲν κατὰ φύσιν δύο ταῦτα,

ſpatiis vacuis contentum humorem diſcutiunt, ſicut in libello De inaequali intemperie monſtravimus. Ipſis tamen ſimilaribus corporibus ſecundum naturam affectis humiditatis nihil neque adjiciunt neque adimunt, quod quidem manifeſtum ſit et ſentiri queat, quippe quum temperiem poſſideant aequalem, earum ſubſtantiam tueri potius quam alterare poſſunt. Nam in ſuppurationibus humiditas quidem alteratur, itemque ſi qua ſit caro contuſa, caetera vero quae ſecundum naturam habent ſubſtantiam ſuam ſervant. Etenim quum tres in animalium corpore ſiant alterationes, una plane ſecundum naturam eſt, quum videlicet in ventre cibus coquitur, aut in viſceribus et vaſis qui inibi generatur ſuccus, unde rurſum pars unaquaeque nutriatur, altera contra plane praeter naturam, nempe in putreſcentibus omnibus, atque hae quodammodo invicem ſibi contrariae ſunt, tertia ex utraque mixta et media eſt, partim quicquam obtinens primae ac ſecundum naturam, partim hujus contrariae, quae eſt praeter naturam. Siquidem alterationi

τό τε ἐξ οἰκείας ὕλης τῷ ζώῳ τὴν ἀλλοίωσιν γίγνεσθαι, τό θ' ὑπὸ τῆς ἐμφύτου θερμότητος ἀκριβῶς κρατεῖσθαι. τῇ δὲ παρὰ φύσιν ὑπ' ἀλλοτρίας τε θερμότητος ἡ μεταβολὴ καὶ εἰς οὐδὲν χρηστόν· ἡ μέση δ' αὐτῶν ἡ κατὰ τὰς ἐμπυήσεις ἑπομένη ὑπὸ μὲν τῆς ἐμφύτου γίνεται θερμότητος, οὐ μὴν ἀκριβῶς γε κρατούσης· οὐδὲ γὰρ ἐξ ὕλης ἀκριβῶς χρηστῆς οὔσης ἐπιτελεῖται, ὥσπερ οὐδὲ παντάπασιν ἀλλοτρίας. ὡς οὖν αἱ κατὰ φύσιν ἀλλοιώσεις ὑπὸ τῆς ἐμφύτου γιγνόμεναι θερμότητος ὑπὸ τῆς ὁμοίας ἔξωθεν ἐπικουροῦνται, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡ περὶ τὰς διαπυήσεις. [120] ἴσμεν γοῦν οὐδὲν οὕτως τῇ κατὰ γαστέρα πέψει συντελοῦν ὡς ἀνθρώπειον σῶμα ψαῦον αὐτῆς. καί τινες παιδία προστιθέμενοι νύκτωρ ἐναργεστάτης ὠφελείας αἰσθάνονται ἀναπαυόμενοι. συμφυλοτέρα γὰρ ἥδε καὶ οἰκειοτέρα πολὺ τῆς διὰ τῶν πυριάσεών ἐστιν. ἔνιοι δὲ καὶ κυνίδια σμικρὰ τῆς αὐτῆς ἕνεκεν ὠφελείας ἀναπαυόμενοι προστίθενται τῇ γαστρὶ, τὸ πλῆθος αὔξοντες τῆς πεττούσης τὰ σιτία θερμότητος, οὐ τὴν ποιότητα. τοιοῦτον οὖν εἶναι χρὴ καὶ τὸ τῇ διαπυήσει

fecundum naturam duo haec infunt, ut et ex familiari animantis materia fiat alteratio et ab ingenito calore plane fuperetur, ei vero quae praeter naturam eft, et ab aliena caliditate mutatio provenit et ad nihil utile; at media earum, quae fcilicet fuppurationes comitatur, ab ingenito quidem fit calore, fed non plane vincente, neque enim ex materia peragitur, quae prorfum benigna fit, neque tamen ex omnino aliena. Itaque quemadmodum alterationes fecundum naturam, quae ab innato proveniunt calore, a fimili extrinfecus juvantur, pari modo et quae in movendo pure confpicitur. Nam nihil aeque concoctioni ventris conferre novimus atque corpus humanum illum contingens. Proinde quidam puellos noctu admoventes per quietem longe evidentiffimum adjumentum fentiunt, confert fiquidem amplius magisque multo familiaris eft eo calore qui a fomentis paratur. Ejusdem gratia utilitatis quidam parvos catellos per quietem ventri imponunt, copiam coquentis cibos caliditatis adaugentes, non qualitatem. Tale effe debet quod ad moven-

συλληψόμενον φάρμακον, οἷόν περ καὶ αὐτὸ τὸ ἔμφυτον ὑπάρχει θερμὸν ἐν ταῖς εὐκράτοις φύσεσιν· εἰ δὲ θερμοτέρα τοῦ δέοντος ἡ φύσις ὑπάρχει, τὸ διαπυΐσκον φάρμακον ἐν ἐκείνῳ τῷ σώματι θερμότερον εἶναι δεήσει, καὶ τοσούτῳ γε τοῦ συμμέτρου θερμότερον, ὅσῳ καὶ ἡ φύσις ἐστὶ τῆς εὐκράτου θερμοτέρα, ὥστε καὶ τοῦτο μὲν ἤδη πρόδηλον ἐκ τῆς θεραπευτικῆς ὑπάρχει μεθόδου, τὸ καθ᾽ ἕκαστον ἄνθρωπον ἴδιον εἶναι τὸ διαπυΐσκον φάρμακον. οὐχ ἥκιστα δὲ καὶ τὸ πολλάκις ἡμῖν ἀποδεδειγμένον ὑπὸ τούτων μαρτυρεῖται, τὸ χρῆναι πάσας τῶν φαρμάκων τὰς δυνάμεις πρὸς τὸν ἄριστα (58) κεκραμένον ἄνθρωπον ἐξετάζεσθαι· μηδὲ γὰρ συστῆναι δύνασθαι τέχνην μηδεμίαν, εἰ μὴ πρότερον οἷον κανόνα τινὰ καὶ σκοπὸν τῷ γένει τῆς ὕλης, ἐν ᾗ καταγίνεται, θέμενος πρὸς ἐκεῖνον ἤδη τὰ κατὰ μέρος ἀπευθύνοι πάντα. πάλιν οὖν ὑποθέμενοι τῷ λόγῳ τὸν ἄριστα κεκραμένον ἄνθρωπον οἷον σκοπόν τινα, πρὸς ἐκεῖνον ἀναφέροντες, ἐκπυΐσκον τι λέγομεν εἶναι φάρμακον ἕτερον τοῦ μαλάττοντος τὰ σκιῤῥούμενα, τάς τε κράσεις αὐτῶν ὑπάρχειν οἵας ἔμπροσθεν ἔφα-

dum pus adhibebitur medicamentum, qualis eft in naturis temperatis calor nativus. At fi jufto calidior natura fuerit, in eo corpore, quod pus movebit medicamentum calidius fit oportet, tanto nimirum temperato calidius, quanto et natura ejus temperatam in caliditate exuperat. Itaque clarum jam illud eft ex curandi methodo, cujusque figillatim hominis fuum ac proprium effe puris movendi medicamentum. Nec minus illud conftat, quod faepenumero jam demonftratum horum comprobatur teftimonio, omnes medicamentorum facultates ut ad optime temperatum hominem explorandas. Siquidem nulla conftitui ars poffit, nifi prius velut regula ac fcopo generi materiae, in qua id verfatur, conftituto, ad illum jam particularia omnia dirigantur. Rurfum ergo propofito tanquam fcopo quodam in hoc fermone optime temperato homine, ejus refpectu aliud effe dicimus medicamentum pus movens quam quod indurata emollit, effeque eorum temperaturas quas fuperius effe pofuimus,

μιν εἶναι, τοῦ μὲν εἰς πύου γένεσιν συντελοῦντος τῇ φύσει, σύμμετρόν τε καὶ ὁμοίαν ᾧ προσάγεται σώματι, τῷ δ' εἶναι τὴν φύσιν ἡμῶν ὑγρὰν καὶ θερμὴν, ὑγρὰ καὶ θερμὰ τὰ τοιαῦτα πολλάκις ὀνομάζεσθαι φάρμακα, τοῦ δὲ μαλάττοντος τὸ σκιῤῥούμενον πολὺ μὲν θερμότερον τῆς εὐκράτου φύσεως, οὐ μὴν ἰσχυρῶς γε ἤδη θερμήν.

Κεφ. ζ'. Ἄρχεται μὲν γὰρ ἡ τῶν σκιῤῥουμένων διάθεσις ἐκ ῥεύματος γλίσχρου τε καὶ παχέος ἐν μικροῖς πόροις τοῦ μορίου σφηνωθέντος. διαφορηθείσης δὲ τῆς ἐν αὐτῷ λεπτομεροῦς ὑγρότητος, εἶτα τῆς ὑπολοίπου ψυχθείσης τε καὶ οἷον πῆξίν τινα λαβούσης, ἡ καλουμένη σκίῤῥωσις ἕπεται, καὶ διὰ τοῦτο καὶ ψυχρὸν εἶναι τὸ πάθος φασὶν καὶ ἴασις αὐτοῦ διὰ τῶν θερμαινόντων. ἀλλ' ἐπεὶ μετὰ ψύξεως ἦν ὑγρότης περιττὴ, σύνθετον ἔσται καὶ τὸ ἴαμα, διὰ μὲν τὴν ψύξιν τῶν θερμαινόντων δεομένης τῆς διαθέσεως, διὰ δὲ τὴν ἀλλοτρίαν τε καὶ περιττὴν ὑγρότητα τῶν ἐκκενούντων. ὅθεν οὐδὲ θεραπεύεται τῶν σκιῤῥουμένων οὐδὲν οὔθ' ὑπὸ τῶν σφοδρῶς ξηραινόντων οὔθ' ὑπὸ τῶν ἰσχυρῶς θερ-

ejus quidem, quod naturae in movendo pure auxilio eſt, commoderatam et ſimilem ei corpori, cui admovetur; ac proinde quod natura noſtra humida ſit et calida, humida calidaque medicamenta ejusmodi frequenter appellari; ejus vero quod indurata emollit, temperata natura multo calidiorem, non tamen jam valde calidam.

Cap. VII. Oritur autem induratorum affectio ex fluxione lenta et craſſa, parvis particulae poris ſive meatibus impacta, digeſta vero per halitum, quae in ea parte eſt, tenui humiditate ac deinde quod reliquum eſt refrigerato, ac velut congelato, vocata ſequitur ſcirrhoſis. Ac proinde frigidum affectum ajunt et per calefacientia curari. Porro quoniam cum frigiditate humiditas redundat ſuperflua, idcirco etiam compoſitam ejus eſſe medelam, ob refrigerationem ſcilicet calefacientia poſcente affectu, ob alienam vero et ſupervacaneam humiditatem evacuantia. Unde ſit ut eorum quae ſcirrhi in morem indurata ſunt nullum curari valeat, neque a valide exiccantibus, neque a fortiter exca-

μαινόντων οὔθ' ὑπὸ τῶν ταῦτ' ἄμφω δυναμένων. τὰ μὲν γὰρ σφοδρῶς θερμαίνοντα διαφορήσαντα βιαίως τὸ παρακείμενον καὶ περιεχόμενον ἐν τοῖς μορίοις ὑγρὸν, ἀποξηραίνει τὸ ὑπόλοιπον, ὡς ἀνίατον γενέσθαι· τὰ δὲ σφοδρῶς ξηραίνοντα, κἂν μὴ θερμαίνῃ ταῦτα, οὐδὲ διὰ μέσου τοῦ κενοῦντος τὸ λεπτομερὲς, ἀλλ' ἄντικρύς τε καὶ κατὰ τὴν ἑαυτῶν φύσιν εἰς ἄκρον ξηρότητος προσάγει τὸ ἐσφηνωμένον ἐν τοῖς σκιῤῥουμένοις ῥεῦμα. μόνα τοίνυν ὅσα θερμαίνει μὲν, οὐ μὴν σφοδρῶς, ἅμα τῷ μηδὲ ξηραίνειν ἰσχυρῶς ἰᾶται τὰς τοιαύτας διαθέσεις, καὶ καλεῖται τὰ τοιαῦτα φάρμακα μαλακτικὰ, καθ' ἕνα καιρὸν ἄμφω δρῶντα καὶ χέοντα τὸ πεπηγὸς καὶ κατὰ βραχὺ διαφοροῦντα.

Κεφ. η'. [121] Θερμὰ τοίνυν ἐστὶ καὶ οὐ πάνυ τι ξηρὰ πάντα τὰ τοιαῦτα φάρμακα, διαφέροντα τῶν ἐκπυϊσκόντων, τῷ θερμότερα ὑπάρχειν αὐτῶν καὶ ξηρότερα. τὰ μὲν γὰρ σύμφυλόν τε καὶ ὁμοιοτάτην ἔχει τοῖς σώμασιν ἡμῶν τὴν θερμότητα, τὰ δὲ μαλάττοντα σφοδρότερα μὲν, οὐ

lefacientibus, neque ab iis quae utraque haec praeftare poffunt. Nam quae valide excalefaciunt haerens ac contentum in particula humidum violenter digerentia atque elicientia, reliquum omne exiccant et incurabile conftituunt, quae vero fortiter exiccant, etiamfi non excalefaciant, tamen ipfa non per medium, evacuando fcilicet quod fubtile eft, fed ex profeffo ac ex natura fua, ad fummam duritiem infixam particulae fluxionem adigunt. Sola igitur ea, quae calefaciunt, fed non admodum unaque exiccant non magnopere, ejusmodi fanare affectus poffunt, vocanturque ea medicamenta emollientia eodem tempore utrumque agentia, nempe quod congelatum eft fundentia et fenfim per halitum digerentia.

Cap. VIII. Quapropter calida funt id genus medicamenta, nec admodum ficca atque a pus moventibus eo diffidentia, quod calidiora fint et ficciora. Illa enim cognatam ac fimillimam corporibus noftris caliditatem poffident, emollientia vero licet validiorem habeant, non tantam ta-

Ed. Chart. XIII. [121.] Ed. Bas. II. (58.)

μὴν ὥστε τῷ βιαίῳ τῆς ὁλκῆς καταξηραίνειν τὸ ὑπόλοιπον. ἔτι δὲ τὰ μὲν ἐκπυΐσκοντα τὴν προϋπάρχουσαν ἐν τοῖς σκιῤῥουμένοις μορίοις ὑγρότητα φυλάττει, τὰ δὲ μαλακτικὰ βραχύ τι μέρος αὐτῆς ἀναλίσκει. καὶ διὰ τοῦτο μυρίων ὄντων τῶν θερμαινόντων καὶ ξηραινόντων φαρμάκων, ὅσα συμμέτρου τε ἅμα θερμότητος μετέχει ἀνάλογόν τι ταύτῃ ξηρότητος εὐτύχησε, ταῦτα μόνα μαλακτικὰ τῶν σκιῤῥουμένων ἐστὶν, οἷον βδέλλιον καὶ στύραξ καὶ χαλβάνη καὶ ἀμμωνιακὸν θυμίαμα καὶ μυελὸς ἐλάφειός τε καὶ μόσχειος, καὶ στέαρ αἴγειόν τε καὶ ταύρειον, ὅσα τ' ἄλλα τοιαῦτα. νῦν γὰρ οὐ πρόκειται τὴν ὕλην ἐπεξιέναι πᾶσαν, ἀλλὰ καθόλου μίαν ὑπὲρ ἁπασῶν τῶν τοιούτων δυνάμεων ποιήσασθαι διδασκαλίαν, τί δὴ τὸ καθόλου, ὃ περί τε τῶν ἐκπυϊσκόντων καὶ μαλαττόντων ἐστὶ γνῶναι βέλτιον, ὡς τὰ μὲν ἴσην ἀνάπτει θερμότητα τῇ τοῦ ζώου κατὰ φύσιν, ὅσα δὲ μαλάττει, πολὺ πλέονα, καὶ ὡς τὰ μὲν οὐ τῷ ποιῷ τῆς θερμότητος, ἀλλὰ τῷ ποσῷ μᾶλλον ἐνεργεῖν πέφυκεν, ὅσα δὲ τῶν σκιῤῥουμέ-

men, ut attractionis violentia reliquum deficcent. Praeterea ea quae pus movent, humorem qui praefuit in partibus induratis fervant, emollientia vero paulum quiddam ejus abfumunt. Proinde quamvis innumera fint calefacientia fimul atque exiccantia medicamenta, fola tamen ea, quae convenientem ac fymmetrum calorem poffident unaque illi refpondentem fortita funt ficcitatem, mollire quae fcirrhi inftar indurata funt poffunt, quale eft bdellium, ftyrax, galbanum, ammoniacum, thymiama, medulla tum cervina tum vitulina, adeps caprinus et taurinus et quae ejus funt generis. Nam nunc confilium non eft omnem expromere materiam, fed folum de id genus facultatibus omnibus generalem conftituere doctrinam. Praeftat namque in genere de pus moventibus atque emollientibus cognofcere, quod illa aequalem accendunt calorem ei qui eft in homine fecundum naturam, quae vero emolliunt, multo majorem. Quocirca illa quidem quantitate potius quam qualitate caloris agere funt nata, at quae indurata emolliunt, qualitate

νων ἐστὶ μαλακτικὰ, τῷ ποιῷ μᾶλλον. ὥσπερ γὰρ εἰ κατὰ τοῦ τῆς ἐκπυήσεως δεομένου μορίου δυνατὸν ἦν ἐπιβεβλημένας ἔχειν ἀεὶ τὰς χεῖρας ἤ τι μέλος ἄλλο, τάχιστα ἂν οὕτως διεπύησε, κατὰ τὸν αὐτὸν τρόπον, εἰ καὶ τὸ φάρμακον ὁμοιότατον εἴη τῇ κράσει τοῦ ἀνθρώπου, τάχιστα συμπέψει τὸ δεόμενον εἰς πῦον μεταβληθῆναι. δεῖται δὲ ποτὲ μὲν ἡ σὰρξ ὅταν θλασθῇ, ποτὲ δὲ ὁ τὴν φλεγμονὴν ἐργαζόμενος χυμός.

Κεφ. θ'. Καὶ μέν γε ὡς ἐμπλαστικὸν εἶναι χρὴ τὸ τοιοῦτον φάρμακον, ἵν' ἀκριβῶς ᾖ διαπυητικὸν, ἤδη μοι καὶ τοῦτο δοκῶ φαίνεσθαι σαφῶς. εἰ γὰρ τὴν οὐσίαν αὐξῆσαι τῆς ἐμφύτου θερμότητος, οὐκ ἐπιθεῖναι προσήκει τὴν ποιότητα, πεφράχθαι χρὴ τοὺς πόρους τοῦ σώματος, ἵν' ἔνδον ἀποστέγωσι τὰς ἀτμώδεις διαπνοάς. ὡς ὅσα γε τῶν καταπλασμάτων ἢ τῷ ῥύπτειν ἢ τῷ θερμαίνειν σφοδρότερον ἐπιτρέπει διαφορεῖσθαι τοὺς ἀτμοὺς, ξηραίνει μὲν, οὐ μὴν ἐμπυΐσκει γε. τοιαῦτα δ' ἐστὶ τό τε τῶν κριθῶν καὶ τῶν ἐρεβίνθων καὶ τὸ τῆς τήλεως καὶ τὸ τῶν κυάμων ἄλευρον,

potius. Itaque fi in parte, quae fuppuratione indiget, affidue impofitas fervare manus, aut aliam quamvis partem poffibile foret, celerrime fic fuppuratio procederet. Pari quoque modo fi medicamentum hominis temperiei fit quamfimillimum, ociffime concoquet quod in pus verti debet, ut eft nonnunquam caro, nimirum ubi contufa fuerit, interdum vero humor, qui phlegmonem produxit.

Cap. IX. Quin etiam quod emplafticum effe debeat ejus generis medicamentum, ut exacte fuppuratorium fit, et ipfum liquido mihi apparere videtur. Nam fi fubftantiam innati caloris augere, non intendere qualitatem ipfam conveniat, poros corporis obftructos effe neceffum eft, quo videlicet halituofos tranfpiratus includant. Siquidem ea cataplasmata, quae aut detergentia aut validius calefacientia halitus diffIari permittunt, exiccant quidem, fed pus non movent. Talis eft hordeacea, ciceruin, foenigraeci faba-

ἔτι δὲ μᾶλλον τῶν αἰρῶν, ὀρόβων, ἐλύμου, θέρμων, κέγχρου καὶ πάντων τῶν ξηραινόντων. ὑπό τε γὰρ τῶν ῥυπτόντων, εἰ καὶ μὴ θερμαίνει σφοδρῶς, ἐκφραττομένων τε καὶ ἀνοιγνυμένων τῶν πόρων συναπέρχεται καὶ τὸ τοῦ μορίου θερμὸν, ὥστε μὴ σώζεσθαι τὴν κατὰ φύσιν αὐτῷ συμμετρίαν· ὑπό τε τῶν σφοδρῶς θερμαινόντων ἐκκενοῦται μέντοι καὶ ταύτης οὐκ ὀλίγον, ὑποθερμαίνεται δὲ ἡ λοιπὴ, καὶ οὕτω συμβαίνει τὴν μὲν οὐσίαν τῆς ἐμφύτου θερμότητος ἐλάττονα γίγνεσθαι, τὴν ποιότητα δ᾽ ἐπιτείνεσθαι. χρὴ δὲ οὐδέτερον [122] εἶναι τούτων, ἀλλὰ τὸ μὲν ἀτμῶδες καὶ θερμὸν πνεῦμα περιέχεσθαι πλεῖστον, ἀκριβῶς δ᾽ εἶναι σύμμετρον τῇ θερμότητι, τοῦτο γάρ τοι κᾀν τοῖς παισὶν ὑπάρχον πλεῖστον ἅπαντα συναύξει τὰ φυσικὰ τῶν ἔργων. εἰσὶ μὲν οὖν οἳ μηδ᾽ αὐτὸ τοῦτο γιγνώσκουσιν, καὶ πρὸς τῷ μὴ γιγνώσκειν ἐγκαλοῦσιν Ἱπποκράτει, τὰ αὐξανόμενα πλεῖστον ἔχειν εἰπόντι τὸ ἔμφυτον θερμόν. ἀλλ᾽ ἡμᾶς χρὴ μήτε παρακούειν αὐτοῦ καὶ γιγνώσκειν ἔμφυτον εἰρῆσθαι θερμὸν, ὅπερ καὶ πνεῦμα ἑκάστῳ τῶν ζώων ὀνομάζομεν, ὅπερ

ceaque farina, amplius etiam lolii, ervi, panici, lupinorum, milii omniumque adeo exiccantium, quippe quum tum per ea quae detergunt, etiamfi non admodum calefaciant, fed quia obftructione liberant referantque meatus, una quoque calor particulae evolet, ut naturalis haudquaquam fervetur commoderatio, tum ab admodum calefacientibus hujus etiam non parum vacuetur et qui reliquus eft incalefceat, ex quo fit ut nativi caloris fubftantia minuatur, fed qualitas intendatur, quorum neutrum fieri expedit, verum halituofum et calidum fpiritum contineri quamplurimum et ad unguem caliditate fymmetrum, quippe quum hic in pueris copiofiffimus omnes actiones naturales adaugeat. Sed funt quos id fugit, et cum hoc quod ignorent Hippocratem infuper accufare non verentur, quod dixerit, quae crefcunt plurimum habere caloris innati. Sed nos dicta ejus haud perperam capere oportet, ac cognofcere innatum dixiffe calorem quem in quoque animantium et nativum

οὗ καὶ Ἀριστοτέλης ἔγραψεν. οὐδὲν δὲ κωλύει καὶ τὴν αἱματικὴν οὐσίαν καὶ ἀερώδη θερμὸν ἔμφυτον ἀκούειν ἅμα τῷ πνεύματι. οἱ μὲν οὖν Στωϊκοὶ ταὐτὸν τοῦτο τὸ πνεῦμα τὴν οὐσίαν τῆς ψυχῆς εἶναι δοξάζουσιν· ἡμεῖς δὲ περὶ οὐσίας ψυχῆς οὔτε πάνυ τι τολμῶμεν ἀποφαίνεσθαι καὶ πρὸς τὰ παρόντα περιττὸν ὑπολαμβάνομεν. ὅτι μέντοι τὸ σύμφυτον πνεῦμα, κἂν εἰ μὴ τῆς ψυχῆς ἐστιν ἡ οὐσία, ἀλλὰ τὸ πρῶτον αὐτῆς ὄργανον ὑπάρχει, φθάνομεν ἐν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ὑπομνήμασιν ἀποδεδειχέναι. καὶ δὴ καὶ περιέχεσθαι μὲν ἐν ἅπασι τοῖς τοῦ ζώου μέλεσι τουτὶ τὸ πνεῦμά φαμεν, οὐχ ὅμοιον δ᾽ εἶναι πανταχόθεν, καθάπερ οὐδὲ τὸ αἷμα ἀναγκαῖον. περιέχεσθαι δὲ κἀν ταῖς κεναῖς χώραις οὐκ ὀλίγην οὐσίαν αὐτοῦ, μᾶλλον δὲ οἷον ὕλην τινὰ βραχείας μὲν ἔτι μεταβολῆς δεομένην εἰς γένεσιν ἐμφύτου πνεύματος ἠκριβωμένου κατὰ τὰς οἰκείας ποιότητας, ἤδη μέντοι πρός γε τὰ φυσικὰ τῶν ἔργων ἱκανῶς συντελοῦσαν. ἔστι δὲ δήπου τῶν φυσικῶν ἔρ-

ſpiritum nominamus, de quo et Ariſtoteles ſcriptum reliquit. Verum nihil prohibet ſanguineam ſubſtantiam ſimulque aëream una cum ſpiritu calidum inaudire innatum. Ac Stoici quidem hunc ipſum ſpiritum animae eſſe ſubſtantiam autumant. Nos ſane de animae ſubſtantia non admodum pronunciare quippiam audemus et ad praeſens ſupervacaneum arbitramur, quanquam nos jam ante ſpiritum innatum, etiam ſi non ſit animae eſſentia, ſaltem primum ejus eſſe inſtrumentum in commentariis de Hippocratis Platonisque placitis demonſtravimus. Et certe dicimus eum ſpiritum in omnibus animantis contineri partibus, ſed non undequaque eſſe ſui ſimilem, veluti nec ſanguinem eſſe necesse; tum in ſpatiis inanibus non parvam ejus ineſſe ſubſtantiam, imo potius velut materiam quandam, leviculam etiamnum mutationem expoſcentem ad innati ſpiritus qualitatibus ſuis abſoluti generationem, nihilo ſecius tamen jam tum etiam admodum ad naturalia opera conducentem. Porro autem unum ex naturalibus operibus eſt ea quae in pus fit

Ed. Chart. XIII. [122.] Ed. Baf. II. (58. 59.)

γων ἔν τι καὶ ἡ εἰς τὸ πῦον μεταβολή. πέψις γάρ τίς ἐστι καὶ κατὰ τόδε. χρὴ δ', οἶμαι, τὸ πνεῦμα φυλάττειν ἔνδον ὡς ἔστι πλεῖστον, ὁπότε πέττειν τι πρόκειται. διαφορεῖται δὲ ὑπό τε τῶν ῥυπτόντων, οἷά πέρ ἐστιν τό τε τῶν κριθῶν καὶ τὸ τῶν κυάμων ἄλευ(59)ρον, ὑπό τε τῶν ξηραινόντων, οἷον ἔλυμου τε καὶ κέγχρου καὶ θέρμων, ὑπό τε τῶν θερμαινόντων, οἷάπερ ἡ τῆλίς ἐστιν, ἔτι δὲ δὴ καὶ μᾶλλον ὑπό τε τῶν θερμαίνειν καὶ ξηραίνειν ἅμα πεφυκότων, οἷον αἰρῶν καὶ ὀρόβων, ἐρεβίνθων τε καὶ ὤχρων. ἐπιτηδειότατον δὲ εἰς πύου γένεσίν ἐστιν τῶν μὲν καταντλουμένων ὕδωρ εὔκρατον ἢ ὑδρέλαιον, τῶν δ' ἐπιβρεχομένων ἔλαιον εὔκρατον, καταπλασμάτων δὲ τό τε πύρινον ἄλευρον δι' ὑδρελαίου καὶ ὁ ἄρτος αὐτὸς, ἕψεσθαι δὲ καὶ τοῦτο χρὴ συμμέτρως. τὸ μὲν γὰρ ἐπιπλεῖστον ἡψημένον ξηραντικώτερόν πώς ἐστι καὶ ταῖς δυσπεπτοτέραις ἁρμόττει φλεγμοναῖς, τὸ δ' ἔλαττον ἐπὶ τῶν πάνυ θερμῶν καὶ ὡς ἂν εἴποι τις ζεουσῶν. καὶ τὸ μὲν ἐλαίου πλέον ἔχον ἐπὶ τῶν δυσπε-

converfio; nam et illic quaedam perficitur coctio; quum autem quicquam coquere confilium eft, quamplurimum meo judicio fpiritum fervari intus oportet. Atqui digeritur tum a detergentibus, qualis eft hordeacea fabaceaque farina, tum a reficcantibus, qualis eft panici, lupinorum, milii, tum a calefacientibus, qualis eft foenigraeci; quin multo etiam magis ab iis, quae fimul et calefacere et reficcare poffunt, puta lolio, ervo, cicere, ochris. Igitur omnium ad puris generationem aptiffimum eft ex iis utique quae perfunduntur aqua temperata, aut cui additum oleum eft, quod hydrelaeum Graeci vocant. Ex iis vero quae irrigantur oleum temperatum, at ex cataplasmatibus tum farina triticea ex hydrelaeo, tum panis ipfe, fed id modice coctum fit oportet. Nam quod plurimum coctum eft, quodammodo ficcius eft aptumque phlegmonis, quae aegrius concoctionem admittant, quod vero minus, iis quae admodum calidae funt atque, ut fic dixerim, fervent, congruit. Tum cui plus additum olei fuerit pertinacius coctioni adverfantibus con-

Ed. Chart. XIII. [122.] Ed. Baf. II. (59.)

πτοτέρων, τὸ δ᾽ ἧττον ἐπὶ τῶν ζεουσῶν· καὶ δὴ καὶ τὸ μὲν ἐξ ἄρτου κατάπλασμα ταῖς δυσπεπτοτέραις ἁρμόττει φλεγμοναῖς. ἔχει γάρ τοι καὶ ἁλῶν καὶ ζύμης ὁ ἄρτος. τὸ δ᾽ ἐξ ἀλεύρου πυρίνου ταῖς θερμοτέραις. αὐτοῦ δ᾽ αὖ πάλιν τοῦ πυρίνου ἀλεύρου μᾶλλον τὸ καθαρὸν καὶ ἄρτου μᾶλλον ὁ καθαρὸς ἐκπυΐσκει. τὸ μὲν γὰρ πίτυρον ἧττόν τ᾽ ἐστὶ θερμὸν καὶ μᾶλλον ξηρόν· τὸ δὲ καθαρόν τε καὶ τρόφιμον ἄλευρον ὑγρόν τ᾽ ἐστὶ καὶ θερμόν. ἐδείχθη δὲ τὰ τοιαῦτα συνεργοῦντα πρὸς τὴν τοῦ πύου γένεσιν. οὕτως οὖν καὶ τῶν φαρμάκων τῶν ἐπιτιθεμένων τοῖς φλεγμαίνουσι μέρεσιν, ὅσα θερμά τ᾽ ἐστὶ καὶ ὑγρὰ, συντελεῖ καὶ ταῦτα πρὸς τὴν ἐκπύησιν, οἷον τό τε χοίρειον στέαρ καὶ τὸ μόσχειον. τὸ μὲν γὰρ ταύρου καὶ τῆς αἰγὸς ἐδείχθη δριμύτερα, καὶ διὰ τοῦτο ταῖς ψυχροτέραις καὶ σκιῤῥωδεστέραις φλεγμοναῖς ἐπιτήδεια, τὸ δὲ χοίρειον καὶ μόσχειον αὐταῖς ταῖς ὀνομαζομέναις κυρίως φλεγμοναῖς οἰκειότατον. ἔστι δὲ καὶ τὸ τῶν ἀλεκτρυόνων στέαρ οἰκειότατον, ἔτι δὲ μᾶλλον τὸ τοῦ χηνὸς ἤδη πως διαφορητικώτερον.

venit, cui minus, ferventibus magis competit. Et fane quod ex pane conficitur cataplasma, difficulter coctioni cedentibus phlegmonis idoneum eft, fiquidem pani tum fal tum fermentum admixtum eft, quod vero ex triticea farina praeparatum eft, calidioribus utilius eft. Et ipfius etiam triticeae farinae, quae pura eft, tum panis quoque qui purus eft puri movendo competentior eft, nimirum quum furfur minus fit calidum et magis deficcet, farina autem pura, quaeque alere eft nata, humida eft et calida, qualia certe ad pus producendum conferre oftendimus. Itaque medicamenta quae phlegmone tentatis imponuntur partibus, fi calida fint et humida, ad pus movendum conducunt, ut adeps fuillus et vitulinus. Nam tauri et caprae acriores effe oftendimus, quamobrem phlegmonis tum frigidioribus tum durioribus magis congruunt. At fuillus et vitulinus iis, quae proprie phlegmonae appellantur, familiariffimus eft. Eft et adeps gallinaceorum familiariffimus, magisque etiam anferum, quodammodo tamen ad digerendum potentior; eft

[123] λεπτομερέστερα γάρ ἐστι ταῖς οὐσίαις, ὥσπερ καὶ τὸ τῶν βοῶν καὶ αἰγῶν, παχυμερέστερά τε καὶ γεωδέστερα. καὶ μὲν δὴ καὶ τὸ τῶν ἀγρίων ζώων πάντων στέαρ δριμύτερόν τέ ἐστι καὶ ξηραντικώτερον πολὺ τῶν ἡμέρων, καὶ μάλιστα τὸ τῶν παρδάλεών τε καὶ λεόντων, ὥστ᾽ οὐδὲν τούτων ἐκπυΐσκειν ἐπιτήδειον, ἀλλ᾽ ὡς εἴρηται, τὸ χοίρειόν τε καὶ μόσχειον. ἐκπυΐσκει δὲ πίττα καὶ ῥητίνη διηθεῖσαι δηλονότι μετ᾽ ἐλαίου τινὸς ἢ ῥοδίνου. χρὴ δὲ κἀνταῦθα πρὸς τὰς ζεούσας φλεγμονὰς διὰ ῥοδίνου τήκειν αὐτὰς, πρὸς δὲ τὰς ψυχροτέρας διά τινος τῶν θερμαινόντων, οἷόν ἐστι τὸ κίκινον καὶ τὸ ῥαφάνινον καὶ τὸ παλαιὸν καὶ τὸ σικυώνιον. εἰ δὲ καὶ κηρῷ ποτε μόνῳ χρῷ διαπυήσεως ἕνεκα, τῶν ἄλλων μὴ παρόντων, ἔν τινι τῶν θερμαινόντων ἐλαίων καὶ τοῦτον τήκειν. αὐτὸς μὲν γὰρ καθ᾽ ἑαυτὸν ἧττόν ἐστι θερμὸς ἢ ὥστε διαπυΐσκειν, ἐπεὶ τό γε ἐμπλάσσειν ἔχει. μόναις οὖν ταῖς ζεούσαις φλεγμοναῖς ἐπιτήδειος ἔν τινι τῶν θερμαινόντων ἐλαίων διηθείς. ὥσπερ δ᾽ οὗτος ἐνδεῖ τῆς συμμετρίας, ὡς πρὸς τὰς μέσας τῇ κράσει φλεγμονὰς καὶ φύσεις ἀνθρώπων τε καὶ μορίων, οὕτως ὑπερβάλλουσι βρα-

enim ſubſtantia ſua tennior, ſicut et bubulus, et caprarum craſſior et terrenus magis. Quin et agreſtium animalium omnium acrior eſt adeps ſimulque ſiccior multo quam domeſticorum, maximeque pardalis et leonis; quare horum nullus omnino puri movendo idoneus eſt, ſed, ut dixi, ſuillus et vitulinus. Porro pus movent et pix et reſina, nempe oleo quopiam, aut roſaceo ſubactae. Sed et hic ad ferventes phlegmonas ex roſaceo eas liquare oportet, ad frigidiores vero calefacientium quopiam, puta cicino, raphanino, veteri et ſicyonio. Quod ſiquando ſola utaris cera, aliis ad manum nullis, ad pus movendum, et ipſam in calefacientium quopiam diſſolvere oportebit, quippe quum ipſa per ſe minus ſit calida quam ut pus movere poſſit, ſiquidem illinendi certe vim obtinet. Solis itaque ferventibus phlegmonis apta eſt, ex calidorum oleorum quopiam liquata. Verum quemadmodum haec mediocritate inferior eſt, ut ad medias temperie phlegmonas, hominumque et partium naturas, ſic

χύ τι ῥητίνη καὶ πίττα. καὶ διὰ τοῦτο μιγνύμενα ταυτὶ πάντα τὰ νῦν εἰρημένα διαπυΐσκει συμμέτρως. ἀλλὰ ταῦτα μὲν ἤδη τῆς περὶ φαρμάκων συνθέσεώς ἐστι πραγματείας, ἧς ἐφάψασθαί πως ἠνάγκασεν ἡμᾶς ἡ τῆς θεωρίας ἀκολουθία. πάλιν δ' ἐπὶ τὸ προκείμενον ἐπάνειμι. πρόκειται δὲ ἀφορίσαι τὴν καθόλου φύσιν, ὁποία τίς ἐστι, τῶν ἐκπυϊσκόντων. ἐῤῥέθη δ' ὅτι συμμέτρως εἶναι χρὴ θερμαίνουσάν τε καὶ ὑγραίνουσαν αὐτὴν, ὅπερ ἑτέρως ἑρμηνευόμενόν ἐστι μηθ' ὑπερβάλλειν μήτ' ἐνδεῖν τῆς τοῦ μεταβάλλοντος αὐτὸ σώματος κράσεως, ἀλλ' ὡς οἷόν τε μάλιστα παραπλήσιον ὑπάρχειν. τὸ δ' ὅτι δυνάμει μὲν τοιοῦτόν ἐστι τὸ διαπυΐσκον φάρμακον, ἐνεργείᾳ δὲ γίγνεται τοιοῦτον ἐν τῷ πλησιάζειν ἡμῖν, εἴρηται πολλάκις ἔμπροσθεν, ἀναμνήσομέν τε καὶ νῦν, ὥστε μνημονεύειν αὐτοῦ διὰ παντός. ἡ μὲν δὴ κρᾶσις τοιαύτη τις ὑπάρχει τοῦ διαπυΐσκοντος, ἡ δὲ σώματος αὐτοῦ σύστασις ἐμπλαστική τίς ἐστιν. μάλιστα δὲ τοῦτο τοῖς γλίσχροις συμβέβηκεν, ὥσπερ τῷ στέατι τῷ χοιρείῳ καὶ βουτύρῳ καὶ λιβανωτῷ καὶ τῷ δι' ἀλεύρου πυρίνου καταπλά-

paulum quiddam excedunt refina et pix. Quapropter haec omnia fimul mixta moderate pus movent. Sed haec jam ad tractatum de medicamentorum compofitione attinent, quem ut aliquatenus attingeremus, fpeculationis ipfius nos fequela adegit. Rurfum ergo ad propofitum revertor; eft autem propofitum definire quae fit in genere pus moventium natura. Dictum vero eft, quod modice humectantem et calefacientem effe eam oporteat, quod aliis verbis eft, ut neque excellat neque inferior fit temperie corporis ipfam immutantis, fed quoad fieri poffit fimillima. Caeterum quod medicamentum puri movendo idoneum tale fit facultate et actu, five energia fiat ejusmodi, dum corpori noftro admotum eft, faepenumero jam ante dictum eft, fed nunc nihil fecius id repetimus, quandoquidem utrobique ejus meminiffe oportet. Atque ejusmodi eft pus moventis medicamenti temperies. Porro corporis ipfius conftitutio emplaftica eft, qua maxime pollent quae lenta et vifcofa funt, velut adeps porcinus, butyrum, thus et quod ex farina tri-

σμασι. καὶ γὰρ συμμέτρως θερμὰ ταῦτά ἐστι καὶ συμμέτρως ὑγρὰ καὶ γλίσχρα, καὶ διὰ τοῦτο πρὸς τὰς ἐκπυήσεις ἐπιτήδεια. χόνδρος μέντοι ξηραντικώτερος μέν ἐστιν ἀλεύρου πυρίνου, γλίσχρος δ᾽ οὐδὲν ἧττόν ἐστιν, εἰ μή τι ἄρα καὶ μᾶλλον, ὅθεν ἐπὶ μὲν τῶν μέσων φλεγμονῶν ἧττον ἐπιτήδειός ἐστιν εἰς ἐκπύησιν. ἐπὶ δὲ τῶν ὑγροτέρων ἀμείνων ἀλεύρου πυρίνου. προέρχεται δ᾽ οὖν ἐπιπλέον ἤδη καὶ ταῦτα τῆς ἐνεστώσης πραγματείας, ἐπανέλθωμεν οὖν αὖθις ἐπὶ τὰ μαλακτικὰ τῶν σκιῤῥουμένων φάρμακα, τοσοῦτον πάλιν κἀνταῦθα τῆς θεραπευτικῆς ἐφαψάμενοι πραγματείας, ὅσον εἰς τὸ σαφῆ γενέσθαι τὰ λεχθησόμενα συντελέσει. σκίῤῥον μὲν οὖν ὀνομάζουσι τὸν παρὰ φύσιν ὄγκον ἀνώδυνόν τε καὶ σκληρόν. ἔνιοι δ᾽ αὐτῶν ὅταν ἐπὶ πλεῖστον αὐξηθῶσί τε καὶ σκληρυνθῶσιν, οὐκ ἀνώδυνοι μόνον, ἀλλὰ καὶ δυσαίσθητοι καὶ ἀναίσθητοι γίγνονται. γένεσις δ᾽ αὐτῶν ἐκ παχέος καὶ ψυχροῦ χυμοῦ. τοιοῦτοι δ᾽ εἰσὶν ἐν τοῖς τῶν ζώων σώμασι δύο μόνοι, χολὴ μέλαινα καὶ τὸ ὑπερξηρανθὲν φλέγμα. καὶ διὰ τοῦτο καὶ οἱ σκιῤῥώδεις ὄγκοι πάντως ἢ φλε-

ticea conficitur cataplasma, quippe quae moderate tum calida tum humida lentaque sunt, ac proinde puri movendo idonea. Chondrus tamen farina triticea siccior est, quanquam nihilominus lentus sit, nisi forte etiam amplius; unde sit ut in mediis temperie phlegmonis puri movendo ineptior, in humidioribus etiam triticea farina praestantior sit. Verum et haec jam praesentis commentationis limites excedunt. Itaque denuo ad medicamenta duritiem emollientia revertor, hactenus et hic curandi methodum attingens, quantum dicendorum claritati conducat. Scirrhum vocant tumorem praeter naturam doloris expertem, sed durum. Sunt autem inter eos quidam, qui ubi plurimum increverint, simulatque indurati fuerint, non modo dolore carent, verum etiam sensum exiguum, aut etiam nullum habent reliquum. Porro nascuntur ex humore crasso et frigido, quales sunt in animalium corporibus duntaxat duo, bilis videlicet atra et superexiccata pituita. Proinde tumores scirrhosi

γματικοὶ τὴν οὐσίαν εἰσὶν, ἢ μελαγχολικοὶ, ἢ ἐξ ἀμφοῖν μικτοί. περὶ μὲν δὴ τῆς διαγνώσεως αὐτῶν οὐ τοῦ παρόντος καιροῦ διελθεῖν· περὶ δὲ τῶν μαλακτικῶν φαρμάκων ἤδη μοι λέγειν καιρὸς, [124] ὡς ἰδίως ὀνομάζουσι μαλακτικὰ τὰ τῶν γεγονότων ὑπὸ φλέγματος ἐξηρασμένου καὶ παχέος χυλοῦ ὄγκων σκιῤῥωδῶν ἰατικά. συνίστανται δ' οὗτοι μάλιστα περί τε τὰς κεφαλὰς τῶν μυῶν καὶ τοὺς ἐκφυομένους αὐτῶν τένοντας. ὅσα μὲν γὰρ ὑπὸ μελαγχολικοῦ σκιῤῥοῦται χυλοῦ, καρκινώδη τε πάντα ἐστὶν καὶ παροξύνονται ὑπὸ τῶν μαλακτικῶν φαρμάκων. ἀλλὰ τούτων μὲν ὅπως χρὴ μεμνῆσθαι, διὰ τῶν τῆς θεραπευτικῆς μεθόδου λεχθήσεται γραμμάτων· ὅσα δ' ὑπὸ γλίσχρου καὶ παχέος χυμοῦ παγέντος ἐσκιῤῥώθη, θερμαινόντων μὲν δεῖται καὶ ξηραινόντων φαρμάκων, οὐ μὴν ἰσχυρῶν τε καὶ βιαίων, ἀλλ' ἀρκεῖ τῆς δευτέρας μὲν ἢ καὶ τῆς τρίτης ἐνίοτε τάξεως τῶν θερμαινόντων, τῆς πρώτης δ' εἶναι τῶν ξηραινόντων αὐτά. πλάτους δ' ὑπάρχοντος οὐ μικροῦ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον ἐν τοῖς ἐσκληρυμμένοις σώμασιν ἀνάγκη δήπου καὶ

omnino, aut pituitoſae ſunt ſubſtantiae, aut atrabilariae, aut ex utraque mixti. Sed de agnitione eorum non eſt nunc tempeſtivum diſſerere, verum de medicamentis emollientibus illud ut nunc dicam opportunum eſt. Nempe quod proprie vocantur emollientia quae medentur ſcirrhoſis tumoribus ex pituita reſiccata craſſaque prognatis, conſueverunt autem ii potiſſimum in muſculorum capitibus et qui ex eis prodeunt tendonibus conſiſtere. At quae ab atrabilario ſucco indurantur, cancroſa ſunt omnia et ab emollientibus medicinis aſperantur, ſed his quo pacto proſpicere oporteat, in commentariis methodi curandi docebimus. Quae vero a lento craſſoque humore congelato indurata ſunt, calida poſcunt ſiccaque medicamenta, ſed non tamen quae valida ſunt ac violenta, ſed ſufficit interim ut ſecundi aut tertii ſint ordinis excalefacientium, primi exiccantium. Porro quum non exigua ſit in corporibus ſic induratis majoris minorisque

τῶν ἰωμένων αὐτὰ φαρμάκων οὐκ ὀλίγον εἶναι τὸ πλάτος, οἷον αὐτίκα καὶ τὸ αἴγειόν ποτε στέαρ ὠφέλησε τὰ οὕτως ἐσκληρυμμένα καὶ τὸ τῆς ἀλεκτορίδος. ἀλλὰ ταῦτα μὲν ἀσθενέστερά ἐστι καὶ τὰς μετρίας μαλάττει σκληρότητας, ἰσχυρότερον μέντοι τῶν ἀλεκτορίδων τε καὶ ἀλεκτρυόνων τὸ χήνειόν ἐστι, τοῦ δὲ τῶν αἰγῶν τὸ τράγειον ἰσχυρότερόν τε καὶ τὸ ταύρειον, ἀλλ' ἧττον τοῦ τραγείου. καὶ μὲν δὴ καὶ ὁ ἐλάφειος μυελὸς ἱκανῶς μαλάττει, καὶ μετ' αὐτὸν ὁ μόσχειος. θερμὰ γάρ ἐστι πάντα τὰ τοιαῦτα φάρμακα καὶ μετρίως ξηρὰ, καὶ πολύ γε μᾶλλον θερμαίνειν πέφυκεν ἢ ξηραίνειν. ὅθεν εἰ καί τις αὐτὰ θερμὰ καὶ ὑγρὰ ταῖς δυνάμεσιν εἴποι ποτὲ, συγχωρητέον· ὀλίγον γὰρ ἀφέστηκε μήτε ξηραινόντων (60) μήθ' ὑγραινόντων. ἐκ ταὐτοῦ δὲ γένους ἐστὶ τοῖς εἰρημένοις, ἀλλ' ἰσχυρότερα, τό τ' ἀμμωνιακὸν θυμίαμα καὶ ὁ στύραξ καὶ ἡ χαλβάνη καὶ τὸ βδέλλιον τὸ Σκυθικόν. κάλλιω δ' ἐξ αὐτῶν εἰς τὸ μαλάττειν τὰ νέα· παλαιούμενα γὰρ ἰσχυροτέρως ἢ χρὴ ξηραίνει. τοῦτο μέν γε καὶ μυελὸς καὶ στέαρ ἔχουσι. καὶ γὰρ καὶ ταῦτα παλαιούμενα

latitudo, necesse utique est et medicamentorum illis medentium non parvam esse latitudinem. Siquidem adeps caprinus et gallinarum quae sic indurata fuere juvarunt. Verum illi quidem imbecilliores sunt et moderatam duritiem emolliunt. Valentior gallinarum gallorumque adipe anserinus est, caprarum vero hircinus, validior quoque et taurinus, sed minus tamen quam hircinus. Quin etiam medulla cervina modice emollit et post eam vitulina, quippe quum id genus omnia medicamenta calida sint et mediocriter sicca, multoque magis excalefacere quam exiccare nata. Unde si quis forte ea quandoque calida dicat et humida, non repugnandum, nam paulum absunt ab iis quae neque humectant neque desiccant. Eodem ex genere sunt, quanquam validiora, ammoniacum thymiama et styrax et galbanum et bdellium Scythicum. Sed ad emolliendum praestantiora ex iis sunt quae recentia sunt, siquidem inveterata validius quam oportet desiccant. Id ipsum usu venit in medulla et adipe, quippe quae et ipsa vetustate se ipsis tum

δριμύτερα γίγνεται σφῶν αὐτῶν καὶ ξηρότερα. καὶ μὲν δὴ καὶ τὸ Σικυώνιον ἔλαιον ἐκ τοῦ γένους ἐστὶ τούτου, καὶ τὸ παλαιὸν οὐχ ἥκιστα, καὶ τῶν σκευαζομένων τὸ σούσινον. ἀλλὰ γὰρ οὐ περὶ τῶν συνθέτων λέγειν ἐν τῷδε πρόκειται. ἔπειτα καὶ ἀλθαίας ῥίζα καὶ ἀγρίου σικύου καὶ ἄλλα ἄττα φυτὰ καθεψηθέντα τὰ μὲν ἐν ἐλαίῳ, τὰ δὲ ἐν ὕδατι τῆς τῶν φαρμάκων γίγνεται τῶν μαλακτικῶν δυνάμεως, ὥσπερ οὖν καὶ τῆς ἀγρίας μαλάχης τὰ φύλλα, καὶ ὠμὰ καὶ ἑφθά. τοῦτο μὲν οὖν ἐστιν ἁπλοῦν φάρμακον, ὥσπερ τὸ στέαρ τὸ χοίρειον, τὸ παλαιωθέν. οὐ χρὴ δὲ ἔχειν ἁλῶν οὐδὲ τοῦτο, καθάπερ οὐδὲ τἄλλα ὅσα μαλάττει· ξηραίνουσι γὰρ σφοδρῶς οἱ ἅλες. ὅσα δ᾽ ἄλλα μαλάττειν πέφυκεν, ἁπλᾶ τε καὶ σύνθετα φάρμακα, λεχθήσεται γὰρ αὖθις κἀκεῖνα, θερμὰ μέν ἐστιν ἐκ τῆς δευτέρας ἢ τρίτης ἐνίοτε τάξεως, ἀτρέμα δὲ ξηρά. χρὴ μέν τι καὶ τούτοις ἐμπλαστικὸν ὑπάρχειν, ὥσπερ καὶ τοῖς διαπυητικοῖς, ἀλλ᾽ ὅσῳ κενωτικώτερα προσήκει ὑπάρχειν αὐτά, τοσούτῳ καὶ ἧττον ἐμπλάττεσθαι τοῖς πόροις.

acriora tum ficciora evadunt. Quin et oleum quoque Sicyonium ex hoc eft genere, nec in poftremis id quod inveteratum eft, et ea quae praeparantur ut fufinum. Sed de compofitis hic dicere ftatutum non eft. Porro radix althaeae et cucumeris agreftis nonnullaeque aliae plantae partim in oleo, partim in aqua decoctae emollientium medicamentorum facultatem induunt, ficut malvae agreftis folia tum cruda tum cocta; atque hoc fimplex medicamentum eft, ficut porcinus adeps vetuftatem paffus, fed falis nihil oportet adjicere, ficut nec aliis quae emolliunt, valde enim deficcat fal. Porro quaecunque alia emollire poffunt, feu fimplicia, feu compofita fint medicamenta, alibi enim ea recenfebimus, calida funt ex fecundo et interdum ex tertio ordine, leviter vero ficca, fed et his fane illinendi vis infit neceffe eft, non aliter quam iis quae pus movent. Sed quanto majore evacuandi facultate pollere debent, tanto utique minus etiam meatus illitu obftruere.

Ed. Chart. XIII. [124. 125.] Ed. Baf. II. (60.)

Κεφ. ί. Ἡ μὲν δὴ τῶν μαλαττόντων φαρμάκων δύναμις αὐτάρκως μοι δεδήλωται, περὶ δὲ τῶν σκληρυνόντων ἐφεξῆς δίειμι. χρὴ τοίνυν εἶναι ταῦτα ψυχρὰ καὶ ὑγρὰ, καθάπερ ἀείζωόν τέ ἐστι καὶ ἀνδράχνη καὶ ψύλλιον ὅ τ' ἐπὶ τῶν τελμάτων φακὸς, ἢ τὸ στρύχνον, ἢ τοῦτο μὲν οὐδὲ ὑγρόν ἐστι τὴν κρᾶσιν, [125] ἀλλὰ μέσον ὑγραίνοντος ἁπλῶς καὶ ξηραίνοντος ἐξ ἐναντίων συγκείμενον δυνάμεων, ὑγραινούσης τε καὶ ξηραινούσης, ὅτι καὶ διττῆς οὐσίας μετέχει, γεώδους τε καὶ ὑδατώδους. ἀλλ' οὐ πρόκειταί μοι νῦν ἐπὶ τὴν κατὰ μέρος ὕλην ἀπάγειν τὸν λόγον, ἀλλὰ τὰς γενικὰς μόνον ἀφορίσασθαι δυνάμεις. εἰ μὲν δή τι καὶ ψύχει καὶ ξηραίνει, σκληρύνει μὲν καὶ τοῦτο πάντως, ἀλλ' οὐκ ἔστι τῶν ἰδίων σκληρυντικῶν. πήξει γὰρ μᾶλλον ἢ κενώσει τὸ σκληρὸν γίγνεται σῶμα, καθότι καὶ πρόσθεν ἐλέγομεν. εἴ τι δὲ ἐκ τοῦ τὴν σύμφυτον ὑγρότητα μὴ κατέχειν σκληρυνθῇ, ξηρὸν μᾶλλον τοῦτο προσαγορεύομεν ἢ σκληρὸν, καὶ ἡ ἴασις αὐτοῦ δίανσίς τε καὶ ὕγρανσίς ἐστι, καὶ οὐ μά-

Cap. X. Sane emollientium facultas medicamentorum abunde jam expofita eft; proinde deinceps de indurantibus verba faciam. Frigida itaque haec fint oportet et humida, velut fempervivum, portulaca, pfyllium, lenticula paluftris, folanum, aut hoc quidem certe non eft temperamento humido, fed medium abfolute humectantis et exiccantis, ex contrariis facultatibus compofitum, exiccante videlicet et humectante, nimirum quum et duplicem in fe habeat fubftantiam, terrenam et aqueam. Sed jam non eft mihi confilium ad particularem materiam fermonem deducere, verum generales duntaxat breviter facultates definire. Sane fi quid fimul et refrigeret et deficcet, et ipfum profecto omnino indurabit; fed non eft ex iis, quae proprie indurant, fiquidem congelatione potius quam evacuatione durum efficitur corpus, prout fupra pofuimus. At fi quid fit quod proinde, quia nativum humorem non retinet, induratum eft, id ficcum potius quam durum appellabimus, conftatque ejus

λαξις, ὥσπερ καὶ τοῦ συντεταμένου μὲν ἡ ἴασις χάλασίς ἐστι, τοῦ κεχαλασμένου δὲ σύντασις.

Κεφ. ια΄. Ταῦτα δὲ ὁρᾶται σαφῶς πῶς ἐστι καὶ ἐπὶ τοῦ δέρματος μὲν, ὥσπερ καὶ πρὸς Ἱπποκράτους εἴρηται, δέρματος σκληροῦ μάλθαξις, συντεταμένου δὲ χάλασις, οὐ μὴν ἀλλὰ κἀπὶ τῶν ἄρθρων πολλάκις. ἡ μὲν οὖν χάλασις ὑγρανθέντων ἀμέτρως τῶν ἀμφ' αὐτὰ συνδέσμων ἀποτελεῖται καὶ τῶν τενόντων, ἡ δὲ σύντασις οὐκέθ' ἁπλῶς, ἀλλ' εἴ τι ξηραινομένων ἐπιπλέον, ἢ ψυχομένων, ἢ φλεγμαινόντων, ἢ σκιῤῥουμένων. κατ' ἄρθρα μὲν οὕτως· ἐπὶ δὲ τοῦ δέρματος οὐχ οὕτω μόνον, ἀλλὰ καὶ τῶν ἐντὸς αὐτοῦ μυῶν καθ' ὁντιναοῦν τρόπον εἰς ὄγκον αὐξανομένων, ὥστε καὶ διὰ πολυσαρκίαν τισὶν ἐκτείνεται πολλάκις. ὅτι δὲ κἀν ταῖς φλεγμοναῖς ταὐτὸ τοῦτο πάσχει λέλεκται πρόσθεν, ὅθεν οὐδ' ἁπλῶς ἕν τι τῶν χαλαστικῶν ἐστιν εἶδος βοηθημάτων, ἀλλὰ τὰ μὲν ὑγραίνοντα χαλᾷ, τὰ δὲ θερμαίνοντα, τὰ δὲ μαλάττοντα, τὰ δὲ κενοῦντα, τὰ δὲ τοὺς παρὰ φύσιν ὄγκους καθαίροντα, τὰ δέ τινα τούτων κατὰ συζυγίαν ἐργαζόμενα.

ſanatio rigatione et humectatione, non emollitione, ſicut certe et tenſio curatur laxatione et laxatio tenſione.

Cap. XI. Sed haec ut ſe habeant liquido conſpiciuntur, quum in cute, quemadmodum et ab Hippocrate dictum eſt, *Cutis durae mollificatio, tenſae laxatio,* tum etiam frequenter in articulis. Igitur laxatio provenit humectatis immodice, quae circa eos ſunt ligamentis pariter et tendonibus, tenſio vero non etiam ſimpliciter, ſed aut pluſculum exiccatis, aut refrigeratis, aut phlegmone affectis, aut ſcirrho. Atque ita quidem in articulis, in cute vero non tantum ita, ſed muſculis quoque, qui ei ſubjecti ſunt, quoquo modo in tumorem ſublatis; nam et prae carnis ſaepe copia quibusdam tenditur; quod vero et in phlegmonis id ipſum illi accidat, ſupra poſitum eſt. Quamobrem non ſimpliciter una eſt ſpecies laxantium remediorum, utpote quum alia humectando, alia calefaciendo, alia vero emolliendo, quaedam evacuando, nonnulla tumores praeter naturam purgando, alia etiam per conjugationem horum quaedam

Θεσσαλὸς δὲ καὶ οἱ ἀπ᾽ αὐτοῦ σχεδὸν ἅπαντες ὥσπερ ἐν ἄλλοις πολλοῖς, οὕτω κἀν τούτοις συγχέουσι καὶ τὰς προσηγορίας καὶ τὰ πράγματα, τὸ ἐπελθὸν ἀβασανίστως γράφοντες· ὅθεν καὶ ἡμῖν, ἐπειδὰν τὰ προκείμενα συντελέσωμεν, ἀναγκαῖον ἴσως γράψαι ποτὲ πρὸς αὐτούς. ἐν δὲ τῷ παρόντι τὰ συνεχῆ τοῖς εἰρημένοις διερχώμεθα, τὴν ἀρχὴν αὖθις ἀπὸ τῶν ἐμπλαστικῶν ὀνομαζομένων ποιησάμενοι φαρμάκων, ἐπειδὴ καὶ περὶ αὐτῶν εἴρηται συχνάκις. συνελόντι μὲν οὖν εἰπεῖν ἐμπλαστικόν ἐστι φάρμακον ὅπερ ἂν ἐμπλάσσηται δυσαπολύτως τοῖς κατὰ τὸ σῶμα τοῦ ἀνθρώπου πόροις. εἴρηται δέ μοι περὶ τῆς φύσεως ὧν ἡμεῖς ὑποτιθέμεθα πόρων αὐτάρκως ἐν τοῖς περὶ κράσεων ὑπομνήμασιν. ἀπεδείχθη δὲ ἐν τῷ πρὸ τοῦδε ὡς καὶ ἄδηκτον εἶναι χρὴ πάντως τὸ ἐμπλαστικὸν φάρμακον. εἰ γάρ τι προσείη δακνῶδες αὐτῷ, μένειν οὐ δυνήσεται κατὰ τοὺς πόρους, ἀλλ᾽ ἐκκριθήσεται ῥᾳδίως, ἢ περιτῆξάν τι τῶν μορίων, ἢ πάντως ἐπισπασάμενον ἐκ τοῦ βάθους ὑγρότητα. δῆλον δὲ

agentia, laxare affolent. At Theffalus fereque fequaces ejus univerfi ficut in aliis multis, ita in et his appellationes fimul cum rebus confundunt, quicquid obvium eft, citra ullam examinationem confcribentes. Quamobrem ubi quae in manibus funt abfolverimus, neceffe nobis forfan fuerit aliquando in eos ftilum convertere. In praefenti autem quod dicta continuo fequitur perfequamur, rurfum fumpto principio ab iis medicamentis quae vocantur emplaftica, quia faepe jam ante et de iis diximus. Breviter ergo emplafticum medicamentum eft quod tenaciter corporis poris five meatibus illitum inhaeret. Porro abunde dictum eft nobis de pororum quos nos ftatuimus natura in libris De temperamentis. Demonftratum autem eft et in libro hunc praecedente mordacitate vacare omnino debere medicamentum emplafticum; nam fi qua illi inerit mordacitas, haerere in poris non poterit, fed omnino facile excernetur, aut partium aliquam liquando, aut certe humorem aliquem ex alto

ὡς καὶ τῇ συστάσει γεῶδες, ἢ γλίσχρον γε πάντως εἶναι χρὴ τὸ ἐμπλαστικόν.

Κεφ. ιβʹ. [126] Ἀλλὰ περὶ μὲν τούτων καὶ πρόσθεν αὐτάρκως εἴρηται. τὸ δ᾽ ἐναντίον αὐτῷ λέγοιτο μὲν ἂν ἐκκαθαρτικὸν, ἢ ἐκφρακτικὸν τῶν πόρων, ὥσπερ γε καὶ αὐτὸ τὸ ἐμπλαστικὸν οὐκ ἐμπλαστικὸν μόνον, ἀλλὰ καὶ ἐμφρακτικόν. εἴη δ᾽ ἂν ὥσπερ τοῖς ἔργοις ἐναντίον, οὕτω καὶ τῇ φύσει τοῦ σώματος οὔτε γλίσχρον οὔτε ἄδηκτον, ἀλλὰ νιτρῶδές τε καὶ λεπτομερές. ἐν γὰρ δὴ τῷ μᾶλλόν τε καὶ ἧττον ἀλλήλων διαφέρει, τῷ γένει τῆς οὐσίας οὐ διαφέροντα, τά τ᾽ ἐμπλαστικὰ τῶν ῥύπον ἐπιτρεφόντων καὶ τὰ τῶν πόρων ἀνακαθαρτικὰ τῶν ῥυπτικῶν. ὅσα μὲν γὰρ τὸν ἐπιπολῆς ἀφαιρεῖ ῥύπον, εἴτ᾽ οὖν ἑλκῶν εἴτε καὶ τοῦ δέρματος αὐτοῦ, ῥυπτικὰ προσαγορεύεται· τὰ δὲ καὶ τοὺς πόρους ἐκκαθαίροντα λεπτομερέστερά τέ ἐστιν τούτων καὶ τοῖς ἐμπλαστικοῖς ἐναντία, καὶ διὰ τοῦτο ἐκφρακτικά τε καὶ καθαρτικὰ τῶν πόρων ὀνομάζεται. ἔστι δὲ ταῦτα νιτρώδη τε καὶ πικρὰ, καὶ κατὰ μὲν τοῦ δέρματος ἔξωθεν ἐπιτιθέμενα

attrahendo. Sed et illud fatis conftat, terrenae confiftentiae, aut vifcofum effe oportere emplafticum.

Cap. XII. Sed de iftis fupra abunde dictum eft. Quod vero illi contrarium eft, dici queat poros repurgans et infarctu liberans, ficut et ipfum emplafticum non modo emplafticum dicitur, fed et emphracticum, id eft *infarciens.* Fuerit autem id ficut effectu contrarium, ita et corporis natura neque vifcofum neque mordacitatis expers, fed nitrofum et fubtile. Nam in ratione majoris ac minoris inter fe differunt, fubftantiae genere minime diverfa, tum emplaftica ab iis quae fordem nutriunt, tum poros repurgantia ab extergentibus. Nam quae in fuperficie fordem aufe- runt, five in cute, five in ulceribus ea extergentia, rhyptica nominantur. Quae vero poros etiam expurgant, ea fubtiliorum his partium funt et emplafticis contraria, proinde pororum infarctu liberantia et expurgantia appellantur; funt autem haec tum nitrofa tum amara. Atque cuti exti-

τὴν νιτρώδη ποιότητα μόνον ἀκριβῆ κεκτῆσθαι δεῖται πρὸς τὸ δύνασθαι δρᾷν ἅπερ εἴρηται, εἴσω δὲ τοῦ σώματος λαμβανόμενα, κᾂν εἰ στύψεώς τι μετέχῃ, δύναιτ᾽ ἂν εἶναι καὶ οὕτως ἔτι καθαρτικά τε καὶ διαῤῥυπτικὰ τῶν μειζόνων πόρων, οἷοίπερ κᾂν τοῖς ἀγγείοις εἰσίν. ἔξωθεν μὲν γὰρ ἡ σμικρότης τῶν πόρων ὑπὸ τῆς στύψεως τυφλοῦσθαι φθάνουσα, πρὶν ἐκκαθαρθῆναι καλῶς, οὔτε παραδέχεται τοὐντεῦθεν ἔτι τὴν ῥυπτικὴν οὐσίαν εἰς τὸ βάθος οὔτ᾽ ἐκκαθαίρεται. τὰ δὲ κατὰ τὴν γαστέρα μόρια πάντα καὶ τὰ καθ᾽ ἧπαρ καὶ σπλῆνα καὶ τἄλλα πάντα σπλάγχνα μεγίστους ἔχοντα πόρους ἐν αὐτοῖς εἰς ῥώμην τῶν ἀγγείων ὠφελεῖται πλέον ἢ εἰς τὴν τῶν στομάτων σμικρότητα βλάπτεται. καὶ διὰ τοῦτο ἔνδοθεν μὲν ἀψίνθιον διακαθαίρειν πέφυκεν, ἔξωθεν δ᾽ οὔ. σύνθετον δὲ ὑπάρχει, ὡς εἴρηται πρόσθεν, ἐκ πικρᾶς καὶ στρυφνῆς δυνάμεως· οὐκοῦν οὐδὲ τὰ κατὰ μέρος δέομαι προσγράφειν οὐδὲν τῶν τοιούτων φαρμάκων. ὅσα γὰρ ἂν εὑρίσκῃς νιτρώδη καὶ πικρὰ, ταῦτ᾽ ἐκκαθαίρειν ἴσθι δυνάμενα τοὺς πόρους πάντας· ῥύπον δὲ ἑλκῶν, ἢ καὶ τοῦ δέρματος, οὐ ταῦτα μόνον, ἀλλὰ

mae impofita folam nitrofam qualitatem poffideant exactam eft opus ad ea peragenda, quae dicta funt, at intro in corpus affumpta, etiamfi adjuncta fit quaedam aftrictio, poffint tamen fic quoque magnos purgare abftergereque meatus, cujusmodi funt in vafis. Nam foris meatuum exiguitas prius ab aftrictione occlufa quam probe queat expurgari, non etiam inde in altum abftergentem fubftantiam recipit, nec expurgatur; at quae circa ventrem funt partes omnes, quaeque in jecinore, liene aliisque omnibus vifceribus, quum maximos in fe meatus habeant, majus accipiunt commodum ex vaforum corroboratione quam propter ofculorum exiguitatem laedantur. Proin intus abfinthium repurgare poteft, foris non poteft, quippe quod compofitum eft, ut fupra dixi, ex amara acerbaque facultate. Quamobrem ejus generis medicamenta particulatim ut perfequar non eft neceffe. Quaecunque enim repereris nitrofa et amara, ea ad purgandos meatus omnes valere noveris. At cutis univerfae ac ulcerum fordes non haec tantum, fed viribus minora

καὶ τὰ μετριώτερα ταῖς δυνάμεσιν ἀφαιρεῖν πέφυκεν, οἷάπερ ἐστὶ τὰ λεπτομερῆ γλυκέα, καθάπερ τὸ μέλι καὶ τῶν σιτηρῶν σπερμάτων ἔνια, καθάπερ ὄροβοι καὶ κύαμοι καὶ κριθαὶ καὶ θέρμοι. καίτοι κᾀν τούτοις αὐτοῖς τὸ μὲν τῶν κυάμων καὶ τῶν κριθῶν ἄλευρον ἀπορύπτει μόνον, οὐ μὴν ἐκφράττει γε τοὺς πόρους. τὸ δὲ (61) τῶν ὀρόβων τε καὶ θέρμων, καὶ μάλισθ᾽ ὅταν ὦσι πικροὶ, πρὸς τὸ ῥύπτειν ἤδη τι καὶ τῶν πόρων ἐκκαθαρτικὸν ἔχει. παραπλήσιον δὲ καὶ τοῖς ἀμυγδάλοις συμβέβηκεν. καὶ γὰρ καὶ τούτων ὅσα μὲν ἐστι πικρὰ, καὶ ῥύπτει καὶ διακαθαίρει τοὺς πόρους, ὅσα δὲ ἐδώδιμα, ῥύπτει μὲν, οὐκ ἐκφράττει δέ. τὸ μέντοι τῆς ἀκαλήφης σπέρμα καθαίρει τοὺς πόρους ὁμοίως τοῖς πικροῖς ὀρόβοις τε καὶ ἀμυγδάλοις. ἐκ ταὐτοῦ δ᾽ ἐστὶ γένους δηλονότι καὶ ἡ σκίλλα καὶ ἡ ἶρις, ὅσα τ᾽ ἄλλα, καθάπερ εἴρηται, κρατοῦσαν ἐν ἑαυτοῖς ἔχει τὴν πικρὰν ποιότητα. καὶ γὰρ καὶ τὸ νίτρον αὐτὸ καθ᾽ ἑαυτὸ καὶ τὸ ἀφρόνιτρον ὅ τ᾽ ἀφρὸς τοῦ νίτρου καὶ τὸ σέριφον καὶ τὸ ἀβρότονον, ὅσα τ᾽ ἄλλα τοιαῦτα σὺν ἐδέσμασί τε καὶ πόμασι λαμβανόμενα τῆς αὐτῆς ἐστι δυνάμεως. εὐθὺς δὲ τούτοις ὑπάρχει πᾶσι καὶ λεπτυντικοῖς εἶναι παχέων τε καὶ γλίσχρων χυμῶν, ὥσπερ τοῖς ἐμ-

auferre poſſunt, qualia ſunt dulcia, quae tenuium ſunt partium, puta mel et ex cerealibus ſeminibus quaedam, ut ervum, ſabae, hordeum, lupini; quanquam in ipſis fabacea hordeaceaque farina tantum extergit, non etiam meatus farctu liberat, ervi autem et lupinorum potiſſimum, ſi amara fuerint, ſupra quam quod extergunt nonnihil quoque meatus purgare valent. Simile quiddam amygdalis accidit; nam et horum ipſorum ea quae amara ſunt et detergunt et meatus expurgant, quae vero edendo ſunt, detergunt quidem, non tamen infarctu liberant. Quin et urticae ſemen non ſecus atque ervum amygdalaque amara meatus purgat. Ex eodem genere ſcilicet ſunt ſcilla et iris et quaecunque alia vincentem in ſe qualitatem amaram poſſident. Siquidem nitrum ipſum per ſe et ſpuma nitri et ſeriphon et abrotonum et id genus reliqua, cum cibo potuque aſſumpta eandem vim obtinent. Protinus enim his ineſt ut craſſos

Ed. Chart. XIII. [126. 127.] Ed. Baf. II. (61.)

πλαστικοῖς ἅπασι, παχεῖς καὶ γλίσχρους ἐργάζεσθαι τοὺς κατὰ τὸ σῶμα τοῦ ἀνθρώπου χυμούς. [127] ὥστ᾽ οὐδὲ τῶν ἐκ θώρακός τε καὶ πνεύμονος ἤτοι φλεγματωδῶν, ἢ γλίσχρων, ἢ πύου τμητικώτερα καὶ λεπτυντικώτερα καὶ πρὸς τὴν ἀναγωγὴν ἐπιτηδειότερα δύναιο ἂν εὑρεῖν ἕτερα πρὸ τούτων φάρμακα. τοῖς δ᾽ αὐτοῖς τούτοις καὶ τὰς καθ᾽ ἧπαρ ἐμφράξεις ἐκκαθαίρειν ὑπάρχει καὶ τὰς κατὰ σπλῆνα τὰς μετρίας· αἱ δ᾽ ἰσχυρότεραι σφοδροτέρων φαρμάκων προσδέονται, καππάρεως φλοιοῦ καὶ μυρίκης ῥιζῶν, σκολοπενδρίου τε καὶ σκίλλης καὶ τῆς δι᾽ αὐτὸ δὴ τοῦτο προσαγορευομένης ἀσπλήνου πόας. διαφόρως δὲ καὶ αὐτοῖς τούτοις ἐστὶ χρηστέον ἐφ᾽ ἑκάστου τῶν σπλάγχνων· ἐπὶ μὲν ἥπατος αὐτοῖς καθ᾽ ἑαυτὰ μόνοις, ἐπὶ δὲ σπληνὸς ὄξει μιγνύντας ἢ ἐναφεψοντας. ἐπὶ δὲ τῶν κατὰ θώρακα καὶ πνεύμονα καὶ μελικράτῳ καὶ πτισάνῃ καὶ ὀξυμέλιτι καὶ τῶν οἴνων τοῖς γλυκέσιν. ἔστι δὲ καὶ ταῦτα τῆς θεραπευτικῆς ἤδη μεθόδου· διὸ καὶ παρίημι τό γε νῦν ἔχον τοὺς ὑπὲρ αὐτῶν λογισμούς. ἔν τε γὰρ ἐκείνῃ τῇ πραγματείᾳ κἀν τῇ περὶ συνθέσεως φαρμάκων εἰρήσονται.

lentosque humores extenuandi vim obtineant, ficut emplaſticis omnibus craſſos lentosque corporis ſuccos reddendi. Quamobrem lentis ac pituitoſis thoracis pulmonisque humoribus aut puri et incidendis et extenuandis et educendis aptiora invenire alia prae iſtis medicamenta nequeas. Iisdem iſtis et jecinoris obſtructiones expurges et modicas etiam lienis; nam quae majores ſunt, vehementiora deſiderant, nempe capparis corticem, radices tamaricis, ſcolopendrium et ſcillam et eam, quae id ipſum nomine repraeſentat, aſplenos appellata. Sed tamen iſtis utendum in quoque viſcerum eſt, ad jecur ipſis per ſeſe duntaxat, ad lienem vero mixtis aceto, aut ei incoctis, ad thoracem pulmonemque melicrato, ptiſanae, oxymeliti, aut dulcium vinorum cuipiam. Sed haec ad curandi pertinent methodum, proinde in praeſens rationibus ea confirmare omitto. Nam et in illo opere et in alio quod de componendis medicamentis inſcribetur eas explicabo.

Κεφ. ιγ'. Ἅπερ δ' ἐστὶν ἀναγκαῖον ἔτι προσεπισημήνασθαί με τοῖς λεγομένοις εἰρήσεται μόνον, ὡς ἐπειδὰν πλέονα οὔρησιν κινῆσαι βουληθῶμεν, οὐ πάνυ τι τοῖς εἰρημένοις φαρμάκοις χρηστέον ἐστὶν, ἀλλὰ τοῖς δριμυτέροις τε ἅμα καὶ μᾶλλον θερμαίνουσιν. εἴρηται γὰρ ἔμπροσθεν ὡς τὸ δριμὺ πᾶν θερμόν ἐστιν. ἔστι δὲ τοιαῦτα σελίνου σπέρμα καὶ πετροσελίνου καὶ μαράθρου καὶ δαύκου καὶ ἀγριοσελίνου καὶ σμυρνίου, καὶ δὴ καὶ τὸ σέσελι καὶ τὸ ἄμμι καὶ τὸ φοῦ καὶ τὸ μέον, ἄσαρόν τε καὶ ἄκορον, ὑφ' ὧν οὐ λεπτύνεται μόνον, ἀλλὰ καὶ χεῖται καὶ διακρίνεται τὸ αἷμα παραπλησίως τῷ γάλακτι, τοῦ μὲν ὀῤῥώδους καὶ λεπτοῦ ἀποχωριζομένου καθ' ἑαυτὸ, τοῦ δ' αὖ παχυτέρου συνισταμένου τε πρὸς ἑαυτὸ καὶ ἀκριβῶς ἑνουμένου. πρὸς γὰρ δὴ τὸ ῥᾳδίως ἐπισπᾶσθαι τοὺς νεφροὺς ὅσον ὑδατῶδές τ' ἐστὶ καὶ λεπτὸν καὶ ὀῤῥῶδες ἐν αἵματι ταῦτ' ἄμφω συντελεῖ, χύσις μὲν αὐτοῦ τοῦ αἵματος ὅλου τὸ πρῶτον, ἐφεξῆς δ' αὐτῇ διάκρισις, ὧν οὐδὲν ἄνευ θερμότητος ἰσχυρᾶς ἐνδέχεται γενέσθαι. καὶ διὰ τοῦτο ταῖς ἐκ τοῦ θώρακος ἀναπτύσεσιν τοῦ πύου τὰ τοιαῦτα πάντα ἀντιπράττει. φύσις γὰρ

Cap. XIII. Porro quae necesse est ut dictis adjiciam, ea duntaxat expromam, nempe quum plurimam movere urinam volumus, non admodum dictis utendum pharmacis, sed quae acriora sunt et magis calefaciunt, dictum siquidem supra est, acre omne esse calidum. Ejus generis sunt semen apii, petroselini, foeniculi, dauci, agrioselini, smyrnii et sane ipsum quoque seseli et ammi et phu et meon et asaron et acoron, a quibus sanguis non extenuatur duntaxat, sed et funditur ac secernitur non secus atque lac quod coagulatur, seroso videlicet et tenui serosum segregato, crasso vero in sese coëunte. Siquidem quo facillime ad se attrahunt renes, quod in sanguine aqueum tenueque ac serosum est, utraque haec conferunt, nempe totius sanguinis primum fusio, deinde segregatio, quorum neutrum absque valido calore peragi queat. Quamobrem puris ex thorace expuitioni ea omnia adversa sunt, quippe quum natura eorum sit tum calefactoria exiccatoriaque, tum etiam

Ed. Chart. XIII. [127.] Ed. Baf. II. (61.)

αὐτῶν, ὡς εἴρηται νυνὶ, θερμαντική τε καὶ ξηραντικὴ καὶ προσέτι συνακτική τε καὶ διακριτικὴ, συναγομένου μὲν εἰς ταὐτὸ τοῦ παχέος, ἀποκρινομένου δὲ καὶ διακρινομένου κατὰ τὴν τοῦδε σύνοδον ὅσον ἂν ὀῤῥῶδές τε καὶ λεπτὸν ἐμφέρηται τῷ αἵματι. τοῦτο μὲν οὖν οἱ νεφροὶ φθάνουσιν ἐφ᾽ ἑαυτοὺς ἕλκοντες, τὸ δὲ συνιστάμενόν τε καὶ ἀποξηραινόμενον οὐκέτι εὐπετῶς ἀναπτύεται. καὶ διὰ τοῦτο, καθάπερ ἀρτίως ἐλέχθη, τμητικὸν μὲν εἶναι χρὴ τὸ τοιοῦτον φάρμακον, οὐ μὴν ἐπιφανῶς γε θερμὸν, ἵνα μὴ ξηραίνῃ σφοδρῶς, δίδοσθαί τε σὺν τοῖς ὑγραίνουσι ῥοφήμασί τε καὶ πόμασι τῆς αὐτῆς χρείας ἕνεκα. τὰ μέντοι τοὺς νεφροὺς ἐκκαθαίροντα τμητικὰ μὲν ὁμοίως ἐστὶ, δεῖ δ᾽ εἰς οὐδὲν ὑγρότητος δαψιλοῦς. ὅσα δὲ τὰς ἐν αὐτοῖς πωρώδεις συστάσεις ἐπιτήδεια τέμνειν ἐστὶν, τμητικὰ μὲν ἱκανῶς ὑπάρχει καὶ ταῦτα, θερμότητος δ᾽ ἥκιστα μετέχει· συνίστησι γὰρ ἀποξηραίνουσα τὸν πῶρον ἡ θερμότης, οὐ τέμνει καὶ διαιρεῖ. τὰ δ᾽ ἧττον θερμὰ μετὰ τοῦ τέμνειν δύνασθαι βελτίω, καθάπερ αἵ τε ῥίζαι τῶν βασιλικῶν ὀνομαζομένων ἀσπαράγων, αἵ τε τοῦ βάτου, καὶ τὸ κέστρον καὶ τὸ πόλιον, ὤχρά τε καὶ ὕαλος ἡ

coactoria et fecretoria. Cogitur quidem in fefe quod craffum eft, excernitur vero ac fecernitur in ipfo coactu quod in fanguine ferofum ac tenue defertur, atque hoc ad fefe trahere renes antevertunt, quod vero coactum eft atque exiccatum, haud etiam facile expuitur. Proinde, ut modo dixi, incidendi vim habeat ejusmodi medicamentum oportet, fed non tamen infigniter calidam, ne videlicet valide deficcet, ac ejusdem profecto commoditatis gratia cum forbitionibus potionibusque humectantibus exhiberi poftulat; at quae renes expurgant et ipfa quidem incidentia funt, verum larga humiditate non indigent. Porro quae callofas, five tophaceas confiftentias incidere funt idonea, et ipfa utique admodum incidunt, fed minimum caloris poffident, quandoquidem caliditas porum exiccando contrahit, non incidit, neque dividit. At quae minus funt calida, cum hoc quod incidere valeant meliora quoque funt, velut radices regiorum afparagorum et rubi et betonica et polium, tum ochra

κεκαυμένη, καὶ τὸ διὰ τῆς σκίλλης ὄξος, ὅσα τ᾽ ἄλλα τοιαῦτα. [128] Θεσσαλὸς δ᾽ ὁ σκαιότατος ὥσπερ εἰς τἄλλα τῆς τέχνης ὑβρίζει πλημμελῶς, οὕτω καὶ ταῦτα διασύρειν ἐπιχειρεῖ, μηδὲν εἶναι νομίζων φάρμακον ἰδίως ἡπατικὸν, ἢ νεφριτικὸν, ἢ πλευριτικόν.

Κεφ. ιδ΄. Ἀλλὰ τὰ μὲν ἐκείνου πλημμελήματα δι᾽ ἑτέρων γραμμάτων ἐπεδείξαμεν· ἐν δὲ τῷ παρόντι λόγῳ τὰς ὑπολοίπους τῶν ἁπλῶν φαρμάκων ἐξηγησόμεθα δυνάμεις, ἀπὸ τῶν ἀραιωτικῶν τε καὶ ἀναστομωτικῶν αὖθις ἀρξάμενοι. δοκεῖ γὰρ δὴ καὶ ταῦτα πλησιάζειν μέν πως τοῖς προειρημένοις, ὅσα ῥύπτειν καὶ τέμνειν ἐκφράττειν τε καὶ διαιρεῖν ἔφαμεν, οὐ μὴν πάντῃ γε ὁμοιῶσθαι. πρῶτον μὲν οὖν καὶ τούτων τὰς ἐννοίας διοριστέον, εἶθ᾽ οὕτως τὰς οὐσίας ζητητέον. ὅσα μὲν δὴ τοὺς κατὰ τὸ δέρμα πόρους ἀνοίγνυσιν ἀραιωτικὰ προσαγορεύουσιν, ὅσα δὲ τὰ στόματα τῶν ἀγγείων, ἀναστομωτικά. καὶ δὴ καὶ τῶν ἐναντίων αὐτοῖς, εἰ μέν τι συνάγει τοὺς πόρους, πυκνωτικὸν ὀνομάζουσιν, εἰ δέ τι κλείει τὸ στόμιον, ἰδίῳ μὲν οὐκέτι προσαγο-

et vitrum uftum et ex fcilla confectum acetum et quae funt ejus generis. At Theffalus infulfiffimus atque imperitiffimus ficut pleraque alia artis contumeliis ac probris immerito afficit, ita et haec quoque difcerpere contendit, nullum effe medicamentum cenfens quod proprie fit aut hepaticum, aut nephriticum, aut pleuriticum.

Cap. XIV. Sed illius errores aliis libris detexi. In praefenti autem libro reliquas fimplicium medicamentorum facultates edifferam, exordio rurfus ab aperientibus ac rarefacientibus defumpto. Videntur enim et haec quodam fane modo jam dictis effe vicina, nempe quae extergere, incidere, obftructiones tollere, dividereque diximus, quanquam non undequaque effe fimilia. Sane et horum ante omnia diftinguenda notio eft, ac fic inquirenda fubftantia. Quae cutis meatus referant rarefacientia dicimus, quae vero vaforum ofcula, aperientia. Quin et illis contrariorum, fi quod poros contrahit, condenfans appellitant, fi quod autem ofculum occludit, haud etiam proprio defignant nomine, fed

ρεύουσιν ὀνόματι, γενικωτέροις δέ τισι συνάγον τε καὶ κλεῖον καὶ σφίγγον καὶ στεγνοῦν ὀνομάζοντες, ἡ δὲ φύσις ἑκατέρων ἐστὶν τῶν μὲν ἀραιωτικῶν μετρίως θερμὴ καὶ ἥκιστα ξηραίνουσα καὶ λεπτομερὴς, τῶν δ' ἀναστομωτικῶν παχυμερὴς, δριμεῖα καὶ δηκτική· τῶν δ' ἐναντίων αὐτοῖς ἡ μὲν πυκνωτικὴ ψυκτικὴ μὲν, οὐ μὴν οὔτε γεώδης οὔτε ἀερώδης, ἀλλ' ὑδατώδης μᾶλλον, ἡ δὲ τὰς ἀναστομώσεις κλείουσα παχυμερὴς, ψυχρά. παράδειγμα δὲ τούτων· ἀραιωτικῆς μὲν φύσεως χαμαίμηλόν τε καὶ ἀλθαία καὶ τὸ δι' αὐτῶν ἔλαιον, οὐχ ἥκιστα δὲ καὶ τὸ διὰ τῶν ἀγρίων σικύων. ἀλλὰ καὶ τὸ παλαιὸν καὶ τὸ κίκινον καὶ τὸ ῥαφάνινον ἔλαιον ἐκ τῆς αὐτῆς ἐστιν ἰδέας. ἀναστομωτικῆς δὲ δυνάμεως ὅσα δριμέα τέ ἐστιν καὶ γεώδη πάντα, κυκλάμινος, σκόροδα, κρόμμυα, τῶν ταύρων αἱ χολαί. τῶν μύρων ἁπάντων παχυμερῶν τε ἅμα καὶ θερμῶν αἱ ὑποστάσεις, οἷόν περ καὶ τὸ ἴρινόν ἐστιν καὶ τὸ ἀμαράκινον, ἃ δὴ καὶ τὰς τυφλωθείσας αἱμοῤῥοΐδας ἀναστομοῖ. τὰ δέ γε τὸ τῆς μήτρας στόμιον ὑπὸ φλεγμονῆς τινος ἢ ξηρότητος ἢ σκίῤῥου μεμυκὸς ἀνα-

generalioribus quibusdam et contrahens, occludens, conftringens, atque obftruens nominant. Porro utriusque natura fic habet, rarefacientium quidem tum modice calida eft, tum minime deficcans, tum tenuium partium, aperientium vero tum craffarum partium, tum acris ac mordax. His porro contrariorum condenfantium quidem frigida fane, fed non terrea, neque aërea, fed potius aquea, eorum autem quae apertiones five anaftomofeis occludunt, craffarum partium et frigida. Exempla horum funt, rarefacientis quidem naturae chamaemelum et althaea et quod ex ipfis praeparatur oleum, nec minus quod ex agreftibus conficitur cucumeribus, quin et vetus et cicinum et raphaninum oleum ex eadem funt nota. Aperientis vero facultatis quaecunque omnia acria funt fimulque terrena, cyclaminus, allia, caepe, fel taurinum, unguentorumque omnium fubfidentiae, quae fimul craffarum funt partium et calida, cujusmodi eft irinum et amaracinum, quae utique et occaecatas aperiunt haemorrhoidas. Porro quae uteri os a phlegmone, aut

στομοῦν λεγόμενα κατὰ συμβεβηκὸς ἂν, οὐ πρώτως οὐδὲ καθ᾽ ἑαυτὰ τοιαῦτα ἂν εἴη τινὸς δυνάμεως, ὥσπερ οὐδ᾽ ὅσα μεμυκότων ὑπὸ φλεγμονῆς ἤτοι χειλῶν ἢ βλεφάρων ἢ μυκτήρων ἢ φάρυγγος ἢ πόσθης ἢ ἕδρας ἢ τινος ἑτέρου τοιούτου στόματος ὀργάνου τὴν φλεγμονὴν ἰασάμενα, καὶ τὴν μύσιν ἐπηνωρθώσαντο. καὶ γὰρ καὶ ταῦτα φλεγμονῆς εἶναι λυτικὰ λέγοιντ᾽ ἂν, ἀναστομωτικὰ δ᾽ οὐδαμῶς ἁμαρτάνει δ᾽ ἐν αὐτοῖς ὁ Διοσκουρίδης, ἀναστομωτικῆς ἐνίοτε λέγων εἶναι δυνάμεως ἤτοι χαλαστικόν τι φάρμακον ἢ μαλακτικὸν ἢ ὑγραντικὸν ἢ φλεγμονῆς λυτικόν. αἱ μὲν δὴ τῶν ἀραιωτικῶν τε καὶ τῶν ἀναστομωτικῶν οὐσίαι τοιαίδε. (62) τῶν δ᾽ ἐναντίων αὐταῖς ἡ μὲν τῶν πυκνωτικῶν ὕδατός τέ ἐστι τοῦ ψυχροῦ καὶ ἀειζώου καὶ ἀνδράχνης καὶ τριβόλου χλωροῦ καὶ ψυλλίου καὶ τῆς πόας ἣν μυὸς ὦτα προσαγορεύουσιν, καὶ φακοῦ τοῦ ἀπὸ τῶν τελμάτων, καὶ ἁπλῶς εἰπεῖν ὅσα ψύχει μὴ στύφοντα. διὸ καὶ μανδραγόρας καὶ [129] κώνειον, ὑοσκύαμός τε καὶ μήκων, αὐτὰς δὲ λέγω νῦν τὰς πόας, εἰ μὲν μετρίως τις χρήσαιτο, πυκνωτι-

fcirrho, aut ariditate occlufum aperire dicuntur, ex accidenti, non autem primario et per fe ejusmodi habere facultatem cenfentur, velut nec ea quae labiorum a phlegmone occluforum, aut genarum, aut narium, aut gutturis, aut praeputii, aut fedis, aut alterius ejusmodi ofculi inftrumenti phlegmonem fanant, atque occlufionem corrigunt, ea namque phlegmonem folvere dici poffint, haudquaquam aperientia, five anaftomotica. Peccat fane in iftis Diofcorides, nonnunquam aperientis inquiens facultatis medicamentum quod laxat, aut emollit, aut humectat, aut phlegmonem folvit. Atque rarefacientium et aperientium ejusmodi funt effentiae. At eorum quae ipfis contraria funt condenfantium quidem aquae eft frigidae, fempervivi, portulacae, tribuli viridis, pfyllii, herbae quam muris aurem vocitant, lenticulae paluftris, et, ut femel dicam, quaecunque refrigerant, fed non adftringunt. Proinde et mandragora, cicuta, altercum, papaver, ipfas nunc dico herbas, fi quis modice

καὶ ταῖς δυνάμεσιν ὑπάρχουσιν· εἰ δ᾽ ἐπὶ πλέον, οὐ πυκνωτικαὶ μόνον, ἀλλ᾽ ἤδη καὶ ναρκωτικαί· εἰ δ᾽ ἐπὶ πλεῖστον, οὐκέτι ναρκωτικαὶ μόνον, ἀλλ᾽ ἤδη καὶ νεκρωτικαί. ἡ δὲ τῶν ἐναντίων τοῖς ἀναστομωτικοῖς οὐσία, παχυμερὴς οὖσα καὶ ψυχρὰ, τῶν στυφόντων ἁπάντων ἐστὶ χωρὶς ἐπιμίκτου δριμύτητος. εἴρηται δὲ τῆς ὕλης αὐτῶν ἱκανὰ παραδείγματα κατὰ τὸ δ΄ γράμμα, δι᾽ οὗ καὶ τὴν οὐσίαν ἐξήγημαι τῶν τοιούτων φαρμάκων, γεώδη καὶ ψυχρὰν οὖσαν. οὐκοῦν ἔτι θαυμαστὸν οὐδὲν, εἰ μόνη συνάγειν καὶ κλείειν πέφυκε τὰ παρὰ φύσιν ἀναπεπταμένα τῶν ἀγγείων στόματα· μόνῃ γὰρ αὐτῇ πάνθ᾽ ὅσα δεῖται τὰ συναχθησόμενα πάρεστι, διὰ μὲν τὸ παχυμερὲς τῆς συστάσεως ἔξωθεν μὲν προσπιπτούσῃ, διεξέρχεσθαι δὲ τοὺς λεπτοὺς πόρους ἀδυνατούσῃ, διά τε τὴν ψύξιν εἴσω τε πιλούσῃ καὶ συναγούσῃ πανταχόθεν εἰς ἑαυτὰ τὰ πλησιάζοντα· διότι δὲ ξηραίνει, τοιοῦτον γὰρ ἐδείχθη πᾶν τὸ στῦφον, ἐκβοσκουμένη τε τὴν ἰκμάδα καὶ τονοῦσα τὸ μόριον. ἀλλ᾽ εἴπερ ἅπαντα συνέλθῃ ταῦτα, κλεισθήσεται τὸ στόμιον ὡς ὑπὸ δακτύλων τινῶν

utatur, condenſandi vim obtinent, ſin liberalius, non modo condenſandi, ſed et obſtupefaciendi, ſi vero etiam plurimum, non tantum obſtupefaciendi, ſed et enecandi. At eorum quae aperientibus adverſantur ſubſtantia quum ſit craſſarum partium et frigida, aſtringentium eſt omnium, quae quidem admixtam non habent acrimoniam. Quorum ſane materiae abunde multa poſuimus in quarto hujus exempla, in quo et eſſentiam ejusmodi medicamentorum terrenam frigidamque expoſuimus. Mirum ergo videri non debet, ſi ſola contrahere occludereque poſſit aperta praeter naturam vaſorum oſcula, ſoli enim huic quaecunque requirunt ea, quae contrahi debent, omnia adſunt, nimirum quae conſiſtentiae craſſitie foris incumbat, nec parvos meatus penetrare poſſit, tum frigiditate ſua intro premat, atque undequaque in ſeſe contacta vicinaque corpora cogat ac contrahat, ac proinde quod deſiccet, ejusmodi enim eſſe oſtenſum eſt quicquid aſtringit, humorem depaſcatur et partem roboret. Itaque ſi haec omnia conveniant, oſculum claudetur ceu a manibus

ἔξωθεν τῶν μορίων τῆς στυφούσης οὐσίας συναγόμενον. ὅσα δὲ τῶν φαρμάκων ψυχρὰ μέν ἐστιν ἢ ὁμοίως ἢ μᾶλλον, ὑδατώδη δ' ἐστὶ ταῖς οὐσίαις, ἀσθενῶς τὰ τοιαῦτα καὶ συνάγει τε καὶ σφίγγει διὰ μαλακότητα. δεῖται γάρ τινος ἰσχύος ἀντιβατικῆς καὶ σκληρᾶς ἅπαν τὸ μέλλον πιλήσειν τε καὶ συνάξειν ὁτιοῦν ἰσχυρῶς, ἣν οὐκ ἔχοντα τὰ ὑδατωδέστερα ταῖς οὐσίαις φάρμακα τοὺς μὲν λεπτοὺς πόρους ἐν ἑκάστῳ σώματι συνάγει καὶ πυκνοῖ, τὸ δ' ὅλον ὄργανον ἀδυνατεῖ σφίγξαι πανταχόθεν, ὥστ' εὐλόγως τὰ τοιαῦτα πυκνωτικὰ μέν ἐστι, στεγνωτικὰ δὲ οὐκ ἔστιν. ἄκουε δέ μου νῦν στεγνωτικὰ λέγοντος ὅσα τὰς αἰσθητικὰς ἐκκρίσεις ἐπέχει. καὶ γὰρ τὸ στεγνωτικὸν σῶμα, τὸ στέγον ἐν αὑτῷ καὶ μηδὲν ἔξω μεθιὲν αἰσθητῶς, ὑπὸ τῶν Ἑλλήνων προσηγόρευται στεγνόν. ταυτὶ μὲν οὖν τοιαῦτα ταῖς κράσεσί τ' ἐστὶ καὶ ταῖς δυνάμεσιν· τὰ δὲ ἀραιωτικὰ θερμαίνει μὲν πάντως· οὐδὲ γὰρ ἂν ἄλλως δύναιτο διαχέαι τε ἅμα καὶ χαλάσαι τὴν οὐσίαν, οἷς ἕπεται τὸ καὶ τοὺς πόρους εὐρυνθῆναι· χρὴ

foris, ipfis nimirum aftringentis fubftantiae partibus contractum. Ea vero medicamenta quae frigida quidem funt aut aeque aut amplius, fed fubftantiam fortita funt aqueam, ea, inquam, debiliter et contrahunt et conftringunt, nimirum propter mollitiem; quippe quicquid valenter tum conftipare tum conftringere debet, robur quoddam renitens et durum habeat oportet, quo quum careant medicamenta naturae magis aqueae, tenues quidem poros in unoquoque corpore contrahunt atque condenfant, caeterum inftrumentum undequaque totum conftringere nequeunt. Quamobrem merito talia condenfantia quidem funt, non tamen obftruentia. Intelligas nunc velim obftruentia five ftegnotica me dicere corpora quae fenfibiles excretiones cohibent; corpus enim ftegnoticum, quod *στέγει*, five claudit ac continet in fe, nec quicquam quod fenfu queat percipi ex fefe emittit, Graece *στεγνὸν* nuncupatur. Atque haec ejusmodi funt tum temperamenti tum facultatis. Ac rarefacientia prorfum quidem calefaciunt, nec enim aliter diffundere et laxare poffent fubftantiam, ad quod confequitur ut et pori dilaten-

μέντοι μήτ' ἄγαν αὐτὰ θερμὰ ταῖς κράσεσιν εἶναι, δριμέα γὰρ ἤδη ταῦτα καὶ φρίττειν ἀναγκάζει, μήτε ξηραντικά. καὶ γὰρ καὶ ταῦτα συντηκτικά τ' ἐστὶ καὶ ὀδυνηρὰ τῶν αἰσθητικῶν σωμάτων.

Κεφ. ιέ. Ὅσα τοίνυν ἀλύπως θερμαίνει, ταῦτα ἀραιωτικὰ μόνον ὑπάρχει τῶν πάντων· εἰ δὲ μὴ θερμὰ μόνον, ἀλλὰ καὶ παχυμερῆ ταῖς συστάσεσιν εἴη, σφοδρὰ μὲν ὑπάρχοντα καὶ καυστικὰ συντήκει τε τὰ σώματα δίκην πυρὸς, ἐσχάρας τε πολλάκις ὁμοίας ταῖς ἀπὸ τῶν καυστήρων ἐργάζεται. ἧττον δ' ἢ ὥστε καίειν θερμαίνοντα τῆς ἀναστομωτικῆς [130] ἐστι δυνάμεως, ὥστ' εἶναι πᾶν ἀναστομωτικὸν φάρμακον τῇ μὲν οὐσίᾳ γεῶδές τε ἅμα καὶ πυρῶδες, εἰς τοσοῦτον δ' ἧκον θερμότητος ὡς μήπω καίειν. εἰ δὲ καυστικόν τε ἅμα καὶ μὴ μέντοι σφοδρῶς εἴη, καὶ προσέτι λεπτομερὲς, ἤτοι παντάπασιν ἄδηκτον ἔσται τὸ τοιοῦτον, ἢ μετ' ὀλίγης δήξεως καὶ ὀδύνης ἀποτήξει τι τῶν σαρκωδῶν μορίων. τῷ γὰρ μήτ' ἀλλοιοῦν ἀθρόως, ὥσπερ τὰ σφόδρα θερμὰ, μήτε μόλις διεξέρχεσθαι, καθάπερ τὰ πα-

tur. Debent autem non admodum effe calida temperie, fiquidem ea jam acria funt et inhorrere faciunt, neque item exiccatoria, nam et haec fenfibilia corpora colliquant, doloremque in ipfis excitant.

Cap. XV. Itaque quae citra moleftiam calefaciunt, ea fola omnium funt rarefacientia. Si vero non modo calida fuerint, fed etiam confiftentia craffa, fiquidem vehementia fint et cauftica, hoc eft urentia, et ignis inftar corpus colliquant et faepe cruftas ritu cauterii efficiunt. Porro fi debilius quam ut urere poffint calefaciant, anaftomoticam, five aperiendi vim obtinent. Itaque medicamentum omne anaftomoticum effentiae quidem terreae fimulque igneae eft, hactenus tamen calefaciens, ut nondum urat. Si porro caufticum fit, non tamen vehementer praeterea effentiae tenuioris, id plane ab omni aberit mordacitate, aut cum exiguo tum dolore tum morfu carnofas partes eliquabit. Nam quod non confertim alterat, uti quae vehementer funt calida, quodque non aegre penetrat, ficut quae craffae funt

χυμερῆ, λανθάνουσαν ἔχει τὴν ἐνέργειαν, εἴ γε τῶν ἀλλοιώσεων αἱ ἀθρόαι μεταβολαὶ μάλιστα αἰσθητικαὶ καὶ τῶν διεξόδων αἱ βίαιοι. τὸ γὰρ παχυμερὲς καυστικὸν, ᾧπερ ἂν ἐνιζήσῃ μορίῳ, σκόλοπος δίκην ἐμπεπαρμένον ἀνιᾷ. ἀλλ' ἐκεῖνο μὲν ἐσχαρωτικόν ἐστιν ὁμοίως τοῖς καυστικοῖς. ὑπὲρ ὧν δὲ νῦν ὁ λόγος ἐνέστηκεν, οὔτε ἐσχάραν ἐργάζεται καὶ καλεῖται σηπτικὰ, οὐκ οἰκείας μὲν τῆς προσηγορίας τετυχηκότα. τὰ γὰρ ὄντως σηπτικὰ ὑγραίνοντα μετὰ τοῦ θερμαίνειν ἐστίν. ὅμως δ' οὖν οὕτω καλοῦμεν τῇ τοῦ συμπτώματος ὁμοιότητι, φθορὰ γὰρ ἀνώδυνος ὑπ' ἀμφοτέρων γίγνεται· πλείους μὲν οὖν εἰσιν οἱ τῶν φθειρομένων τρόποι. τά τε γὰρ ὑπερψυχθέντα καὶ ὑπερθερμανθέντα καὶ ὑπερυγρανθέντα καὶ ὑπεοξηρανθέντα φθείρεται, ἀλλ' οὐ πάντα γε τὰ φθειρόμενα σήπεσθαί φαμεν, ἀλλ' ὅσα μετὰ δυσωδίας τοῦτο πάσχει. περὶ μὲν δὴ τῶν ὀνομάτων οὐ πάνυ χρὴ σπουδάζειν. χρὴ δ' εἰδέναι τὰ καλούμενα φάρμακα σηπτὰ καὶ σηπτικὰ, καθάπερ ἀρσενικὸν καὶ σανδαράκη καὶ χρυσο-

effentiae, latentem ea actionem obtinent. Siquidem alterationes quae fubitae confertaeque funt, mutationes maxime fenfibiles funt, tum penetrationes quae violentae funt. Quippe quod in craffa effentia cauflicum eft, id cuicunque inhaeferit parti ftipitis ritu infixum excruciat, verum hoc quidem efcharoticum eft perinde ut cauftica. Caeterum de quibus nunc agitur cruftam non faciunt et vocantur feptica, hoc eft putrefacientia, haud quidem appellatione propria, nam quae vere funt feptica humectant fimul et calefaciunt, veruntamen fymptomatis fimilitudo, ut fic appellemus, efficit, utpote quum ab utrisque nullo doloris fenfu fiat corruptio. Multis enim modis corrumpi quid poteft. Siquidem quae nimio plus refrigerata funt, aut calefacta, tum exiccata, aut humectata, ea omnia corrumpuntur; caeterum non quicquid corrumpitur putrefcere dicimus, fed quibus id cum faetore accidit. Sed de nominibus non admodum effe follicitum oportet, verum noviffe expedit ea medicamenta, quae fepta et feptica nuncupantur, ut funt

Ed. Chart. XIII. [130.] Ed. Baf. II. (62.)

κόλλα, δρυόπτερίς τε καὶ πιτυοκάμπη καὶ ἀκόνιτον τήκειν τε καὶ συντήκειν ἅπαντα, καὶ μάλιστα τῆς μαλακῆς σαρκὸς ὀδύνης χωρίς. ἔνια δ' ἐξ αὐτῶν ἰδίως ὀνομάζουσι καθαιρετικὰ, καὶ χρῶνταί γε πρὸς τὰς ἐπουλώσεις τῶν ὑπερσαρκούντων ἑλκῶν. ἔστι δὲ καὶ ταῦτα τῆς μὲν αὐτῆς τῷ γένει τῆς σηπτικῆς ὀνομαζομένης δυνάμεως, ἀσθενεστέρας δ' εἰς τοσοῦτον ὡς τὸ μὲν ἐπιπολῆς μόνον ᾧ προσπίπτει καθαιρεῖν, εἰς βάθος δ' ἀδυνατεῖν προσέρχεσθαι, καθάπερ καὶ τὸ τῆς Ἀσίας πέτρας ἄνθος, οὐ μὴν τῆς γε αὐτῆς τῆς ὄντως ἐπουλωτικῆς δυνάμεώς ἐστι τὰ τοιαῦτα. ἐκεῖνα γὰρ οὐ καθαιρεῖν οὐδ' ἀποτήκειν τι τῆς σαρκὸς, ἀλλὰ σκληρύνειν τε καὶ ξηραίνειν πέφυκεν, ἥ τε στυπτηρία καὶ ἡ κίκις, ἣν ὀμφακῖτιν ὀνομάζουσιν, ὅ τε κεκαυμένος χαλκὸς, καὶ μάλισθ' ὁ πεπλυμένος. ὁ μὲν γὰρ ἄπλυτος ἔχει τι καθαιρετικὸν, ὥσπερ καὶ ἡ τοῦ χαλκοῦ λεπίς. ὁ πεπλυμένος δὲ τὸ κάλλιστον τῶν ἐπουλωτικῶν φαρμάκων ἐστί. χρὴ γὰρ καὶ στύφειν μετρίως καὶ ξηραίνειν τὸ μέλλον ἐπουλώσειν καλῶς.

arfenicum, fandaraca, chryfocolla, dryopteris, pityocampe, aconitum, omnia tum eliquare tum colliquare, ac potiffimum carnem tenellam, idque absque dolore. Sed funt inter ea quaedam, quae proprie vocant cathaeretica, eisque utuntur ad inducendam ulceribus excrefcentibus cicatricem. Sunt tamen et ipfa ejusdem genere facultatis, fepticès fcilicet, verum tantulo imbecillioris, quod extimam modo fuperficiem quam contigerint detrahant, non tamen in altum fubire valeant, velut Afiae petrae flos. Quamquam nec talia ipfius revera facultatis cicatricem inducentis funt. Siquidem quae hujus funt facultatis non detrahere neque liquare carnem funt nata, verum indurare et deficcare, cujusmodi funt alumen, galla omphacitis vocata, aes combuftum, praefertim lotum; nam quod lotum non eft, quiddam obtinet cathaereticum, velut et aeris fquama, quod autem lotum eft, omnium medicamentorum cicatricem inducentium longe praeftantiffimum eft, quippe quod probe cicatricem inducit, modice aftringat oportet atque deficcet. Quapropter fpi-

ὅθεν καὶ ὁ τῆς Αἰγυπτίας ἀκάνθης καρπὸς, καὶ τὰ τῆς ῥοιᾶς λέμματα ξηρὰ, καὶ πάνθ' ὅσα τοιαῦτα τῶν ἐπουλωτικῶν φαρμάκων ἐστίν.

Κεφ. ιστ'. Συγκέχυται δὲ παρὰ τοῖς πολλοῖς τῶν ἰατρῶν οὐχ ἡ προσηγορία μόνον, ἀλλὰ καὶ ἡ τῆς δυνάμεως γνῶσις ἁπάντων τῶν τοιούτων φαρμάκων. ἐπουλω[131]τικὰ γὰρ ὀνομάζουσιν ἐνίοτε καὶ τὰ καθαιρετικὰ καὶ συντηκτικὰ τῆς σαρκὸς, ὅτι χρωμένων ἡμῶν καὶ τούτοις πολλάκις εἰς οὐλὴν ἀφικνεῖται τὰ ἕλκη, ἀλλ' οὔτε πρώτως οὔτε κατὰ τὴν οἰκείαν αὐτῶν δύναμιν, οὔτ' ἐπὶ πάσῃ χρήσει τοῦτο γίνεται. χνοώδη γὰρ ἀκριβῶς τὰ τοιαῦτα φάρμακα διὰ τοῦ τῆς μύλης πυρῆνος ἐπικυλιομένου ταῖς σαρξὶν εἰς οὐλὴν ἄγει τὰ ἕλκη. εἰ δὲ βραχεῖ πλείονι χρήσαιο, καὶ δάκνει καὶ συντήκει τὴν σάρκα καὶ κοῖλον ἐργάζεται τὸ ἕλκος ἐναντίον τοῖς ὄντως ἐπουλωτικοῖς. εἰ μὴ γὰρ ἀξιόλογον ἐκείνων ἐπιθείης, οὐδὲν ἀνύσει. πρόκειται μὲν γὰρ ἐν ταῖς τῶν ἰσοπέδων ἑλκῶν ἐπουλώσεσιν ἀλλοιῶσαί τε τὴν σάρκα καὶ δέρμα ποιῆσαι. γίνεται δὲ τοῦτο διὰ τῶν συνάγειν αὐτὴν καὶ σφίγ-

nae Aegyptiae fructus et mali granati putamina ficca et ejus generis univerfa cicatrici inducendae funt medicamenta.

Cap. XVI. Caeterum confufa eft apud plerosque medicorum non folum appellatio; verum etiam omnium id genus medicamentorum facultatis cognitio. Siquidem quae carnem detrahere ac colliquare funt nata, ea nonnunquam nominant epulotica, fcilicet quod horum faepe ufu ulcera ad cicatricem perveniant, fed id neque primario, neque peculiari ipforum facultate, neque in omni ufu fequitur. Siquidem ad exactum pulveris laevorem redacta id genus medicamenta per fpecilli cufpidem carnem leviter contingentia ad cicatricem ulcera perducunt; at fi paulo largius utare, mordicant colliquantque carnem et ulcus cavum efficiunt, contra quam in iis quae revera funt epulotica, fiquidem nifi fatis magnam eorum quantitatem imponas, nihil proficies. Id enim eft in planis ulceribus ad cicatricem ducendis confilium, ut caro alteretur fiatque cutis, id quod perficitur per

γειν καὶ πιλεῖν καὶ πυκνοῦν καὶ ξηραίνειν καὶ τυλοῦν δυναμένων. οἷον γάρ τετυλωμένη τις σάρξ ἐστι τὸ δέρμα. τὰ μὲν οὖν οὕτως ἐνεργεῖν δυνάμενα φάρμακα πρώτως τε καὶ κυρίως ἐπουλωτικὰ λέγεται· τὰ δ' ἄλλα τὰ καθαιρετικὰ δευτέρως τε καὶ κατὰ συμβεβηκὸς, ὥσπερ καὶ ὅσα χωρὶς τοῦ στύφειν ἀδήκτως ξηραίνει. (63) καὶ γὰρ ταῦτα εἰς οὐλὴν ἄγει κατὰ συμβεβηκὸς, οἷόν τι φάρμακόν ἐστιν καὶ ἡ σμύρνα καὶ ἡ λιθάργυρος. καὶ εἰ καυθείη τό τε ὄστρεον καὶ τὸ διφρυγὲς, ἐπιπαττόμενα γὰρ καὶ ταῦτα ξηρὰ, πολλάκις ἐπούλωσεν. εἰδέναι δὲ χρὴ κἀν τούτοις τοῖς λόγοις κἀν τοῖς ἄλλοις ἅπασιν, ἔνθα τὸ πολλάκις προστίθημι, τοῦτό με δηλοῦν ἐθέλειν, ὅτι καὶ ἀποτυγχάνει τῆς ἐπαγγελίας ἐνίοτε τὰ τοιαῦτα, διὰ τὸ μὴ πρώτως αὐτὴν μηδὲ κατὰ τὴν ἑαυτῶν δύναμιν ἐργάζεσθαι. τὰ δ' ἐπουλωτικὰ φάρμακα πᾶν μὲν ἕλκος ἰσόπεδον ἐπουλοῦν τι δύναται, καθάπερ καὶ τὰ ῥυπτικὰ μετρίως καὶ ἀδήκτως τῶν κοίλων ἐστὶ πληρωτικά. λεχθήσεται δ' ἐπὶ πλεῖστον ὑπὲρ τῆς τῶν τοιούτων δυνάμεως ἐν

ea, quae illam contrahere, constringere, constipare, densare, praeterea siccare et calli instar indurare valeant, quippe quum cutis velut in callum durata caro sit. Quae igitur medicamenta sic agere possunt, primario proprieque dicuntur epulotica, sive ad cicatricem perducentia; caetera vero, nempe cathaeretica, secundario et per accidens, sicut et ea quae absque astrictione desiccandi vim habent mordacitatis expertem. Nam et haec quoque ex accidente cicatricem inducunt, cujusmodi utique medicamentum est myrrha et lithargyrus et combustum ostreum et diphryges, quandoquidem et ipsa saepenumero cicatricem inducunt sicca illita. Caeterum scire oportet, ubi tum in his libris tum aliis omnibus hanc vocem, saepenumero, adjicio, id me velle significare, quod aliquando promissa frustrentur, propterea quod nec primario nec sua facultate efficiant. Porro epulotica medicamenta ulcus omne planum claudere cicatrice valent; sicut mediocriter citraque morsum abstergentia cavitates implere. Caeterum de hoc genus medicamentorum

τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν, ᾗ κεκοινώνηκε πολλαχόθι τουτὶ τὸ βιβλίον, ὡς καὶ κατὰ τὴν ἀρχὴν αὐτοῦ προείρηται. διό μοι δοκῶ καταπαύσας ἤδη τὸν περὶ τούτων λόγον ἐφ᾽ ἕτερόν τι γένος δυνάμεων μεταβήσεσθαι τῶν ἑλκτικῶν τε καὶ ἀποκρουστικῶν ὀνομαζομένων.

Κεφ. ιζ. Ἑλκτικαὶ μὲν οὖν εἰσιν ὅσαι τὰ κατὰ βάθος ἐπισπῶνται σφοδρότερον. ἀποκρουστικαὶ δὲ ὅσαι πρὸς τὸ βάθος ἀπελαύνουσι τοὺς πλησιάζοντας ἐν αὐταῖς χυμούς. ἡ δ᾽ οὐσία τῶν μὲν θερμή τ᾽ ἐστὶν καὶ λεπτομερὴς, τῶν δ᾽ ἔμπαλιν ψυχρά τε καὶ παχυμερής. ἕλκει μὲν γὰρ ἀεὶ τὸ θερμὸν, ἀποκρούεται δὲ τὸ ψυχρόν. ἀλλὰ τὸ μὲν λεπτομερὲς θερμὸν ἕλκει σφοδρότερον, τὸ δὲ παχυμερὲς ψυχρὸν, οἷόν περ τὸ στῦφον ὠθεῖ βιαιότερον. ἐξ οὖν τοῦ σφοδροῦ τῆς ἐνεργείας ἑκατέρῳ τοὔνομα. ἡ μὲν δὴ τῶν στυφόντων ὕλη πρόδηλος· ἡ δὲ τῶν ἑλκτικῶν ἡ μέν τις αὐτοφυής ἐστιν, ἡ δ᾽ ἐκ σηπεδόνος ὀξυνούσης ἔχει τὴν γένεσιν, αὐτοφυὴς μὲν ἥ τε τοῦ δικτάμου καὶ ἡ τῆς προπόλεως καὶ θαψίας καὶ ἡ τοῦ σαγαπηνοῦ καὶ ἡ τῶν ὀπῶν

facultate fufius dicetur in commentariis De ratione curandi, cum quo multis locis magna eft hujus libri affinitas, ceu etiam ab initio praefatus fum. Proinde fufpenfo de illis fermone, ad alterum genus facultatum, nempe attrahentium et dictarum repellentium, transeundum cenfeo.

Cap. XVII. Igitur attrahentes funt quae ex alto vehementius extrahunt, repellentes vero quae in altum occurrentes fibi fuccos repellunt. At effentia illis quidem calida eft et tenuium partium, his vero frigida et craffarum. Attrahit enim perpetuo calidum, repellit vero frigidum; verum quod cum caliditate conjunctam habet partium tenuitatem trahit vehementius, quod vero cum frigiditate partium craffitudinem, veluti aftringens, id violentius propellit. Itaque ex actionis vehementia nomen utrique impofitum eft. Atque aftringentium quidem nota eft effentia. Attrahentium autem alia fponte nata eft, alia vero ex putrefactione acefcente generationem fortita fponte nata, ut dictamni effentia et pro-

τοῦ Κυρηναίου τε καὶ Μηδικοῦ, καὶ εἰ δή τις ἄλλος ὅμοιος τούτοις ἐστίν. ἐκ σηπεδόνος δὲ ἥ τε τῆς ζύμης καὶ ἡ τοῦ ψωρικοῦ καλουμένου. [132] ἤδη δὲ καὶ ἡ κόπρος ἡ ἐκ σηπεδόνος ἅπασι μὲν ἂν οὕτω γε τῆς ἑλκτικῆς εἶεν δυνάμεως, οὐ μικρὰ δ' ἐν αὐταῖς ἡ διαφορά. ἡ μὲν γὰρ τῆς περιστερᾶς ἱκανῶς ἑλκτικὴ, τὸ δ' ἴσον ἀφ' ἑκατέρας ταύτης ἀφεστήκασιν ἐπὶ μὲν τὸ θερμότερον ἡ τοῦ χηνὸς, ἐπὶ δὲ τὸ ψυχρότερόν ἡ τοῦ ἀλεκτρυόνος. ἀπολείπεται δὲ ταύτης ἔτι μᾶλλον ἥ τε τῶν ἀνθρώπων καὶ τῶν ὑῶν. ἡ δὲ τῶν κυνῶν οἷά περ τὰ ῥυπτικὰ φάρμακα, καὶ μᾶλλον ὅταν ὀστᾶ κατεσθίωσι. καὶ ἡ τῶν κροκοδείλων δὲ τῶν χερσαίων ἔτι καὶ μᾶλλον ἀκριβοῖ τοῦτο. ἔστι δὲ καὶ ἕτερόν τι γένος ἑλκτικῶν φαρμάκων, οἰκειότητι ποιότητος ἐπισπώμενον, ὅπερ οὐδὲν ἄλλο ἐστὶν ἢ ὁμοιότητι τῆς ὅλης οὐσίας, ὥσπερ καὶ τὰ τρεφόμενα τὰς οἰκείας τροφὰς ἐπισπᾶται. τῶν τοιούτων δ' ἐστὶ φαρμάκων καὶ τὰ καθαίροντα μὲν πάντα καὶ τῶν ἀλεξητηρίων δ' ἔνια. θερμὰ δ' εἶναι χρὴ πάντα τὰ τοιαῦτα. τῶν γὰρ ὁμοίων ταῖς οὐσίαις, τὸ θερμότερον ἑλκτικώ-

poleos et thapſiae et ſagapeni et ſuccorum Cyrenaici et Medici et ſi qua his ſimilis extiterit; ex putrefactione, qualis eſt fermenti et pſorici quod vocant. Quod ſi ſimis quoque ex putrefactione generatio conſtat, utique omnes attrahendi facultate pollebunt. Sed non parva illis ineſt diverſitas. Nam columbinus admodum attrahit, ex aequo autem utrinque ab hoc receſſerunt ad calidius quidem anſerinus, ad frigidius vero gallinaceus, hoc etiam magis vincuntur humanus et ſuillus. At canum ſtercus ſimile eſt medicamentis extergentibus, maxime ſi veſcantur oſſibus. Crocodilorum autem terreſtrium ſtercus magis etiam id perficit atque abſolvit. Sed et aliud eſt attrahentium genus medicamentorum, quod qualitatis familiaritate attrahit, id quod aliud eſt nihil quam totius eſſentiae ſimilitudine; ceu quae nutriuntur familiaria nutrimenta attrahunt. Talium medicamentorum ſunt purgantia omnia et nonnulla alexeteriorum, ſive amuletorum. Caeterum calida ut ſint id genus omnia neceſſe eſt. Nam inter ea quae eſſentiis ſimilia ſunt, quod

τερον ὑπάρχει, καὶ ὡς ἂν προσειληφὸς σύμμαχον τῇ ὁμοιότητι τὴν θερμότητα. δυσὶ γὰρ αἰτίαις ἕλκον τὸ τοιοῦτο πλεονεκτήσει τοῦ κατὰ τὴν ἑτέραν μόνην ἐπισπωμένου. διοίσει δ᾽ οὐδὲν ἐπισπαστικὴν λέγειν ἢ ἑλκτικὴν ἢ ἑλκυστικὴν δύναμιν.

Κεφ. ιη΄. Ἀλλ᾽ ἐπεὶ καὶ περὶ τούτων αὐτάρκως εἴρηται, μεταβῶμεν ἐπὶ τὰς ἀλεξητηρίους τε καὶ ἀλεξιφαρμάκους ὀνομαζομένας δυνάμεις. ἔστι δὲ καὶ τούτων ἡ φύσις διττὴ, τῶν μὲν ἀλλοιούντων, τῶν δ᾽ ἐκκενούντων τοῦ πεπονθότος σώματος ἢ τὸν φθαρτικὸν ἰὸν ἢ τὸ δηλητήριον φάρμακον. ἀλλοιοῦσι μὲν οὖν ἤτοι κατά τινα ποιότητα μίαν ἢ συζυγίαν ἐκ δυοῖν ἢ κατὰ τὰς ὅλας οὐσίας, ἐκκενοῦσι δὲ τῇ τῆς ὅλης οὐσίας ὁμοιότητι καὶ τῇ λεπτομερεῖ θερμότητι. τέτταρες οὖν αἱ πᾶσαι διαφοραὶ γενήσονται τῆς ἐξ αὐτῶν ὠφελείας, δύο μὲν ἀλλοιωτικαὶ καὶ δύο κενωτικαί. καὶ ἡ μὲν δὴ τῇ τῆς ποιότητος ἐναντιώσει βοηθοῦσα πρόδηλος. εἰ μὲν γὰρ ψυχρὸν εἴη τὸ δηλητήριον φάρμακον, ἢ ὁ ἰὸς ὁ τοῦ ζώου, πρὸς τῶν θερμαινόντων ὠφεληθήσονται φαρμά-

calidius eſt, id potentius attrahit, utpote quod ſimilitudini auxiliarium adjunxerit calorem, ſiquidem quum ipſum duabus cauſis attrahat, ſuperabit id quod una duntaxat trahit. Porro nihil refert attrahentem, ſive attractoriam vel allicientem facultatem dicas.

Cap. XVIII. Verum quandoquidem de iſtis abunde dictum eſt, transeamus ad facultates quas vocant alexeterias et alexipharmacas. Eſt autem harum natura duplex. Siquidem quaedam alterant, quaedam vero evacuant ex corpore patiente, ſeu venenum corrumpens, ſeu deleterium medicamentum. Alterant igitur aut una qualitate, aut duarum conjugatione, aut denique tota ſubſtantia, evacuant totius ſubſtantiae ſimilitudine et caliditate tenuium partium. Quatuor itaque ſunt univerſae differentiae proficiſcentis ab illis utilitatis, duae alterantes et duae vacuantes. Atque ea ſane quae qualitatis contrarietate auxilio eſt, manifeſta eſt. Nam ſi frigidum ſit medicamentum deleterium, aut venenum animantis, ab excalefacientibus petendum remedium, ſin

κων· εἰ δὲ θερμὸν, ὑπὸ τῶν ψυχόντων· καὶ εἰ μὲν ξηρὸν, ὑπὸ τῶν ὑγραινόντων, εἰ δὲ ὑγρὸν, ὑπὸ τῶν ξηραινόντων· οὕτω δὲ καὶ εἰ μὲν ψυχρὸν ἅμα καὶ ὑγρὸν, ὑπὸ τῶν ξηραινόντων καὶ θερμαινόντων, εἰ δὲ θερμὸν καὶ ξηρὸν, ὑπὸ τῶν ὑγραινόντων καὶ ψυχόντων, καὶ κατὰ τὰς λοιπὰς δύο συζυγίας ἀνάλογον. οὐκ ἄδηλος δὲ οὐδὲ ἡ διὰ τῆς καθ' ὅλην τὴν οὐσίαν τῶν δυνάμεων ἀλλοίωσίς ἐστιν τοῖς μεμνημένοις τῶν προαποδεδειγμένων ἔν τε τοῖς περὶ τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν καὶ προσέτι τοῖς περὶ κράσεων. αἱ γὰρ ἀλλοιοῦσαι τὰ δηλητήρια φάρμακα δυνάμεις ἐν τῷ μέσῳ τὴν φύσιν εἰσὶ τῶν τε πασχόντων σωμάτων καὶ ἀδικούντων αὐτὰ φαρμάκων, ὥστ' ἀνάλογον ἔχειν ὡς τὸ σῶμα πρὸς τὴν ἀλεξητήριον δύναμιν, οὕτως ἐκείνην πρὸς τὸ δηλητήριον, ὡσαύτως δὲ καὶ ὡς τὸ δηλητήριον πρὸς τὸ ἀλεξητήριον, οὕτως καὶ τὸ ἀλεξητήριον πρὸς τὸ σῶμα. καὶ διὰ τοῦτο τὰ τοῖς δηλητηρίοις ἐναντιούμενα σχεδὸν ἅπαντα πλείω ληφθέντα [133] μεγάλως ἀδικεῖ τὸ τοῦ ζώου σῶμα. χρὴ τοίνυν ἐν τοιαύτῃ δίδοσθαι συμμετρίᾳ ποσότητος πάσας τὰς

calidum, a refrigerantibus, fi vero humidum, ab exiccantibus, fin ficcum, ab humectantibus; fic etiam fi humidum fit et frigidum, ab exiccantibus et calefacientibus, fin calidum et ficcum, ab humectantibus et refrigerantibus, et in reliquis duabus conjugationibus ex proportione. Sed nec obfcura eft alteratio, quae fit per totius fubftantiae facultatem, utique iis, qui memoria tenent quae demonftrata funt in commentariis De naturalibus facultatibus et in illis quae infcribuntur De temperamentis. Siquidem facultates, quae deleteria medicamenta alterant, naturam habent mediam inter corpora perpetientia et medicamenta ipfa laedentia, ut videlicet eadem fit proportio corporis ad facultatem alexeteriam quae illius ad deleteriam, et rurfum deleterii ad alexeterium quae alexeterii ad corpus. Ea propter propemodum omnia quae deleteriis adverfantur, fi largius fumpta fuerint, graviter animantis corpus oblaedunt. Quamobrem ea moderatione quantitatis omnes id genus facultates exhi-

τοιαύτας δυνάμεις ὡς μήτε τῷ πλήθει βλάπτειν τὸ σῶμα μήτε δι' ὀλιγότητα νικᾶσθαι πρὸς τῶν δηλητηρίων. ἀλλὰ τοῦτο μὲν ἤδη τῆς θεραπευτικῆς ἐστι μεθόδου, νυνὶ δὲ τῶν ἐφεξῆς ἐχώμεθα. πᾶς δηλητήριος ἰὸς ὑπὸ τῶν ἔξωθεν ἐπιτιθεμένων ἐκκενοῦται φαρμάκων, οἷον ἤτοι θερμότητι τὴν ὁλκὴν ποιουμένων, ἢ τῇ τῆς ὅλης οὐσίας ὁμοιότητι. χρὴ δὲ κἀνταῦθα μέσον ὡς ἔνι μάλιστα τῇ φύσει τὸ ἀλεξητήριον ὑπάρχειν τοῦ τε σώματος οὗ θεραπεύει καὶ τοῦ βλάπτοντος ἰοῦ. ἂν γὰρ ἐναντιώτατον ᾖ τοῦ σώματος, δράσει μᾶλλον εἰς αὐτὸ καθάπερ τι δηλητήριον, οὐ κενώσει τὸν ἰόν. ἵνα γὰρ ἀναλάβωμεν ἕνεκα σαφηνείας αὖθις τὸ σύμπαν, εἰδέναι χρὴ τὰς δηλητηρίας ἁπάσας δυνάμεις ἐναντιωτάτας οὔσας τῇ κράσει τοῖς βλαπτομένοις ὑπ' αὐτῶν σώμασιν. εἴπερ οὖν ὑπὸ τῶν ὁμοίων τῇ κράσει κενοῦνται φαρμάκων, εἴη ἂν δήπου καὶ ταῦτα ταῖς τῶν σωμάτων φύσεσιν ἐναντία. καὶ μὲν δὴ καὶ ἔστιν ἐναντία πως, οὐ μὴν εἰς τοσοῦτόν γε ὡς ἀναιρεῖν, ἀλλ' ἐπαμφοτερίζειν μᾶλλον ἐν τῷ μέσῳ καθεστηκότα τῶν τε βλαπτόντων ἄντικρυς τὸ τοῦ ζώου σῶμα καὶ

bere oportet, ut neque copia nimia corpus offendant neque exiguitate fua a deleteriis vincantur. Sed hoc jam attinet ad curandi methodum, nunc autem quae reliqua funt perfequamur. Omne deleterium venenum a foris impofitis medicamentis evacuatur, nempe aut caliditate attractionem molientibus, aut totius fubftantiae fimilitudine. Sed et hic quoad fieri poterit, maxime medium natura alexeterium fit oportet, corporis videlicet quod curatur et veneni laedentis; nam fi adverfiffimum foret corpori, in ipfum ageret potius ceu deleterium, haud evacuaret venenum. Etenim ut claritatis gratia fummam repetamus, fcire oportet deleterias facultates univerfas temperie effe adverfiffimas corporibus quae ab ipfis laeduntur. Itaque fi a fimilibus temperie medicamentis evacuentur, erunt et haec corporum naturis contraria. Sane et funt quadantenus contraria, non tamen adeo, ut interimant, fed ambigant potius in medio fita eorum quae aperte corpus animantis laedunt et quae juvant.

Ed. Chart. XIII. [135.] Ed. Baf. II. (63.)

τῶν ὠφελούντων. εἴτε δὲ δηλητηρίους δυνάμεις, εἴτε φθαρτικὰς, εἴτε φθοροποιοὺς, εἴτε ὁπωσοῦν ἐθέλοις ἄλλως καλεῖν, οὐ διοίσει, κατὰ ταὐτὰ δὲ κᾂν ἀλεξητηρίους ἢ ἀλεξιφαρμάκους. οὐ μὴν οὐδ' εἰ τὰς μὲν τῶν ἰοβόλων θηρίων ἰατικὰς ἀλεξητηρίους ἐθέλοι τις ὀνομάζειν, τὰς δὲ τῶν δηλητηρίων ἀλεξιφαρμάκους, ὥσπερ ἤδη τινὲς ἠξίωσαν, οὐδὲ πρὸς τούτους ἀμφισβητέον ὑπὲρ τῶν ὀνομάτων. οὐ γὰρ ἐκ τούτων τὸ προσηκόντως ἰᾶσθαι τὰς νόσους, ἀλλ' ἐκ τῆς τῶν πραγμάτων παραγίγνεται ἐπιστήμης.

Κεφ. ιθ'. Ἐπεὶ δὲ καὶ περὶ τούτων ὅσον εἰς τὰ παρόντα συμμέτρως εἴρηται, ἤδη μεταβῶμεν ἑξῆς ἐπὶ τὸν τῶν ἀνωδύνων τε καὶ παρηγορικῶν ἢ πραϋντικῶν ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι δυνάμεων λόγον. ἀνώδυνος οὖν δύναμις ἡ μέν τις ὄντως ἐστὶν, ἡ δὲ λέγεται μόνον, ὡς εἰ καὶ τὸν νεκρὸν ἄνθρωπον ἀνώδυνον εἴποι τις. ἡ μὲν οὖν ὄντως ἀνώδυνος ἡ τῶν θερμαινόντων ἐστὶ κατὰ τὴν πρώτην τάξιν, ὅταν ἐν οὐσίᾳ λεπτομερεῖ περιέχηται. ἡ δὲ τῶν λεγομένων ψυχρῶν, ὅταν ἀκραιφνεῖ ψύξει χρώμενα ναρ-

Porro nihil intererit deleterias facultates, an corruptivas, an corruptionem efficientes, an alio quovis modo appellare voles, similiter nec an alexeterias, an alexipharmacas. Attamen si qui ea, quae venenatarum bestiarum ictus, aut venena sanant, alexeteria nominare velint, quae vero medentur deleteriis alexipharmaca, ceu quidam censuere, disceptandum cum istis ac pugnandum de nominibus non est, nec enim ex istis comparatur curandi morbos peritia, sed ex rerum ipsarum cognitione.

Cap. XIX. Porro quandoquidem et de his, quod ad praesens conveniat, satis jam expositum est, transeundum deinceps est ad sermonem de facultatibus dolorem sedantibus et lenientibus aut mitigantibus, aut utcunque nuncupare libebit. Facultas igitur anodyna alia re vera est, alia tantum dicitur, tanquam si quisquam hominem mortuum dicat anodynon, quia dolore vacet. Caeterum facultas re vera anodyna est eorum quae primo ordine calefaciunt, si utique in essentia tenui contineatur, at facultas eorum quae

κώσῃ τὸ μόριον· ἔστι (64) δ' ἡ νάρκη μικροῦ δεῖν ἀναισθησία. τὰ δὲ τῷ τὴν διάθεσιν ἰᾶσθαι παύοντα τὰς ὀδύνας οὐκ ἂν εὐλόγως ἀνώδυνα λέγοιτο. κοινὸν γὰρ τοῦτο πᾶσι τοῖς θεραπεύουσιν ὑπάρχει. τὰ τοίνυν ὄντως ἀνώδυνα λεπτομερῆ τε εἶναι χρὴ καὶ οὐ πολλῷ θερμότερα τῶν συμμέτρων, ἕνεκα τοῦ κενῶσαί τε καὶ διαφορεῖν καὶ ἀραιῶσαι καὶ λεπτῦναι καὶ συμπέψαι καὶ ὁμαλῦναι πᾶν ὅσον ἐν τοῖς ὀδυνωμένοις μορίοις ἢ χυλῶν δριμέων ἢ γλίσχρων ἢ παχέων, ἢ πολλῶν ἐμπεφραγμένων ἐν πόροις λεπτοῖς, ἢ καί τινος ἀτμώδους τε καὶ παχέος ἢ ἱκανῶς ψυχροῦ πνεύματος ἐναπείληπταί τε καὶ κατακέκλεισται, διέξοδον οὐκ ἐπιτηδείαν ἔχοντος. [134] οὐδὲν οὖν αὐτοῖς ὅλως χρὴ προσεῖναι στυφούσης δυνάμεως, οὐδ' ἂν ὁ τόπος ἢ τὸ πάθος προσδέηται· ἐξ ὧν δῆλον ὡς ἐνίοτε μὲν οὐδὲν ὠφελήσει τὴν διάθεσιν, ἀλλὰ τὴν ὀδύνην παρηγορήσει μόνον, ἡνίκα καὶ ὄντως ἀνώδυνα λεχθήσεται, ἐνίοτε δὲ καὶ τὴν διάθεσιν αὐτὴν ἐπωφελήσει τι καὶ δύναμιν ἕξει διττὴν, ἀνώδυνόν τε ἅμα

dicuntur frigidiorum eft, quae abfoluto utentia frigore partem obftupefaciunt; eft autem ftupor paulo minus quam fenfus privatio. Porro quae affectum fanando dolorem fedant, nec ea merito anodyna dici poffunt, nam id commune eft omnium quae curant. Itaque quae re vera funt anodyna, partium fint tenuium et calidiora quam quae fymmetra funt, neceffe eft, ut fcilicet evacuent ac digerant, tum rarefaciant, extenuent, concoquant et aequabile reddant quicquid in partibus dolore vexatis aut humorum acrium, aut lentorum, aut craflorum, aut multorum, tenuibus fpiramentis infarctorum, aut etiam vaporofi, aut craffi, aut admodum frigidi fpiritus, exitum commodum non invenientis inhaefit atque inclufum eft. Itaque nihil prorfum aftrictionis habeant oportet, ne fi pars quidem aut etiam affectus expofcant. Ex quibus liquet, quod interdum affectionem non juvabunt, fed dolorem tantummodo mitigabunt, quando videlicet re vera dicentur anodyna; interdum vero etiam affectum ipfum adjuvabunt et facultatem

καὶ ἰωμένην φάρμακον. ἐπὶ πλέον δὲ καὶ περὶ τῶν τοιούτων ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου λεχθήσεται γράμμασιν. ἐν δὲ τῷ παρόντι ἐπαρκεῖ διελθεῖν ὡς τούτων τῶν ἀνωδύνων ἰδίως ὀνομαζομένων φαρμάκων ἔνια μὲν, ὥσπερ εἴρηται, τῆς πρώτης ἐστὶ τῶν θερμαινόντων τάξεως, ἅπερ δὴ καὶ ὄντως ἐστὶν ἀνώδυνα, καθάπερ τὸ ἀνήθινον ἔλαιον, ἔνια δὲ παραπλησίως αὐτῷ τῷ ἡμετέρῳ σώματι, καθάπερ τὰ διαπυητικὰ προσαγορευόμενα, περὶ ὧν τῆς ὕλης ἔμπροσθεν εἴρηται. διορισθήσεται δὲ ὑπὲρ τῆς χρήσεως αὐτῶν ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν. τὰ δὲ καταφορὰν ἐργαζόμενα ποθέντα, καὶ διὰ τοῦτο ἀνώδυνά τε καὶ ὑπνωτικὰ πρὸς τῶν πολλῶν προσαγορευόμενα τῆς ἐναντιωτάτης ἐστὶ κράσεως τοῖς ὄντως ἀνωδύνοις. ψύχει γὰρ ἅπαντα τὸ σῶμα καὶ ναρκοῖ τὴν αἴσθησιν εἰς τοσοῦτον ὥστ᾽ εἰ βραχεῖ πλείω ποθείη, θάνατον ἐπιφέρει. ἄριστα δ᾽ αὐτῶν ἐστιν εἰς τὴν προκειμένην χρείαν ὅσα ξηραίνει. καὶ ὅσα γε πλῆθος ὑγρότητος ἔχει ψυχρᾶς, ὥσπερ καὶ τὸ κώνειον, οὐκ ἀγαθὰ πινόμενα· τοιοῦτος δ᾽ ἐστὶν καὶ ὁ μανδραγόρας,

habebunt duplicem, nempe anodynam et fanantem. Sed de talibus copiofius agetur in curandi voluminibus. At in praefenti hoc dixiffe fufficiat, nempe quod horum anodynorum proprie nuncupatorum medicamentorum quaedam, ut eft ante dictum, primi funt ordinis calefacientium, quae fane proprie funt anodyna, ceu oleum anethinum; quaedam vero fimiliter ut corpus noftrum, velut pus moventia nuncupata, de quorum materia fupra differtum eft. Sed de ipforum ufu in libris de curandi ratione definietur. At ea quae foporem epota moliuntur, ac proinde anodyna et fomnum conciliantia a plerisque appellantur, temperiem fortiuntur vel fumme adverfam iis, quae re vera funt anodyna. Refrigerant fiquidem omnia corpus et fenfum eousque obftupefaciunt, ut fi paulo liberalius ebibantur mortem afferant. Caeterum ad ufum propofitum optima funt quae deficcant, nam quae frigida quum fint, humiditatis item copiam obtinent, ceu cicuta, ea potui non funt utilia; talis eft mandra-

πλὴν τοῦ φλοιοῦ τῆς ῥίζης ξηροῦ, καὶ ὑοσκύαμος, πλὴν τοῦ σπέρματος. ἄμεινον δὲ ἐν τούτοις τὸ λευκὸν σπέρμα τοῦ μέλανος. ἔνια δὲ ὅλαις ταῖς οὐσίαις ἐστὶν ἡμῖν ἐναντία, καὶ διὰ τοῦτο, κἂν ἐλάχιστα ληφθῇ, βλάπτει πάντως, οἷον ἥ τε δρυόπτερις καὶ ἡ πιτυοκάμπη καὶ ἡ θαψία καὶ τὸ στρύχνον τὸ μανικὸν καὶ ὑδράργυρος, ἔνιοί τε τῶν μυκήτων, καὶ τὸ σίαλον καὶ χολαὶ τῶν ἰοβόλων ζώων. τὰ γὰρ τοιαῦτα πάντα τῷ γένει δηλητήρια καθέστηκεν, οὐ τῷ ποσῷ. καὶ διὰ τοῦτο οὐδὲν ἐξ αὐτῶν εἰς τὰς ἀλεξητηρίους ἀντιδότους ἐμβάλλεται, καθάπερ ὁ τοῦ μήκωνος ὀπὸς καὶ ἡ σμύρνα καὶ ὁ στύραξ καὶ ὁ κρόκος. ταῦτα γὰρ, εἰ μὲν πλείω ποθείη, τὰ μὲν ἐκμαίνει, τὰ δὲ θάνατον ἐπιφέρει. μετὰ συμμετρίας δέ τινος ἐπιμιγνύμενα τοῖς ἄλλοις ἀρήγει. ὅσα δ' ἐξ αὐτῶν βλάπτει τὴν διάνοιαν, εὐθὺς μέν ἐστιν τὰ πλεῖστα καρηβαρικὰ, πλήθους ἀτμῶν μοχθηρῶν ἐμπιπλῶντα τὴν κεφαλήν. ἅπτεται δ' ἔνια καὶ τοῦ στόματος τῆς γαστρὸς, ὡς συμπάσχειν τὰ κατὰ τὴν κεφαλήν. κοινῇ δὲ σύμπαντα κατὰ διττὸν τρόπον ἀδικεῖ τὸν ἐγκέφαλον, ἢ

gora excepto cortice ejus ficco, et altercum praeter femen; fed tamen et in his candidum femen atro praeftat. At funt quae tota effentia nobis contraria funt, proinde fi vel minimum eorum affumptum fuerit, omnino laedat neceffe eft, ceu dryopteris et pityocampe et thapfia et folanum manicum et hydrargyros et fungorum nonnulli, praeterea faliva et fel venenatorum animalium; nam talia omnia genere funt deleteria, non quantitate, ac proinde nihil eorum in alexeterias antidotos inditur, veluti papaveris fuccus et myrrha et ftyrax et crocus. Siquidem haec fi largius bibantur, quaedam dementant, quaedam mortem inferunt, verum convenienti quadam menfura aliis admixta adjuvant. Porro quaecunque inter ea mentem laedunt, continuo etiam pleraque caput degravant, vaporum pravorum congerie ipfum implentia. Sed et quaedam os ventriculi tentant, atque affligunt, ut et inde caput per confenfum laedatur. Communiter vero univerfa duobus modis cerebrum affligunt laeduntque, aut

ταῖς ὅλαις οὐσίαις ἐναντία καθεστῶτα, ἢ κατὰ μίαν ἢ δύο ποιότητας ὑπαλλάττοντα τὴν κρᾶσιν.

Κεφ. κ΄. Ἐπεὶ δὲ καὶ περὶ τούτων αὐτάρκως εἴρηται πρός γε τὰ παρόντα, καιρὸς ἂν εἴη τὰ κεφάλαια τῶν εἰρημένων ἀναλαβόντα προσθεῖναι τὰ δοκοῦντα λείπειν τῷ λόγῳ. κατὰ μὲν γὰρ αὐτὴν τὴν ἀλήθειαν οὐδὲν ὑπόλοιπόν ἐστι, πασῶν μὲν ἤδη τῶν δευτέρων δυνάμεων εἰρημένων, ὁποῖαί τινές εἰσι κατὰ γένος, οὐκ ὀλίγων δὲ καὶ τῶν κατ᾽ εἶδος αὐταῖς προσκειμένων ὥσπερ παραδείγματα, ἀφ᾽ ὧν ἄν τις ὁρμώμενος ἐπέρχεσθαι δύναιτο τὰς ὑπολοίπους. ἀλλ᾽ ἕνεκα σαφηνείας οὐδὲν ἂν εἴη χεῖρον [135] ἐν κεφαλαίοις βραχέσιν ἀναλαβεῖν ὑπὲρ αὐτῶν. αὐτίκα γέ τι καὶ καθαρτικήν τινα δύναμιν ὀνομάζουσιν ἅπαντες, οὐ μὴν παρακολουθοῦσί γε πάντες ὁμοίως ὅτι δύο σημαίνει τοὔνομα, τὸ μέν τι κοινὸν ἐπὶ πᾶσι τοῖς ὁπωσοῦν ἐκκαθαίρουσι τὰ τοῦ ζώου περιττώματα, τὸ δέ τι κατ᾽ ἐξοχὴν ἐπὶ τοῖς δι᾽ ἐμέτων ἢ ὑπαγωγῆς γαστρός· οὐδ᾽ ὡς ὁμογενής ἐστι ταῖς τοιαύταις καθάρσεσιν, ἤτοι διὰ ῥινῶν καὶ

quum tota fubftantia fint contraria, aut quum una duabusve qualitatibus temperiem immutant.

Cap. XX. Caeterum quoniam de his fufficienter dictum jam eft, quod quidem ad praefentia faciat, tempeftivum nunc eft refumptis dictorum capitibus ea adjicere quae fermoni reliqua effe videantur. Nam in veritate quidem nihil eft reliquum, nimirum quum fecundae jam facultates omnes fint expofitae, quales fint genere fcilicet, nec paucae fpeciatim fuperius explanatae, ceu exempla, unde quis orfus quorumque auxilio reliquas ipfe queas affequi. Verum nihilo fefe res deterius habebit, fi claritatis gratia, brevibus iterum capitibus ea fuero complexus. Primum enim facultatem omnes purgatoriam in ore habent, non tamen omnes perinde intelligunt quod vocabulum duo fignificat, alterum commune omnium quae quovis modo animalis excrementa expurgant, alterum vero quod per excellentiam de iis tantummodo dicitur quae aut per vomitum aut per ventris dejectionem purgent; neque quod ejusdem eft gene-

στόματος γιγνομένη. καλοῦσι δὲ τὰ μὲν διὰ τῶν ῥινῶν ἐγχεόμενα φάρμακα, τοῦ καθῆραι τὴν κεφαλὴν ἕνεκεν, ἔῤῥινα, τὰ δ' ἀνακογχυλιζόμενα καὶ μασώμενα πάνθ' ἑνὶ παραλαβόντες ὀνόματι προσαγορεύουσιν ἀποφλεγματίζοντα, καὶ τὰς δυνάμεις δ' αὐτῶν ἀποφλεγματικὰς ὀνομάζουσιν. ὁμογενῆ δὲ τούτοις ἐστὶν καὶ ὅσα ταῖς μήτραις προστιθέμενα καθαίρει. πάντα γὰρ ὅσα καθαίρειν κατέλεξα δύναμιν ἑλκτικὴν ἔχει, τὰ μὲν ἑνός τινος χυμοῦ, τὰ δὲ δυοῖν ἢ καὶ πλειόνων, καὶ τοῦτο αὐτοῖς κοινόν. ὡς ὅσα γε τῷ λεπτύνειν τοὺς παχεῖς καὶ γλίσχρους χυμοὺς ἢ οὖρα κινεῖν πέφυκεν, ἢ ταῖς ἐκ θώρακος καὶ πνεύμονος ἀναπτύσεσιν ἀρήγειν, ἐκκαθαίρει μὲν καὶ αὐτὰ, καλεῖται δ' οὐχ ὁμοίως τοῖς προειρημένοις, ἀλλὰ τὰ μὲν οὐρητικὰ καὶ βηχικὰ, τὰ δ' ἐμμήνων ἀγωγὰ, διαλλάττοντα τῶν προειρημένων, ὅτι δύναμιν ἑλκτικὴν οἰκείων χυμῶν οὐκ ἔχει καθάπερ ἐκεῖνα. δεῖται δὲ οὖν κᾀν τούτοις ὁ λόγος ἑτέρου διορισμοῦ τοιοῦδε. τὰ μὲν ἐν πεσσοῖς, ἢ πυρίαις, ἤ τινι τοιούτῳ τρόπῳ

ris, tum ea quae fit per nares, tum ea quae per os fit purgatio. Vocant ea medicamenta, quae naribus capitis purgandi gratia infunduntur, errhina, at quae in ore colluuntur, aut dentibus manduntur, omnia una nomenclatura comprehendentes apophlegmatizonta nuncupant, ac eorum facultates apophlegmaticas appellant. Ejusdem cum istis sunt generis quae vulvae admota expurgant. Quaecunque siquidem purgare memoravi, ea trahendi vim possident, alia unum quempiam succum, alia duos, aut etiam plures, et id illis inter sese commune est. Nam quae crassis lentisque humoribus extenuandis aut urinam ciere possunt, aut ex pectore pulmoneque ejiciendis excreationibus auxiliari, purgant sane et ea quidem quodammodo, verum antedictis non similiter nuncupantur, sed alia vocantur diuretica, alia bechica, alia menses moventia, hac re a superioribus diversa, quod non habeant vim familiarium succorum attractricem ut illa. Quamobrem et in hisce sermo aliam distinctionem postulat, nempe hujusmodi. Quae in pessis, aut somentis, aut quovis modo similia, vulvae admoventur, ea duplici

ταῖς μήτραις προστιθέμενα, κατὰ διττὴν αἰτίαν ἐνεργεῖ, τὰ μὲν τῷ θερμαίνειν μόνον προκαλούμενα, τὰ δὲ ταῖς ὀνομαζομέναις ἑλκτικαῖς τε καὶ καθαρτικαῖς δυνάμεσιν, ἃς ἐπεδείξαμεν οἰκειότητι τῶν ἑλκομένων τὰς κενώσεις ἐργάζεσθαι. ὅσα δὲ πίνεται, τῷ λεπτύνειν μὲν τὸ αἷμα, τοὺς πόρους δ' ἐκφράττειν τε καὶ ἀναστομοῦν, οὐ μὴν ἑλκτικῇ γέ τινι δυνάμει τὰς κενώσεις ποιεῖται. τὰ μὲν δὴ πρότερα τοῖς καθαίρουσίν ἐστιν ὁμογενῆ, τὰ δὲ δεύτερα τοῖς γάλα καὶ σπέρμα γεννῶσιν, περὶ ὧν ὀλίγον ὕστερον εἰρήσεται διελθόντων ἡμῶν πρότερον περὶ τῶν βηχικῶν, ἐπειδὴ καὶ ταῦτα διττῶς ὠνόμασται, τὰ μὲν τῷ ποιεῖν βῆχας, τὰ δὲ τῷ παύειν μόνον. δυνάμεις δ' αὐτῶν ἐναντιώταται. τὰ μὲν γὰρ τῆς λεπτυντικῆς ἐστι φύσεως, τὰ δὲ τῆς παχυντικῆς. ἡ μὲν οὖν λεπτυντικὴ δύναμις ἐν θερμαῖς καὶ λεπτομερέσιν οὐσίαις, ἡ παχυντικὴ δὲ ψυχραῖς καὶ παχυμερέσιν ἐγγίνεται. οὗτος μὲν οὖν ὁ λόγος ἐνταῦθα τελευτάτω. μεταβαίνειν δὲ προσῆκεν ἐπὶ τὸν ὀλίγον ἔμπροσθεν ἀναβληθέντα. κοινωνία γάρ τίς ἐστι καὶ ὁμοιότης ἔργων τε καὶ δυνάμεων ἐν

ratione agere confueverunt. Nam alia calefaciendo duntaxat provocant, alia facultatibus attractoriis et purgatoriis quas vocant, quas demonftravimus trahendorum familiaritate vacuationes peragere. At quae hoc nomine bibuntur, ut fanguinem extenuent et meatus obftructione liberent aperiantque, ea trahendi facultate vacuationem non perficiunt. Atque priora quidem cum purgantibus ejusdem funt generis, fecunda vero cum iis quae lac et fanguinem generant, de quibus paulo infra verba faciemus, ubi prius de bechicis differtum a nobis fuerit, quandoquidem et haec bifariam nominata funt, partim quia tuffim provocent, partim quia fedent. Atqui contrariae horum facultates funt, alia enim extenuandi naturam habent, alia incraffandi. Atque extenuandi quidem facultas in calidis et tenuium partium fubftantiis fita eft, incraffandi vero in frigidis et craffarum partium effentiis ineft. Atque hic fermo hoc in loco finem habeat. Convenit autem tranfire ad id quod paulo ante diftulimus. Eft enim focietas et fimilitudo quaedam tum

τε τοῖς προτρέπουσι καὶ παύουσι καταμήνιά τε καὶ γάλα καὶ σπέρμα. παράκειται δέ πως αὐτοῖς τά τ' οὐρητικὰ καὶ τὰ βηχικὰ, διὸ καὶ λεκτέον ὑπὲρ ἑκάστων ἐν μέρει.

Κεφ. κα'. Γάλακτος καὶ σπέρματος ποιητικαὶ δυνάμεις εἰσὶν αἱ μὲν ἐν φαρμάκοις μόνον, αἱ δὲ καὶ ἐν τροφαῖς. ἐν φαρμάκοις μὲν, ἐπειδὰν τοὺς φλεγματικοὺς χυμοὺς [136] ἐκθερμαίνοντες εἰς αἷμα μεταβάλλωμεν, ἐν τροφαῖς δὲ κατὰ τὴν τῆς ὅλης οὐσίας ὁμοιότητα, κἀπειδὰν εὔχυμοί τε καὶ ὑγραὶ μετρίως ὦσι καὶ θερμότητος χλιαρᾶς, οἵας πέρ ἐστι καὶ τὸ γάλα. συμμέτρου μὲν γὰρ τῷ ζώῳ θερμότητος τὸ αἷμα μετέχει, πλείονος δὲ ἢ κατὰ τὸ μέτρον ἡ ξανθὴ χολὴ καθάπερ τὸ φλέγμα ψυχρότητος. ἐν τῷ μέσῳ δ' (65) ἐστὶ φλέγματός τε καὶ αἵματος ὅσον ἐπὶ τῇ θερμότητι τὸ γάλα, οὐ μὴν ἴσον γε ἀφέστηκεν ἑκατέρου, ἀλλ' ἔστιν πορρώτερον μὲν τοῦ φλέγματος, ἐγγύτερον δὲ τοῦ αἵματος. ὅταν οὖν ἐνδεῶς ἀθροίζηται τὸ γάλα κατὰ τοὺς μαστοὺς, ἐθέλῃς δὲ πλέον γενέσθαι, διάσκεψαι περὶ τοῦ αἵματος· ἤτοι γὰρ ἔλασσόν ἐστι τοῦ προσήκοντος ἢ μοχθηρότερον. τὸ μὲν

operum tum facultatum in iis quae provocant ſedantque menſes, lac et ſemen. Sed et aſſinia illis quodammodo vicinaque ſunt quae urinas movent et bechica. Proinde de quolibet ſeorſum diſſerendum eſt.

Cap. XXI. Lactis et ſeminis effectrices facultates ſunt partim in medicamentis tantum, partim in alimentis; in medicamentis, quum ſuccos pituitoſos excaleſacientes in ſanguinem vertimus, in alimentis autem ſecundum ſubſtantiae totius ſimilitudinem, ubi videlicet boni ſunt ſucci et moderate humida, ac tepide calida, ceu ipſum lac. Siquidem ſanguis caloris eſt particeps animali mediocris, plus quam vero mediocris flava bilis, ſicut pituita frigiditatis. In medio autem pituitae et ſanguinis eſt lac, utique quod ad calorem attinet, non tamen aeque ab utroque abeſt, ſed longius abeſt a pituita, propius accedit ad ſanguinem. Quum ergo minus quam expediat ad ubera lac venit, velis autem copioſe provenire, ipſum contemplator ſanguinem. Aut enim paucior eſt quam conveniat aut deterior. Itaque

οὐν ἔλαττον ὑγραινούσης τε καὶ θερμαινούσης δεῖται τῆς συμπάσης διαίτης, τὸ δὲ μοχθηρότερον, εἰ μὲν χολῶδες ὑπάρχει, καθάρσεως μὲν πρῶτον, εἶθ' οἵας εἴρηται διαίτης· εἰ δὲ φλεγματικὸν, φαρμάκων θερμαινόντων μὲν, ἤτοι κατὰ τὴν πρώτην ἢ δευτέραν τάξιν, οὐ μὴν ξηραινόντων. κάλλιω δ' αὐτῶν ὅσα μὴ φάρμακα μόνον ἐστὶν, ἀλλὰ καὶ τροφαὶ, εὔζωμα καὶ μάραθρα καὶ ἄνηθα. λέγω δὲ καὶ τὰς πόας αὐτὰς χλωρὰς ἔτι καὶ ὑγράς. καὶ γὰρ ξηραὶ ξηραίνουσί τε καὶ θερμαίνουσι πλέον ἢ δεῖ. τούτου δὲ τοῦ γένους ἐστὶ καὶ σμύρνιον καὶ σέλινον καὶ σίον καὶ πόλιον, καὶ ταῦτα χλωρὰ, πρὶν ξηρανθῆναι. τὰ γάρ τοι ξηραίνοντα πάντα τὴν ἰκμάδα τοῦ αἵματος ἐκβοσκόμενα παχύτερον ἅμα καὶ ἔλαττον αὐτὸ καθίστησι, καὶ θερμότερον μὲν τοῦ δέοντος, εἰ θερμὰ τὴν φύσιν ὑπάρχει, ψυχρότερον δ', εἰ ψυχρά. δεῖται δὲ δή που συμμέτρως τε εἶναι θερμὸν καὶ οὐδαμῶς παχὺ πρὸς τὴν τοῦ γάλακτος γένεσιν, ὅθεν ὅσα μὲν τοιαῦτα σβέννυσι μᾶλλον ἢ γεννᾷ τὸ γάλα, τὰ δὲ θερμαίνοντα μὲν, ὡς εἴρηται, ξηρότητος δ' ἐπιφανοῦς μηδεμιᾶς μετέχοντα, γά-

qui paucior eſt, univerſam victus rationem expoſcit humectantem et calefacientem, qui autem deterior eſt, ſiquidem bilioſus fuerit, primum purgationem deſiderat, mox victum, quem modo dicebamus; ſin pituitoſus, medicamenta requirit calefacientia aut primo aut ſecundo ordine, non tamen deſiccantia. Verum inter ea potiora ſunt quae non tantum ſunt medicamenta, ſed et nutrimenta, velut eruca, faeniculum, anethum. Dico autem ipſas herbas etiamnum virentes et humidas, nam ſiccae plus quam oporteat et calefaciunt et deſiccant. Hujus generis et ſmyrnium, apium, ſion, polium, eaque virentia, prius quam ſiccentur, quippe quum ea quae deſiccant, humorem ſanguinis depaſcentia, ipſum craſſiorem ſimul paucioremque efficiant, tum ſi natura quoque ſint calida, juſto etiam calidiorem, ſin frigida, frigidiorem, debet enim eſſe modice calidus, ac neutiquam craſſus, ut lac generet. Quocirca quae ſunt hujusmodi extinguunt magis lac quam procreant, at quae ſic ut dictum eſt calefaciunt, nullamque inſignem adjunctam habent ſic-

λακτος ἔχειν γεννητικὰς δυνάμεις εἰκότως ἐλέχθη. ταυτὶ μὲν οὖν ὀλίγα τὸν ἀριθμόν. οὐδὲ γὰρ οὐδὲ ῥᾳδίως ἐστὶ τῆς προειρημένης ἐν τῇ κράσει συμμετρίας ἐπιτυχεῖν. ἄπειρα δὲ, ὡς ἂν οὕτω τις εἴποι, καὶ ἀπερίληπτα ὅσα βλάπτει γάλα· καὶ γὰρ ὅσα πλέον ἢ χρὴ θερμαίνει, καὶ ὅσα ξηραίνει καὶ ὅσα ψύχει, τὰ μὲν τῇ ποιότητι τοῦ αἵματος λυμαινόμενα, τὰ δὲ τὴν οὐσίαν ὅλην ἐλάττονα ποιοῦντα, κωλύει γενέσθαι τὸ γάλα.

Κεφ. κβ'. Παραπλησίαν δὲ τοῖς εἰρημένοις ἔχει δύναμιν ὅσα προτρέπειν ἢ παύειν ἐπιμήνια πέφυκεν. ὕλη γὰρ ἀμφοῖν κοινὴ τὸ ἐν ταῖς φλεψὶν αἷμα. τοῦτο οὖν ὅταν εὔρουν τε ἅμα καὶ τῇ ποσότητι σύμμετρον ὑπάρχῃ, χορηγίαν ἄφθονον ἑκατέρῳ παρέχει. καὶ μὲν δὴ καὶ διότι κοιναὶ μαστοῖς τε καὶ ὑστέραις οὐ μικραὶ φλέβες εἰσὶν, καὶ τίνες αὗται τυγχάνουσιν οὖσαι, λέλεκται δι' ἑτέρων. ταῦτά τοι κἀπειδὰν ἐπὶ θάτερα τῶν μορίων φέρηται τὸ αἷμα, ξηραίνεται θάτερα. καὶ διὰ τοῦθ' ὅσαις τὰ καταμήνια φέρεται συμμέτρως, οὐκ ἀθροίζουσιν ἐν μαστοῖς τὸ γάλα, καὶ ὅσαις

citatem, lactis procreatricem habere facultatem merito dicta funt. Verum eo numero funt perquam exigua. Nec enim profecto facile inventu eft quod propofitam in temperie fortitum fit mediocritatem, caeterum infinita funt, ut ita quifpiam dicat, et multitudine incomprehenfa quae lac laedant. Etenim quaecunque plus quam expediat calefaciunt, quaeque deficcant aut refrigerant, partim qualitatem ipfius fanguinis vitiantia, partim ipfum minorem reddentia, lac provenire prohibent.

Cap. XXII. Porro dictis fimilem vim obtinent quaecunque provocare, aut fedare menfes poffunt, utrorumque enim communis materia eft, nempe fanguis in venis contentus. Itaque ubi hic fluxilis fuerit et quantitate contemperatus, utique abundantem fuppeditat copiam. Communes quin etiam uberibus, uteroque venae funt non exiles, at quaenam eae fint, alibi dictum eft. Itaque ubi ad alterutram partium fanguis defertur, altera ficcefcit. Proinde quibus menfes mediocriter feruntur, iis lac in mamillis non

Ed. Chart. XIII. [136. 137.] Ed. Baf. II. (65.)

ἄφθονον τοῦτο, τὰ καταμήνια τελέως ἴσχεται. θαυμαστὸν οὖν οὐδὲν, εἰ τὰ διαιτήματα καὶ τὰ φάρμακα παραπλήσια τά τε γεννῶντα καὶ τὰ παύοντα τὴν ἐφ' ἑκάστῳ μηνὶ κάθαρσιν ἐξ ὑστερῶν καὶ τὴν ἐν μαστοῖς [137] τοῦ γάλακτος γένεσιν. τοσόνδε μέντοι διαφέρουσιν καθ' ὅσον θερμοτέρων τε καὶ τμητικωτέρων ἐνίοτε τὰ κατὰ τὰς μήτρας χρήζει. καὶ γὰρ ἀναστομοῦσθαι δέονται μᾶλλον αἱ τῇδε φλέβες ἤπερ αἱ κατὰ τοὺς μαστοὺς, καὶ τοῦ αἵματος εὐρουστέρου χρήζουσιν, ὡς ἂν μηδὲν αὐτῆς τῆς μήτρας συντελούσης εἰς τὴν φορὰν αὐτοῦ. πέμπεται γὰρ εἰς τὰς ἐν αὐτῇ φλέβας, οὐχ ἕλκεται τὰ καταμήνια. εἰς μαστοὺς δ' οὐ πέμπεται μόνον, ἀλλὰ καὶ ἕλκεται, καὶ διὰ τοῦτο βραχυτέρας ἐπικουρίας ἐκ φαρμάκων προσδεῖται τὸ μὴ παραγενόμενον αὐτάρκως εἰς μαστοὺς αἷμα. καὶ ὅσα γε τὸ αἷμα ὑπέρχεσθαι προτρέπει, ταῦτα καὶ τὰς ελλιπεῖς καθάρσεις ὠφελεῖ. τὰς δ' ἐπὶ πλέον βεβλαμμένας, ἢ καὶ παντάπασιν ἰσχομένας, οὐκέτ' οὐδὲν τῶν τοιούτων ἰᾶται, ἀλλὰ βραδὺ

colligitur, quibus vero hoc large fuppetit, iis plane menfes fupprimuntur. Itaque mirandum non eft, fi tum victus tum medicamenta fimilia funt, nempe et ea quae generant fedantque in menfes fingulos ex utero purgationem, et ea quae lactis in uberibus generationem provocant ac fupprimunt. Quamquam hactenus differant, quod et calidioribus et magis incidentibus purgatio menftrua nonnunquam indigeat, quippe quum ea parte fitae venae magis aperiri debeant quam quae tendunt in mammas, et fanguinem fluxilem magis requirant, nimirum quum uterus ad delationem ejus nihil conferat. Mittuntur enim in venas quae illi committuntur, haud attrahuntur menfes. At fanguis in ubera non tantum mittitur, fed et attrahitur, ac proinde leviore fubfidio medicamentorum opus habet, quum non abunde in mammas confluit. Et medicinae quae juvant, ut fanguis in mammillas eat, deficientes atque imperfectas purgationes etiam adjuvant. Sin autem multum oblaefae fint, aut plane retentae, nulla ex ejusmodi eas fanare

καὶ μεῖον ἴρις τε καὶ καλαμίνθη, καὶ γλήχων καὶ δίκταμον ἄσαρόν τε καὶ κόστος ἥ τε κασία καὶ τὸ κιννάμωμον, ἄμωμόν τε καὶ ἀριστολοχία, καὶ τὸ βούνιον, ὅσα τ' ἄλλα τοιαῦτα, τὰς παντελεῖς ἐπισχέσεις τῶν κατὰ μήτρας καθάρσεων ἰᾶται. τὰ γὰρ τοιαῦτα καὶ τοῖς οὔροις ποδηγεῖ. ἀλλὰ τῶν αὐτῶν δὴ τοῦτο μόνον οὐρητικῶν ὀνομαζομένων φαρμάκων διαλλάττει, τῷ μὴ ξηραίνειν ἰσχυρῶς. τὸ μὲν γὰρ θερμαίνειν ἐν τρισὶ γένεσι τῶν φαρμάκων κοινὸν, ὅσα γε τῇ τοῦ γάλακτος γενέσει συνεργεῖ, καὶ ὅσα ταῖς τῶν καταμηνίων τε καὶ οὔρων φοραῖς. διαφέρει δὲ τῷ τε ποσῷ τῆς θερμότητος καὶ τῷ τὰ μὲν ξηραίνειν, τὰ δὲ μή. ὅσα μὲν γὰρ οὔτε ξηραίνει καὶ θερμαίνει μετρίως, εἰς γάλακτος γένεσιν χρηστά· τὰ δ' ἐπὶ πλέον θερμαίνοντα, μὴ μέντοι γε ἰσχυρῶς ξηραίνοντα, ταῖς τῶν καταμηνίων φοραῖς ἀγαθά. οὔρησιν δὲ καὶ ταῦτα μὲν ἀμφότερα προτρέπει, καὶ πρὸς τοῦτο δὲ οὐδὲν ἧττον ὅσα θερμαίνει ξηραίνοντα. καὶ διὰ τοῦτο ἐξαιρέτως οὐρητικὰ τὰ τοιαῦτα κέκληται, οὐ διὰ τὸ μόνα κινεῖν τὴν οὔρησιν, ἀλλὰ τὸ μόνην ἄνευ τοῦ καταμήνια καὶ

poteſt, verum ſabina et mejum et iris et calamintha et pulegium, tum dictamnum, aſaron, coſtus, caſſia, cinnamomum, amomum, ariſtolochia, bunium et ejus generis reliqua, abſolutas uteri purgationum retentiones ſanant, nam talia quoque urinam promovent. Sed ab ipſis diureticis vocatis medicamentis hoc ſolo differunt, quod non vehementer deſiccent. Siquidem calefactio tribus generibus medicamentorum communis eſt, puta quae lacti procreando ſuccurrunt, quaeque menſibus ciendis et urinae conveniunt. Differunt tamen caloris menſura, tum etiam quod quaedam deſiccant, quaedam non. Siquidem quae non deſiccant et modice calefaciunt, lacti generando utilia ſunt, quae vero plus calefaciunt, non tamen valenter deſiccant, menſibus eliciendis ſunt congrua. Verum et utraque haec urinas provocant et ad haec cum primis ea, quae calefaciunt et deſiccant. Et propter hoc ea peculiariter dicuntur diuretica, ſive urinam moventia, non quia ſola moveant urinas, ſed quia ſolas, et non etiam menſes aut lac. Nam praeter

γάλα. πρὸς γὰρ αὖ τοῖς ἄλλοις οὐδὲ ταῖς ἐκ θώρακος καὶ πνεύμονος ἀναπτύσεσιν ἐπιτήδεια τὰ ξηραίνοντα. δεῖται γὰρ κἀκεῖνα τέμνεσθαι μὲν, μὴ ξηραίνεσθαι δὲ, καθάπερ γε οἱ κατὰ νεφροὺς καὶ κύστιν λίθοι. λέλεκται δὲ ὑπὲρ τῶν τοιούτων φαρμάκων ἔμπροσθεν.

Κεφ. κγ'. Ὥσπερ δὲ γάλακτος, οὕτω καὶ σπέρματος εἰώθασιν ὀνομάζειν ἔνια μὲν γεννητικὰ, καὶ τούτοις ἐναντία τὰ σβεστικὰ, προκλητικὰ δ' ἕτερα, καὶ τούτοις ἐναντία τὰ ἐπισχετικά. γεννητικὰ μὲν οὖν ἐστι τὰ γεννῶντα τὸ μὴ πρότερον ὑπάρχον, σβεστικὰ δὲ τὰ φθείροντα· προκλητικὰ δὲ τὰ τὸ συνηθροισμένον ἐν βάθει πρὸς τοὐμφανὲς ἄγοντα, καὶ τούτοις ἐναντία τὰ ἐπισχετικά. γεννητικὰ μὲν οὖν σπέρματός ἐστιν ἐδέσματα ὅσα τρόφιμά τε ἅμα καὶ φυσώδη καὶ ταῖς ὅλαις οὐσίαις ἐστὶν οἰκεῖα· φάρμακα δ' ὅσα πνευματώδη καὶ θερμά· σβεστικὰ δὲ τὰ ξηραίνοντα πάντα καὶ τὰ ψύχοντα πάντα καὶ ταῖς οὐσίαις ἐναντία, καὶ μὲν δὴ καὶ προκλητικὰ μὲν ὅσα φυσώδη τ' ἐστὶ καὶ θερμὰ χωρὶς τοῦ ξηραίνειν, ἐπισχετικὰ δὲ τὰ ἐναντία. τῆς γὰρ τοῦ σπέρ-

alia et reddendis ex pectore pulmoneque excreationibus incommoda ſunt deſiccantia, poſcunt enim et ipſa incidi quidem, at non ſiccari, ceu et renum veſicaeque calculi. Verum de talibus medicamentis ſupra diſſerui.

Cap. XXIII. Ut lac ita et ſemen quaedam generare dicuntur et quae his ſunt contraria extinguere, tum quaedam provocare et ipſis contraria ſupprimere, ac generare quidem quae procreant quod antea non erat, extinguere vero quae corrumpunt, provocare autem quae quod in alto delitescebat in apertum proferunt, et his contraria quae ſupprimunt. Igitur ſemen generant cibi quidem, qui bene nutriunt et flatuoſi ſunt totisque ſubſtantiis familiares, medicamenta vero flatuoſa et calida, extinguunt autem deſiccantia et refrigerantia omnia et quae totis ſubſtantiis ſunt contraria. Porro provocant quaecunque calida ſunt et flatuoſa absque deſiccatione, ſupprimunt vero contraria. Et-

ματος οὐσίας ἐκ χρηστοῦ περιττώματος ἐχούσης τὴν γένεσιν, οὔσης δὲ καὶ πνευματώδους, τρόφιμά τε ἅμα καὶ πνευματώδη χρὴ πάνθ᾽ ὑπάρχειν ὅσα γεννᾷν καὶ προκαλεῖσθαι δύνηται σπέρμα. βολβοὶ μὲν οὖν ἐρέβινθοί τε καὶ κύαμοι καὶ πολύποδες καὶ κῶνος [138] ἐδέσματα πολύσπερμα λέγεται καὶ ἔστι· σκίγκος δὲ καὶ σατύριον φάρμακα. τροφαὶ δ᾽ ἅμα καὶ φάρμακα πολύσπερμα τό τε τῆς λίνου σπέρμα καὶ τὸ εὔζωμον. ὅσα δὲ ψύχειν πέφυκεν ἐδέσματά τε καὶ φάρμακα, παχύνοντά τε καὶ πηγνύντα, καὶ στάσιμον ἐργαζόμενα τὸ σπέρμα, τὴν τῶν ἐπισχόντων αὐτὰ δύναμιν, οὐ τὴν τῶν φθειρόντων ἔχει. θριδακίναι μὲν γὰρ καὶ βλίτα καὶ ἀτραφάξεις καὶ κολοκυνθὶς καὶ μόρα καὶ μηλοπέπονές τε καὶ σίκυοι, ἤν τε καὶ πέπονες, ἤν τε καὶ μὴ πέπονες ὦσιν. ὅσα δὲ ξηραίνει, τὴν ἀρχὴν οὐδ᾽ ἐπιτρέπει γενέσθαι τὸ σπέρμα, κἂν θερμὰ τὴν φύσιν ὑπάρχῃ, καθάπερ τὸ πήγανον. εἰ δὲ καὶ μὴ θερμαίνει, πολὺ μᾶλλον, ὡς ἡ νυμφαία. ταῦτα μέν γε καὶ κατὰ τὴν ἰδιότητα τῆς οὐσίας εὔλογον ἐναντίως ἔχειν σπέρματι. τὴν δ᾽ αὐτὴν ἀναλογίαν ἐδεσμάτων τε καὶ

enim quum feminis fubftantia ex utili recremento generationem fortiatur, fitque etiam flatuofa, bene nutriant et flatuofa fint necesse eft, quaecunque femen aut procreare, aut provocare poffunt. Itaque bulbi, cicer, fabae, polypodes, conus, edulia dicuntur multi feminis et funt, at fcincus et fatyrion medicamenta funt, porro fimul cibi ac medicamenta multi feminis funt lini femen et eruca. Caeterum quae refrigerare funt nata tum edulia, tum medicamenta, femen cogentia, incraffantia et ftabile reddentia, vim habent ipfum fupprimentem, non autem corrumpentem, nempe lactuca, blitum, atriplex, cucurbita, mora, melopepones, cucumeres, feu pepones, feu non pepones. Porro quae reficcant, prorfum ne effe quidem femen permittunt, etiam fi calida funt natura, velut ruta. Si autem non calefaciunt, multo minus, ut nymphaea, atque haec fane rationi confentaneum eft fubftantiae proprietate contrarie affecta effe femini. Eandem proportionem tum efculentorum tum

φαρμάκων ἐπί τε γάλακτός ἐστιν εὑρεῖν καὶ καταμηνίων. καθ' ἕτερον δὲ τρόπον ὑπὸ ταὐτὸ πέπτωκε γένος αὐτοῖς ὅσα ταῖς ἐκ τῶν ἀναπνευστικῶν ὀργάνων ἀναπτύσεσι τιμωρεῖται καὶ ὅσα κινεῖν οὔρησιν πέφυκεν. ἅπαντα γὰρ ταῦτα λεπ(66)τυντικῆς ἐστι δυνάμεως, ὥσπερ οὖν τὰ ἐναντία παχυντικῆς. ἀλλὰ περὶ μὲν τῆς λεπτυντικῆς διαίτης ἰδίᾳ γέγραπται δηλουμένων οὐδὲν ἧττον ἐν ταὐτῷ βιβλίῳ καὶ τῶν παχυνόντων. τὰ δὲ λεπτύνοντα καὶ παχύνοντα φάρμακα τῶν ἐφεξῆς τῶνδε τριῶν βιβλίων ἐκλέγου, ἐπὶ μὲν τῶν λεπτυνόντων σκοπὸν ἔχων τὰ θερμότητα καὶ λεπτομέρειαν ἔχοντα, ἐπὶ δὲ τῶν παχυνόντων τὰ ἐναντία. δέδεικται γὰρ ἡμῖν ἐν τοῖς ἔμπροσθεν ὡς ἰδία τίς ἐστιν ἡ τῶν λεπτομερῶν φαρμάκων φύσις οὐ μόνον τοῖς θερμαίνουσιν ὑπάρχουσα. κατὰ ταὐτὰ δὲ καὶ ἡ τῶν παχυμερῶν οὐ μόνον τοῖς ψύχουσιν· ὥσπερ δὲ καὶ ἐπὶ τῶν τοιούτων ἀναλογία τις ἐν ταῖς δυνάμεσιν ὑπάρχει, κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ πάντων ζητεῖν, εἰ καὶ μὴ κείμενον ὄνομα τύχῃ. λέγονται γοῦν τινες ὀξυδορκικαὶ δυνάμεις αἱ τοὺς ὀφθαλμοὺς, ἐπειδὰν μηδὲν

medicamentorum eſt invenire in lacte et menſibus. Porro alio modo ſub idem genus cadunt quae reſpirantium inſtrumentorum excreationibus auxiliantur, quaeque urinam ciere poſſunt: haec enim omnia extenuandi facultatem obtinent, uti contraria incraſſandi. Sed de victu extenuante privatim conſcriptum eſt, nihilo ſecius in eodem volumine indicatis quae incraſſant. Verum extenuantia et incraſſantia medicamenta ex libris, qui deinceps ſequentur, ſeligito, in extenuantibus quidem ſcopum habens caliditatem junctam partium tenuitati, in incraſſantibus vero contraria. Oſtenſum enim eſt in ſuperioribus libris quod propria quaedam ſit medicamentorum eſſentiae tenuis natura, non ſolis calefacientibus conjuncta. Eadem ratione et incraſſantium natura non ſolis ineſt refrigerantibus. Caeterum ut talibus facultatibus proportio quaedam ineſt, eundem in modum quaerendum in omnibus, etiam ſi nomen non ſit impoſitum. Vocantur enim quaedam oxydorcicae facultates viſum acuen-

ἔχοντες αἰσθητὸν πάθημα φαύλως ἐνεργῶσιν, ἐπανορθούμεναι. καὶ χρὴ δηλονότι καὶ κατὰ τὰ ὦτα καὶ τὰς ῥῖνας ἑκάστην τε τῶν ἄλλων αἰσθήσεων ἀνάλογον ὑπάρχειν τινὰ τοιαύτην δύναμιν, οὐ μὴν ὠνόμασταί γε ὀξυήκοός τις δύναμις, ὥσπερ οὐδὲ κατὰ τὴν ὄσφρησιν ἢ τὴν γεῦσιν ἢ τὴν ἁφὴν, καίτοι γε ἐν αὐτοῖς τοῖς αἰσθητοῖς πράγμασιν ἀναλόγως ὑπαρχούσης. εἰ δ᾽ ἐπὶ πλέον ἐκτείνοι τις τὴν ὁμοιότητα, καὶ καθ᾽ ἕκαστον ἡμῶν μόριον ἀναγκαῖον εἶναι τοιαύτην τινὰ δύναμιν φαρμάκων, ὑφ᾽ ἧς δηλονότι βέλτιον γίγνεται τὸ τοῦ μέρους ἔργον, ὥσπερ, εἰ οὕτως ἔτυχε, τὸ τῆς γαστρός. ἔστι γὰρ οὖν κἀνταῦθα πολλάκις εὑρεῖν ἀτονίαν τινὰ τοιαύτην αὐτῆς, οἵα κατ᾽ ὀφθαλμούς ἐστιν ἡ ἀμβλυωπία, μήτε φλεγμαίνοντας μήτε ῥευματιζομένους μήθ᾽ ἡλκωμένους μήτ᾽ ἄλλο τι φανερὸν ἔχοντας κακόν. καὶ δὴ καὶ τὰ φάρμακα τὴν τοιαύτην διάθεσιν τῆς γαστρὸς ἐπανορθούμενα κέκληται πεπτικὰ, τῷ μὲν σχήματι τῆς προσηγορίας οὐκ

tes, quae oculos, ubi nullum illis infit fenfibile pathema, male tamen munere fuo fungentes, corrigunt et in integrum reftituunt. Ac nimirum et in auribus et in naribus et per quemque aliorum fenfuum figillatim proportione talis quaedam fit facultas neceffe eft, nec tamen facultas nominata eft ab acumine auditus oxyecoos, ficut nec in olfactu, nec in guftu, nec in tactu, quum tamen in rebus ipfis fenfilibus ex proportione infit. Porro fi quis fimilitudinem plus etiam extendat, per quamque noftri particulam, talem exiftere medicamentorum facultatem neceffe eft, a qua videlicet melior reddatur partis ipfius actio, ut verbi caufa ventris actio. Siquidem talem ejus imbecillitatem invenire eft faepenumero, qualis eft in oculis amblyopia, id eft *hebetudo vifus*, quum ii nec phlegmone teneantur, nec influxu torqueantur, nec ulcerati fint, nec aliud quidvis mali perpeffi. Et fane in medicamentis quae affectum ventris ejusmodi emendant, peptica, five concoquentia nuncupantur, appellationis quidem figura nihil

Ed. Chart. XIII. [158. 159.] Ed. Baf. II. (66.)

ἀνάλογον ἔχοντα τοῖς ὀξυδορκικοῖς, τῷ δ' ἔργῳ καὶ τῇ δυνάμει παραπλήσια.

Κεφ. κδ'. Ἐπεὶ δὲ καὶ ἀπὸ μορίων τοῦ σώματος τινὰς ἐλέγομεν ὀνομάσθαι δυνάμεις, οὐ χεῖρον ἂν εἴη καὶ περὶ τούτων διελθεῖν. οὔτε γὰρ, [159] ὡς ἂν οἰηθείη τις, ἐπὶ πάντων ἁρμόττουσι τῶν παθῶν τοῦ μέρους οὔτ' ἐφ' ἑνὸς οὕτω τινὸς ὡς ἕτερον ὀνῆσαι μηδὲν, ἀλλ' ἤτοι τὸ πλειστάκις, ἢ τῷ μάλιστα ἐνεργεῖν ἐπὶ τοῦδέ τινος τοῦ μέρους, ἀπ' αὐτοῦ τὴν προσηγορίαν ἔσχον. ὀφθαλμικαὶ μὲν, ἐπειδὴ καὶ μάλιστα καὶ πλειστάκις ἐπ' ὀφθαλμῶν αὐταῖς χρώμεθα, καθάπερ τῷ γε διὰ ῥόδων κολλυρίῳ καὶ τῷ διὰ πομφόλυγος καὶ τῷ κνίκῳ προσαγορευομένῳ καὶ τῷ λιβανίῳ καὶ τοῖς ἄλλοις ἅπασιν, οἷς ἔνεστι μὲν χρήσασθαι καὶ ὤτων πασχόντων καὶ στομάτων καὶ ῥινὸς αἰδοίου τε καὶ ἕδρας, οὐ μὴν οὔθ' οὕτω πολλάκις οὔθ' οὕτως ὠφελίμως. ἡπατικὰς δ' αὖ καὶ σπληνικὰς καὶ πλευριτικὰς καὶ στομαχικὰς, ἐπειδὴ καὶ ταύτας, ἕκαστον τῶν εἰρημένων ὠφελούσας ὁρῶμεν μάλιστά τε καὶ πλειστάκις. ἥτις δ' αἰτία τῆς ὠφελείας

proportionale habentia oxydercicis, caeterum opere ipso et facultate similia.

Cap. XXIV. Porro quoniam et quasdam appellatas a corporis partibus facultates esse diximus, nihilo fuerit deterius et de his differere. Nec enim, quod quispiam forsan existimet, omnibus partis affectibus congruunt, nec ita uni, ut alii nihil prosint, sed quoniam frequentissime aut maxime agant ea in parte a qua nomen sunt mutuatae. Ophthalmicae quidem, quandoquidem maxime ac plurimum ad oculos ipsas usurpamus, velut collirium *διὰ ῥόδων* et aliud *διὰ πομφόλυγος* et cnicus appellatus et libanium et alia omnia, quibus uti quidem liceat et ad aures affectas, aut os, aut nares, praeterea pudendum et anum, verum non ita frequenter, nec tanto cum fructu. Rursus autem alias nuncupamus hepaticas, alias splenicas, pleuriticasque et stomachicas, nimirum quum et ipsas ei parti, quam nomine designant, saepissime simul ac potissime prodesse conspiciamus. Porro quae sit profectus et adjumenti causa, in

ἐστὶν, ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ ῥηθήσεται, καθ' ἣν καὶ τἄλλα πάντα περὶ τῆς τῶν φαρμάκων χρήσεως ἐπέξιμεν, ὥστ' οὐδὲν ἔτι μηκύνειν ἐνταῦθα, πλὴν εἴπερ ἄρα περὶ τῆς τῶν ὀνομάτων βραχὺ ἐπισημήνασθαι χρήσεως, ἣν ἄλλοι τέ τινες τῶν νεωτέρων ἰατρῶν ἐποιήσαντο καινοτομοῦντες, οὐχ ἥκιστα δὲ καὶ οἱ καλούμενοι μεθοδικοί.

Κεφ. κε΄. Τὸ μὲν γὰρ σταλτικάς τινας ὑπ' αὐτῶν λέγεσθαι δυνάμεις, ἢ σφιγγούσας ἢ συναγούσας ἢ ἀπωθουμένας, ἤ τι τοιοῦτον ἕτερον, οὔτ' ἄτοπον οὔτ' ἀσαφές. ὅταν δὲ μετασυγκριτικάς τινας εἶναι λέγωσιν ὕλας ἢ δυνάμεις, οὔτε σαφές ἐστι τὸ λεγόμενον οὔτ' ἀληθὲς οὔτε τῆς αἱρέσεως αὐτῶν οἰκεῖον, οἵγε φεύγειν φασὶν τὴν ἀπὸ τῶν δογματικῶν ὑπολήψεων ἔνδειξιν, ἀρκεῖν γὰρ αὐτοῖς τὰς φαινομένας καινότητας. τὸ δ' ἐκτρεπομένων τῶν πόρων τοῦ σώματος ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν ἐν ἰδιότητι τῆς τροπῆς αὐτῶν συνίστασθαί τινα πάθη δογματική τις ὑπόληψίς ἐστιν. ἕπεται δὲ ταύτῃ καὶ τὸ τῶν τοιούτων παθῶν

opere de curandi ratione explicabimus, in quo caetera quoque omnia de medicamentorum uſu exponentur. Itaque nihil etiam hic haerendum atque immorandum eſt, niſi quod vocabulorum nonnihil declarandus eſt uſus, quem cum aliis nonnulli recentiorum medicorum, tum praeſertim qui vocantur methodici, inaniter innovarunt.

Cap. XXV. Nam quod ſtalticas quasdam facultates, hoc eſt ſiſtentes ſeu ſupprimentes et conſtringentes et contrahentes et repellentes, aut alias id genus proferant, id nequaquam abſurdum eſt nec obſcurum. At quum metaſyncriticas tum materias tum facultates nominant, nec apertum eſt quod dicunt, nec verum, nec etiam ſectae congruens eorum, qui ſe fugitare profitentur quae a dogmaticis opinionibus proficiſcitur indicationem. Sufficere namque ajunt ſibi apparentes communitates. Atqui excedentibus corporis meatibus ex ſtatu naturali in ſtatum praeter naturam, in proprietate excedendi exiſtere quosdam affectus, ea dogmatica opinio eſt. Sequitur vero ad hanc, quasdam

μετασυγκριτικάς τινας εἶναι δυνάμεις, ἀλλοιούσας δηλονότι τὴν παρὰ φύσιν τῆς συγκρίσεως ἡμῶν ποροποιίαν. οὕτως γὰρ δὴ καὶ χρῶνται τοῖς ὀνόμασιν οἱ περὶ τὸν Θεσσαλὸν, εἶτ᾽ ἐπὶ τῶν χρονίως ῥευματιζομένων παραλαμβάνουσι τὰς τοιαύτας δυνάμεις, οὔθ᾽ ὅτι τῶν πόρων ἀλλοίωσις ἐν τοῖς τοιούτοις γίνεται πάθεσιν ἀποδείξαντες οὔθ᾽ ὅτι τάδε τὰ φάρμακα μετασυγκρίνειν πέφυκεν, τὴν ἡμαρτημένην πορο-ποιίαν ἐπιδεῖξαι δυνάμενοι. διὰ τί γὰρ, ὦ πρὸς θεῶν, τὸ νᾶπυ καὶ ἡ θαψία καὶ τὸ πύρεθρον, ἥ τε τῆς καππάρεως ῥίζα, καὶ ἁπλῶς ὅσα καίειν πέφυκεν, εἰ χρονίσειεν ὁμιλοῦντα τῷ σώματι, μετασυγκρίνει τὴν πορυποιίαν; ὅτι μὲν γὰρ ὠφελεῖται τὰ ῥευματικὰ μόρια πρὸς τῶν τοιούτων φαρμά-κων ἐναργῶς φαίνεται. διὰ τί δ᾽ ὠφελεῖται, πρόβλημά ἐστι τῆς φυσικῆς θεωρίας. ἡμεῖς μὲν οὖν φαμεν ὑγρὰν καὶ ψυ-χρὰν εἶναι τὴν κρᾶσιν αὐτῶν, καὶ διὰ τοῦτο δεῖσθαι τῶν θερμαινόντων τε καὶ ξηραινόντων. ἄλλοι δ᾽ ἄλλην τὴν αἰ-τίαν ἐροῦσιν, ὡς ἂν καὶ τύχωσι περὶ τῶν στοιχείων τοῦ σώματος ὑπολαμβάνοντες. οὐ μὴν προσήκει γε φθέγγεσθαι

esse facultates ejusmodi affectuum, metafyncriticas, videlicet quae commutent meatuum alienam a natura confusionem, nam sic usurpant nomina Thessali sequaces, atque ad ea quae diutina fluxione vexantur facultates ejuscemodi adhibent, quum nec monstrarint meatuum alterationes in talibus provenire affectibus, neque quod haec medicamenta transmutare vitiatum meatuum statum possunt, demonstrare valeant. Nam per deos immortales, cur, obsecro, napy, thapsia, pyrethrum, capparis radix et absolute quaecunque urere possunt, si diutius corpore inhaereant, meatuum statum commutant. Nam quod partes quae tentantur assidua fluxione, ab hoc genus medicamentis juventur, perspicuo videtur, at quamobrem juventur, naturalis speculationis problema est. Ac nos quidem dicimus earum frigidam simul atque humidam esse temperiem, ac proinde poscere medicamenta quae simul et calefaciant et deficcent. Atque aliam causam proferunt, pro opinione nimirum quam conceperunt de corporis elementis. Nec tamen usurpari

τὸ τῆς μετασυγκρίσεως ὄνομα τῶν ἀφ᾽ ἑτέρας αἱρέσεως ἀγομένων οὐδενὶ, πλὴν ὅσοι τὰ τῶν ζώων σώματα συγκρίματα νομίζουσί τε καὶ ὀνομάζουσιν, [140] ἐξ ὄγκων ἀτόμων ἢ ἐλαχίστων ἢ ἀμερῶν ἢ ὁμοιομερῶν, καὶ οὐδὲ τούτοις ἅπασι, ἀλλ᾽ ὅσοι, καθάπερ ὁ Θεσσαλὸς, ἐν τῷ κανόνι τῆς τῶν πόρων ἀλλοιώσεως τὰ τοιαῦτα τῶν νοσημάτων ἀνατιθέασιν, οὐ γὰρ ᾗ μεθοδικός ἐστι, τοῦτο λέγων ὁ Θεσσαλός. ἀποχωρεῖ γὰρ ὅταν ὡς μεθοδικὸς ἡμῖν διαλέγηται τῆς ἀπὸ τῶν ἀδήλων ἐνδείξεως, ἀλλ᾽ ᾗ δογματικὸς, ἀπὸ μὲν τῶν αὐτῶν Ἀσκληπιάδει στοιχείων ἀρχόμενος, οὐ μὴν ἀκολουθῶν γε πάντη, ἀλλ᾽ οὐ νῦν γε καιρὸς ὑπὲρ τῶν τοιούτων ἐπὶ πλέον διεξέρχεσθαι. τὰ μὲν γὰρ αὐτῶν ἐστιν οἰκειότερα τῇ θεραπευτικῇ μεθόδῳ, τὰ δ᾽ ἐν τοῖς περὶ τῆς κατὰ Θεμίσωνα καὶ Θεσσαλὸν αἱρέσεως ἀκριβέστερον εἰρήσεται. καιρὸς οὖν ἤδη καταπαύειν ἐνταῦθα καὶ τόνδε τὸν λόγον, ἔτι δύο προσθέντας αὐτῷ κεφάλαια, τὸ μὲν ἕτερον ἐν τῇ τῶν ἔμπροσθεν ἀναβληθέντων ὑπὲρ τῶν ἐναντίων δυνάμεων, τὸ δ᾽ ἕτερον ἀναγκαῖον μὲν εἰς τὸν ἐφεξῆς λόγον, ὁρίζον δὲ τὴν

convenit metafyncrifeos vocabulum a quoquam alterius fectae, praeterquam eorum qui animantium corpora et exiftimant et appellitant fyncrimata, feu confufiones ex corpufculis infecabilibus minimisque et partitionis expertibus ac fimilaribus, quanquam nec iftis omnibus, fed iis duntaxat qui, uti Theffalus in canone, meatuum alterationi id genus morbos afcribunt. Non enim qua methodicus eft Theffalus id dicit, fiquidem ubi tanquam methodicus differit, illic ab obfcurorum recedit indicatione, fed qua dogmaticus, fcilicet ab iisdem quae Afclepiades ponit elementis exorfus, caeterum haud ubique fequens. Sed nunc tempus non eft fuper talibus prolixius differere, nam quaedam curandi methodo magis funt propria, quaedam vero in opere de Themifonis et Theffali fecta exactius expromentur. Tempeftivum itaque nunc eft huncce librum hic finire, fi modo duo illi praeterea capita adjecero, alterum fuperius dilatum, nempe de facultatibus contrariis, alterum ad infequentem fermonem neceffarium, definiturus

τάξιν ἑκάστου τῶν θερμαινόντων τε καὶ ψυχόντων, ὑγραινόντων τε καὶ ξηραινόντων φαρμάκων.

Κεφ. κϛ΄. Τὰς μὲν οὖν ἐναντίας δυνάμεις ἐκ τῶν ἔργων κριτέον, ὥσπερ ἐν ὅλῳ τῷδε τῷ γράμματι πολλάκις ἐδείξαμεν, ἐμπλαστικάς τέ τινας εἰπόντες εἶναι δυνάμεις ἐναντίας ταῖς ῥυπτικαῖς, ἐκφρακτικάς τε ταῖς ἐμφρακτικαῖς, καὶ μαλακτικὰς ταῖς σκληρυνούσαις, καὶ χαλαστικὰς ταῖς συντεινούσαις. στυπτικὰς γὰρ, ἢ δριμείας ἢ πικρὰς ἢ γλυκείας ἢ ὀξείας οὐ δυνάμεις φαρμάκων, ἀλλὰ γευστὰς ποιότητας ἐδείκνυμεν οὔσας, ὥστε ἢ οὐ ζητητέον ὅλως ἐν ταύταις τὴν ἐναντίωσιν, ἢ οὐχ ὡς ἐν δυνάμεσι ζητητέον. ὁ σκοπὸς δὲ κἀν ταύταις διττὸς, αἵ τ᾽ ἐνέργειαι καὶ αἱ κράσεις αὐτῶν. ἐνέργειαι μὲν ἐν τῷ πυκνοῦν καὶ ἀραιοῦν ἢ ἐπισπᾶσθαί τι τῶν ἐκ τοῦ βάθους, ἢ ἀπωθεῖσθαι, παχύνειν τε τὰς ὕλας, ἢ λεπτύνειν, ἢ φράττειν τε τοὺς πόρους ἢ ἐκφράττειν. αἱ κράσεις δὲ κατὰ τὸ θερμόν τε καὶ ψυχρὸν, ὑγρόν τε καὶ ξηρὸν, (67) ὑπὲρ ὧν αὐτάρκως ἁπάντων τῷ τετάρτῳ βι-

ſcilicet cujusque tum calefacientium, tum refrigerantium, tum exiccantium atque humectantium medicamentorum ordinem.

Cap. XXVI. Igitur contrarias judicare facultates ex operibus oportet, ſicut toto hoc libro ſaepenumero oſtendimus, dicentes quasdam facultates emplaſticas et his contrarias extergentes, tum farctu liberantes et infarcientes, praeterea emollientes et indurantes, ac laxantes et contendentes; nam aſtringentes, aut acres, aut amaras, aut acidas, aut dulces, non facultates medicamentorum, ſed guſtus eſſe qualitates monſtravimus. Itaque in his aut prorſus quaerenda non eſt contrarietas, aut non ut in facultatibus quaerenda. Scopus autem in iſtis duplex eſt, nempe earum actiones et temperamenta. Actiones quidem in denſando et rarefaciendo, aut quippiam ex alto extrahendo, aut repellendo, incraſſando materias, aut extenuando, aut meatus obſtruendo, aut ipſorum obſtructiones expediendo. Temperamenta vero in calido, frigido, humido et ſicco. De quibus omnibus abunde in quarto libro determinatum eſt,

βλίῳ διῄρηται, δεικνύντων ἡμῶν ὡς τὸ μὲν στῦφον γεῶδές τέ ἐστι καὶ ψυχρὸν, τὸ δὲ ὀξὺ λεπτομερὲς ψυχρὸν, τὸ δὲ πικρὸν γεῶδες λεπτομερὲς, τὸ δὲ ἄνευ τινὸς ἐπισήμου ποιότητος ψυχρὸν ὑδατῶδες. οὕτω μὲν καὶ τὸ μὲν δριμὺ πυρῶδες ἐδείκνυτο, τὸ δ' ἁλυκὸν γεῶδες θερμὸν, οὐ μὴν ἤδη γέ πω πυρῶδες. ὡσαύτως δὲ καὶ τὸ γλυκὺ θερμὸν μὲν, ἀλλ' οὐδέπω καυστικόν. ὅσα δ' ἐλαιώδη πάνθ' ὑδατώδη τε ἐστι καὶ ἀερώδη, εἵπετο δὲ δήπου καὶ τὰ ἔργα ταῖς κράσεσιν αὐτῶν. τὸ μὲν γὰρ στῦφον συνάγειν καὶ πιλεῖν καὶ πυκνοῦν καὶ ἀποκρούεσθαι καὶ παχύνειν, ἔτι τε πρὸ τούτων ἁπάντων ψύχειν καὶ ξηραίνειν πέφυκεν, τὸ δ' ὀξὺ τέμνειν καὶ διαιρεῖν καὶ λεπτύνειν, ἐκφράττειν τε καὶ διακαθαίρειν ἄνευ τοῦ θερμαίνειν, τὸ δὲ δριμὺ παραπλησίως μὲν ὀξεῖ δρᾷν, κατά γε τὸ διαλεπτύνειν τε καὶ διακαθαίρειν. διαφέρει δὲ τῷ τὸ μὲν ὀξὺ ψύχειν, τὸ δὲ δριμὺ θερμαίνειν, καὶ προσέτι τῷ τὸ μὲν ἀποκρούεσθαι, τὸ δ' ἐπισπᾶσθαι καὶ διαφορεῖν. οὕτω δὲ καὶ τὸ μὲν πικρὸν διακαθαίρει τε τοὺς πόρους καὶ διαῤῥύπτει καὶ λεπτύνει καὶ

monftrantibus nobis quod aftringens terreftre fit et frigidum, acidum vero tenue frigidum, amarum autem terreftre tenue, quod vero eft absque ulla infigni qualitate, frigidum aqueum. Sic acre igneum oftendimus, falfum vero terreftre calidum, nondum tamen igneum; fimiliter dulce calidum, fed nondum urens, quae vero oleofa funt, omnia aquea funt et aëria. Sequuta fane funt temperamenta eorum et opera. Nam aftringens contrahere, conftringere, denfare, repellere et incraffare et ante haec omnia refrigerare exiccareque natum eft, acidum vero incidere, extenuare, dividere, obftructiones expedire, expurgare, citra calefactionem, acre vero fimiliter ut acidum agere, quod ad extenuationem expurgationemque attinet, caeterum hoc differt, quod acidum refrigeret, acre vero calefaciat, ad haec quod illud repellat, hoc attrahat et digerat. Sic amarum quoque meatus expurgat, abftergit, extenuat,

τέμνει τὸ πάχος τῶν χυμῶν ἄνευ φανερᾶς θερμότητος. τὸ δ' ὑδατῶδες ψυχρὸν παχύνει καὶ συνίστησι καὶ συνάγει καὶ πιλεῖ καὶ νεκροῖ καὶ ναρκοῖ. [141] τὸ δὲ δριμὺ λεπτύνει, διακαθαίρει, διαφορεῖ καὶ ἐκρήσσει καὶ ἐπισπᾶται καὶ ἐσχαροῖ. τὸ δὲ ἁλυκὸν συνάγει καὶ σφίγγει, ταριχεύει, ξηραίνει χωρὶς ἐπισήμου θερμότητος ἢ ψύξεως. τὸ δὲ γλυκὺ πέττει, χαλᾷ, ἀραιοῖ. τὸ δ' ἐλαιῶδες ὑγραίνει, μαλάττει, χαλᾷ. ῥᾴδιον οὖν ἤδη τοῖς εἰρημένοις σταθμώμενον ἐξευρίσκειν, τῶν χυμῶν ὅσοι τε ταῖς κράσεσιν καὶ ὅσοι τοῖς ἔργοις εἰσὶν ἐναντίοι.

Κεφ. κζ΄. Ἐμοὶ δὲ καιρὸς ἂν εἴη πρέπων ἀφορισαμένῳ τὰς τάξεις τῶν ἐν τοῖς φαρμάκοις κράσεών τε καὶ δυνάμεων ἐνταῦθα καταπαύειν ἤδη τὸν λόγον. τὸ μὲν δὴ σύμμετρον φάρμακον, ὡς ὁμοίας εἶναι κράσεως ᾧ προσάγεται, κατὰ τὸ μήτε ξηραίνειν μήθ' ὑγραίνειν, μήτε ψύχειν μήτε θερμαίνειν, οὔτε ξηρὸν οὔθ' ὑγρὸν, οὔτε ψυχρὸν οὔτε θερμὸν ὀνομάζειν προσήκει. τὸ δ' ἤτοι ξηρότερον ἢ ὑγρότερον, ἢ θερ-

incidit humorum craſſitiem abſque manifeſta calefactione, frigidum vero aqueum incraſſat, cogit, contrahit, conſtringit, obſtupefacit atque extinguit. Porro acre extenuat, expurgat, digerit, disrumpit, attrahit et cruſtam efficit. At ſalſum contrahit, conſtringit, condiendo ſervat, deſiccat citra apertam aut caliditatem, aut frigiditatem. Dulce vero concoquit, laxat, rarefacit. Oleoſum denique humectat, emollit, laxat. Facilius itaque jam erit ex modo dictis ponderantem ſapores invenire, qui temperamento quique operibus ſint contrarii.

Cap. XXVII. Porro congruens jam tempus eſt, deſinitis temperamentorum et facultatum quae in medicamentis ſunt ordinibus, hunc librum abſolvere. Igitur ſymmetrum medicamentum et quod ſit ſimilis temperamenti cum eo, cui admovetur, quum neque calefaciat, neque frigefaciat, neque exſiccet, neque humectet, id nec calidum, nec frigidum, nec ſiccum, nec humidum appellare convenit. Quod vero aut calidius, aut humidius, aut frigidius, aut

μότερον ἢ ψυχρότερον, ἀπὸ τῆς ἐπικρατούσης καλεῖται δυνάμεως. ἀρκεῖ δὲ καθ' ἑκάστην ἐπικράτειαν τέσσαρας ὡς πρὸς τὴν χρείαν ποιήσασθαι τάξεις, θερμὸν μὲν ὀνομάζοντας κατὰ τὴν πρώτην τάξιν ὅ τι ἂν ἡμᾶς θερμαίνῃ, μὴ μέντοι γε ἐναργῶς, ἀλλὰ μετὰ τοῦ προσδεῖσθαί τινος ἀποδείξεως λογικῆς. οὕτω καὶ ψυχρὸν καὶ ὑγρὸν καὶ ξηρὸν, ὅ τι περ ἂν ἀποδείξεως δέηται, μηδέπω τὴν ἐνέργειαν ἰσχυρὰν μηδ' ἐναργῆ κεκτημένον. ὅσα μέντοι σαφῶς ἤδη θερμαίνειν ἢ ψύχειν ἢ ξηραίνειν ἢ ὑγραίνειν πέφυκε, δευτέρας τὰ τοιαῦτα τάξεως εἶναι λεχθήσεται. τὰ δ' ἤδη μὲν σφοδρῶς, οὐ μὴν εἰς ἄκρον γε, τῆς τρίτης. ὅσα δ' οὕτω θερμαίνειν πέφυκεν, ὡς ἐσχαροῦν τε καὶ καίειν, τετάρτης. οὕτω δὴ καὶ ὅσα σφοδρότερον ψύχειν πέφυκεν, ὡς ἤδη νεκροῦν, τετάρτης καὶ ταῦτα. ξηραῖνον δ' οὐδέν ἐστιν εὑρεῖν τετάρτης τάξεως, ἄνευ τοῦ καίειν· ὅ τι γὰρ ἄκρως ξηραίνει, πάντως τοῦτο καὶ καίει. τῆς τρίτης μέντοι τάξεως τῶν ξηραινόντων δύναταί τι καὶ μὴ καῖον εἶναι, καθάπερ ὅσα στύφει σφοδρῶς ἅπαντα,

ſiccius eſt, a vincente ſeu excedente cognominatur facultate. Porro per unumquemque exceſſum quatuor poſuiſſe ordines, quod ad uſum ſpectat, ſufficit, calidum quidem nominantes primi ordinis quod nos calefacit, non tamen evidenter, verum ut opus ſit inſuper aliqua demonſtratione rationali; ſic frigidum, humidum et ſiccum, quod demonſtrationem requirat etiam, nondum actionem valentem neque evidentem adeptum. Quae vero manifeſte aut calefacere, aut frigefacere, aut humectare, aut exſiccare poſſunt, ea ſecundi eſſe ordinis dicentur. At quae jam vehementes quidem, non tamen ſumme, tertii. Qui autem adeo calefacere poſſunt, ut eſcharam moliantur et urant, quarti; ſic quoque quae vehementius refrigerant, adeo ut extinguant, et ipſa quarti ſunt ordinis. Caeterum nullum invenire eſt quod quarto ordine exiccet, quod non etiam urat, nam quod ſumme exiccat, omnino id etiam deurit. Attamen tertii ordinis exiccantium eſſe quippiam queat, quod non urat, ceu omnia quae vehementer aſtringunt, ex qui=

ἐξ ὧν ἐστιν ὀμφάκιον καὶ ῥοῦς καὶ στυπτηρία καὶ βαλαύστιον καὶ κικὶς ἡ ὀμφακῖτις. ἐν αὐτοῖς δὲ τούτοις τὰ μὲν ἐγγύς ἐστι τῶν καιόντων, οἷον ἥ τε λεπὶς τοῦ χαλκοῦ καὶ ὁ κεκαυμένος χαλκὸς, ὡς ἐν τῷ ἀσαφεῖ που κεῖσθαι τῆς τρίτης τε καὶ τετάρτης τάξεως. τὰ δ᾽ ἐν τῷ μέσῳ, καθάπερ ὁ κεκαυμένος χαλκὸς, εἰ πλυθείη, τὰ δ᾽ ἐν ἀρχῇ καθάπερ ὑποκυστίς. οὕτω δὲ καὶ κατὰ τὴν δευτέραν τε καὶ τετάρτην τάξιν ἔνεστι διαφορὰς ποιεῖσθαι τριττάς. οὐ γὰρ ὡσαύτως δή που τὸ καυτήριον ξηραίνει τῷ νάπυϊ, καίτοι γε ἄμφω τῆς τετάρτης τάξεώς ἐστιν. ὑπὲρ ἁπάντων δὴ τούτων ἐν τοῖς ἑξῆς διορισθήσεται καθ᾽ ἕκαστον ἁπλοῦν φάρμακον ἰδίᾳ.

bus eft omphacion, rhus, alumen, balauftium, galla omphacitis. In his autem ipfis quaedam vicina jam funt adurentibus, ut fquama aeris et aes uftum, quafi inter tertium quartumque ordinem dubie haereant. In medio tertii eft aes uftum, fi lotum fit. In principio tertii hypocyftis. Sic autem et in fecundo et quarto differentias conftituere licet triplices; nec enim perinde exiccat cauterium et napy, licet ambo quarti fint ordinis. De his fane omnibus in fequentibus libris per fingula feorfum medicamenta determinabitur.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΑΣΕΩΣ ΚΑΙ ΔΥΝΑΜΕΩΣ ΤΩΝ ΑΠΛΩΝ ΦΑΡΜΑΚΩΝ ΒΙΒΛΙΟΝ Ζ.

Ed. Chart. XIII. [142.] Ed. Baf. II. (67.)

Προοίμιον. Περὶ τῆς τῶν ἁπλῶν φαρμάκων ἰδέας καὶ δυνάμεως ἐγχειρήσαντες γράφειν, ἐν μὲν τοῖς πρώτοις δύο βιβλίοις ἐπιδεῖξαι προειλόμεθα τοὺς μοχθηροὺς τρόπους τῶν ἐπιχειρημάτων, οἷς πλεῖστοι τῶν νεωτέρων ἰατρῶν χρώμενοι σφάλλονται μέγιστα. κατὰ δὲ τὸ τρίτον οἷον στοιχείωσίν τινα τῆς συμπάσης ἐποιησάμεθα διδασκαλίας, εἶτα ἑξῆς κατὰ τὸ τέταρτον ὑπὲρ τῆς τῶν χυμῶν φύσεως ἐξη-

GALENI DE SIMPLICIVM MEDICAMENTORVM TEMPERAMENTIS AC FACVLTATIBVS LIBER VI.

Prooemium. De fimplicium medicamentorum forma pariter et facultate fcribere quum fufcepiffemus, primis duobus libris ante omnia parvos modos ratiocinationum, quibus recentiorum medicorum plerique ufi graviffime hallucinantur, indicare eft vifum. In tertio velut elementa quaedam totius doctrinae tradidimus. Deinde vero in quarto de faporum natura disquifivimus, ftudio inveniendorum omnium,

τήσαμεν, ἐξεργεῖν σπουδάσαντες ἅπαν ὅσον οἷόν τ᾽ ἐστὶν ἐξ αὐτῶν εἰς τὴν τῶν δυνάμεων γνῶσιν ὠφεληθῆναι. διελέχθημεν δὲ ἐπὶ τῆς τελευτῆς τοῦ βιβλίου καὶ περὶ τῶν πρὸς τὴν ὄσφρησιν ἐν τοῖς ἁπλοῖς φαρμάκοις ποιοτήτων. ἐν δὲ τῷ πέμπτῳ μεταβάντες ἐπὶ τὸ λοιπὸν γένος τῶν δυνάμεων, ὃ παρονομάζεται ἀπὸ τῶν ἔργων αὐτῶν ἃ πεφύκασι δρᾷν, ἐπιδείξαμεν κἀνταῦθα ἑκάστου τὴν φύσιν καὶ οὐσίαν. οἱ μὲν δὴ καθόλου λόγοι πάντες ὑπὲρ τῆς τῶν ἁπλῶν δυνάμεως ἐοίκασιν ἤδη τέλος ἔχειν· ἐπὶ δὲ τοὺς κατὰ μέρος ἢ κατ᾽ εἶδος, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι, μετιέναι καιρός. εἶεν δ᾽ ἂν οὗτοι καθ᾽ ἕκαστον φάρμακον ἰδίᾳ περαινόμενοι, καθάπερ καὶ κατ᾽ ἀρχὰς εὐθὺς ἐποιήσαμεν, ἐν μὲν τῷ πρώτῳ τῶνδε τῶν ὑπομνημάτων ὑπὲρ ὕδατός τε καὶ ὄξους ἐπισκεψάμενοι, κατὰ δὲ τὸ δεύτερον ὑπὲρ ἐλαίου καὶ ῥοδίνου, πλὴν ἐν ἐκείνοις μὲν ἐπὶ παραδειγμάτων ὁ λόγος ἡμῖν ἐγίγνετο πρὸς τοὺς οὐκ ὀρθῶς ὑπὲρ τῆς δυνάμεως αὐτῶν ἀποφηναμένους· ἐνταῦθα δὲ διὰ βραχέων ὑπὲρ ἑκάστου δίειμι μηκέτι φροντίζων, εἴ τις μὴ καλῶς ἀπεφήνατο

quae ex illis ad facultatum conducere cognitionem possent; differuimus autem in extremo ipsius libri de qualitatibus medicamentorum quae ad odoratum attinent. Porro in quinto ad reliquum facultatum genus transgressi, quod quidem ab ipsis operibus quae peragere natae sunt, denominatur et illic quoque cujusque substantiam ostendimus. Et sane universalis sermo de simplicium medicamentorum facultate universus jam finem sortitus videtur. Tempus vero est ad sermones particulares, seu speciales, seu utcunque nominare cuique visum erit, transire. Et sane hi privatim in unoquoque medicamento peragentur, ceu protinus initio fecimus, in primo quidem horum commentariorum de aqua et aceto contemplati, in secundo vero de oleo et rosaceo, nisi quod illic velut in exemplis sermonem transegimus adversus eos, qui non recte de illorum facultate quid protulissent, hic autem breviter de unoquoque differam, non amplius curans siquis male de quovis eorum quippiam

περί τινος αὐτῶν, ἀλλ᾽ ὅπερ ἀληθέστατόν μοι φαί[143]νεται γράφων, ἄνευ τῆς πρὸς τοὺς διαμαρτάνοντας ἀντιλογίας. ὅτι δὲ οὐ μόνον ἀσαφὴς ὁ λόγος ἔσται τοῖς ἐπιλανθανομένοις τῶν ἔμπροσθεν, ἀλλὰ καὶ τὸ τῆς ἀποδείξεως πιστὸν οὐχ ἕξει, δῆλον μὲν οἶμαι κἂν ἐγὼ μὴ λέγω, κάλλιον δ᾽ ἐστὶν ἴσως ἀναμνῆσαι κἀμὲ, πρῶτον μὲν ὡς ἐπὶ τῆς εὐκρατοτάτης φύσεως τὴν πεῖραν χρὴ ποιεῖσθαι τῆς τῶν φαρμάκων δυνάμεως, εἶθ᾽ ἑξῆς ὡς ἐπὶ τῶν ἁπλῶν νοσημάτων. εἰ δὲ δὴ κἀκ τῶν πρὸς τὴν γεῦσιν ποιοτήτων ἐθέλοι τις ἐνδεικτικῶς τεκμαίρεσθαι περὶ τῆς δυνάμεως αὐτῆς, ἐδείξαμεν ἐν τῷ τετάρτῳ καὶ τὴν ἐν τούτοις μέθοδον. ἐὰν οὖν τις ἤτοι ῥαθύμως ἀναγνοὺς τὰ πρόσθεν ἢ καὶ μηδ᾽ ὅλως ἀναγνοὺς ἐπὶ τουτὶ τὸ βιβλίον εὐθέως ἀφίκηται, σπεύδων ὅτι τάχιστα ἐπιστήμων γενέσθαι τῆς τῶν φαρμάκων δυνάμεως, οὐχ ἕξει βεβαίαν τὴν γνῶσιν αὐτῶν. ἐπεὶ δὲ τὰ φάρμακα πάντα τὰ μέν ἐστι μόρια ζώων ἢ φυτῶν ἢ καρπῶν ἤ τινες ὀποὶ τούτων ἢ χυλοὶ, τὰ δὲ ἐκ τῶν μετάλλων λαμβάνεται,

pronunciarit, id tantum fcripturus quod mihi videbitur veriffimum, omiffa adverfus illos qui quid peccarunt concertatione. Porro quod non modo obfcura futura eft oratio iis qui fuperiora ignorant, verum demonftrationis diftituta quoque fide, vel me tacente clarum arbitror. Sed tamen et in memoriam reduxiffe forfan praeftiterit, primum quidem quod in natura temperatiffima faciendum eft medicamentorum facultatis periculum, deinde in intemperata, poftea deinceps in morbis fimplicibus. At fi quis ex qualitatibus quae guftu percipiuntur indicatorie conjectari velit de eorum facultate, in quarto monftravimus quaenam fit in his methodus. Si quis ergo aut negligenter lectis fuperioribus aut plane non lectis ftatim ad hunc librum pergat, feftinans quamprimum medicamentorum facultatis peritus effici, haud certam eorum habebit notitiam. Caeterum quoniam medicamenta omnia partim funt partes animalium, aut plantarum, aut fructuum, aut horum liquores, aut fucci, partim vero ex metallis fumuntur, melius mihi

κάλλιον ἔδοξέ μοι περὶ τῶν φυτῶν πρῶτον διελθεῖν, ὅτι τε πλεῖστον αὐτῶν ἐστι τὸ γένος ἰσχυρότα(68)τόν τε καὶ τὴν δύναμιν, εἶθ' ἑξῆς περὶ τῶν μεταλλευόντων εἰπεῖν, ἔπειθ' οὕτως ἐπὶ τὰ τῶν ζώων ἀφικέσθαι μόρια. καὶ μέντοι καὶ τὴν τάξιν αὐτῶν τῆς γραφῆς ἔγνων χρῆναι κατὰ στοιχεῖον ποιήσασθαι, πρῶτα μὲν ἐκεῖνα γράψας τῶν φυτῶν ὧν αἱ προσηγορίαι τὴν ἀρχὴν ἔχουσιν ἀπὸ τοῦ ἄλφα στοιχείου, δεύτερα δὲ ὅσα ἀπὸ τοῦ β, καὶ οὕτως ἤδη τρίτα τε καὶ τέταρτα καὶ πέμπτα καὶ τἄλλα ἐφεξῆς ἅπαντα κατὰ τὴν τῶν γραμμάτων τάξιν. οὕτω δὴ καὶ Πάμφιλος ἐποιήσατο τὴν περὶ τῶν βοτανῶν πραγματείαν. ἀλλ' ἐκεῖνος μὲν εἴς τε μύθους γραῶν τινας ἐξετράπετο καί τινας γοητείας Αἰγυπτίας ληρώδεις ἅμα τισὶν ἐπῳδαῖς, ἃς ἀναιρούμενοι τὰς βοτάνας ἐπιλέγουσι. καὶ δὴ κέχρηται πρὸς περίαπτα καὶ ἄλλας μαγγανείας οὐ περιέργους μόνον, οὐδ' ἔξω τῆς ἰατρικῆς τέχνης, ἀλλὰ καὶ ψευδεῖς ἁπάσας. ἡμεῖς δὲ οὔτε τούτων οὐδὲν οὔτε τὰς τούτων ἔτι ληρώδεις μεταμορφώσεις ἐροῦμεν. οὐδὲ γὰρ τοῖς μικροῖς παισὶ κομιδῇ χρησίμους

visum est de plantis ante omnia disserere, tum quod numerosissimum illarum est genus, tum quod virium robore praecellentissimum, inde de metallicis tractare, atque hinc ad animalium partes transire. Quin etiam eo illas ordine perscribere decrevi, qui in elementis visitur, eas plantarum primo loco collocans, quarum nomina initium habent ab elemento A, secundo vero loco quae a B incipiunt, et sic tertio, quarto quintoque loco, atque ita deinceps pro literarum videlicet ordine. Nam et Pamphilus eum in modum tractatum de herbis composuit. Verum is ad fabulas versus aniles est, simulque praestigias quasdam deliras Aegyptias, junctis nonnullis incantationibus, quas quum herbas colligunt admurmurant. Et sane utitur ad periapta et veneficia non solum curiosa et a medicina aliena, sed etiam falsa universa. At nos neque horum quicquam, neque nugaces istorum narrabimus transformationes, nec enim vel parvis

ὑπολαμβάνομεν εἶναι τοὺς τοιούτους μύθους, μήτι γε δὴ τοῖς μετιέναι σπεύδουσι τὰ τῆς ἰατρικῆς ἔργα. καί μοι δοκεῖ πρὸς Ἱπποκράτους εὐθέως ἐν ἀρχῇ τῶν ἀφορισμῶν εἰρῆσθαι ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρὰ χάριν τοῦ μὴ καταναλίσκειν τοὺς χρόνους εἰς ἄχρηστα, σπεύδειν δὲ ὡς οἷόν τε τὴν ἐπιτομωτάτην ἰέναι δι᾽ αὐτῶν τῶν χρησιμωτάτων τῆς τέχνης. καὶ μὲν δὴ καὶ τὰ πολλὰ τῶν βοτανῶν ὀνόματα ταῦτα Αἰγυπτιακὰ καὶ Βαβυλώνια, καὶ ὅσα τινὲς ἰδίως ἢ συμβολικῶς ἐπ᾽ αὐταῖς ἔθεντο, περιττὸν ἔδοξέ μοι προσγράφειν ἐνταῦθα. κάλλιον γὰρ, εἴ τις ἐθέλοι καὶ ταῦτα πολυπραγμονεῖν, ἰδίᾳ καὶ καθ᾽ ἑαυτὸν ἀναγινώσκειν τὰς τῶν ἀντιφραζόντων βίβλους. οὕτως γὰρ καὶ αὐτὰς ἐπιγράφουσιν οἱ συντιθέντες αὐτὰς, καθάπερ καὶ Ξενοκράτης ὁ Ἀφροδισιεὺς ἐποίησεν, ἄνθρωπος τἄλλα περίεργος ἱκανῶς καὶ γοητείας οὐκ ἀπηλλαγμένος. ὁ δέ γε Πάμφιλος ὁ τὰ περὶ τῶν βοτανῶν συνθεὶς εὔδηλός ἐστιν κἀξ αὐτῶν ὧν γράφει γραμματικὸς ὢν καὶ μήθ᾽ ἑωρακὼς τὰς βοτάνας ὑπὲρ ὧν διηγεῖται μήτε τῆς δυνάμεως αὐτῶν πεπειραμένος, ἀλλὰ τοῖς

admodum pueris utiles tales effe fabulas exiftimamus, nedum iis qui medicinae opera properant obire. Et profecto protinus in aphorismorum initio ab Hippocrate dictum mihi videtur, *vita brevis, ars vero longa*, ne tempus in inutilibus tereremus, verum quam maximo ftudio feftinaremus viam incedere compendiofiffimam, nempe per ea quae funt in arte utiliffima. Pleraque vero ifta herbarum nomina, aut Aegyptiaca, aut Babylonia, quaeque nonnulli aut privatim, aut notae gratia illis impofuerunt, hic adfcribere mihi vifum eft fupervacuum. Nam praeftat, fi quis haec volet curiofius perfequi, feorfum et per fe apud illos legere qui transtulere, nam ita et libros illos infcribunt, ut qui eos non compofuerint, velut Xenocrates Aphrodifienfis fecit, vir cum in aliis fupra modum curiofus tum a praeftigiis non alienus. At Pamphilus, is fcilicet qui libros de herbis compofuit, plane ex iis quae vel ipfe fcribit prae fe fert grammaticum, indicatque fe nec confpexiffe herbas, de quibus confcribit, nec vires earum expertum, fed iis qui

πρὸ αὐτοῦ γεγραφόσιν ἅπασιν ἄνευ βασάνου πεπιστευκώς. οὗτος μὲν ἐξέγραψε βιβλία, πλῆθος ὀνομάτων ἐφ' ἑκάστῃ βοτάνῃ μάτην προστιθεὶς, εἶθ' ἑξῆς εἴ τις αὐτῶν ἐξ ἀνθρώπου μεταμορφώθη διηγούμενος, εἶτα ἐπῳδὰς καὶ σπονδάς δή τινας καὶ θυμιάματα ταῖς ἐπὶ τούτων ἐκ τῆς γῆς ἀναιρέσεσι προσγράφων, ἑτέρας τε γοητείας τοιαύτας ληρώδεις. [144] ὁ δὲ Ἀναζαρβεὺς Διοσκουρίδης ἐν πέντε βιβλίοις τὴν χρήσιμον ἅπασιν ὕλην ἔγραψεν οὐ βοτανῶν μόνον, ἀλλὰ καὶ δένδρων καὶ καρπῶν καὶ χυλῶν καὶ ὀπῶν, ἔτι τε τῶν μεταλλευομένων ἁπάντων καὶ τῶν ἐν τοῖς ζώοις μορίων μνημονεύσας. καί μοι δοκεῖ τελεώτατα πάντων οὗτος τὴν περὶ τῆς ὕλης τῶν φαρμάκων πραγματείαν ποιήσασθαι. πολλὰ μὲν γὰρ καὶ τοῖς ἔμπροσθεν ὑπὲρ αὐτῶν γέγραπται καλῶς, ἀλλ' ὑπὲρ ἁπάντων οὕτως οὐδενὶ, πλὴν εἰ Τάνιτρόν τις ἐπαινοίη τοῦ Ἀσκληπιάδου. καὶ γὰρ καὶ τούτῳ τἄλλα τε καλῶς εἴρηται, χωρὶς τῶν κατὰ τὰς αἰτίας λογισμῶν. ταῦτά τε οὖν ἀναγινώσκειν χρὴ τὸν ἔμπειρον γενέσθαι ὕλης βουλόμενον, ἔτι τε πρὸς τούτοις τά θ' Ἡρακλείδου τοῦ Ταραντίνου καὶ

ante ipfum fcripfere, fidem habuiffe citra ullam explorationem. Sic fane libros explevit addito ad quamque herbam nominum acervo, deinde etiam exponens, fi qua ex homine ferebatur transformatio, tum incantationes et libationes atque thymiamata quae in colligendis illis adhibebantur afcribens, nec non et alias ejusmodi praeftigias nugaces. At Anazarbenfis Diofcorides quinque libris materiam omnem utilem abfolvit, non herbarum tantum, fed et arborum et fructuum et fuccorum et liquorum, memorans infuper et metallica omnia et partes animalium. Et mihi utique videtur omnium perfectiffime tractatum de materia medicamentorum confeciffe. Nam licet a majoribus eo plurima de illis bene fcripta extent, tamen a nemine omnium aeque de omnibus, nifi fiquis Tanitrum praedicet Afclepiadis, nam et huic caetera recte dicta effe probantur extra ratiocinationes, quas fuper caufis affert. Atque haec nimirum perlegere debet quisquis peritus medicamentorum materiae evadere ftudet, ad haec quoque quae fcripta reliquit Hera-

Κρατεύα καὶ Μαντίου. γέγραπται δὲ οὐχ ὁμοίως οὕτως ἐκείνοις, οὐδ᾽ εἰς ἓν ἤθροισται πάντα, καθάπερ τῷ Διοσκουρίδῃ, περὶ ὕλης γε ἐπιγράψαντι τὰς πέντε βίβλους, ἀλλ᾽ ἰδίᾳ μὲν, εἰ οὕτως ἔτυχε, περὶ σκευασίας τε καὶ δοκιμασίας φαρμάκων ἔγραψαν, ὥσπερ Ἡρακλείδης ὁ Ταραντῖνος, ἰδίως δὲ περὶ καθαρτικῆς ἢ προποτισμῶν ἢ κλυσμῶν, ὥσπερ ὁ Μαντίας ἐποίησεν. ἰδίᾳ δ᾽ εὐπορίστων βοηθημάτων, ὡς Ἀπολλώνιος, ἢ τῶν κατὰ τόπους, ὡς Μαντίας. ἡ δὲ πλείστη τῶν φαρμάκων χρῆσις ἐν αὐταῖς ταῖς θεραπευτικαῖς πραγματείαις ὑπό τε τῶν παλαιῶν γέγραπται καὶ προσέτι τῶν νεωτέρων ἁπάντων σχεδόν· καὶ γὰρ πρὸς Ἱπποκράτους εἴρηται πολλὰ καὶ πρὸς Εὐρυφῶντος καὶ Διεύχους καὶ Διοκλέους καὶ Πλειστονίκου καὶ Πραξαγόρου καὶ Ἡροφίλου, καὶ οὐκ ἔστιν οὐδεὶς ἀνὴρ παλαιὸς ὃς οὐ συνεβάλλετό τι τῇ τέχνῃ μεῖζον ἢ μεῖον εἰς ἐπιστήμην φαρμάκων, ἄνευ γοητείας τε καὶ ἀλαζονείας, ἣν ὕστερον Ἀνδρέας ἐπεδείξατο, ὥσθ᾽ ὅτῳ σχολὴ χρησίμοις ὁμιλεῖν βιβλίοις περὶ φαρμάκων γεγραμμένοις, ἔχει πολλὰ καὶ τῶν παλαιῶν μὲν,

clides Tarantinus et Crateuas et Mantias. Verum illi non fimiliter fcripferunt, nec in unum congefferunt omnia, ceu Diofcorides, qui de materia quinque libris fecit titulum, verum feorfum, verbi caufa de praeparatione, aut probatione medicamentorum fcripferunt, ut Heraclides Tarantinus, feorfum vero de purgantibus, aut propotismis, aut clysmis, ut fecit Mantias, feparatim de facile parabilibus remediis, uti Apollonius, aut de iis quae fecundum locos, ut Mantias. Porro plerumque medicamentorum ufum veteres in curandi tractatibus prodiderunt, ut et juniorum medicorum prope omnes. Nam et ab Hippocrate dicta funt multa et ab Euryphonte et Dieuche et Diocle et Pliftonico et Praxagora et Herophilo. Nec eft veterum medicorum quisquam qui non aliquid plus minusve arti contulerit ad medicamentorum fcientiam, idque citra praeftigias aut mendacium, quae poftea invexit Andreas. Itaque cui otium fuppetit legendis utiliter de medicamentis fcriptis libris,

ὡς εἴρηται, καὶ τῶν νεωτέρων δὲ, οὐκ ὀλίγα μέχρι καὶ τῶν περὶ Πάμφιλόν τε καὶ Ἀρχιγένην. καὶ μὲν δὴ καὶ Ῥούφῳ τῷ Ἐφεσίῳ πολλὰ μὲν κἀν τοῖς θεραπευτικοῖς βιβλίοις γέγραπται φάρμακα, καὶ περὶ βοτανῶν δὲ δι' ἑξαμέτρων ἐπῶν σύγκειται τέτταρα, καὶ οὐδεὶς φόβος ἐπιλείπειν χρήσιμα βιβλία, κἂν ἐν ἅπαντι τῷ βίῳ βούληταί τις ἄλλο μηδὲν ἢ περὶ φαρμάκων ἀναγινώσκειν. Ἀνδρέου δὲ καὶ τῶν ὁμοίως ἀλαζόνων ἀφίστασθαι χρὴ, καὶ πολὺ μᾶλλον ἔτι Παμφίλου τοῦ μηδ' ὄναρ ἑωρακότος ποτὲ τὰς βοτάνας, ὧν τὰς ἰδέας ἐπιχειρεῖ γράφειν. οἱ γὰρ τοιοῦτοι τῶν ἀνθρώπων, ὥσπερ οὖν καὶ ὁ Ταραντῖνος Ἡρακλείδης εἴκαζεν αὐτοὺς, ὁμοιότατοι τοῖς κήρυξίν εἰσιν, ὅσοι τὰ τῆς ἰδέας γνωρίσματα κηρύττουσιν ἀποδεδρακότος ἀνδραπόδου, αὐτοὶ μηδεπώποτε θεασάμενοι. λαμβάνουσι μὲν γὰρ τὰ γνωρίσματα παρὰ τῶν εἰδότων, λέγουσι δὲ ὡς ἐπῳδὴν αὐτὰ, ἃ μηδὲ εἰ παρεστὼς ὁ κηρυττόμενος τύχῃ, διαγνῶναι δυνάμενοι. ἐγὼ μὲν γὰρ ἐμεμφόμην τοῖς πρώτως γράψασι τὰς ἰδέας τῶν βοτανῶν, ἄμεινον ἡγούμενος αὐτόπτην γενέσθαι παρ' αὐτῷ τῷ διδά-

multos quidem habet, ut eſt dictum, antiquorum, ſed nec paucos juniorum, adusque Pamphilum et Archigenem. Quin et Rufus Epheſius, quum multa medicamenta in curandi libris conſcripſerit, tum de herbis verſibus hexametris quatuor libros compoſuit. Nec metus eſt defecturos libros utiles, etiamſi in tota vita quis aliud nihil quam de medicamentis legere volet. Verum abſtinendum ab Andrea eſt aliisque ſimiliter mendacibus, multoque etiam magis fugiendus Pamphilus, qui ne per ſomnium quidem herbas vidit, quarum aggreditur figuras perſcribere. Nam id genus hominum, quo modo aſſimilavit eos Heraclides Tarantinus, ſimillimum eſt praeconibus, qui formam ac notas fugitivi mancipii, licet ipſi non viderint unquam, praeconio tamen publicant; notas enim ab aliis qui norunt accipiunt et ceu cantilenam eas proferunt, ut ſi forte is, quem praeconio indicant, prope adſiſteret, agnoſcere tamen non poſſent. Equidem non poſſem non accuſare et illos quoque, qui primi herbarum formas ſcriptis docere ſunt conati,

σκοντι τὸν μανθάνοντα καὶ μὴ τοῖς ἐκ τοῦ βιβλίου κυβερνήταις ὁμοιωθῆναι. καὶ γὰρ ἀληθέστερον οὕτω καὶ σαφέστερον ἡ διδασκαλία περαίνοι ἂν ὑπὸ διδασκάλων οὐ βοτανῶν μόνων ἢ θάμνων ἢ δένδρων, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων φαρμάκων. εἰ δὲ ἄρα καὶ δέοιτο τοῦ βιβλίου, τίς οὕτως ἄθλιος ὡς παρελθεῖν τὰ Διοσκουρδίου καὶ Νίγρου καὶ Ἡρακλείδου καὶ Κρατεύα καὶ ἄλλων μυρίων ἐν τῇ τέχνῃ καταγηρασάντων, βιβλία γραμματικὰ γράφοντος ἐπῳδὰς καὶ μεταμορφώσεις καὶ δεκανῶν καὶ δαιμόνων ἱερὰς βοτάνας ἀνάσχοιτ᾽ ἄν; [145] ὅτι γὰρ γόητες ἄνθρωποι ἐκπλήττειν τὸν πολὺν ὄχλον ἔργον πεποιημένοι τὰ τοιαῦτα συνέθεσαν ἐξ αὐτῶν ἔνεστί σοι γνῶναι τοῦ Παμφίλου βιβλίων, ὃς πρῶτον μὲν ἐν ταῖς βοτάναις ἔγραψεν ἀβρότονον, ἅπασιν ἡμῖν γνώριμον τυγχάνουσαν, εἶθ᾽ ἑξῆς ἄγνον ἱκανῶς καὶ τοῦτο γνώριμον θάμνον, εἶτ᾽ ἄγρωστιν οὐδὲ τοῖς ἰδιώταις ἄγνωστον πόαν, εἶτ᾽ ἄγχουσαν ἣν οὐδὲ αὐτὴν ἀγνοεῖ τις, ὥσπερ οὖν οὐδὲ τὸ ἀδίαντον ἐφεξῆς αὐτῇ γεγραμμένον.

quum melius exiſtimem ab ipſo praeceptore oculis diſcere, ac non aſſimilari iis qui ex libris prodeunt gubernatores; nam ſic et verior et manifeſtior eſſet doctrina non herbarum modo et fruticum arborumque, ſed et aliorum omnium medicamentorum. Verum enimvero ſi omnino libris eſt opus, quis adeo miſer eſt ut praeteritis ſcriptis Dioſcoridis, Nigri, Heraclidis, Crateuae et aliorum innumerorum, qui in arte ipſa conſenuerunt, libros grammaticos ſcribentis incantationes, transformationes et decanorum daemoniorumque herbas ſacras perferat? Nam quod hominibus iſtis praeſtigiatoribus unicum fuerit ſtudium ut vulgus imperitum talia ſcribentes in ſui admirationem verterent, vel ex ipſis Pamphili libris diſcere liceat, qui primam inter herbas conſcripſit abrotonon omnibus nobis cognitam, ac deinde viticem et ipſam admodum notam, inde agroſtin herbam, nec vulgo ignotam, mox anchuſam, quam nec ipſam quispiam ignorat, ſicut nec adianton, quae illi deinceps ſcripta legitur, atque in his utique nihil, quod quidem ſciam, ſuper-

ἐν μὲν δὴ τούτοις οὐδὲν ὧν ἴσμεν περιττότερον γράφει· μετὰ δὲ ταῦτα βοτάνης μέμνηται καλουμένης, ὡς αὐτός φησιν, ἀετοῦ, περὶ ἧς ὁμολογεῖ μηδένα τῶν Ἑλλήνων εἰρηκέναι μηδὲν, ἀλλ᾽ ἔν τινι τῶν εἰς Ἑρμῆν τὸν Αἰγύπτιον ἀναφερομένων βιβλίων ἐγγεγράφθαι, περιέχοντι τὰς λϛ´ τῶν ὡροσκόπων ἱερὰς βοτάνας, αἳ εὔδηλον ὅτι πᾶσαι λῆρός εἰσι καὶ πλάσματα τοῦ συνθέντος, ὁμοιότατα τοῖς ὀφιονίκοις τοῖς Κόγχλας. οὔτε γὰρ ὅλως ἐγίνετό τις Κόγχλας, ἀλλ᾽ (59) εἰς γέλωτα σύγκειται τοὔνομα, καθάπερ καὶ τἄλλα πάντα τὰ κατὰ τὸ βιβλίον αὐτοῦ γεγραμμένα. καὶ αἱ λϛ´ αὗται βοτάναι μέχρι τῶν ὀνομάτων προέρχονται, μηδενὸς αὐταῖς ὑποκειμένου πράγματος. ἀλλὰ Πάμφιλος μὲν ὥσπερ ἄλλοι πολλοὶ σχολὴν ἴσως ἦγεν ἀχρήστους μύθους ἐγγράφειν βιβλίοις· ἡμεῖς δὲ καὶ νῦν ἡγούμεθα τὸν χρόνον ἀπολλύναι μνημονεύοντες αὐτῶν ἐπιπλέον. ἀρξώμεθα οὖν ἤδη τῶν χρησίμων.

Κεφ. α´. [*α´. Περὶ ἀβροτόνου τε καὶ ἀψινθίου καὶ τῶν ἑκατέρου εἰδῶν.*] *Ἀβροτόνου ταύτης τῆς πόας οὔτε*

vacuum fcribit. Verum poftea herbae meminit nomine, ut ait, aquilae, de qua fatetur, Graecorum nulli quicquam effe proditum, verum fcriptam fe reperiffe in libello quopiam ex iis qui infcribuntur Mercurio Aegyptio, continente triginta fex facras horofcoporum herbas. Quas clarum eft effe omnes nugas meras atque auctoris ipfius figmenta fimilia Ophionicis Conchlacis; nec enim prorfum quifpiam extitit Conchlax, ad rifum enim fictum nomen eft, ficut pleraque alia in libro ejus confcripta, nec triginta fex herbae illae ultra nomen ipfum quicquam funt, nec ulla ipfis res fubjacet. Verum Pamphilo, ficut et plerisque aliis, otium fortaffis fupererat inutiles fabulas libris intexere, at nos nunc quoque tempus nos perdidiffe arbitramur, qui prolixius eorum meminimus. Itaque quae utilia funt jam nunc ordiamur.

Cap. I. [1. *De abrotono et abfinthio et utriusque fpeciebus*]. Abrotoni herbae nec fpeciem formamve fcri-

τὴν ἰδίαν χρὴ γράφειν ἐπὶ τοσούτοις τε καὶ τοιούτοις ἀνδράσιν οὔτε τὰς κατὰ μέρος ἐνεργείας ὡς ἐκεῖνοι, κἂν εἰ μὴ διωρισμένως, ἀλλὰ σαφῶς γοῦν ἐδήλωσαν. εἰρήσεται δὲ καὶ ἡμῖν ἐπιπλέον ὑπὲρ αὐτῶν ἐν τῇ περὶ συνθέσεως φαρμάκων πραγματείᾳ καὶ τῇ τῶν εὐπορίστων, ἔστι δ' ὅτε κἀν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν, ὅταν ἡ χρεία καλῇ. μόνον δὲ, ὅπερ ἐξ ἀρχῆς πρόκειται, τὰς καθόλου δυνάμεις ἁπάντων τῶν φαρμάκων ἐπισκέψασθαι, τοῦτο κἀπὶ τῶν ἄλλων μὲν ἕπεται, καὶ νῦν δὲ ἤδη ποιητέον αὐτὸ καὶ λεκτέον ὡς θερμόν τέ ἐστι καὶ ξηρὸν τὴν δύναμιν τὸ ἀβρότονον, ἐν τρίτῃ που τάξει καὶ ἀποστάσει μετὰ τὰς συμμετρίας τεταγμένον, διαφορητικήν τέ τινα καὶ τμητικὴν ἔχον δύναμιν. τῆς αὐτῆς δ' ἐστὶ δυνάμεως καὶ ἡ τρίψις αὐτοῦ εἰληφυῖα, ὥσπερ τὸ σαρκωτικόν τε καὶ δακνῶδες. ὅτι δὲ καὶ ὡς πρὸς τὴν εὔκρατον φύσιν ἡ τοιαύτη τάξις ἐξετάζεται πρόσθεν εἴρηται πολλάκις. ἐξεύρομεν δ' αὐτοῦ τὴν κρᾶσιν οὐχ ἥκιστα μὲν καὶ τῇ γεύσει τεκμηράμενοι, πικρὸν γὰρ ἱκανῶς ἐστιν. ὁ δὲ τοιοῦτος χυμὸς ἐδείκνυτο γεώδης μὲν

bere poſt tot tantosque viros oportet, nec particulares actiones, ceu illi factitarunt; quas ſi non deſinite diſtincteque, ſaltem clare ſignificarunt, verum et nos quoque eas copioſius exponemus in opere de componendis pharmacis, ſimulque de paratu facilibus, interim vero etiam in curandi methodi libris, nimirum ubi expoſcet uſus. Verum quod unicum ab initio propoſitum fuit, nempe univerſales duntaxat medicamentorum omnium facultates inſpicere, id quidem et in aliis conſentaneum eſt et nunc ſane etiam faciendum dicendumque, abrotonon eſſe calidum et ſiccum facultate, in tertio ordine ſive receſſu a ſymmetria ſitum, diſcutientem quandam ac incidentem habens facultatem, cujus facultatis eſt pulvis hujus ſumptus, tum ſarcoticam tum mordentem. Porro quod ejusmodi ordo ut ad temperatam naturam expenditur ſaepe ante diximus. Sed et inveniemus temperamentum ejus non minime quidem et ex guſtu ducta conjectura, utpote quum ſit admodum amarum. Porro ſaporem ejusmodi, quum terrenae ſit eſſen-

ὢν τὴν οὐσίαν, ὑπὸ θερμότητος δαψιλοῦς λεπτύνεσθαι, ὥστε καὶ θερμαίνειν καὶ ξηραίνειν οὐκ ἀγεννῶς. οὐ μὴν ἀλλὰ καὶ τῇ διωρισμένῃ πείρᾳ, περὶ ἧς ἔμπροσθεν εἴρηται πολλάκις, ἀκριβῶς βασανίσαντες ἐκ τῆς αὐτῆς εὕρομεν τὸ φάρμακον τοῦτο κράσεως. εἴτε γὰρ κόψας τὴν κόμην ἅμα τοῖς ἄνθεσιν, ἄχρηστον γὰρ αὐτοῦ τὸ λοιπὸν κάρφος, ἐπιπάττοις ἕλκει καθαρῷ, δακνῶδές τε καὶ ἐρεθιστικὸν φαίνεται, εἴτε ἀποβρέξας ἐν ἐλαίῳ καταντλεῖν ἐθελήσαις ἤτοι κεφαλὴν ἢ γαστέρα, θερμαῖνον σφοδρῶς εὑρεθήσεται. καὶ μὲν δὴ καὶ ὅσοι κατὰ περιόδους ἁλίσκονται ῥίγεσιν, εἰ καὶ τούτους ἀνατρίβοις πρὸ τῆς εἰσβολῆς, ἧττον ῥιγῶσιν, ἀλλ' οὐδὲ τὴν αἴσθησιν εὐθὺς ἅμα τῷ προσφέρεσθαι λανθάνει θερμαῖνον. [146] ὅτι δὲ ἕλμινθας ἀναιρεῖν εἰκός ἐστι πικρὸν ὑπάρχον αὐτὸ καὶ πρὸ τῆς πείρας εὔδηλον, εἴ τι μεμνήμεθα τῶν ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων εἰρημένων ὑπὲρ τοῦ πικροῦ χυμοῦ τῆς φύσεως. εἰδήσεις δ' εὐθὺς ὡς καὶ διαφορητικήν τινα καὶ τμητικὴν ἔχει δύναμιν. ἀλλὰ καὶ ὡς μᾶλλον ἀψινθίου τοῦτο ὑπάρχειν ἀναγκαῖον αὐτῷ συλλο-

tiae, a largo calore extenuatum oſtendimus, ita ut non inſtrenue calefaciat pariter et deſiccet. Quinimo et cum diſtincta illa experientia, de qua ſupra frequenter dictum eſt, diligenter exploraſſemus, ex eadem temperie medicamentum hoc comperimus. Nam ſive comam cum floribus, nam reliqua ejus palea inutilis eſt, contuſam ulceri puro illinas, mordax et irritans videbitur, ſive eo in oleo macerato caput voles aut ventrem perfundere, admodum calefacere reperies. Quin et ſi qui per circuitum rigoribus corripiuntur, eos ante invaſionem hoc voles confricare, minus utique rigore concutientur, imo et ſenſus quidem protinus, ubi admotum fuerit, ipſum calefacere percipit. Porro quod lumbricos interimat par eſt, nimirum quum ſit amarum, ac proinde, vel antequam experiaris, manifeſtum, ſi quidem memoria teneas quae in horum commentariorum quarto de amari ſaporis natura prodidimus. Sciesque protinus quod et digerendi et incidendi quandam vim habeat. Sed et quod magis quam abſinthio id ipſi neceſſario inſit,

γίσασθαί σοι παρέσται πρῶτον μὲν ἐκ τῆς γεύσεως. ἐλαχίστης γάρ τινος μετέχει στρυφνότητος τὸ ἀβρότονον, ἀψίνθιον δὲ οὐκ ὀλίγης· ἔπειτα δὲ κἀκ τοῦ κακοστόμαχον εἶναι τὸ ἀβρότονον, ὥσπερ οὖν καὶ τὸ σέριφον, εὐστόμαχον δὲ τὸ ἀψίνθιον. ἐδείχθη γὰρ καὶ περὶ τούτων πρόσθεν ὡς τὸ μὲν πικρὸν αὐτὸ καθ' αὑτὸ παντελῶς εἴη κακοστόμαχον, τὸ δὲ αὐστηρὸν ἢ στρυφνὸν ἢ ὅλως στῦφον εὐστόμαχον. ἐπιμιγνυμένων δὲ τῶν ποιοτήτων ἀλλήλαις ἡ σφοδροτέρα ἂν ἐπικρατοίη. ταῦτ' οὖν ἀρκεῖ σοι γινώσκειν ἐν τῇδε τῇ πραγματείᾳ. δειχθήσεται γὰρ ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν ὡς ἄν τις τοιούτῳ φαρμάκῳ κάλλιστα χρῷτο. καὶ διὰ τοῦτο μηκέτι ἐπιζήτει ἀκούειν μήθ' ὅτι σὺν ἑφθῷ μήλῳ κυδωνίῳ καταπλασθὲν ἢ ἄρτῳ φλεγμονὰς ὀφθαλμῶν ἰᾶται, μήθ' ὅτι διαφορεῖ φύματα σὺν ὠμηλύσει λεῖον ἑψηθέν. οὐδὲ γὰρ τούτων οὐδέτερον οὔτε τῶν ἄλλων οὐδὲν τῆς νῦν πραγματείας ἴδιόν ἐστιν, ἀλλὰ τοῖς μὲν ἐμπειρικὴν διδασκαλίαν ποιουμένοις ἐν τοῖς εὐπορίστοις γρά-

in promptu erit colligere, primum quidem ex gustu, paucissimae siquidem acerbitatis particeps abrotonon est, non paucae vero absinthium, deinde ex eo quod inimicum quidem sit stomacho abrotonon, velut etiam seriphon, gratum vero et amicum absinthium. Siquidem de istis supra ostensum est quod amarum ipsum per se omnifariam insensum sit stomacho, austerum vero, aut acerbum, aut in summa astringens stomacho amicum. Porro ubi qualitates hae invicem permixtae fuerint, quae vehementior fuerit, ea utique vicerit. Atque haec satis est in hoc tractatu novisse. Monstrabitur autem in libris de ratione curandi, quo pacto quis optime medicamento ejusmodi uti possit. Ac proinde quaerendum haud etiam est quamobrem cum malo cydonio cocto illitum aut pane oculorum sanet phlegmonas, neque quid cum farina hordeacea tritum ac coctum digerat phymata, neutrum siquidem horum, nec aliorum quidvis huic proposito nobis tractatui proprium est, sed qui empiricam profitentur doctrinam, ii in paratu facilibus medicamentis

φεται φαρμάκοις, ὅσοι δὲ λογικῶς ἀσκῆσαι τὴν τέχνην βούλονται, τῆς θεραπευτικῆς ἐστι χρεία τούτοις μεθόδου. τά τε γὰρ ἄλλα καὶ βλαβείη τις ἂν μᾶλλον ἢ ὠφεληθείη πρὸς τῆς τοιαύτης ἱστορίας. Ἱπποκράτει μὲν οὖν ἐν ἀφορισμοῖς γράφοντι, ὀδύνας ὀφθαλμῶν ἀκρατοποσίη ἢ λουτρὸν ἢ πυρίη ἢ φλεβοτομίη ἢ φαρμακείη λύει· μὴ μέντοι προστιθέντι, ποίας μὲν οὖν ὀδύνας ἀκρατοποσία, ποίας δὲ λουτρὸν, καὶ τίνας μὲν πυρία, τίνας δὲ φλεβοτομία, τίνας δὲ φαρμακεία, συγχωρήσειεν ἄν τις, οἶμαι, διὰ τρεῖς αἰτίας. καὶ γὰρ ἀφοριστικὴν ἐποιεῖτο διδασκαλίαν, ἐν ᾗ διὰ τὸ σύντομον οὕτω λέγεσθαι συγκεχώρηκε τὰ πολλὰ, καὶ πάντα τὰ ἰατικὰ τῶν ὀδυνῶν ἔγραψεν, εἰ καὶ μὴ διωρίσατο πρὸς ὁποίαν ὀδύνην ποῖον αὐτῶν ἁρμόττει, ἢ καὶ πολλαχόθι τῶν ἄλλων συγγραμμάτων ἀφορμὰς ἡμῖν ἔδωκε τῶν ἐν τοῖς οὕτω ῥηθεῖσι διορισμῶν. ὅσοι δὲ μήτ' ἐν ἑτέροις βιβλίοις ἔγραψαν ὑπὲρ τῶν τοιούτων ἀφορισμῶν μήτε ἐν διεξοδικῇ τε καὶ μακρᾷ πραγματείᾳ, γράφουσιν ἀφοριστικῶς τε καὶ βραχέως, εἴτε τὸ πρὸς τούτοις ἓν ἐκ πολλῶν δηλοῦσιν, εἰς

ea confcribunt, at qui ex ratione artem tractare volunt, iis opus eft methodo curandi; nam alioqui damnum magis quam utilitatem ex tali confequantur narratione. Sane Hippocrati, qui in aphorismis fcripfit, *Dolores oculorum folvit meri potio, aut lavacrum, aut fotus, aut fanguinis miffio, aut purgatio*, nec adjecit quosnam dolores vini potio, quos lavacrum, quos fotus, quos fanguinis miffio et quos purgatio, ignofcendum forfan quis arbitretur tribus, ut arbitror, de caufis. Siquidem aphorifticam faciebat doctrinam, in qua propter brevitatem et compendium pleraque ita dici conceffum eft. Et omnia quae dolore folvunt enumeravit, tametfi non definiit ad quem dolorem quodnam ex illis congrueret. Tum multis in locis aliorum librorum occafiones nobis praeftitit, diftinctiones in iis quae hoc pacto dicuntur inveniendi. At qui neque in aliis libris de talibus fcripfere diftinctionibus, aut in enarratorio et prolixo tractatu aphorifice tamen ac breviter fcribunt, aut

πλείω δὲ βλάπτουσιν ἡμᾶς ἢ ὠφελοῦσι. πολλῶν γὰρ οὐσῶν διαφορῶν ἐν ταῖς ὀφθαλμίαις, καὶ μιᾶς μὲν ἐξ αὐτῶν χρηζούσης τοῦ προειρημένου καταπλάσματος, τῶν δ' ἄλλων βλαπτομένων, ὁ χρώμενος ἐπὶ πασῶν ἀδιορίστως πολὺ πλείους βλάψει ἢ ὠφελήσει. κατὰ τοῦτον οὖν τὸν τρόπον οὐ περὶ ἀβροτόνου μόνον, ἀλλὰ καὶ περὶ τῶν ἄλλων ἁπάντων γραπτέον ἡμῖν ἐστι, τὰς μὲν κατὰ τὸ θερμαίνειν καὶ ψύχειν ἢ ὑγραίνειν ἢ ξηραίνειν δυνάμεις ἐξ ὧν πολλάκις εἴρηκα μεθόδων εὑρίσκουσιν, ὅσα δὲ κατὰ τὴν ἰδιότητα τῆς ὅλης οὐσίας ἀποτελοῦνται τῇ πείρᾳ μόνῃ. δέδεικται καὶ περὶ τῶν τοιούτων ὡς δηλητήριοί τέ εἰσι καὶ δηλητηρίων ἀλεξητήριοι καὶ καθαρτικοί. τούτων γὰρ οὐχ οἷόν τε λογικὴν ποιήσασθαι τὴν εὕρεσιν, ἀλλ' ἢ μόνον ὑπόνοιάν τινα πιθανὴν ἔστιν εὑρεῖν ἐπί τινων· οὐ γὰρ δὴ ἐπὶ πάντων γε, καθάπερ καὶ αὐτὸ τοῦτο δεδήλωται διὰ τῶν ἔμπροσθεν. [147] ἀλλὰ περὶ μὲν τῶν οὕτως εὑρισκομένων δυνάμεων ἰδίᾳ ποιήσομαι τὸν λόγον ἐν τοῖς ἐφεξῆς, ἐπειδὰν πρότερον

infuper etiam ex multis unum tantum indicant, ii plus nos laedunt quam juvant. Nam quum fint multae in ophthalmiis differentiae, atque una duntaxat ex eis praedictum pofcat cataplasma, aliae vero omnes ab eo laedantur, fi quis id ad omnes fine difcrimine adhibeat, multo plus laedat quam juvabit. Ad hunc itaque modum non tantum de abrotono, fed de aliis quoque omnibus fcribendum nobis eft, eas quidem facultates quae funt in calefaciendo, frigefaciendo, humectando, ficcandoque iis quas faepenumero memoravimus methodis reperientibus, quae vero fecundum totius fubftantiae proprietatem perficiuntur, fola experientia. Et de his oftenfum eft quod deleteriae fint et deleteriarum alexeteriae et purgatoriae. Nam has ex ratione invenire eft impoffibile, praeterquam quod in quibusdam fufpicionem duntaxat probabilem invenire liceat, neque enim in omnibus, ficut hoc in fuperioribus monftratum fuit. At de facultatibus, quae hoc pacto inveniuntur, feparatim poftea differemus, ubi videlicet prius figillatim per quodque medi-

ὑπὲρ τῶν κατὰ τὸ θερμαίνειν καὶ ψύχειν, ὑγραίνειν τε καὶ ξηραίνειν, καὶ ὅσα ταύταις ἕπονται διῆλθον καθ' ἕκαστον εἶδος φαρμάκου. τοσόνδε μέντοι προσθεὶς ἔτι περὶ ἀβροτόνου καταπαύσω τὸν λόγον, ὡς ὁ θαυμασιώτατος Πάμφιλος, καίτοι ταύτην πρώτην πόαν γράφων καὶ τάχ' ἂν εἰ μηδενὸς τῶν ἐφεξῆς, ἀλλὰ ταύτης γοῦν ἐθελήσας αὐτόπτης γενέσθαι, ὅμως ἔσφαλται μέγιστα, νομίζων ὑπὸ Ῥωμαίων σαντόνικον ὀνομάζεσθαι τὴν βοτάνην. διαφέρει γὰρ ἀβροτόνου σαντόνικον, καθότι καὶ Διοσκουρίδης ἔγραψεν ἐν τῷ τρίτῳ περὶ ὕλης ἀκριβέστατα, καὶ πάντες ἴσασι τοῦτό γε ἰατροὶ καὶ ῥωποπῶλαι. τοῦ μὲν γὰρ ἀβροτόνου δύο ἐστὶν εἴδη, τὸ μὲν ἄῤῥεν, τὸ δὲ θῆλυ νομιζόμενον, ὡς καὶ τοῦτο διώρισται παρὰ τῷ Διοσκουρίδῃ τε καὶ τῷ Παμφίλῳ καὶ ἄλλοις μυρίοις. ἕτερον δέ ἐστιν αὐτοῦ τὸ ἀψίνθιον, οὗ πάλιν εἴδη χρὴ τίθεσθαι καὶ αὐτὰ τριττά, ὧν τὸ μὲν τῷ γένει ὁμωνύμως προσαγορεύονται ἀψίνθιον, ὁποῖον μάλιστά ἐστι τὸ Ποντικὸν, τὸ δὲ σέριφον, τὸ δὲ σαντόνικον. εἰ (70) δ'

camentum de iis, quae calefaciendo, frigefaciendo, humectando, ſiccandoque agunt, tum de iis, quae ad has conſequuntur, narrationem abſolvero. Porro ubi unum modo adjecero, ſinem faciam de abrotono dicendi, nempe quod ſumme ſuſpiciendus ille Pamphilus, etiamſi hanc primam herbarum recenſuit, ac forſan ut nullam deinceps aliam, tamen hanc ſaltem oculis ſuis conſpicari voluerit, attamen vel maxime hallucinatur, exiſtimans hanc herbam a Romanis appellari ſantonicum, differt enim ab abrotono ſantonicum, velut etiam Dioſcorides exactiſſime ſcripſit in tertio de materia, et omnes id norunt tum medici tum pharmacopolae. Nam abrotoni duae ſunt ſpecies, altera quam marem, altera quam foeminam nuncupant, quod ipſum definitum eſt tum apud Dioſcoridem tum apud ipſum Pamphilum alioſque innumeros. At aliud eſt ab eo abſinthium, cujus rurſum tres ſtatuendae ſunt ſpecies, quarum unam eodem cum genere ipſo nomine appellitant, cujusmodi potiſſimum eſt ponticum, alterum ſantonicum, tertium ſeri-

ἄλλο μὲν ἀψίνθιον, ἄλλο δὲ σέριφον, ἄλλο δὲ σαντόνικον λέγοι, οὐδὲν εἰς τὰ παρόντα διαφέρει. οὐδὲ γὰρ ὄνομα διαιρήσοντες ἥκομεν, ἀλλ' ὑπὲρ αὐτῶν τῶν πραγμάτων σπουδάζομεν. ἐπεὶ τοίνυν καὶ ταῦτα καὶ ταῖς ἰδέαις καὶ ταῖς γεύσεσι καὶ ταῖς δυνάμεσιν ἕτερα σαφῶς ἀλλήλων ἐστὶν, ὀνομαζέτω μὲν, εἰ βούλοιτό τις, ἅπαντα διὰ μιᾶς προσηγορίας, ἐκδιδασκέτω δὲ ἀκριβῶς τὰς δυνάμεις. ἡμεῖς οὖν τὰς μὲν ἰδέας αὐτάρκως ἔφαμεν εἰρῆσθαι Διοσκουρίδῃ τε καὶ ἄλλοις οὐκ ὀλίγοις, ὥστ' οὐ χρὴ γράφειν αὖθις ὅσα τοῖς πρόσθεν ὀρθῶς εἴρηται. εἴ τι δ' ἐν ταῖς τούτου δυνάμεσιν ἀδιόριστον ἐκεῖνοι παρέλιπον, οὗ δὴ χάριν ἐπὶ τήνδε τὴν ἔξοδον ἀφικόμην, ἐγὼ προσθεῖναι πειράσομαι. τὸ μὲν ἀψίνθιον ἧττόν ἐστιν τῶν εἰρημένων θερμὸν, ὡς ἂν πλείστης μετέχων τῆς στύψεως. εἰ δὲ καὶ τοῦτο λεπτομερὲς ἧττον ἐκείνων, καὶ λεπτυντικὸν δὴ κατὰ τὸν αὐτὸν τρόπον ἧττον ἐκείνων, οὐ μὴν ἧττόν γε ξηραντικόν. τῶν δ' ἄλλων τὸ μὲν σαντόνικον ἀπὸ Σαντονείας χώρας, ἐν ᾗ φύεται, τὴν προσηγορίαν

phum. Si vero aliud placet appellare abfinthium, aliud vero feriphum, aliud autem fantonicum, nihil intereft, quod ad praefens certe attinet, nec enim nomen divifuri venimus, fed ftudium nobis eft ipfis de rebus. Porro quoniam haec tum fpecie tum guftu tum facultatibus inter fefe diverfa funt, non obfcure uno, fi ita lubet, omnia nomine nuncupes, verum exacte vires eorum edoceas. Ac nos fane fufficienter ipfas formas a Diofcoride explicatas effe aliisque non paucis jam diximus, itaque denuo eadem fcribenda non funt, quae majoribus recte funt prodita. At fiquid illi in facultatibus omifere indiftinctum, cujus profecto gratia ad hanc narrationem venimus, ea nos adjicere tentabimus. Abfinthium quidem dictis minus eft calidum, nempe plurimam obtinens aftrictionem, quod quum fit et minus quoque tenuium quam illa partium et utique minori etiam quam illa ad eundem modum extenuandi facultate, attamen non minus deficcatorium eft. At caeterorum fantonicum quidem a Santonia regione, in qua nafcitur, nomen fortitum

ἔχον ἐγγυτάτω τὴν δύναμίν ἐστι τοῦ σερίφου, βραχεῖ τινι λειπόμενον ἐν τῷ λεπτύνειν τε καὶ θερμαίνειν καὶ ξηραίνειν. αὐτὸ δὲ τὸ σέριφον ἧττον μὲν θερμὸν τοῦ ἀβροτόνου, θερμότερον δὲ ἀψινθίου, κακοστόμαχον δὲ ἱκανῶς καὶ ὡς ἂν ἁλμυρίδα τινὰ σὺν πικρότητι ἀποφαῖνον, ἔτι τε τῆς στρυφνότητος ὀλίγον μετέχον. οὕτω δὲ καὶ ἀβρότονον καὶ σαντόνικον ἱκανῶς ἐστι κακοστόμαχον. μόνον γὰρ ἐν αὐτοῖς τὸ ἀψίνθιον καὶ μάλιστα τὸ Ποντικὸν εὐστόμαχόν ἐστιν ὅτι πλείστης μετέχει στύψεως. ἀβρότονον δὲ κεκαυμένον θερμὸν καὶ ξηρόν ἐστι τὴν δύναμιν, ἔτι μᾶλλον κολοκύνθης ξηρᾶς κεκαυμένης καὶ ἀνήθου ῥίζης. ἐκεῖνα γὰρ ἕλκεσιν ὑγροῖς τε ἅμα καὶ χωρὶς φλεγμονῆς τετυλωμένοις ἁρμόττει, καὶ διὰ τοῦτο μάλιστα τοῖς ἐπὶ πόσθαις αἰδοίου συμπεφωνηκέναι δοκεῖ. τοῦ δὲ ἀβροτόνου ἡ τέφρα δακνώδης ἅπασιν ἕλκεσιν ὑπάρχει. καὶ διὰ τοῦτο καὶ πρὸς ἀλωπεκίας ἁρμόττει σὺν ἐλαίῳ λεπτομερεῖ, κικίνῳ δηλονότι ἢ ῥαφανίνῳ ἢ Σικυωνίῳ ἢ παλαιῷ, καὶ μάλιστα τῷ Σαβίνῳ. καὶ γένεια δὲ βραδέως ἀνιόντα προκαλεῖται μετά τινος τῶν εἰρημένων ἐλαίων ὅτου

proximam habet facultatem feripho, paulo imbecillius in calefaciendo et extenuando deficcandoque. Porro ipfum feriphon abrotono minus eft calidum, verum calidius abfinthio, ftomacho impendio inimicum, nempe cum amarore falfedinem quandam prae fe ferens, fed et quandam licet minimam aftrictionem obtinet. Sic et abrotonon et fantonicum admodum infefta funt ftomacho. Solum autem inter ea abfinthium et maxime ponticum gratum eft ftomacho, quia plurimam aftrictionem continet. Abrotonum vero uftum calidum ficcumque facultate eft, magis etiam quam cucurbita ficca ufta et anethi radix. Illa enim ulceribus humidis fimul et citra phlegmonem callo induratis conveniunt, ac proinde maxime ulceribus, quae in pudendorum praeputiis fiunt, competere videntur. At cinis abrotoni ulceribus omnibus mordax eft, ac idcirco cum oleo tenui, cicino fcilicet aut raphanino, aut Sicyonio, aut veteri, et maxime Sabino, ad alopecias accommodatur. Tum barbam fegnius tardiusque enafcentem cum aliquo dictorum oleorum

Ed. Chart. XIII. [147. 148.] Ed. Baf. II. (70.)

δή, καὶ οὐδὲν δ' ἧττον ἐκείνων σχινίνῳ δευόμενον. [148] ἀραιωτικὸν γάρ ἐστι πρὸς τῷ λεπτομερὲς εἶναι καὶ δακνῶδες καὶ θερμὸν, ἃς δὴ καὶ μάλιστα χρὴ γινώσκειν τὰς δυνάμεις αὐτοῦ καὶ μηδὲν ἔτι τῶν κατὰ μέρος ἐν τῇδε τῇ πραγματείᾳ δεῖσθαι.

[β'. Περὶ ἄγνου ἢ λύγου.] Ἄγνος δὲ ἢ λύγος, τὸ θαμνῶδες φυτὸν, θερμὸς μέν ἐστι καὶ ξηραντικὸς κατὰ τὴν τρίτην που ἀπόστασιν, λεπτομερὴς δὲ ἱκανῶς καὶ γευόμενος δριμύς τε ἅμα καὶ στύφων ἄγνος, ἢ λύγος. αὐτὰς μὲν δὴ τὰς λύγους ἀχρήστους ἔχει πρὸς ἰατρείαν, τὰ δὲ φύλλα καὶ τὸ σπέρμα ξηρὰ καὶ θερμὰ τὴν δύναμίν ἐστι καὶ κατὰ τὴν οὐσίαν λεπτομερῆ. καὶ γὰρ χρωμένων οὕτω φαίνεται καὶ γευομένων δριμύ τε ἅμα καὶ ὑποστῦφόν ἐστι καὶ τὸ φύλλον καὶ τὸ ἄνθος καὶ ὁ καρπός. ἔστι δὲ καὶ ἐδώδιμος ὁ καρπὸς καὶ θερμαίνει σαφῶς μετὰ τοῦ κεφαλαλγὴς ὑπάρχειν. εἰ δὲ φρυχθείη, καὶ γὰρ καὶ οὕτως ἐσθίεται μετὰ τραγημάτων, ἧττον ἅπτεται τῆς κεφαλῆς. ἄφυσος δὲ κατὰ γαστέρα καὶ ὁ ἄφρυκτος μὲν, ἐπὶ μᾶλλον δὲ πεφρυγμένος. ἐπέχει δὲ

elicit, fed nec minus illis lentifcino maceratum. Quippe pro eo quod tenuium eft partium, rarefaciendi vim obtinet et mordax eft et calidum, quas utique maxime ejus facultates noviffe oportet, nec quicquam etiam particulare in hoc tractatu requirere.

[2. *De agno cafto, feu vitice.*] Agnus caftus vel vitex, planta fruticofa, calidus quidem eft et ficcus tertio ordine, verum multum tenuis fubftantiae, tum guftu acris fimul et aftringens, ipfas quidem vitices ad medicinam habet inutiles, caeterum folia femenque calida ficcaque facultate funt, fubftantia vero tenui. Nam et utentibus ita apparet et guftantibus acre fimul et fubaftringens percipitur tum folium tum flos tum fructus. Edendo tamen etiam fructus eft, verumtamen perfpicuo calefacit et fimul capiti dolorem parit. At fi frigatur, nam et fic editur cum tragematis, minus caput tentat. Porro flatus ventris difcutit et quum non frictus, et multo magis quum frictus fuerit.

καὶ τὰς πρὸς ἀφροδίσια ὁρμὰς ὅ τε πεφρυγμένος καὶ ὁ ἄφρυκτος καρπὸς, καὶ τὰ φύλλα καὶ τὰ ἄνθη τοῦ θάμνου ταὐτὸ τοῦτο δύναται δρᾷν, ὥστε οὐ μόνον ἐσθιόμενα καὶ πινόμενα πρὸς ἁγνείαν πεπίστευται συντελεῖν, ἀλλὰ καὶ ὑποστρωννύμενα. ταῦτ' ἄρα καὶ τοῖς Θεσμοφορίοις αἱ γυναῖκες Ἀθήνησιν ὑποστρωννύουσιν ἑαυταῖς ὅλον τὸν θάμνον, ἐντεῦθεν δὲ καὶ τοὔνομα αὐτῷ. ἐξ ὧν ἁπάντων δῆλον, εἴ γε τῶν ἐν τοῖς ἔμπροσθεν ὑπομνήμασιν εἰρημένων μεμνήμεθα, θερμαίνειν τε ἅμα καὶ ξηραίνειν καὶ ἀφυσότατον ὑπάρχειν ἄγνον. ὅτι δὲ λεπτομερὴς ἀκριβῶς ἐστιν ἡ δύναμις αὐτοῦ τεκμήριον. καὶ γὰρ τὸ πρὸς κεφαλὴν ἅπτειν οὐ διὰ πλῆθος ἀτμώδους πνεύματος ὑπ' αὐτοῦ γεννωμένου μᾶλλον ἤπερ διὰ θερμότητα καὶ λεπτομέρειαν εὔλογον γίνεται. εἴπερ γὰρ ἦν φυσώδους πνεύματος γεννητικὸν, ἐνεφύσησέ τε ἂν τὴν γαστέρα καὶ τὰς πρὸς ἀφροδίσια παρώξυνεν ὁρμὰς ὥσπερ εὔζωμον. ἐπεὶ δὲ οὐ μόνον οὐ παροξύνει, ἀλλὰ καὶ καταστέλλειν πέφυκεν, εἴη ἂν κατὰ τὴν πηγάνου μάλιστα δύναμιν ἐν τῷ θερμαίνειν καὶ ξηραίνειν, οὐ μὴν ἴσον γ' ἐστὶν

Cohibet porro impetus in venerem, tum frictionis expers, tum etiam ipſam expertus. Folia item floresque ipſius fruticis id ipſum praeſtare poſſunt, itaque non tantum eſa potaque ad caſtitatem conferre creduntur, verum etiam ſubſtrata. Hinc eſt quod Athenis in Theſmophoriis, id eſt *ſacris Cereris*, mulieres totum ſibi fruticem ſubſternunt. Hinc illi quoque nomen inditum agni caſti. Ex quibus omnibus manifeſtum eſt, ſiquidem memoria teneamus quae ſuperioribus commentariis ſunt dicta, agnum calefacere, ſimulque exiccare, tum omnium maxime flatus diſcutere. Porro quod tenuium ſit partium, facultas ejus indicio eſt. Nam quod caput tentat, non magis a multitudine vaporum ab eo progenitorum quam a caliditate ejus ac tenuitate partium fieri rationabile eſt. Nam ſi flatuoſum ſpiritum procreare poſſet, ſane et ventrem inflaret et venerem ſtimularet, perinde ut eruca; verum quum non tantum non excitare, imo etiam reprimere queat, fuerit profecto ſecun-

αὐτῷ. βραχὺ γὰρ ἀπολείπεται κατ᾽ ἄμφω· καὶ γὰρ θερμαντικώτερον αὐτοῦ καὶ ξηραντικώτερόν ἐστι τὸ πήγανον. διενήνοχε δὲ καὶ τῷ τῆς ποιότητος καὶ δυνάμεως ἐπιμίκτῳ. τὸ γὰρ τοῦ ἄγνου σπέρμα καὶ οἱ βλαστοὶ στύψιν τινὰ μετρίαν ἐπεισφέρουσι. τὸ δὲ πήγανον ὅταν μὲν ξηρὸν ᾖ, πικρὸν ἀκριβῶς ἐστι καὶ δριμὺ, ὅταν δὲ ὑγρὸν, ὑπόπικρον. οὐ μὴν αὐστηρόν γε ἢ στρυφνόν τι πρόσεστιν αὐτῷ, ἢ εἰ καὶ προσεῖναί τῳ δόξειεν, ἀμυδρὸν παντάπασιν οἶδ᾽ ὅτι δόξει, καὶ οὐδαμῶς ἴσον τῷ τοῦ ἄγνου. ταῦτ᾽ ἄρα καὶ πρὸς ἧπαρ καὶ σπλῆνα σκληρούμενά τε καὶ ἐμφραττόμενα τὸ τοῦ ἄγνου σπέρμα μᾶλλον ἢ πήγανον ἁρμόττει. τῆς θεραπευτικῆς δέ ἐστιν ἤδη ταῦτα μεθόδου, ἧς τὸ μὲν μηδ᾽ ὅλως προσάπτεσθαι φαρμάκων δυνάμεως ἀποφαινόμενον ἀδύνατόν ἐστι, τὸ δὲ ταχέως ἀπολείποντα πάλιν ἐπανέρχεσθαι πρὸς τὸ προκείμενον ἀνδρὸς ἔργον ἂν εἴη σώφρονος. ἔτι δὲ μᾶλλον ἐπὶ τῶν ἑξῆς φαρμάκων αὐτὸ δὴ τοῦτο πρᾶξαι πειράσομαι, λέγω δὴ τὸ τὴν καθόλου δύναμιν ἔκ τινων ὀλίγων ἐναργῶν ἐπιλογισάμενος ἀποχωρεῖν τῶν κατὰ μέρος

dum rutae maxime facultatem tum in calefaciendo tum in reficcando. Non tamen illi par eft, nam utroque paulo eft inferior, fiquidem ruta tum magis eft calefactoria tum magis deficcatoria. Differt etiam qualitatis fimul ac facultatis mixtione. Nam agni femen ac germina modicam ferunt aftrictionem, at ruta ubi aruerit, exacte amara eft et acris, ubi vero humida, fubamara. Non tamen aufteritas, aut acerbitas illi ineft, aut fi cui videatur ineffe, ea utique omnino obfcura, fcio, videbitur, nec par ei quae eft in agno. Quocirca et ad jecur et lienem indurata et obftructa agni femen potius quam ruta competit. Sed haec ad curandi jam methodum pertinent, quam quidem ut omnino non attingam de medicamentorum pronuncians facultatibus fieri non poteft, verum celeriter his omiffis ad rem propofitam reverti viri eft utique temperati. Magisque etiam id in fequentibus medicamentis efficere conabor, hoc eft ubi ex quibusdam paucis evidentibus univerfalem facultatem

ἐνεργειῶν. ἀρκεῖ γὰρ τοῦτο μόνον εἰς τὰ παρόντα γινώσκειν, ὡς θερμὸς μὲν καὶ ξηρὸς ἄγνος τὴν δύναμίν ἐστιν οὐ μετρίως, ἀλλὰ κατὰ τὴν τρίτην που τῶν ἀποστάσεων, λεπτομερὴς δὲ ἱκανῶς. [149] ὁ γὰρ ταῦτα εἰδὼς, εἶτα προσμαθὼν τὴν θεραπευτικὴν μέθοδον, αὐτὸς ἐξευρήσει πῶς μὲν καταμήνια κινήσει δι' αὐτοῦ, πῶς δὲ τὰ σκληρυνόμενα μόρια διαφορήσει, πῶς δὲ ἄκοπον ἢ θερμαντικὸν ἄλειμμα δι' αὐτοῦ κατασκευάσει.

(71) [γ'. Περὶ ἀγρώστεως.] Τῆς δὲ ἀγρώστεως ἡ μὲν ῥίζα συμμέτρως ἐστὶ ψυχρὰ καὶ ξηρὰ, ἔχουσά τι ὀλίγον δακνῶδες καὶ λεπτομερές. ἡ δὲ πόα ψύχει μὲν κατὰ τὴν πρώτην ἀπόστασιν, σύμμετος δ' ἐστὶ κατὰ ὑγρότητα καὶ ξηρότητα. τὸ δὲ σπέρμα τῆς μὲν ἄλλης ἀσθενὲς ὑπάρχει, τῆς δ' ἐν τῷ Παρνασσῷ ξηραντικόν τε καὶ λεπτομερὲς καὶ ὑπόστρυφνον. ἄγρωστις ἐδώδιμον ἔχει τὴν ῥίζαν, ἔστ' ἂν ᾖ μαλακὴ, γλυκεῖα μὲν ὑδατώδης, δριμὺ δέ τι καὶ ὑπόστρυφνον ὀλίγον ἔχουσα. αὕτη δὲ ἡ πόα τελέως ἐστὶν ὑδατώδης γευομένοις. ἐξ ὧν δῆλον ὡς μετρίως μέν ἐστιν ἡ ῥίζα

collegero, particulares postea actiones omittam. Nam in praesens id novisse sufficit, quod agnus calidus est et siccus facultate, idque non mediocriter, sed tertio excessu, tum admodum tenuium partium. Haec qui norit ac postea methodum curandi didicerit, ipsemet inveniet quo pacto menses hinc cieat, quo pacto partes induratas digerat, quo pacto lassitudinem solvens, acopum et calefactorium ex eo unguentum praeparetur.

[3. *De agrosti seu gramine.*] Graminis radix modice frigida est et sicca, mordacitatem quandam exiguam et partium tenuitatem obtinens. At herba ipsa primo quidem excessu refrigerat, in humiditate vero et siccitate moderata. Porro semen alibi quidem imbecillum est, in Parnasso vero desiccatorium et tenuium partium et subacerbum. Gramen esculentam habet radicem, ubi mollis fuerit, dulcis quidem aquosa, sed acre quiddam exiguum et subacerbum obtinens. Haec herba plane aquea gustantibus est. Ex quibus aper-

ψυχρὰ καὶ ξηρὰ καὶ διὰ τοῦτο κολλητικὸν τῶν ἐναίμων ἑλκῶν. αὐτὴ δὲ ἡ πόα καταπλασσομένη ψύχει μὲν οὐκ ἰσχυρῶς, ὑγρότητος δὲ καὶ ξηρότητος ἐν τῷ μέσῳ καθέστηκε. τὸ δὲ ἐν τῇ ῥίζῃ δακνῶδες καὶ λεπτομερές ἐστι μὲν ὀλίγον, εἴωθε δ' οὖν ἔστιν ὅτε καὶ λίθους θρύπτειν, εἴ τις αὐτὴν ἀφεψήσας πίνοι. τὸ δὲ σπέρμα τῆς μὲν ἄλλης ἀσθενές ἐστιν, τῆς δ' ἐν τῷ Παρνασσῷ διουρητικόν τέ ἐστι καὶ ῥεύματα ξηραίνει γαστρὸς καὶ στομάχου. δύναμις γάρ ἐστιν αὐτοῦ ξηραντική τε καὶ λεπτομερὴς καὶ ὑπόστρυφνος.

[δ'. *Περὶ ἀγχούσης καὶ τεττάρων ἀγχουσῶν.*] Τῆς δὲ ἀγχούσης τέταρτόν ἐστιν εἶδος, ὧν ἡ μὲν ὀνόκλεια ψύχουσαν ἱκανῶς καὶ ξηραίνουσαν ἔχει τὴν ῥίζαν, στύφουσάν τε ἅμα καὶ ὑπόπικρον, ἱκανὴν δὲ καὶ λεπτῦναι καὶ ἀποῤῥύψαι τοὺς χολώδεις χυμοὺς καὶ πυκνῶσαι τὰ σώματα. τὰ δὲ φύλλα ἀσθενέστερα μὲν ἔχει τῆς ῥίζης, στύφει δὲ αὐτὰ καὶ ξηραίνει. καὶ ἡ λύκοψις δὲ προσαγορευομένη ψύχει μὲν καὶ ξηραίνει, ῥίζαν δ' ἔχει στυπτικωτέραν τῆς ὀνοκλείας. ἡ δὲ ὀνόχειλος θερμοτέρα τέ ἐστι καὶ φαρμακωδεστέρα. πλέον

tum eſt radicem modice eſſe tum frigidam tum ſiccam, ac proinde cruenta ulcera glutinare. At ipſa herba illita non vehementer refrigerat, in medio conſtituta humiditatis et ſiccitatis. Porro mordacitas et tenuitas, quae radici ineſt, exigua eſt quidem, ſed interdum tamen lapidem frangere aſſolet, ſiquis eam decoctam ebibat. At ſemen alterius quidem imbecillum eſt, ejus vero, quae in Parnaſſo naſcitur, urinam ciet et fluxus ventris et ſtomachi reſiccat, vis enim ejus eſt exiccatoria, tenuium partium et ſubacerba.

[4. *De anchuſa et anchuſis quatuor.*] Anchuſae quadruplex ſpecies eſt. Quarum onoclea quidem radicem habet admodum refrigerantem et deſiccantem, tum aſtringentem et ſubamaram, tum quae ſufficiat extenuandis et extergendis humoribus bilioſis, corporibusque condenſandis. Caeterum folia habet imbecilliora quidem radice, aſtringunt tamen et ipſa et deſiccant. Porro lycopſos cognominata refrigerat et deſiccat, magisque ejus radix quam onoclea aſtringit. At onocheilos calidior eſt et magis medicata,

γὰρ ἔχει καὶ πρὸς τὴν γεῦσιν εὐθὺς τὸ δριμύ. ταύτης δ' ἔτι θερμοτέρα, ἡ μικρὰ καὶ πικροτέρα καὶ πλέον ἔτι φαρμακωδεστέρα τυγχάνει. ἄγχουσαι δὲ οὐ τῆς αὐτῆς ἅπασαι δυνάμεως. ἡ μὲν γὰρ ὀνόκλεια προσαγορευομένη στύφουσάν τε ἅμα καὶ ὑπόπικρον ἔχει τὴν ῥίζαν, ἱκανὴν καὶ πυκνῶσαι τὰ σώματα καὶ μετρίως λεπτῦναι καὶ ἀποῤῥύψαι καὶ ἀποπλῦναι τοὺς χολώδεις καὶ ἁλμυρώδεις χυμούς. ἐῤῥέθη γὰρ ἐν τοῖς ἔμπροσθεν ὡς ἡ στρυφνὴ ποιότης ἐπιμεμιγμένη τῇ πικρᾷ ταῦτα ἐργάζεσθαι πέφυκεν. οὕτω τέ τοι καὶ ἰκτερικοῖς καὶ σπληνικοῖς καὶ νεφριτικοῖς ὠφέλιμος ὑπάρχει. ἔστι δὲ καὶ ψύχειν μὲν ἱκανὴ καὶ καταπλασσομένη γε σὺν ἀλφίτοις ἐρυσιπέλατα ὠφελεῖ, καὶ ἀποῤῥύπτει δὲ οὐ πινομένη μόνον, ἀλλὰ καὶ ἔξωθεν ἐπιτιθεμένη, καὶ διὰ τοῦτο ἀλφοὺς καὶ λέπρας ἰᾶται σὺν ὄξει. τὰ μὲν τῆς ῥίζης ἔργα ταῦτα καὶ αἱ τῶν ἔργων δυνάμεις αἱ εἰρημέναι. τὰ δὲ φύλλα τῆς βοτάνης ἐστὶν μὲν ἀσθενέστερα τῆς ῥίζης, οὐκ ἀπήλλακται δὲ τοῦ ξηραίνειν τε καὶ στύφειν, ὥστε καὶ διάῤῥοιαν ἰᾶται σὺν οἴνῳ πινόμενα. καὶ ἡ λύκοψις δὲ προσαγορευο-

nam pluſculum habet et guſtu ipſo protinus acrimoniae. Hac vero etiam calidior eſt reliqua et parva, quae et amarior et magis etiam medicata eſt. Anchuſae non omnes easdem vires obtinent. Nam onoclea quam vocant radicem habet ſimul aſtringentem et ſubamaram, corporibus condenſandis et modice extenuandis idoneam, tum abſtergendis quoque et abluendis bilioſis et ſalſis ſuccis. Dictum enim ſupra eſt quod qualitas acerba mixta amaritudini ea praeſtare queat. Sic ſane aurigini et lienoſis et renum affectibus eſt utilis. Sed et refrigerare idonea eſt, et ſane cum polenta illita juvat eryſipelata. Et abſtergit non modo epota, ſed et foris impoſita, proinde vitiligines et lepras ſanat cum aceto. Ac radicis quidem haec opera ſunt et operum facultates quas diximus. At folia ipſius herbae radice quidem ſunt imbecilliora, non tamen aliena ſunt a reſiccatione et aſtrictione. Itaque etiam diarrhoeam ſanant pota cum vino. Et quae lycopſos nominatur, eodem modo

μένη τοῖς ἐρυσιπέλασιν ὁμοίως ἁρμόζει καὶ ῥίζαν ἔχει στυπτικωτέραν τῆς ὀνοκλείας. τῆς δὲ ὀνοχείλους τε καὶ Ἀλκιβιαδείου καλουμένης ἡ μὲν δύναμίς ἐστι φαρμακωδεστέρα. πλέον γοῦν ἔχει καὶ πρὸς τὴν γεῦσιν [150] εὐθὺς τὸ δριμὺ καὶ ἐχιοδήκτοις ἱκανῶς ἁρμόττει καταπλαττομένη καὶ περιαπτομένη καὶ ἐσθιομένη. ἡ λοιπὴ δὲ τετάρτη καὶ μικρὰ καὶ σχεδὸν ἀνώνυμος ἐξ αὐτῶν μόνη, παραπλησία μέν ἐστι τῇ Ἀλκιβιαδείῳ, πικροτέρα δὲ καὶ πλέον ἐστὶ φαρμακωδεστέρα, καὶ διὰ τοῦτο πρὸς τὰς πλατείας ἕλμινθας ἐπιτηδεία, πλῆθος ὀξυβάφου σὺν ὑσσώπῳ τε καὶ καρδάμῳ πινομένη.

[ε'. Περὶ ῥίζης ἀγαρικοῦ.] Ἀγαρικοῦ ῥίζα τοῦτ' ἔστιν ἐπιφυομένη πρέμνῳ, κατὰ μὲν τὴν πρώτην γεῦσιν γλυκεῖά τις, ὑπόπικρος δὲ ὀλίγον ὕστερον φαινομένη καί τινος ἐν τῷ χρόνῳ δριμύτητος ἔμφασιν ἐπάγουσα, καὶ βραχείας στύψεως. ἔστι δὲ καὶ χαύνη τὴν σύστασιν. ἐξ ὧν ἁπάντων εὔδηλον, εἴπερ τῶν ἐν τοῖς ἔμπροσθεν ὑπομνήμασιν εἰρημένων μνημονεύομεν, ὡς σύνθετόν ἐστι τὸ φάρμακον ἐξ οὐσίας ἀερώδους τε καὶ γεώδους, ὑπὸ θερμότητος λελεπτυσμένης, ἠκι-

erysipelatis congruit, et radicem habet quam onoclea magis astringentem. At Onocheili et Alcibiadiae cognominatae vis magis est medicata. Nam et gustu protinus majorem habet acrimoniam, et eos qui a viperis morsi sunt, admodum juvat tum illita, tum suspensa, tum esa. Reliqua vero, nempe quarta, quae parva est et fere nomine caret ex illis sola, Alcibiadiae quidem persimilis est, verum et amarior et magis medicamentosa, ac proinde ad latos lumbricos idonea, oxybaphi mensura cum hyssopo et nasturtio epota.

[5. *De agarici radice.*] Agarici radix, hoc est quae trunco innascitur, primo quidem gustu dulcis quodammodo, sed paulo post subamara apparet et acrimoniae quandam speciem temporis spatio inducit, leviculaeque astrictionis. Est et consistentia laxa. Ex quibus omnibus manifestum est, siquidem quae in superioribus commentariis dicta sunt, meminerimus, quod medicamentum hoc compositum est ex substantia aërea et terrea a caliditate extenuata, porro mi-

στα δὲ τῆς ὑδατώδους μετέχει. ταῦτ᾽ ἄρα διαφορητικήν τε καὶ θερμαντικὴν τὴν δύναμιν ἔχει, καὶ πάχους τμητικὴν καὶ διακαθαίρει τὰς ἐν τοῖς σπλάγχνοις ἐμφράξεις, καὶ διὰ τοῦτο ἰκτεριῶντας ἰᾶται, τοὺς ἐπ᾽ ἐμφράξει τῶν καθ᾽ ἧπαρ οὕτω κάμνοντας. ὀνίνησι δὲ καὶ τοὺς ἐπιληπτους διὰ τὴν αὐτὴν δύναμιν καὶ ῥίγη τὰ κατὰ περίοδον, ὅσα παχέων ἢ γλίσχρων ἐστὶ χυλῶν ἔγγονα, καὶ ταῦτα ἰᾶται. ὠφελεῖ δὲ καὶ τοὺς ὑπὸ κατὰ ψύξιν ἀδικούντων θηρίων δηχθέντας, ἢ νυγέντας, ἔξωθέν τε κατὰ τοῦ πεπονθότος ἐπιτιθέμενον, εἴσω τε τοῦ σώματος λαμβάνον ὁλκῇ δραχμῆς μιᾶς μετ᾽ οἴνου κεκραμένου. ἔστι δὲ καὶ καθαρτικόν.

[στ΄. Περὶ ἀγηράτου.] Ἀγήρατόν ἐστι δυνάμεως διαφορητικῆς τε καὶ ἀτρέμα πως ἀφλεγμάντου.

[ζ΄. Περὶ ἀδιάντου.] Τὸ δὲ ἀδίαντον κατὰ μὲν θερμότητα καὶ ψυχρότητα σύμμετρόν ἐστι, ξηραίνει δὲ καὶ λεπτύνει καὶ διαφορεῖ. καὶ γὰρ ἀλωπεκίας δασύνει καὶ χοιράδας καὶ ἀποστήματα διαφορεῖ καὶ λίθους θρύπτει πινόμενον, καὶ ταῖς ἐκ θώρακός τε καὶ πνεύμονος ἀναγωγαῖς

nimum habet effentiae aqueae. Hac ratione et digerendi vim habet et craffitiem incidendi, tum infarctus viscerum expurgandi. Proinde regio morbo laborantes fanat, eos utique qui fic ab infarctu jecoris laborant. Juvat et comitiali obnoxios eadem facultate, tum rigores per circuitum recurrentes ex craffis aut vifcofis humoribus natos fanat. Juvat et morfos a beftiis frigore laedentibus aut compunctos, tum foris in affecta parte impofitum, tum intro in corpus fumptum pondere drachmae unius cum vino diluto. Eft et purgatorium.

[6. *De agerato.*] Ageratum facultatem digerendi habet et leviter quadantenus phlegmone liberandi.

[7. *De adianto.*] Adiantum in caliditate quidem et frigiditate fymmetrum eft, verum deficcat et extenuat et digerit. Etenim caput ex alopecia glabrum capillis conveftit et ftrumas et abfceffus digerit, lapidesque frangit epotum et vifcoforum crafforumque e pectore pulmoneque humo-

Ed. Chart. XIII. [150. 151.] Ed. Baf. II. (71. 72.)

τῶν γλίσχρων καὶ παχέων χυμῶν οὐ σμικρὰ συντελεῖ, καὶ ῥεῦμα κοιλίας ἵστησιν. οὐ μὴν θερμότητά γέ τινα προσβάλλει σαφῆ, καθάπερ οὐδὲ ψύξιν. ἀλλὰ θείη τις ἂν αὐτὸ κατὰ τὴν ἐν τούτοις ἀντίθεσίν τε καὶ κρᾶσιν ἐν τῇ μέσῃ τάξει.

[η'. Περὶ ἀειζώου.] Ἀείζωον ἑκάτερον, καὶ τὸ μικρὸν καὶ τὸ μέγα, ξηραίνει μὲν ἐπ' ὀλίγον, ὅτι καὶ στύφει μετρίως, ἀπηλλαγμένον ἁπάσης ἄλλης ἰσχυρᾶς ποιότητος, ὡς ἐπικρατεῖν ἐν αὐτῷ τὴν ὑδατώδη μᾶλλον οὐσίαν· ἐμψύχει δὲ οὐ μετρίως. ἔστι γὰρ τῆς τρίτης ἀποστάσεώς τε καὶ τάξεως τῶν ψυχόντων. ταῦτ' ἄρα καὶ πρὸς ἐρυσιπέλατα μὲν, ἀλλὰ καὶ πρὸς ἕρπητας καὶ πρὸς τὰς ἐκ ῥευμάτων φλεγμονὰς ἁρμόττει.

[151] (72) [θ'. Περὶ αἰγίλωπος.] Αἰγίλωψ διαφορητικὴν ἔχει τὴν δύναμιν, δῆλον δ' ἐκ τῆς γεύσεως, ἠρέμα γάρ πώς ἐστι δριμύς. οὐ μὴν ἀλλὰ κἀκ τοῦ τὰς σκληρυνομένας φλεγμονὰς καὶ τοὺς αἰγίλωπας ἰᾶσθαι.

rum excreationibus non mediocriter confert et ventris profluvium fiftit, non tamen ullam manifeftam caliditatem affert, ficut nec frigiditatem. Verum pofuerit ipfum quispiam fecundum hanc oppofitionem et temperiem in ordine medio.

[8. *De aeizoo feu fempervivo.*] Sempervivum utrumque, tum majus tum minus, deficcat quidem leviter, quandoquidem et mediocriter aftringit, omnis alterius vehementis qualitatis expers. Quare in eo plus caeteris abundat effentia aquea, caeterum non mediocriter refrigerat. Eft enim ex tertio ordine et receffu refrigerantium. Hinc etiam ad eryfipelata et herpetes et phlegmonas a fluxiono natas accommodatur.

[9. *De aegilope.*] Aegilops digerendi vim poffidet, id quod ex guftu patet, leviter enim eft acris. Verum et ex eo liquet, quod phlegmonas induratas et aegilopas fanat.

Ed. Chart. XIII. [151.] Ed. Baf. II. (72.)

[ι'. *Περὶ αἴρας.*] *Αἴρα ξηραίνει καὶ θερμαίνει δραστικῶς, ὡς ἐγγὺς εἶναι τῶν δριμέων ἴρεως μᾶλλον. οὐκ ἔστι δὲ ὡς ἐκείνη λεπτομερὴς, ἀλλ' ἀπολείπεται συχνῷ κατὰ τοῦτο, καὶ θείη ἄν τις αὐτὴν ἐν ἀρχῇ μὲν τῆς τρίτης τάξεως τῶν θερμαινόντων, ἐπὶ τελευτῇ δὲ δευτέρας τῶν ξηραινόντων.*

[ια'. *Περὶ αἰγείρου.*] *Αἰγείρου τὰ μὲν ἄνθη θερμὰ τὴν δύναμίν ἐστιν ἐκ τῆς πρώτης ἀποστάσεως ἀπὸ τῶν εὐκράτων· ἐν δὲ τῇ κατὰ τὸ ξηραίνειν τε καὶ ὑγραίνειν διαφορᾷ βραχὺ τῶν εὐκράτων καὶ μέσων ἀποκεχώρηκεν ἐπὶ τὸ ξηρότερον. ἔστι δὲ καὶ λεπτομερὴς μᾶλλον ἢ παχυμερής. καὶ τὰ φύλλα αὐτῆς ὅμοια μέν πώς ἐστι τοῖς ἄνθεσιν, πλὴν εἰς ἅπαν ἀσθενέστερά τε καὶ ἀπρακτότερα· καὶ ἡ ῥητίνη δὲ αὐτῆς ὁμοία τοῖς ἄνθεσιν δυνάμεώς ἐστι καὶ θερμοτέρα ἔτι. τὸ δὲ σπέρμα λεπτομερέστερόν ἐστι καὶ ξηραντικώτερον τῆς ῥητίνης καὶ τῶν ἀνθῶν, θερμότερον δὲ οὐ πάνυ τι.*

[ιβ'. *Περὶ ἀκακίας.*] *Ἀκακίας καὶ τὸ φυτὸν μὲν αὐτὸ στρυφνόν ἐστι, καὶ ὁ καρπὸς καὶ ὁ χυλὸς, ὅστις καὶ πλυθεὶς*

[10. *De aera lolio.*] Lolium deficcat et calefacit efficaciter, ut propinqua fit acribus magis quam iris, fed non eft perinde, ut illa tenuium partium, verum multum in hoc deficit. Secundum hoc ponat ipfum quispiam in principio tertii ordinis calefacientium, extremo vero fecundi exiccantium.

[11. *De aegiro populo nigra.*] Populi nigrae flores calidi quidem funt primo receffu a temperatis, at in differentia, quae habent in ficcando et humectando, paulum quiddam ad ficcius deflexerunt, fed et tenuiorum potius quam craffiorum funt partium. Et folia quoque ipfius quodammodo floribus fimilia funt, nifi quod ad omnia imbecilliora minusque efficacia. Sed et refina ejus floribus fimilem facultatem obtinet, atque etiam calidiorem. Porro femen tum refina tum floribus et fubtiliorum eft partium et magis exiccans, non tamen admodum calidius.

[12. *De Acacia.*] Acaciae et planta ipfa acerba eft et fructus et fuccus, qui lotus quidem et imbecillior et

ἀσθενέστερός τε ἅμα καὶ ἀδηκτότερος γίγνεται, ὥς τινα δριμύτητα κατὰ τὴν πλύσιν ἀποτιθέμενος. εἰ δὴ καὶ ἐπαλειφθείη κατά τινος ὑγιοῦς μέρους, εὐθὺς τοῦτο ξηρότερόν τε καὶ συντεταμένον ἀποφαίνει, καὶ θερμασίας μὲν αἴσθησιν οὐδέποτε, ψύξιν δὲ οὐκ ἄγαν ἰσχυρὰν ἔχει. δῆλον οὖν ὅτι ψυχρόν τε καὶ γεῶδές ἐστι τὸ φάρμακον, αναμεμιγμένης αὐτῷ τινος καὶ ὑδατώδους οὐσίας. εἰκασθείη δ' ἂν οὐδ' ὁμοιομερὲς ὑπάρχειν, ἀλλ' ἔχειν τινὰ μόρια διεσπαρμένα καὶ λεπτομερῆ καὶ θερμὰ, κατὰ τὴν πλύσιν ἀποχωροῦντα. καὶ κείσθω καὶ τοῦτο τῆς τρίτης μὲν τάξεως τῶν ξηραινόντων, τῆς δευτέρας δὲ τῶν ψυχόντων, ἐπειδὰν πλυθῇ, τὸ δὲ ἄπλυτον τῆς πρώτης.

[ιγ'. *Περὶ ἀκαλύφης.*] *Ἀκαλύφη.* καὶ ταύτης τῆς πόας ὅ τε καρπὸς καὶ τὰ φύλλα, ταῦτα γὰρ καὶ εἰς χρεῖαν ἥκει μάλιστα, διαφορητικῆς ἱκανῶς ἐστι δυνάμεως, ὥστε καὶ φύματα καὶ παρωτίδας ἰᾶται. ἔχει δέ τι καὶ φυσῶδες, ᾧ καὶ πρὸς τὰς συνουσίας ὁρμὰς ἐπεγείρει, καὶ μάλισθ' ὅταν μετὰ γλυκέος πίνηται τὸ σπέρμα. ὅτι δ' οὐ θερμαίνει μὲν

mordax redditur, utpote acrimoniam quandam in lotione deponens. Porro fi parti alicui fanae illinatur, protinus eam et ficciorem et contractam efficiet, nullum quidem caloris fenfum invehens, fed nec frigoris admodum valentem. Unde conftat medicamentum id effe frigidum et terreum, immixta quadam etiam effentia aquea. Et fane conjectura eft non effe fimilare, verum quasdam in fefe difperfas habere partes tenues et calidas, quae in ipfa ablutione fegregentur. Eftoque et hoc tertii ordinis exiccantium et fecundi refrigerantium, ubi quidem elotum fuerit, illotum vero primi.

[13. *De Acalephe five urtica.*] Urtica. Et hujus herbae tum fructus tum folia, nam haec potiffimum funt ufui, admodum digerentis funt facultatis, adeo ut et phymata et parotidas fanent. Sed et quiddam flatuofum obtinent, quo et venerem ftimulant et maxime ubi cum mufto femen bibitur. Porro quod non vehementer calefaciat,

σφοδρῶς. λεπτομερὴς δὲ ἱκανῶς ἐστιν, ἥ τε τῶν ἐκ θώρακί τε καὶ πνεύμονι παχέων καὶ γλίσχρων χυμῶν ἀναγωγὴ μαρτυρεῖ καὶ τὸ κνῖσθαι τὰ μόρια τοῦ σώματος ὧν προσψαύσῃ. τὸ δὲ πνευματῶδες, οὗ μετέχειν εἴρηται, πεττομένης αὐτῆς γεννᾶται. οὐ γάρ ἐστιν ἐνεργείᾳ πνευματῶδες, ἀλλὰ δυνάμει. κοιλίαν δὲ ὑπάγει μετρίως αὐτῷ μόνῳ τῷ ῥύπτειν καὶ οἷον γαργαλίζειν, οὐ τῷ καθαίρειν. καὶ τὰ γαγγραινώδη καὶ τὰ καρκινώδη καὶ ὅλως ὅσα ξηρανθῆναι δεῖται χωρὶς τοῦ δάκνεσθαι προσηκόντως ἰᾶται, λεπτομερὴς μὲν ὑπάρχουσα καὶ ξηρὰ τὴν κρᾶσιν, οὐ μὴν εἰς τοσοῦτόν γε μετέχουσα θερμότητος ὡς ἤδη δάκνειν.

[152] [ιδ'. Περὶ ἀκάνθου.] Ἄκανθος. οἱ μὲν μελάμφυλλον, οἱ δὲ παιδέρωτα. τὰ μὲν φύλλα διαφορητικὴν μετρίως ἔχει τὴν δύναμιν, ἡ δὲ ῥίζα ξηραντική τε καὶ τμητικὴ ἀτρέμα καὶ λεπτομερής.

[ιε'. Περὶ ἀκανθίου.] Ἀκάνθιον. ἡ ῥίζα τούτου καὶ τὰ φύλλα λεπτομεροῦς τε καὶ θερμῆς ἐστι δυνάμεως, ὥστε καὶ σπωμένοις βοηθεῖν.

fed multum tenuium fit partium, teftimonio eft craffforum vifcoforumque humorum ex pectore pulmoneque eductio, tum quod partes quas contigerit pruriant. Porro flatuofum ejus cujus effe particeps dicta eft, dum concoquitur, nafcitur, non enim actu flatuofa eft, fed facultate. Ventrem autem modice fubducit ipfa duntaxat abfterfione, ac veluti titillatione, non purgatione. Et gangraenofa et cancrofa et in totum quae exiccari citra mordicationem poftulant, ea convenienter fanat, nimirum quum fubtilium partium fit et temperiei ficcae, non tamen tantum habens caliditatis ut jam mordicet.

[14. *De Acantho fpina vulgari.*] Spina vulgaris. Alii quidem melamphyllum nominant, alii vero paederota. Folia quidem mediocriter difcutientem facultatem obtinent, ac radix exiccatoria eft et leviter inciforia et tenuium partium.

[15. *De Acanthio.*] Acanthium. Radix hujus et folia facultatis funt tenuium partium et calefactoriae, ut et iis qui convelluntur auxilientur.

[ιϛ'. Περὶ ἀκάνθου λευκῆς.] Ἄκανθος λευκή. ταύτην ἔνιοι λευκάκανθον ὀνομάζουσιν. ἔστι δ' αὐτῆς ἡ μὲν ῥίζα ξηραντικὴ καὶ μετρίως στύφουσα, διὸ καὶ κοιλιακοὺς καὶ στομαχικοὺς ὠφελεῖ, καὶ τὰς τοῦ αἵματος ἀγωγὰς ἐπέχει καὶ τὰ οἰδήματα καταπλαττομένη συστέλλει καὶ ὀδόντας ἀλγοῦντας, εἰ διακλύζοιτο τῷ ἀφεψήματι. τὸ δὲ σπέρμα λεπτομεροῦς καὶ θερμῆς ἐστι δυνάμεως, ὥστε καὶ τοῖς σπωμένοις ἁρμόττειν πινόμενον.

[ιζ'. Περὶ ἀκάνθου Αἰγυπτίας.] Ἄκανθος Αἰγυπτία· ἔνιοι δὲ Ἀραβικὴν ὀνομάζουσιν. ἔοικε δὲ καὶ τῇ παρ' ἡμῖν ἀκάνθῃ τῇ λευκῇ. στυπτικωτέρα δὲ καὶ ξηραντικωτέρα τὴν δύναμίν ἐστιν, ὥστε καὶ ῥοῦν γυναικεῖον ὀνίνησιν αὐτῆς ἡ ῥίζα. καὶ πρὸς τὰ ἄλλα ὅσα περ ἡ παρ' ἡμῖν ἅπαντα βοηθεῖ σφοδροτέρως ἥ τε ῥίζα καὶ ὁ καρπὸς αὐτοῦ. οὗτος δὲ καὶ τὰ κατὰ τὴν σταφυλὴν καὶ τὰ καθ' ἕδραν ἐμφυσώμενα, καὶ εἰς οὐλὴν ἄγει τὰ ἕλκη μετρίαν ἔχουσα καὶ οὐκ ἀηδῆ τὴν στύψιν.

[ιη'. Περὶ ἀκόρου.] Ἄκορον. τούτου τῇ ῥίζῃ χρώμεθα, δριμείᾳ μὲν οὔσῃ καὶ ὑποπίκρῳ μετρίως κατὰ γεῦσιν,

[16. *De ſpina alba, acantho alba.*] Spina alba. Hanc quidam leucacanthon nominant. Radix deſiccatoria eſt et modice aſtringens, quamobrem et coeliacos et ſtomachicos juvat et ſanguinis rejectiones cohibet, oedemataque illitu contrahit, ac dentes dolentes juvat, ſi decocto ejus colluantur. Semen tenuium partium et calidae facultatis eſt. Itaque potui dari iis qui convelluntur convenit.

[17. *De Acantha Aegyptia.*] Spina Aegyptia. Quidam Arabicam vocant. Similis autem eſt ſpinae albae noſtrati, verum facultate validius aſtringente pariter et deſiccante. Itaque profluvium muliebre radix ejus juvat et alia, quibus auxilio eſt, quae apud nos naſcitur ſpina, ſed efficacius tamen omnia adjuvat tum radix tum fructus. Hic vero et iis quae in columella et iis quae in ſede inflata ſunt prodeſt, tum ulcera ad cicatricem ducit, mediocrem habens et non moleſtam aſtrictionem.

[18. *De acoro.*] Acorus. Hujus utimur radice, quae guſtu acri eſt et modice amaro, odoreque non inju-

οὐκ ἀηδεῖ δὲ κατὰ τὴν ὀσμήν. ὅθεν δῆλον ὡς θερμὴ τὴν δύναμίν ἐστιν καὶ λεπτομερὴς τὴν σύστασιν. ὁμολογεῖ δὲ τούτῳ καὶ τὸ κινεῖν οὖρα καὶ σκιῤῥουμένους τοὺς σπλῆνας ὠφελεῖν, ἀποῤῥύπτειν τε καὶ λεπτύνειν τὰ πάχη τοῦ κερατοειδοῦς. ἀμείνων δὲ ὁ χυλὸς αὐτῆς εἰς τοῦτο. δῆλον δὲ ὅτι ξηραντικὸν πάντως ἐστίν. καὶ δὴ καὶ κείσθω τρίτης τάξεως ἐν ἀμφοῖν, ἔν τε τῷ θερμαίνειν κἀν τῷ ξηραίνειν.

[ιθ'. Περὶ ἀκονίτου ἢ παρδαλιαγχοῦς.] Ἀκόνιτον ἢ παρδαλιαγχές. σηπτικῆς τοῦτο καὶ δηλητηρίου δυνάμεώς ἐστιν, ὅθεν αὐτὸ φυλακτέον ἐν ἐδέσματι λαβεῖν ἢ ποτῷ. πρὸς μέντοι τὸ ἀποσῆψαί τινα ἐκ τοῦ σώματος ἢ κατὰ τὴν ἕδραν ἐπιτήδειόν ἐστι. χρήσιμος δὲ ἡ ῥίζα τῆς πόας εἰς ταῦτα.

(73) [κ'. Περὶ ἀκονίτου ἢ λυκοκτόνου.] Ἀκόνιτον ἢ λυκοκτόνον. ἔστι μὲν καὶ τοῦτο παραπλησίας θατέρῳ δυνάμεως, ἰδιώτερον δὲ λύκους ἀναιρεῖν πέφυκεν ὥσπερ ἐκεῖνο παρδάλεις.

[153] [κα'. Περὶ ἀκτῆς καὶ χαμαιάκτης.] Ἄκτη ἥ τε μεγάλη καὶ δενδρώδης καὶ ἡ βοτανωδεστέρα, ἥν περ δὴ καὶ

cundo. Itaque conſtat facultatis calidae eſſe et conſiſtentiae tenuium partium. Huic conſentaneum eſt ut urinam moveat et lienes induratos juvet, tum ceratoidis craſſitiem detergeat ſimul atque extenuet, ſed ad hoc melior eſt ipſius ſuccus. Omnino vero exiccatorium eſſe clarum eſt. Et ſane ordinis eſto tertii in utroque, in calefaciendo ſcilicet et deſiccando.

[19. *De aconito ſive pardalianche.*] Aconitum ſive pardalianches. Hoc ſepticae et deleteriae facultatis eſt. Itaque in cibo potuque fugiendum. Attamen ad putrefaciendum quaedam extra os et ſedem aptum eſt. Herbae autem radix ad haec eſt utilis.

[20. *De aconito ſive lycoctono.*] Aconitum ſeu Licoctonum. Eſt et hoc ſimilis alteri facultatis, ſed peculiariter lupos interficit, ſicut illud pardos.

[21. *De acte, ſambuco et ebulo.*] Sambucus tum magnus ille et arboreus, tum herbaceus, quem et ebulum

χαμαιάκτην ὀνομάζουσιν· ξηραντικῆς ἀμφότεραι δυνάμεώς εἰσι, κολλητικῆς τε καὶ μετρίως διαφορητικῆς.

[κβ'. Περὶ ἀλίμου.] Ἄλιμον. θάμνος τοῦτό ἐστι τὸ φυτὸν, ἐν Κιλικίᾳ μάλιστα πλεῖστον γεννώμενον, ἵνα καὶ τοὺς βλαστοὺς αὐτοῦ ἐσθίωσι προσφάτους τε καὶ εἰς ἀπόθεσιν θησαυρίζοντες. ἔστι δὲ καὶ σπέρματος καὶ γάλακτος γεννητικὸν τὸ φυτὸν καὶ κατὰ τὴν γεῦσιν ἁλυκόν τέ ἐστι καὶ ὑποστῦφον ἔχον. ἐξ ὧν ἁπάντων δῆλον ὡς ἀνομοιομερὲς μέν ἐστι, τὸ δὲ πλεῖον αὐτοῦ τῆς οὐσίας θερμὸν εὐκράτως ὑπάρχει μεθ' ὑγρότητος ἀκατεργάστου τε καὶ φυσώδους ἀτρέμα.

[κγ'. Περὶ ἀλόης.] Ἀλόη. αὕτη μὲν ἡ πόα παρ' ἡμῖν οὐ πάνυ τι φύεται, καὶ ἡ φυομένη δὲ κατὰ Συρίαν τὴν μεγάλην ὑδατωδεστέρα τε καὶ ἀσθενεστέρα τὴν δύναμίν ἐστιν. ἄχρι μέντοι τοσούτου ξηραίνειν πέφυκεν ὡς κολλᾷν τραύματα. κατὰ δὲ τὰς θερμοτέρας χώρας, ὧν ἐστιν ἡ κοίλη Συρία καὶ Ἀραβία, πολὺ βελτίων ἐστίν. ἀρίστη δὲ καὶ ἡ κατὰ τὴν Ἰνδίαν, ἧς ὀπός ἐστιν τὸ κομιζόμενον ἐνταυθοῖ τοῦτο φάρμακον ἡ ἀλόη προσαγορευομένη, χρείαν παμπόλ-

appellant, uterque potentiam habet tum deficcandi tum conglutinandi modiceque difcutiendi.

[22. *De Alimo.*] Alimum. Haec planta frutex eft, plurimo in Cilicia praecipue proventu, ubi et germina ejus recentia efitant et reponunt quoque in pofterum ufui. Semen pariter et lac planta ipfa generat, eftque guftus falfi et fubaftringentis. Ex quibus omnibus palam eft ipfam effe diffimilarem. Major autem pars fubftantiae ejus calida eft temperate, cum humiditate inconfecta et leviter flatuofa.

[23. *De Aloe.*] Aloë. Haec herba non admodum apud nos provenit, et quae nafcitur in magna Syria aquofior eft et facultatis imbecillioris, attamen usque adeo deficcare poteft ut vulnera glutinet. At in regionibus calidioribus, qualis eft Coelofyria et Arabia, multo eft melior. Optima autem Indica, cujus liquor eft id quod ad nos importatur cognominatum aloë, medicamentum ad pluri-

λην παρεχόμενον ἐκ τοῦ ξηραίνειν ἀδήκτως. ἔστι δὲ οὐχ ἁπλῆς φύσεως, ἀλλ' ὥσπερ καὶ ἡ γεῦσις μαρτυρεῖ, στύφει τε ἅμα καὶ πικράζει. στύφει μὲν οὖν μετρίως, πικρὰ δὲ ἰσχυρῶς ἐστιν. ὑπάγει δὲ καὶ γαστέρα τῶν ἐκκοπρωτικῶν καλουμένων οὖσα φαρμάκων, ὥστε ἐκ | τῶν εἰρημένων δῆλον, εἴ τι μεμνήμεθα τῶν ἐν τῷ τετάρτῳ λόγῳ δεδειγμένων, ὡς τῶν μὲν ξηραινόντων φαρμάκων τῆς τρίτης ἐστὶν ἀποστάσεως, τῶν θερμαινόντων δὲ ἤτοι τῆς πρώτης ἐπιτεταμένης ἢ τῆς δευτέρας ἐκλελυμένης. τῷ δὲ μικτῷ τῆς δυνάμεως αὐτῆς μαρτυρεῖ καὶ τὰ κατὰ μέρος ἔργα. καὶ γὰρ εὐστόμαχόν ἐστι τὸ φάρμακον, εἴπέρ τι καὶ ἄλλο, καὶ κόλπων κολλητικόν. ἰᾶται δὲ τὰ δυσεπούλωτα τῶν ἑλκῶν, καὶ μάλιστα τὰ καθ' ἕδραν τε καὶ αἰδοῖον. ὠφελεῖ δὲ καὶ τὰς φλεγμονὰς αὐτῶν ὕδατι δευθεῖσα καὶ κολλᾷ τραύματα κατὰ τὸν αὐτὸν τρόπον. ἁρμόζει δὲ ὡσαύτως χρωμένῳ καὶ πρὸς τὰς ἐν στόματι καὶ ῥισὶ καὶ ὀφθαλμοῖς φλεγμονάς. καὶ ὅλως ἀποκρούεσθαί τε καὶ διαφορεῖν ἅμα πέφυκεν, μετὰ καὶ τοῦ ῥύπτειν ἐπ' ὀλίγον, εἰς ὅσον ἕλκεσι καθαροῖς ἄλυπον.

mas res propter exiccationem mordicationis expertem utile. Est autem non simplicis naturae, sed, ut testatur gustus, astringit simul et amara est, astringit quidem modice, sed vehementer amara est. Subducit et ventrem, quum sit ex numero medicamentorum, quae eccoprotica vocantur. Itaque ex dictis patet, siquidem memoria tenemus quae in quarto libro sunt demonstrata, quod tertii sit ordinis exiccantium, calefacientium autem, aut primi intensi, aut secundi remissi. Sed et ipsius facultatis mixturam attestantur particularia ejus opera. Nam et gratum stomacho medicamentum est ut si quid aliud et sinus glutinat. Sanat et ulcera quae aegre ad cicatricem duci possunt, et maxime quae in ano sunt et pudendo. Juvat et eorum phlegmonas aqua subacta et vulnera eundem ad modum glutinat. Congruit similiter utenti et ad phlegmonas in ore ac naribus et oculis. In summa repellere et digerere simul potest, cum hoc ut paulum extergeat, quantum videlicet ulceribus puris non sit molestum.

[κδ'. Περὶ ἀλύσσου.] Ἄλυσσον ὠνόμασται μὲν ἄλυσσον ἡ πόα διὰ τὸ θαυμαστῶς ὀνινάναι τοὺς ὑπὸ λυσσῶντος κυνὸς δεδηγμένους. ἀλλὰ καὶ ἤδη λυττῶντι δοθεῖσα πολλάκις ἐξιάσατο. τοῦτο μὲν ἐκ τῆς καθ' ὅλην οὐσίαν ὁμοιότητος δύναται, καὶ λέλεκται πρόσθεν ὡς ἡ τοιαύτη δύναμις ἐκ πείρας τε μόνης λαμβάνεται καὶ παντάπασιν ἀμέθοδός ἐστιν. εἰ δὲ ἄν τις καὶ χρήσαιτο πρὸς πολλὰ, δυνάμεως γνώσεται ὡς μετρίως ἐστὶν ξηραντικῆς καὶ διαφορητικῆς, πρὸς τῷ καὶ ῥυπτικόν τι ἔχειν. ταύτῃ γέ τοι καὶ ἀλφοὺς καὶ ἔφηλιν ἀποκαθαίρει.

[154] [κε'. Περὶ ἀλσίνης.] Ἀλσίνη ἢ μυὸς ὦτα. ὁμοίαν ἔχει καὶ αὕτη τὴν δύναμιν τῇ ἑλξίνῃ ψύχουσάν τε καὶ ὑγραίνουσαν. ἔστι γὰρ οὐσίας ὑδατώδους ψυχρᾶς, διὸ καὶ χωρὶς στύψεως ἐμψύχει. ταῦτ' ἄρα πρὸς τὰς ζεούσας ἁρμόττει φλεγμονὰς καὶ πρὸς ἐρυσιπέλατα μέτρια.

[κστ'. Περὶ ἀμαράκου.] Ἀμάρακον θερμαίνει μὲν οὐκ ἀγεννῶς, ξηραίνει δὲ οὐ σφοδρῶς. ἀλλ' ἐν μὲν τῇ θερμότητι τῆς τρίτης ἐστὶ τάξεως, ἐν δὲ τῷ ξηραίνειν τῆς δευτέρας.

[24. *De Alyffo.*] Alyffon. Nuncupata eft haec herba alyffon, quod mirifice juvet morfos a cane rabido. Sed et rabienti quoque data fola faepe in totum fanavit, atque hoc ex totius fubftantiae fimilitudine efficit. Dictumque prius eft talem facultatem ex fola percipi experientia et plane nulla conftare methodo. Quod fi quis ad multa experiatur, cognofcet facultatem habere mediocriter exiccantem et difcutientem, cum hoc ut abfterforium nonnihil etiam obtineat. Hac ratione et vitiliginem et ephelin expurgat.

[25. *De Alfine, auricula muris.*] Auricula muris. Similem haec facultatem helxinae obtinet, nempe refrigerantem et humectantem. Eft enim effentiae aqueae frigidae, quare et citra aftrictionem refrigerat. Quocirca ad ferventes phlegmonas et mediocria eryfipelata competit.

[26. *De Amaraco, majorana.*] Majorana calefacit non inftrenue, non valde autem deficcat, fed in caliditate quidem tertii eft ordinis, in ficcitate vero fecundi.

[κζ΄. Περὶ ἀμβροσίας.] Ἀμβροσία καταπλαττομένη δύναμιν ἔχει στύφουσάν τε καὶ ἀποκρουστικήν.

[κη΄. Περὶ ἄμεως.] Ἄμι. τῆς πόας ἣν ἄμιν καλοῦσι, τὸ σπέρμα μάλιστά ἐστι χρήσιμον. θερμαντικῆς καὶ ξηραντικῆς καὶ λεπτομεροῦς ὑπάρχει δυνάμεως. ἔστι δὲ καὶ γευομένοις ὑπόπικρόν τε καὶ δριμὺ καὶ δῆλον ὅτι καὶ διουρητικόν τε καὶ διαφορητικόν. ἕποιτο δ᾽ ἂν καὶ τὸ θερμαίνειν καὶ τὸ ξηραίνειν ἐκ τρίτης τάξεως ἐπιτεταμένης.

[κθ΄. Περὶ ἀμαράνθου.] Ἀμάρανθον δυνάμεώς ἐστιν τμητικῆς τε καὶ λεπτυντικῆς. ἔμμηνα οὖν ἄγει σὺν οἴνῳ ποθεῖσα ἡ κόμη καὶ θρόμβους αἵματος τήκειν πεπίστευται αὐτούς, οὐ τοὺς ἐν γαστρὶ μόνον, ἀλλὰ καὶ τοὺς ἐν κύστει. χρὴ δὲ μᾶλλον τηνικαῦτα σὺν οἰνομέλιτι πίνειν, καὶ πάντων δ᾽ ἐστὶν ἁπλῶς ῥευμάτων ξηραντικὴ πινομένη κακοστόμαχος ὑπάρχουσα.

[λ΄. Περὶ ἀμόργης.] Ἀμόργη γεώδους ἐστὶν οὐσίας θερμῆς, οὐ μὴν εἰς τοσοῦτον μετέχει θερμότητος ὡς δάκνειν ἐπιφανῶς. εἰ δὲ καὶ ἑψηθείη, πολὺ μᾶλλον ἔτι παχυμερὴς

[27. *De Ambroſia.*] Ambroſia illita vim habet aſtringentem ac repellentem.

[28. *De Ami.*] Ami. Herbae quam vocant ami, ſemen maxime eſt utile. Facultatis eſt calefactoriae et deſiccatoriae tenuiumque partium. Sed et guſtu ſubamarum eſt et acre. Et clarum eſt quod et digerat et urinam moveat. Fuerit autem in calefaciendo reſiccandoque ex ordine tertio intenſo.

[29. *De Amarantho.*] Amaranthus facultatis eſt incidentis et extenuantis. Coma igitur ejus menſes cum vino pota educit. Sed et grumos ſanguinis liquare creditur, non ſolum in ventre, ſed et in veſica, ſed tunc potius cum mulſo bibenda. Et omnes ſimpliciter fluxiones pota deſiccat, ſtomacho infeſta.

[30. *De Amurca, amorge.*] Amurca terreſtris eſt ſubſtantiae calidae, non tamen tantum poſſidet caliditatis ut palam mordicet. Quod ſi coquatur quoque, multo etiam

τε γίνεται καὶ ξηρά. καὶ εἴη ἂν ἐκ τῆς δευτέρας τάξεως τῶν θερμαινόντων τε καὶ ξηραινόντων ἐπιτεταμένης πως μᾶλλον. οὕτω γέ τοι καὶ τὰ τῶν ξηρῶν τῇ κράσει σωμάτων ἕλκη θεραπεύει, τὰ δ' ἐν τοῖς ἄλλοις ἅπασι παροξύνει. συντατικὴ γάρ ἐστιν ὥσπερ ῥητίνη καὶ πίττα ξηρὰ καὶ ἄσφαλτος, ἅπερ καὶ αὐτὰ τῶν σκληρῶν μὲν πάνυ σωμάτων ἤτοι τραῦμα ἐχόντων ἢ κόλπων ἐστὶ κολλητική. τὰ δὲ ἄλλα πάντα συντείνει τε καὶ παροξύνει.

(74) [λα'. Περὶ ἀμπελοπράσου.] Ἀμπελόπρασον· εἰ μεταξὺ σκορόδου τι καὶ πράσου νοήσαις, εὕροις ἂν ἀμπελοπράσου τὴν δύναμιν. ἔστι γὰρ ἄγριον ὡς ἂν εἴποι τις πράσον, ὅθεν καὶ δριμύτερον αὐτοῦ καὶ ξηρότερον ὑπάρχει, καθάπερ καὶ τἄλλα πάντα ἄγρια τῶν ἡμέρων, καὶ διὰ τοῦτο κακοστομαχώτερόν τέ ἐστιν καὶ παχέων καὶ γλίσχρων χυμῶν τμητικώτερον, ἐκφρακτικώτερόν τε τῶν ἐμπεφραγμένων ὀργάνων. ταύτῃ τοι καὶ οὖρα καὶ καταμήνια πολλάκις ἐκίνησεν, ὅταν ὑπὸ παχέος καὶ γλίσχρου ἴσχηται χυμοῦ. θερμὸν δὲ οὕτως ἐστὶν ὡς ἑλκοῦν ἤδη δύνασθαι καταπλασσό-

magis craſſarum partium et ſicca redditur. Et fuerit ſane ex ſecundo ordine calefacientium et ſiccantium intenſo quodam modo magis. Sic et ulcera corporum temperamento ſiccorum curat, quae vero in aliis omnibus ſunt exaſperat. Siquidem contendit perinde, ut reſina et pix ſicca et bitumen, quae et ipſa in corporibus admodum duris, quae vulnus habent, aut ſinum, glutinatoria ſunt, alia vero omnia contendunt atque irritant.

[31. *De Ampelopraſo.*] Ampelopraſon. Si inter allium et porrum medium quiddam concipias, facultatem ampelopraſi inveneris. Eſt enim agreſte ut ſic dicam porrum, quamobrem et acrius eo et ſiccius eſt, ſicut agreſtia omnia reliqua hortenſibus, ac proinde ſtomacho quam illud nocentius. Sed et craſſos et lentos humores potentius incidit, valentiusque infarcta organa obſtructione liberat. Hac quoque ratione urinas et menſtrua ſaepe provocavit, ubi a craſſis et lentis retinebantur humoribus. Adeo vero eſt calidum ut illitum cataplasmatis modo exulceret. Di-

μενον. ἐῤῥέθη δ' ἔμπροσθεν ὡς τῆς ἐσχάτης ἐστὶ τάξεως ἅπαντα τὰ οὕτως θερμά.

[155] [λβ'. Περὶ ἀμπέλου ἀγρίας.] Ἀμπέλου ἀγρίας οἱ βότρυες ῥυπτικῆς εἰσι δυνάμεως, ὡς ἐφήλεις τε καὶ σπίλους καὶ ὅσα τοιαῦτα κατὰ τοῦ δέρματος ἐπιπολῆς γίγνεται θεραπεύειν. ἔχουσι δέ τι καὶ στυπτικὸν αὐτοί τε καὶ οἱ ἀκρέμονες, οἵπερ δὴ καὶ ταριχεύονται.

[λγ'. Περὶ ἀμπέλου ἡμέρου.] Ἀμπέλου τῆς ἡμέρου παραπλησία μὲν ἡ δύναμίς ἐστι τῇ τῆς ἀγρίας, ἀσθενεστέρα δὲ τὰ πάντα.

[λδ'. Περὶ ἀμπέλου λευκῆς.] Ἀμπέλου λευκῆς, ἣν δὴ βρυωνίαν καὶ ψίλωθρον καλοῦσιν, οἱ μὲν πρῶτοι βλαστοὶ συνήθως ὑπὸ πάντων ἐσθίονται κατὰ τὸ ἔαρ, ὡς εὐστόμαχον ἔδεσμα διὰ τὸ στύφειν, καὶ ὑπόπικρον δὲ καὶ ἀτρέμα δριμεῖαν ἔχον τὴν στύψιν· διὸ καὶ τὴν οὔρησιν κινοῦσι μετρίως. ἡ δὲ ῥίζα ῥυπτικήν τέ τινα καὶ ξηραντικὴν καὶ λεπτομερῆ δύναμιν ἔχει καὶ συμμέτρως θερμήν. διὸ καὶ σπλῆνας τήκει σκιῤῥουμένους, πινομένη τε καὶ ἔξωθεν ἐπιτιθεμένη μετὰ

ctum est autem retro quod quae eum in modum sunt calida, extremi sunt ordinis.

[32. *De ampelo, vite agresti.*] Vitis agrestis racemi extergendi vim habent, ut ephelidas et nervos et id genus omnia in extima cute existentia curare possint. Sed et astrictionem quandam extrema germina obtinent, quae et sale condiri assolent.

[33. *De ampelo, vite sativa.*] Vitis cultae assimilis facultas est agresti, sed ad omnia imbecillior.

[34. *De ampelo, alba vite.*] Vitis albae, quam et bryoniam et psilothrum vocant, prima quidem germina ab omnibus pro more edi vere solent, utpote edulium stomacho propter astrictionem acceptum, sed et subamaram et modice acrem astrictionem possident, quare et urinam modice cient. At radix et abstergentem et desiccantem et tenuium partium vim habet et moderate calidam. Quamobrem et lienes induratos liquat tum epota tum foris cum

σύκων καὶ ψώραν καὶ λέπραν ἰᾶται. ὁ δὲ βοτρυώδης αὐτῆς καρπὸς τοῖς σκυτοδέψαις ἐστὶ χρήσιμος.

[λε΄. Περὶ ἀμπέλου μελαίνης.] Ἄμπελος μέλαινα. καλεῖται δὲ ἰδίως αὕτη βρυωνία, παραπλήσιός ἐστι τὰ πάντα τῇ προειρημένῃ πλὴν ἀσθενεστέρα.

[λστ΄. Περὶ ἀμυγδάλων.] Ἀμύγδαλα. τὰ μὲν πικρὰ φανερῶς τῆς λεπτυνούσης παντελῶς ἐστι δυνάμεως καὶ τῇ ποιότητι τεκμαιρομένῳ καὶ τῇ πείρᾳ κρίνοντι. περὶ μὲν οὖν τῆς πικρᾶς ποιότητος ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων εἴρηται· τῶν δὲ τῆς πείρας ἀρκεῖ δύο ταῦτα προχειρισαμένων ἐξ αὐτῶν τούτων διδαχθῆναι περὶ τῆς δυνάμεως αὐτῶν. ἔφηλίν τε οὖν ἀποκαθαίρει καὶ ταῖς ἐκ θώρακός τε καὶ πνεύμονος ἀναπτύσεσι τῶν γλίσχρων τε καὶ παχέων χυμῶν ἱκανῶς συντελεῖ. ταῦτα δὲ ἡμῖν ἐδείκνυτο κατὰ γένος μὲν τῆς λεπτυντικῆς, κατ᾽ εἶδος δὲ τῆς ῥυπτικῆς ἔχεσθαι δυνάμεως. καὶ μὲν δὴ καὶ ὅτι τῆς ἐκφρακτικῆς κατὰ συμβεβηκὸς εἴη ἂν δυνάμεως, ἐπιδέδεικται καὶ τοῦτο πρόσθεν. ἀλλὰ ἡ πεῖρα μαρτυρεῖ. τὰς γοῦν ἐν ἥπατι παχέων τε καὶ

ficubus impoſita, et pſoram et lepram ſanat. Porro fructus ejus, racemi ſpeciem praeſerens, iis qui coria denſant eſt utilis.

[35. *De ampelo, ſeu vite nigra.*] Vitis nigra. Vocatur autem haec proprie bryonia, ſupradictae tamen ad omnia ſimilis, niſi quod imbecillior.

[36. *De Amygdalis.*] Amygdala, quae quidem palam amara ſunt, omnino extenuandi vim poſſident, quod et qualitas ipſa indicat et experientia comprobat. Ac de amara quidem qualitate in quarto horum commentariorum proditum eſt. Caeterum duo experientiae exempla proponi ſatis eſt, unde vim eorum poſſis dignoſcere. Siquidem ephelin expurgant et excreationibus ex pectore pulmoneque craſſorum lentorumque humorum impendio conferunt. Porro haec oſtenſa ſunt genere quidem attenuantis, ſpecie vero extergentis eſſe facultatis. Quin et quod per accidens facultatem item habeant ab obſtructione liberandi et ipſum ſupra demonſtratum eſt. Sed et experientia monſtrat.

γλίσχρων χυμῶν ἐν τοῖς πέρασι τῶν ἀγγείων σφηνώσεις ἱκανῶς ἐκκαθαίρει. καὶ μὲν δὴ καὶ τῶν πλευρῶν ἀλγήματα τὰ διὰ τὴν τοιαύτην αἰτίαν γιγνόμενα καὶ κατὰ σπληνὸς καὶ κώλου καὶ νεφρῶν ἰᾶται. καὶ τὸ δένδρον αὐτὸ σύμπαν ὁμοίαν ἔχει τὴν δύναμιν, ὥστε καὶ τούτου τὰς ῥίζας ἑφθὰς ἐπιπλάττοντες ἀποκαθαίρουσιν ἐφήλεις. ὅσα δὲ γλυκέα τῶν ἀμυγδάλων, μετέχει μὲν καὶ ταῦτα βραχείας πικρότητος. ἀλλ' ἐπικρατούσης τῆς γλυκύτητος ἀποκρύπτεται, κατάδηλον δ' ἐναργῶς γίνεται χρονιζόντων αὐτῶν. ἐπιδέδεικται δὲ ἐν τοῖς ἔμπροσθεν ὡς ἡ γλυκεῖα ποιότης θερμὴ συμμέτρως ἐστίν.

[λζ΄. Περὶ ἀμμωνιακοῦ.] Ἀμμωνιακὸν ὀπός ἐστι νάρθηκός τινος. τοῦτο μαλακτικῆς ἐστι δυνάμεως ἐπιτεταμένης, ὥστε καὶ τοὺς [156] περὶ τὰ ἄρθρα πώρους διαλύειν καὶ σπλῆνας ἐσκιῤῥωμένους ἰᾶσθαι καὶ χοιράδας διαφορεῖν.

[λη΄. Περὶ ἀμώμου.] Ἄμωμον ἔοικε κατὰ τὴν δύναμιν ἀκόρῳ πλὴν ὅτι ξηρότερόν ἐστι τὸ ἄκορον πεπτικώτερον δὲ τὸ ἄμωμον.

Nam in jecore craſſorum viſcoſorumque humorum in extremis vaſis impactorum obſtructiones, abunde expurgant expediuntque. Quin et laterum dolores ab hujusmodi cauſa natos et lienis et coli et renum ſanant. Porro et ipſa arbor tota ſimilem ſortita vim eſt. Nam hujus radices coctae atque illitae epheleis purgant. Quotquot vero ſunt amygdala dulcia et ipſa leviculam amaritudinem poſſident, quae tamen dulcedine ſuperante occultatur, caeterum id temporis ſpatio clarum fit. Demonſtratum autem retro eſt qualitatem dulcem moderate eſſe calidam.

[37. *De Ammoniaco.*] Ammoniacum liquor eſt ferulae cujusdam. Hoc habet emolliendi facultatem intenſam, adeo ut et articulorum tophos diſſolvat et lienes induratos ſanet et firmatos per halitum digerat.

[38. *De Amomo.*] Amomum acoro ſimilem facultatem obtinet, niſi quod acorum ſiccius ſit, majore autem quadantenus concoquendi facultate amomum.

[λθ'. Περὶ ἀναγαλλίδος.] Ἀναγαλλὶς ἑκατέρα, ἥ τε τὸ κυανὸν ἄνθος ἔχουσα καὶ ἡ τὸ φοινικοῦν, ῥυπτικῆς ἱκανῶς εἰσι δυνάμεως, ἔχουσαί τι καὶ ὑπόθερμον καὶ ἑλκτικὸν, ὥστε καὶ σκόλοπας ἐπισπᾶσθαι. ὁ δὲ χυλὸς αὐτῶν ἐκ ῥινῶν καθαίρει διὰ τὴν αὐτὴν αἰτίαν, καὶ καθόλου φάναι ξηραντικὴν ἔχουσι δύναμιν ἄδηκτον, ὅθεν καὶ τραύματα κολλῶσι καὶ τοῖς σηπομένοις βοηθοῦσι.

[μ'. Περὶ ἀναγύρου.] Ἀνάγυρος θάμνος ἐστὶ δυσώδης καὶ δριμὺς, διαφορητικῆς καὶ θερμαινούσης δυνάμεως. ἀλλὰ τὰ μὲν φύλλα τὰ χλωρὰ διὰ τὴν ὑγρότητος ἐπιμιξίαν ἧττον ὄντα δριμέα κατασταλτικὰ τῶν οἰδούντων ἐστὶν, ξηρανθέντα δὲ τμητικῆς καὶ ξηραινούσης ἰσχυρῶς δυνάμεως. ὁμοίας δέ πώς ἐστι φύσεως καὶ ὁ τῆς ῥίζης αὐτῶν φλοιός. τὸ δὲ σπέρμα πλέον ἐστὶ λεπτομερεστέρας, ἀλλὰ καὶ ἐμετικόν ἐστιν.

[μα'. Περὶ ἀνδροσαίμου.] Ἀνδρόσαιμον, θαμνῶδες φυτὸν διττὸν τὴν φύσιν, τὸ μὲν ἕτερον ἄσκυρον ἢ ἀσκυ-

[39. *De Anagallide.*] Anagallis utraque, tum ea quae coeruleum habet florem tum ea quae purpureum, admodum extergentis funt facultatis. Habent vero nonnihil etiam caloris et quandam trahendi facultatem, adeo ut et infixa corpori extrahant. Succus earum ex naribus purgat eadem de caufa. In fumma autem deficcandi vim habent citra mordicationem. Quamobrem et vulnera glutinant et putrida adjuvant.

[40. *De Anagyro.*] Anagyrus frutex eft graviter olens, acris et digerentis calefacientisque facultatis. Sed folia etiamnum virentia, quum propter humiditatis admixtionem minus fint acria, idcirco tumentia reprimunt, at reficcata incidentis funt exiccantisque valenter facultatis. Similem fere facultatem habet radicis ejus cortex. Semen autem magis tenuiorum eft partium. Sed et vomitum provocat.

[41. *De Androfaemo.*] Androfaemum planta fruticofa natura duplex, unum enim afcyron et afcyroeides

ῥοειδὲς ὀνομαζόμενον, εἶδος ὑπάρχον ὑπερικοῦ. τὸ δ' ἕτερον, ὅπερ ὀνομάζεται πρός τινων διονυσίας. ἔστι δὲ ὁ μὲν καρπὸς αὐτῶν καθαρτικὸς, ἡ δὲ τῶν φύλλων δύναμις ξηραντική τε καὶ ῥυπτικὴ μετρίως, ὥστε καὶ πυρίκαυτα θεραπεύειν πεπίστευται. καθεψηθέντα δὲ ἐν οἴνῳ αὐστηρῷ κολλητικὸν τραυμάτων μεγάλων τὸν οἶνον ἀποφαίνει.

[μβ'. *Περὶ ἀνδροσάκους.*] Ἀνδρόσακες πικρὰ καὶ δριμεῖα πόα. δύναται δὲ ξηρανθεῖσα καὶ πινομένη αὐτή τε καὶ ὁ καρπὸς αὐτῆς οὖρα κινεῖν ἱκανῶς καὶ δηλονότι διαφορεῖν καὶ ξηραίνειν.

(75) [μγ'. *Περὶ ἀνδράχνης.*] Ἀνδράχνη ψυχρά ἐστι καὶ ὑδατώδης τὴν κρᾶσιν, ὀλίγου δέ τινος αὐστηροῦ μετέχει. διὸ καὶ ἀποκρούεται ῥεύματα καὶ μάλιστα χολώδη καὶ θερμὰ μετὰ τοῦ μεταβάλλειν αὐτὰ καὶ ἀλλοιοῦν κατὰ τὴν ποιότητα ἱκανῶς ἐμψύχειν. καὶ εἴη ἂν ἐν μὲν τῇ τοῦ ψύχειν δυνάμει τρίτης ἀποστάσεως ἀπὸ τῶν συμμέτρων τε καὶ μέσων, ἐν δὲ τῇ τοῦ ὑγραίνειν δευτέρας. ταῦτά τοι καὶ τοὺς καυσουμένους ὀνίνησιν εἴπερ τι ἄλλο κατά τε στόματος τῆς

nuncupatum eſt ſpecies hyperici, alterum vero a quibusdam dionyſias appellatur. Eſt autem fructus eorum purgatorius, foliorum vero facultas modice extergens et deſiccans, ut et ambuſta curare credantur. Caeterum in vino auſtero decocta, vinum ipſum vulnerum grandium glutinatorium efficiunt.

[42. *De Androſace.*] Androſace amara et acris herba. Poteſt autem reſiccata ebibitaque tum ipſa, tum fructus ejus magnopere urinam provocare, et nimirum etiam diſcutere et deſiccare.

[43. *De Andrachne portulaca.*] Andrachne portulaca frigida et aquea temperie eſt, paucae particeps auſteritatis. Proinde fluxiones repellit et maxime bilioſas et calidas, cum eo quod eas mutet et in qualitate alteret, magnopere refrigerans. Et fuerit ſane in refrigerandi quidem facultate tertii exceſſus a temperatis ac mediis, in humectandi vero ſecundi. Hac ratione et aeſtuantes ut ſi quid aliud adjuvat tum ventris oſculo impoſita tum

κοιλίας ἐπιτιθεμένη καὶ ὅλων τῶν ὑποχονδρίων, καὶ μάλιστα ἐπὶ τῶν ἑκτικῶν πυρετῶν, αἱμωδίας τέ ἐστιν ἴαμα ἐξηρασμένα ταχέως ὑπὸ τῆς τῶν ὀξέων χυμῶν ὁμιλίας αὐτὴ λειαίνουσά τε καὶ ἀναπληροῦσα, τῷ γλίσχρον ἔχειν τὴν ὑγρότητα. [157] καὶ ὁ χυμὸς δὲ αὐτῆς ὁμοίως, ὥστε οὐ μόνον ἔξωθεν ἐπιτιθέμενος, ἀλλὰ καὶ πινόμενος ἐμψύχει. τοῦτο μέν γε καὶ αὐτῇ τῇ βοτάνῃ συμβέβηκεν ὅλῃ βρωθείσῃ. διὰ δὲ τὸ ὑποστύφειν καὶ δυσεντερικοῖς ἐστιν ἐπιτήδειον ἔδεσμα καὶ γυναικείῳ ῥῷ καὶ αἵματος ἀναγωγαῖς. εἰς ταῦτα μέντοι πολὺ δραστικώτερος αὐτῆς τῆς πόας ὁ χυλός ἐστιν.

[μδ'. Περὶ ἀνεμώνης.] Ἀνεμῶναι πᾶσαι δριμείας καὶ ῥυπτικῆς εἰσιν, ἐπισπαστικῆς τε καὶ ἀναστομωτικῆς δυνάμεως. ὅθεν ἥ τε ῥίζα διαμασωμένη φλέγμα προκαλεῖται καὶ ὁ χυλὸς ἐκ ῥινῶν καθαίρει καὶ τὰς ἐν ὀφθαλμοῖς οὐλὰς λεπτύνει. καὶ τὰ ῥυπαρὰ δὲ τῶν ἑλκῶν καθαίρουσιν αἱ ἀνεμῶναι καὶ λέπρας ἀφιστῶσιν, ἔμμηνά τε προκαλοῦνται προστιθέμεναι καὶ γάλα ἀνασπῶσιν.

totis hypochondriis, maxime in febribus hecticis. Praeterea dentium ftuporem fanat, nempe quae ab acidorum fuccorum contactu afpere exiccata fuerant, leniens atque replens, utpote quum vifcofam habeat humiditatem. Similiter vero et fuccus ejus. Itaque non foris modo impofitus, fed epotus quoque refrigerat. Hoc fane et toti herbae comefae accidit. Quoniam autem fubaftringit, utiliter dyfentericis editur et muliebri profluvio et fanguinis rejectionibus. Sed ad haec quidem multo eft quam herba fuccus ipfius efficacior.

[44. *De Anemone.*] Anemonae omnes acres et extergendi et attrahendi et ora vaforum referandi facultatem obtinent. Itaque radix commanfa pituitam evocat. Et fuccus ex naribus purgat et oculorum cicatrices extenuat. Infuper fordida ulcera anemonae expurgant et lepras detrahunt, menfesque appofitae eliciunt et lac trahunt.

[με'. Περὶ ἀνήθου.] Ἄνηθον θερμαίνει μὲν εἰς τοσοῦτον ὡς ἤτοι τῆς δευτέρας αὐτὸ τάξεως ἐπιτεταμένης ἢ κἀς τρίτης ἐκλελυμένης ὑπολαβεῖν. τῶν ξηραινόντων δὲ τῆς δευτέρας ἐστὶ τάξεως ἀρχομένης, ἢ τῆς πρώτης ἐπιτεταμένης, ὥστε εἰκότως ἑναφεψόμενον ἐλαίῳ, διαφορητικόν τε καὶ ἀνώδυνον καὶ ὑπνοποιὸν καὶ πεπτικὸν ὠμῶν καὶ ἀπέπτων ὄγκων ὑπάρχει. γίγνεται γὰρ τὸ ἐξ αὐτοῦ ἔλαιον ἐγγύς τι τῆς κράσεως τοῖς πυοποιοῖς τε καὶ πεπτικοῖς ὀνομαζομένοις φαρμάκοις, πλὴν ὅτι θερμότερον αὐτῶν βραχεῖ καὶ λεπτομερές ἐστι καὶ διὰ τοῦτο καὶ διαφορητικόν. καυθὲν δὲ τῆς τρίτης τάξεως γίνεται τῶν θερμαινόντων τε καὶ ξηραινόντων, καὶ διὰ τοῦτο πλαδαροῖς ἕλκεσιν ἐπιπλαττόμενον ὀνίνησι καὶ μάλιστα τοῖς ἐν αἰδοίῳ. τὰ δὲ ἐπὶ τῆς πόσθης χρόνια καὶ ἐπουλοῖ καλῶς. ὑγρότερον δὲ δηλονότι καὶ ἧττον θερμόν ἐστι τὸ χλωρὸν ἔτι καὶ εὔχυμον, ὥστε πεπτικώτερον μὲν καὶ ὑπνοποιὸν ἔσται μᾶλλον τοῦ ξηροῦ, διαφορητικὸν δ' ἧττον. διὰ τοῦτό μοι δοκοῦσι καὶ οἱ παλαιοὶ ἐξ αὐτοῦ στεφάνοις χρῆσθαι παρὰ τὰ συμπόσια.

[45. *De Anetho.*] Anethum adeo calefacit ut habendum fit aut fecundi ordinis intenfi, aut tertii remiffi, exiccantium vero ordinis eft fecundi incipientis, aut primi finientis. Itaque merito in oleo decoctum digerit, dolorem fedat, fomnum conciliat et crudos et incoctos tumores concoquit; fit enim ex eo oleum, cujus propinqua fit temperies pus moventibus et concoquentibus vocatis medicamentis, nifi quatenus paulo illis tum calidius tum tenuius eft, ac proinde difcutiens. Uftum autem tertii ordinis tum calefacientium tum deficcantium fit. Et proinde ulceribus nimis humidis mollibusque infperfum prodeft, potiffimum iis quae in pudendis confiftunt, at quae in praeputio funt inveterata, ea probe cicatrice includit. Caeterum viride adhuc et fucculentum humidius eft fcilicet et minus calidum. Itaque magis concoquit et fomnum conciliat magis quam ficcum, fed minus difcutit. Idcirco mihi videntur veteres coronis ex eo plexis in conviviis ufi fuiffe.

[*μστ'. Περὶ ἀνθυλλίδος.*] *Ἀνθυλλὶς διττὴ μέν ἐστιν, ἀμφότεραι δὲ ξηραίνουσι μετρίως, ὥστε καὶ ἕλκη κολλᾷν. ἡ δ' ἑτέρα αὐτῶν, ἡ τῇ χαμαιπίτυϊ ἐοικυῖα, λεπτομερεστέρα πώς ἐστι τῆς ἑτέρας, ὡς καὶ τοῖς ἐπιλήπτοις ἁρμόττειν. αὐτὴ δὲ καὶ ῥυπτικωτέρα τῆς ἑτέρας ὑπάρχει.*

[*μζ'. Περὶ ἀνθεμίδος.*] *Ἀνθεμὶς ἢ χαμαίμηλον. εἴρηται μὲν κᾀν τῷ τρίτῳ γράμματι περὶ ταύτης τῆς πόας ἐπὶ πλέον. εἰρήσεται δὲ καὶ νῦν ἐν κεφαλῇ, ὡς ξηραίνει καὶ θερμαίνει κατὰ τὴν πρώτην τάξιν. ἔστι δὲ καὶ λεπτομερὴς καὶ διὰ ταῦτα διαφορητικὴ καὶ ἀραιωτικὴ καὶ χαλαστικὴ τὴν δύναμιν ὑπάρχει.*

[*μη'. Περὶ ἀνίσου.*] *Ἀνίσου τὸ σπέρμα μάλιστ' ἐστὶ χρήσιμον, δριμὺ καὶ ὑπόπικρον ὑπάρχον, ὥστ' ἐγγὺς ἥκειν θερμότητος τῶν καυστικῶν. ἔστι δὲ κᾀν τῷ ξηραίνειν ἐκ τῆς τρίτης ἀποστάσεως, ὥσπερ κᾀν τῷ θερμαίνειν. ταῦτ' ἄρα καὶ οὐρητικόν ἐστι καὶ διαφορητικὸν, ἐμπνευματώσεις τε τὰς κατὰ γαστέρα καθίστησιν.*

[46. *De Anthyllide.*] Anthyllis duplex eſt, ſed utraque modice deſiccat, ut et ulcera glutinet. Caeterum altera ea ſcilicet, quae chamaepityi aſſimilis eſt, quadantenus tenuiorum eſt partium quam altera, adeo ut et comitialibus competat. Quin et ipſa magis quam altera extergere poteſt.

[47. *De Anthemide ſeu chamaemelo.*] Anthemis aut chamaemelum, dictum quidem in tertio libro copioſius eſt de hac herba, diceturque nunc ſummatim quod calefacit et deſiccat in primo ordine. Eſt et tenuium partium, ac proinde diſcutiendi, laxandi et rarefaciendi vim obtinet.

[48. *De Aniſo.*] Aniſi ſemen maxime utile eſt, acre et ſubamarum, ut prope ad urentium accedat caliditatem. Eſt autem in ſiccando tertii ordinis, ſicut et in calefaciendo. Proinde et urinam ciet et digerit et inflationes ventris reprimit.

[158] [*μθ'. Περὶ ἀντιῤῥίνου.*] *Ἀντίῤῥιον ἢ ἀνάῤῥινον ὅμοιον μόσχου ῥισὶν ἔχει τὸν καρπὸν, ἄχρηστον εἰς τὰς ἰάσεις. αὐτὸ δὲ παραπλησίας ἐστὶ τῷ βουβωνίῳ δυνάμεως, ἀλλὰ πολὺ καταδεέστερον, ὥστε ἐξ ἐκείνων καὶ περὶ τούτου μαθήσῃ.*

[*ν'. Περὶ ἀπαρίνης.*] *Ἀπαρίνη· οἱ μὲν φιλάνθρωπον, οἱ δὲ ὀμφακόκαρπον, μετρίως ῥύπτει καὶ ξηραίνει. ἔχει δὲ καί τι λεπτομερές.*

[*να'. Περὶ ἀπίου.*] *Ἀπίου τὰ μὲν φύλλα καὶ οἱ ἀκρέμονες αὐστηροὶ, ὁ δὲ καρπὸς ἔχει τι καὶ γλυκύτητος ὑδατώδους, ἐξ ὧν δήλη καὶ ἡ κρᾶσίς ἐστιν ἀνώμαλός τις ὑπάρχουσα κατὰ τὰ μόρια, καὶ τὸ μέν τι γεῶδες ἔχουσα, τὸ δ' ὑδατῶδες, καὶ καθ' ἑκάτερον τὸ μέν τι ψυχρὸν, τὸ δ' εὔκρατον. καὶ διὰ τοῦτ' ἐσθιόμενοι μὲν εὐστόμαχοί τ' εἰσὶ καὶ ἄδιψοι. καὶ καταπλαττόμενοι δὲ ξηραίνουσί τε καὶ μετρίως ψύχουσιν, ὡς ἔγωγε κολλήσας αὐτοῖς οἶδα τραῦμα, μηδενὸς ἄλλου φαρμάκου παρόντος.*

[*νβ'. Περὶ ἀχράδων.*] *Ἀχράδες ὀνομαζόμεναι καὶ στύφουσι μᾶλλον τῶν ἄλλων ἀπίων καὶ ξηραίνουσι, καὶ διὰ*

[49. *De Antirrhino.*] Antirrhinum, aut Anarrhinum fructum habet vituli naribus fimile, ad fanationes inutile. Ipfum autem fimilis eft cum bubonio facultatis, fed multo minoris. Itaque ex illo de hoc conjicito.

[50. *De Aparine.*] Aparine quidam philanthropon, alii omphacocarpum cognominant, modice extergit et deficcat, habetque nonnihil tenuium partium.

[51. *De apio, pyro.*] Pyri folia pariter ac turiones auftera funt, fructus dulcedinis etiam quiddam obtinet aqueae. Ex quibus clara quoque temperies eft, inaequalis fecundum partes, nam pars una terrea eft, alia aquea, caeterum utraque frigida, tum alia temperata. Proinde efu pyra ftomacho grata funt et fitim prohibent, illita autem deficcant et modice refrigerant. Nam ego iis illitis vulnus glutinaffe me memini, quum aliud ad manum effet nihil.

[52. *De Achradibus feu pyris fylveftribus.*] Achrades vocatae magis quam pyra reliqua aftringunt et defic-

τοῦτο δηλονότι καὶ κολλῶσι τραύματα μείζονα καὶ ἀποτρέπουσι ῥεύματα.

[νγ'. Περὶ ἀποκύνου.] Ἀπόκυνον ἢ κυνοκράμβη. καλοῦσι δ' ἔνιοι καὶ κυνόμορον αὐτὴν, ἐπειδὴ τάχιστα τοὺς κύνας ἀναιρεῖ, καθάπερ τὸ λυκοκτόνον τοὺς λύκους. ἔστι δὲ ἀνθρώπων δηλητήριον, ἱκανῶς δυσώδης πόα, διὸ καὶ θερμὴ πάντως ἐστὶν οὐκ ἀγεννῶς, οὐ μὴν ἀνάλογόν γε ξηρά· διὰ τοῦτ' οὖν καὶ καταπλασσόμενον ἱκανῶς διαφορητικῆς ἐστι δυνάμεως.

[νδ'. Περὶ ἀργεμόνης.] Ἀργεμόνη. καὶ ταύτης τῆς πόας ἡ δύναμις ῥυπτική τέ ἐστι καὶ διαφορητική.

(76) [νε'. Περὶ ἀρισάρου.] Ἀρίσαρον. τοῦτο καὶ μικρότερόν ἐστι πολλῷ τοῦ ἄρου, καὶ ῥίζαν ἐλαίας ἔχει τὸ μέγεθος. ἔστι δ' αὐτοῦ πολὺ δριμύτερον.

[νστ'. Περὶ ἀριστολοχίας.] Ἀριστολοχίας ἡ ῥίζα χρειωδεστάτη πρὸς τὰς ἰάσεις, πικρὰ καὶ ὑπόδριμυς ὑπάρχουσα. λεπτομερεστέρα δ' ἐξ αὐτῶν ἐστιν ἡ στρογγύλη καὶ κατὰ πάντα δραστικωτέρα. τῶν δ' ἄλλων δυοῖν ἡ μὲν κληματῖ-

cant. Et proinde ſane majora vulnera glutinant fluxusque repellunt.

[53. *De Apocyno, aut cynocrambe.*] Apocynum aut cynocrambe. Vocant autem quidam eam Cynomorum, quandoquidem canes celerrime interimit, ſicut lycoctonon lupos. Eſt autem hominibus venenum, herba multum graviter olens, proinde omnino calida eſt non inſtrenue, non tamen proportione deſiccat. Itaque illita admodum digerentis eſt facultatis.

[54. *De Argemone.*] Argemone. Et hujus herbae facultas deterſoria eſt et digerens.

[55. *De Ariſaro.*] Ariſarum multo minus eſt aro. Radicem habet olivae magnitudine, ſed multo eſt ipſa acrius.

[56. *De Ariſtolochia.*] Ariſtolochiae radix multo eſt ad medicationes utiliſſima, amara et ſubacris. Sed ex illis omnium ſubtiliſſima eſt rotunda et ad omnia efficacior. Aliarum vero duarum, quae clematitis appellatur, ſragran-

τις εὐωδεστέρα μὲν, ὥστε καὶ πρὸς τὰ μύρα χρῆσθαι τοὺς μυρεψοὺς αὐτῇ, πρὸς τὰς ἰάσεις δ' ἀσθενεστέρα. ἡ μακρὰ δ' ἧττον μὲν λεπτομεροῦς ἐστι τῆς στρογγύλης, οὐ μὴν οὐδ' αὐτή γε ἄπρακτος, ἀλλ' ἔστι τῆς ῥυπτικῆς τε καὶ θερμαντικῆς δυνάμεως, καὶ τῆς στρογγύλης ἧττον μὲν ῥύπτει καὶ διαφορεῖ, θερμαίνει δ' οὐχ ἧττον, ἀλλ' ἴσως καὶ μᾶλλον. ὅθεν ἐφ' ὧν μέν ἐστι χρεία τοῦ μετρίως ῥύπτειν, ἡ μακρὰ χρησιμωτέρα, καθάπερ ἔν τε ταῖς τῶν ἑλκῶν σαρκώσεσι καὶ ταῖς τῶν ὑστερῶν πυρίαις· [159] ἐφ' ὧν δὲ παχὺν χυμὸν ἰσχυρότερον λεπτῦναι, τῆς στρογγύλης ἡ χρεία. διὰ τοῦτο καὶ τὰ δι' ἔμφραξιν ἤ τι πάχος ἀπέπτων πνευμάτων ἀλγήματα θεραπεύει μᾶλλον ἡ στρογγύλη καὶ σκόλοπας ἀνάγει καὶ σηπεδόνας ἰᾶται καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν καθαίρει καὶ ὀδόντας καὶ οὖλας λαμπρύνει. βοηθεῖ δὲ καὶ ἀσθματικοῖς καὶ λύζουσιν, ἐπιληπτικοῖς τε καὶ ποδαγρικοῖς, μεθ' ὕδατος πινομένη, καὶ ῥήγμασι δὲ καὶ σπάσμασιν εἴπερ τι ἄλλο φάρμακον ἐπιτήδειός ἐστιν.

[ρζ. Περὶ ἀρκεύθου.] Ἄρκευθος θερμὴ καὶ ξηρὰ

tior est, itaque ea ad unguenta utuntur unguentarii, sed ad sanationes infirmior. At longa minus quidem tenuitatis partium obtinet quam rotunda, sed nec ipsa inefficax est, verum abstergendi atque calefaciendi facultatem possidet, minus quidem quam rotunda abstergens ac digerens, sed non minus calefaciens, imo forsan plus quoque. Itaque in quibus usus est modicae abstersionis, commodior est longa, puta in ulceribus carne explendis et fomentationibus uteri; at in quibus crassum humorem validius extenuare oportet, illic usus est rotundae. Proinde dolores ab infarctu, aut crassitie crudorum spirituum natos magis curat rotunda et spicula extrahit et putredines sanat et sordida ulcera repurgat, dentes et gingivas candidas efficit. Auxilio est et asthmaticis, singultientibus, comitialibus, podagricis, si cum aqua bibatur. Tum ruptis et convulsis ut si quod aliud medicamentum idoneum est.

[57. *De Arceutho, junipero.*] Juniperus calida et

τῆς τρίτης τάξεως κατ' ἄμφω. ὁ δὲ καρπὸς αὐτῆς θερμὸς μὲν ὁμοίως, ξηραίνει δ' οὐχ ὁμοίως, ἀλλ' εἴη ἂν ἐν τῷδε τῆς πρώτης τάξεως.

[νη'. Περὶ ἀρκτίου.] Ἄρκτιον τὸ μὲν τῷ φλόμῳ παραπλήσιον, τὸ τὴν ῥίζαν ἁπαλὴν καὶ λευκὴν καὶ γλυκεῖαν ἔχον καὶ τὸν καυλὸν μακρὸν καὶ μαλακὸν καὶ τὸν καρπὸν ὅμοιον κυμίνῳ, λεπτομεροῦς μὲν ἱκανῶς ἐστι δυνάμεως, καὶ δι' αὐτὸ τοῦτο ξηραντικῆς μέντοι καὶ ῥυπτικῆς μετρίως, ὅθεν καὶ ἡ ῥίζα καὶ ὁ καρπὸς αὐτοῦ ἀφεψόμενοι σὺν οἴνῳ πραΰνει πως ὀδόντων ἀλγήματα. πυρικαύτων τε καὶ χιμέθλων καὶ τὸ τούτων μὲν ἀφέψημα καταντλώμενον, ἀλλὰ καὶ οἱ κλῶνές εἰσιν ἰάματα.

[νθ'. Περὶ ἑτέρου ἀρκτίου.] Τὸ δ' ἕτερον ἄρκτιον, ὃ δὴ καὶ προσωπίδα καλοῦσιν, οὗ τὰ φύλλα τοῖς τῆς κολοκύνθης ἐστὶν ὁμοιότατα, πλὴν ὅσῳ μείζω τε καὶ σκληρότερα, διαφορητικὸν μέν ἐστιν καὶ ξηραντικόν. ἔχει δέ τι καὶ στυπτικὸν μετρίως, διὰ τοῦτο αὐτοῦ καὶ τὰ φύλλα παλαιῶν ἑλκῶν ἐστιν ἰατικά.

ficca utrinque tertii ordinis. At fructus fimiliter quidem calidus eft, fed non fimiliter ficcat, verum in hoc primi fuerit ordinis.

[58. *De Arctio, lappa minore.*] Arctium illud, quod tapfo verbafco eft fimile radice tenera, candida, dulci, caule oblongo et molli, femine cumino fimili, facultatis eft admodum tenuium partium et ob id exiccantis extergentisque tamen modice. Quamobrem radix ac femen ejus cocta cum vino quadantenus dolores dentium mitigant. Porro ambufta et perniones, non horum modo decoctum perfufum, fed et caules teneriores fanare poffunt.

[59. *De Arctio lappa majore, bardana.*] Alterum vero arctium, quod perfonaciam vocant, cujusque folia cucurbitae fimillima funt, nifi quatenus tum majora tum duriora, digerit fimul et deficcat, fed et aftringit nonnihil. Quamobrem folia ejus veteribus ulceribus mederi poffunt.

[ξ΄. Περὶ ἀρνογλώσσου.] Ἀρνόγλωσσον. μικτῆς καὶ τοῦτο κράσεώς ἐστιν. ἔχει μὲν γάρ τι καὶ ὑδατῶδες ψυχρὸν, ἔχει δέ τι καὶ αὐστηρὸν, ὅπερ ἐστὶ γεῶδες, ξηρὸν ψυχρὸν, ὥστε ψύχει τε ἅμα καὶ ξηραίνει καὶ κατ᾽ ἄμφω τῆς δευτέρας ἐστὶν ἀποστάσεως τῶν μέσων. ὅσα δὲ μετὰ ψύξεως ξηρά ἐστι φάρμακα, καὶ πρὸς ἕλκη κακοήθη πάντα καὶ πρὸς ῥεύματα καὶ σηπεδόνας ἁρμόττει. καὶ διὰ τοῦτο καὶ πρὸς δυσεντερίας, καὶ γὰρ καὶ τὰς αἱμοῤῥαγίας ἵστησι καὶ, εἴ τι διακαὲς, ἐμψύχει, καὶ κολλητικά κόλπων ἐστὶ καὶ τῶν ἄλλων ἑλκῶν προσφάτων τε ἅμα καὶ παλαιῶν. ἐν ἅπασι δὲ σχεδὸν τοῖς τοιούτοις φαρμάκοις ἢ πρῶτον ἢ οὐδενὸς δεύτερον ἀρνόγλωσσον ὑπάρχει τῇ συμμετρίᾳ τῆς κράσεως. καὶ γὰρ ξηρότητος ἀδήκτου μετέχει καὶ ψύξεως μηδέπω ναρκούσης, καὶ ὁ καρπὸς δ᾽ αὐτοῦ καὶ αἱ ῥίζαι παραπλησίας εἰσὶ δυνάμεως, πλήν γε ὅτι ξηροτέρας τε καὶ ἧττον ψυχρᾶς. ἀλλ᾽ ὁ μὲν καρπὸς λεπτομερέστερος, αἱ δὲ ῥίζαι παχυμερέστεραι. καὶ αὐτὰ δὲ τὰ φύλλα τῆς πόας ξηρανθέντα λεπτομερεστέρας τε καὶ ἧττον ψυχρᾶς γίγνεται δυνάμεως, ὡς ἀποπνεύ-

[60. *De arnoglosso, plantagine.*] Arnogloſſum. Mixtae et hoc eſt temperiei, habet enim quiddam aqueum frigidum, habet vero et auſterum quiddam id quod terreum eſt, ſiccum frigidum. Itaque refrigerat ſimul et deſiccat et in utroque ſecundi exceſſus a mediis eſt. Porro medicamenta, quae cum hoc quod refrigerant, una etiam aſtringunt, ea et ad ulcera rebellia omnia et ad fluxiones et putredines conveniunt, ac proinde et ad dyſenterias. Nam et ſanguinis profluvia ſiſtunt et ſiquid aduratur refrigerant. Tum ſinus quoque glutinant et alia ulcera recentia ſimul et vetera. In omnibus fere id genus medicamentis primas tenet, aut certe nulli ſecundum eſt, plantago, idque temperiei commoderatione. Nam ſiccitatem obtinet morſus expertem et frigiditatem, quae nondum obſtupefaciat. Et fructus et radix ſimilis ſunt facultatis, niſi quod tum ſiccioris tum minus frigidae. Sed fructus quidem tenuiorum eſt partium, radices autem craſſiorum partium. Et ipſa herbae folia exiccata tenuiorum ſunt partium et minus fri-

σαντος αὐτῶν καὶ διαφορηθέντος τοῦ ὑδατώδους περιττώματος. ταῦτ' ἄρα ταῖς μὲν ῥίζαις καὶ πρὸς ὀδόντων ἀλγήματα χρῶνται, διαμασωμέναις τε καὶ τοῖς διακλύμασιν αὐτῶν ἐνεψομέναις. πρὸς δὲ τὰς καθ' ἧπαρ καὶ νεφροὺς ἐμφράξεις καὶ ταύταις μὲν, ἀλλὰ καὶ τοῖς φύλλοις καὶ πολὺ μᾶλλον ἔτι τῷ καρπῷ. μετέχει γάρ τινος ἅπαντα ταῦτα δυνάμεως ῥυπτικῆς, ἣν εἰκὸς εἶναι κἀν τῇ πόᾳ μὲν χλωρᾷ, νικᾶσθαι δ' ὑπὸ τοῦ πλήθους τῆς ὑγρότητος.

[160] [ξα'. Περὶ ἄρου.] Ἄρον. ἐκ γεώδους καὶ τοῦτο γέγονεν οὐσίας θερμῆς, καὶ διὰ τοῦτο ῥυπτικῆς ἐστι δυνάμεως, ἀλλ' οὐκ ἰσχυρᾶς ὥσπερ τὸ δρακόντιον. ἔστιν οὖν ἔν τε τῷ ξηραίνειν καὶ τῷ θερμαίνειν τῆς πρώτης κατ' ἄμφω τάξεως. αἱ ῥίζαι δ' αὐτοῦ μάλιστ' εἰσὶ χρήσιμοι. καὶ δὴ καὶ ἐσθιόμεναι τέμνουσι πάχος χυμῶν μετρίως, ὥστε καὶ ταῖς ἐκ θώρακος ἀναπτύσεσίν εἰσιν ἐπιτήδειοι. τὸ δὲ δρακόντιον εἰς ταῦτα ἐπιτηδειότερον.

[ξβ'. Περὶ ἀρτεμισίας.] Ἀρτεμισία. διττὴ μέν ἐστι καὶ ἡ ἀρτεμισία πόα. θερμαίνουσι δ' ἀμφότεραι καὶ μετρίως

gidae facultatis, nempe diffilato ex eis ac digefto excremento aqueo. Hac ratione et radicibus utuntur ad dentium dolores tum mandentes tum collutionibus incoquentes. Praeterea ad jecinoris et renum obftructiones non has tantum adhibent, fed folia quoque et multo magis fructus. Haec enim omnia quandam in fe abftergendi facultatem obtinent, quam et in herba viridi ineffe fatis conjici poteft, verum ab humiditatis copia devinci.

[61. *De Aro.*] Aron terrena et ipfum effentia conftat calida. Proinde extergendi vim obtinet, verum non valentem, ficut dracontium. Eft itaque in exiccando et calefaciendo primi ordinis. Radices ejus maxime funt utiles, fiquidem comefae craffitiem humorum mediocriter incidunt, adeo ut et excreationibus ex pectore idoneae fint, fed magis tamen aptum eft dracontium.

[62. *De Artemifia.*] Artemifia. Duplex quidem eft herba Artemifia, fed utraque calefacit et modice defic-

ξηραίνουσι, καὶ κείσθωσαν ἐν μὲν τῷ θερμαίνειν δευτέρας ἀποστάσεως, ἐν δὲ τῷ ξηραίνειν ἢ πρώτης ἐπιτεταμένης ἢ δευτέρας ἀρχομένης. εἰσὶ δὲ καὶ λεπτομερεῖς μετρίως, ὥστε καὶ πρὸς τοὺς ἐν νεφροῖς λίθους ἁρμόττειν μετρίως καὶ εἰς πυρίας ὑστερῶν.

[ξγ'. Περὶ ἀσάρου.] Ἄσαρον. ταύτης τῆς πόας αἱ ῥίζαι χρήσιμοι, παραπλήσιαι μὲν ταῖς τοῦ ἀκόρου τὴν δύναμιν, ἐπιτεταμέναι δὲ μᾶλλον, ὥστ' ἐξ ὧν ὑπὲρ ἐκείνου προείρηται καὶ περὶ τούτου χρὴ γνωρίζειν.

[ξδ'. Περὶ ἀσκληπιάδος.] Ἀσκληπιάς. ἐν τῷ τρίτῳ Διοσκουρίδης περὶ ταύτης τῆς πόας ἔγραψεν. ἡμεῖς δὲ οὐδέπω πεῖραν αὐτῆς ἔχομεν.

[ξε'. Περὶ ἀσπαλάθου.] Ἀσπάλαθος καὶ κατὰ τὴν γεῦσίν ἐστι δριμὺς ἅμα καὶ στυπτικὸς καὶ κατὰ τὴν δύναμιν ἐξ ἀνομοιομερῶν δηλονότι σύγκειται, μέρεσι μὲν ἑαυτοῦ τοῖς δριμέσι θερμαίνων, μέρεσι δ' ἑτέροις τοῖς αὐστηροῖς ψύχων, ὥστε ξηραίνει κατ' ἄμφω καὶ ψύχει, καὶ διὰ τοῦτο πρὸς σηπεδόνας καὶ ῥεύματα χρήσιμος ὑπάρχει.

cat, et fint quod ad calefactionem attinet, exceffus fecundi, quod vero ad reficcationem, aut primi intenfi aut fecundi incipientis. Sunt autem et modice tenuium partium. Itaque ad renum calculos mediocriter commodae funt et ad fomentationes uteri.

[63. *De Afaro.*] Afarum. Hujus herbae radices utiles funt facultate fimiles radicibus acori, intenfiores tamen. Itaque ex iis, quae de illis prodita funt, hic facienda conjectura.

[64. *De Afclepiade.*] Afclepias. In tertio Diofcorides de hac herba confcripfit, at nos ejus nondum periculum fecimus.

[65. *De Afpalatho.*] Afpalathus guftu quidem acris fimul et aftringens eft, facultate vero ex diffimilaribus conflat, nempe partibus fuis acribus calefaciens, partibus vero aliis, aufteris fcilicet, refrigerans. Itaque utriusque ratione deficcat et refrigerat, et proinde ad putredines et fluxiones eft utilis.

(77) [ξστ΄. Περὶ ἀσπαράγου.] Ἀσπάραγος πετραῖος ἢ μυακάνθινος, ῥυπτικῆς ἐστι δυνάμεως, οὐ μὴν οὔτε θερμαίνει σαφῶς οὔτε ψύχει. ταῦτά τοι καὶ νεφρῶν καὶ ἥπατος ἐκφρακτικὸς ὑπάρχει, καὶ μάλισθ' αἱ ῥίζαι τῆς βοτάνης καὶ τὸ σπέρμα. καὶ μὲν δὴ καὶ ὀδονταλγίας ἰᾶται τῷ ξηραίνειν, ὧν δὴ καὶ μάλιστα χρήζουσιν οἱ ὀδόντες. Ἀθηναῖοι δὲ διὰ τοῦ φ λέγουσιν ἀσφάραγον.

[ξζ΄. Περὶ ἀσπλήνου.] Ἄσπληνον. λεπτομερὴς μὲν, οὐ μὴν θερμή γε τὴν δύναμιν ἡ πόα. ταῦτ' ἄρα καὶ λίθους θρύπτει καὶ σπλῆνας τήκει.

[ξη΄. Περὶ ἀστραγάλου.] Ἀστράγαλος θαμνίσκος ἐστὶ μικρὸς, ἔχων ῥίζας στυπτικὰς, διὸ καὶ τῶν ξηραινόντων ἐστὶν οὐκ ἀγεννῶς. ἐπουλοῖ γοῦν ἕλκη παλαιὰ καὶ κοιλίαν ἵστησι ῥευματιζομένην, εἴ τις ἀφεψήσας ἐν οἴνῳ τὴν ῥίζαν πίνοι πλεῖστος ὁ θάμνος ἐν Φενεῷ τῆς Ἀρκαδίας γεννᾶται.

[161] [ξθ΄. Περὶ ἀστέρος Ἀττικοῦ.] Ἀστὴρ Ἀττικός. οἱ δὲ βουβώνιον ὀνομάζουσιν, ὅτι μὴ μόνον ἐπιπλαττόμενον,

[66. *De Afparago.*] Afparagus petraeus aut myacanthinus abfiergendi vim habet, idque citra manifeftam aut caliditatem aut frigiditatem. Hinc renes ac jecur infarctu liberat et maxime herbae ipfius radices et femen. Quin et dentium dolores fanat ficcitatis nomine citra calefactionem, quam vel maxime dentes requirunt. Porro Athenienfes per ph dicunt Afpharagus.

[67. *De Afpleno.*] Afplenum tenuium quidem partium, non tamen calida eft herba. Hac utique ratione et lapides frangit et lienes liquat.

[68. *De Aftragalo.*] Aftragalus fruticellus eft exiguus, radices habens aftrictorias. Quamobrem etiam ex numero eft non inftrenue exiccantium. Nam ulcera vetera ad cicatricem ducit et alvum fluxu tentatam fiftit, fiquis in vino decoctam radicem bibat. Plurimus hujus fruticis proventus eft in Pheneo Arcadiae.

[69. *De Aftere Attico.*] After Atticus. Alii Bubonium vocant, non ob id tantum, quod illitum, fed etiam

ἀλλὰ καὶ περιαπτόμενον ἰᾶσθαι πεπίστευται βουβῶνας. ἔχει μέν τι καὶ διαφορητικὸν, ἀλλ' οὐχ ἥκιστα καὶ ψυκτικόν τι καὶ ἀποκρουστικὸν, ὥστε καὶ μικτῆς εἶναι δυνάμεως ὥσπερ καὶ τὸ ῥόδον, ἀλλ' οὐ στύφει γε τοῦτο.

[ο'. *Περὶ ἀσταφίδος.*] Ἀσταφὶς ἡ μὲν ἥμερος πεπτικῆς τε ἅμα καὶ στυπτικῆς καὶ διαφορητικῆς ἀτρέμα μετέχει δυνάμεως. ἡ δ' ἀγρία δριμείας ἰσχυρῶς, ὡς ἀποφλεγματίζειν τε καὶ ῥύπτειν σφοδρῶς, ὥστε καὶ πρὸς ψώραν ἁρμόττει. μετέχει δὲ καὶ καυστικῆς τινος δυνάμεως.

[οα'. *Περὶ ἀσφοδέλου.*] Ἀσφόδελος. καὶ τούτου ἡ ῥίζα χρήσιμος, ὥσπερ ἄρου καὶ ἀσάρου καὶ δρακοντίου, ῥυπτικῆς τε καὶ διαφορητικῆς ὑπάρχουσα δυνάμεως· καυθείσης δ' αὐτῆς ἡ τέφρα θερμοτέρα καὶ ξηραντικωτέρα καὶ λεπτομερεστέρα καὶ διαφορητικωτέρα γίγνεται καὶ διὰ τοῦτο καὶ ἀλωπεκίας ἰᾶται.

[οβ'. *Περὶ ἀτρακτυλίδος.*] Ἀτρακτυλὶς ἢ κνίκος ἄγριος ἐκ τῶν ἀκανθῶν ἐστιν. τὸ φυτὸν τοῦτο ξηραντικῆς τε καὶ μετρίως θερμῆς ὑπάρχει δυνάμεως.

quod suspensum bubones sanare credatur; habet quiddam etiam digerens, habet vero non minime et refrigerans quiddam ac reprimens, ut mixtae sit facultatis uti rosa, verum id non astringit.

[70. *De Astaphide uva.*] Astaphis culta quidem concoquendi, astringendi et leviter digerendi facultatem possidet. At Agrestis vehementer acrem obtinet, adeo ut ex capite pituitam eliciat abstergatque valenter. Itaque ad psoram accommoda est. Sed et urendi vim habet.

[71. *De Asphodelo.*] Asphodelus. Et hujus radix utilis est, sicut ari, asari et dracontii, nempe extergentis et digerentis facultatis. Ustae autem cinis calidior et exiccantior subtiliorque et digerere potentior efficitur, ac proinde et alopecias sanat.

[72. *De Atractylide.*] Atractylis aut cnicus agrestis. Haec planta ex spinarum est genere. Facultatem habet deficcandi et modice calidam.

[ογ'. *Περὶ ἀτραφάξιος.*] Ἀτράφαξις ὑγρὰ καὶ ψυχρὰ τὴν κρᾶσίν ἐστιν· ὑγρὰ μὲν δευτέρας τάξεως ἀπὸ τῶν μέσων, ψυχρὰ δὲ πρώτης, ἥνπερ δὴ χλιαρὰν ἐλέγομεν εἶναι θερμασίαν, οἵαπερ καὶ τοῖς ῥόδοις ἐστὶ, πλὴν οὐ μετέχει στύψεως. ἀλλ' ἔστιν ὑδατώδης καὶ ἥκιστα γεώδης, ὁμοίως τῇ μαλάχῃ, καὶ δὴ καὶ κατὰ γαστέρα διεξέρχεται ταχέως, ὥσπερ ἐκείνη διὰ γλισχρότητα. βραχὺ δέ τι παντάπασιν ὑπάρχει διαφορητικὸν αὐτῆς. εἰσὶ δ' αἱ κηπευόμεναι μαλάχαι καὶ ἀτραφάξιες ὑγρότεραί τε πολὺ καὶ ψυχρότεραι τῶν ἀγρίων. διὸ καὶ φλεγμοναῖς καὶ φυγέθλοις τοῖς μὲν ἀρχομένοις τε καὶ αὐξανομένοις καὶ μαλακοῖς ἔτι καὶ οἷον ζέουσιν αἱ κηπευόμεναι, ἀκμάζουσιν δὲ καὶ παρακμάζουσι καὶ σκληρυνομένοις αἱ ἄγριαι συμφορώτεραι. ὁ δὲ καρπὸς αὐτῆς ῥυπτικῆς ἐστι δυνάμεως, ὅθεν καὶ πρὸς ἰκτέρους τοὺς ἐπὶ ἥπατος ἐμφράξεις χρήσιμος ὑπάρχει.

[οδ'. *Περὶ ἀφάκης.*] Ἀφάκη δυνάμεώς ἐστι στυπτικῆς, ὥσπερ καὶ ὁ φακός. ἀλλὰ καὶ τοῖς φακοῖς ὁμοίως

[73. *De Atriplice.*] Atriplex humida et frigida temperie eſt, humida quidem ſecundi ordinis a mediis, frigida vero primi, quam utique tepidam eſſe caliditatem poſuimus, cujusmodi roſis ineſt, non tamen aſtrictionis eſt particeps, ſed aquea eſt et minimum terrena, quemadmodum malva. Quin et ventrem celeriter permeat, ut illa, ob lubricitatem. Porro paululum omnino ejus eſt, quod digerendi obtinet potentiam. Hortenſes autem atriplex et malva quam agreſtes tum humidiores ſunt tum frigidiores. Proinde phlegmonis et phygethlis incipientibus gliſcentibusque et e mollibus etiamnum ac velut ferventibus hortenſes, vigentibus autem et declinantibus ac indureſcentibus commodiores ſunt agreſtes. Semen ejus abſtergendi vim habet. Itaque ad auriginem ex jecoris infarctu prognatam utilis eſt.

[74. *De Aphace.*] Aphace vim habet aſtringendi, ſicut et ipſa lenticula. Sed et ſimiliter, ut lenticulae, edi

ἐσθίεται. καὶ δυσπεπτοτέρα μέν ἐστιν αὐτῶν, ἰσχυροτέρως δὲ ξηραίνει, θερμότητος δὲ μετέχει συμμέτρου.

[οε'. Περὶ ἀψινθίου.] Ἀψίνθιον στυπτικὴν καὶ πικρὰν καὶ δριμεῖαν ἅμα ποιότητα κέκτηται, θερμαῖνόν τε ἅμα καὶ ῥύπτον καὶ τονοῦν καὶ ξηραῖνον. διὰ τοῦτο καὶ τοὺς ἐν τῇ κοιλίᾳ χολώδεις χυμοὺς ἐπί τε τὴν κάτω διαχώρησιν ἀπάγει καὶ δι' οὔρων ἐκκενοῖ. [162] μᾶλλον δ' ἔτι τὸ ἐν ταῖς φλεψὶ χολῶδες ἐκκαθαίρει δι' οὔρων. διὰ ταῦτα καὶ φλέγματα ἐν τῇ κοιλίᾳ περιεχόμενα προσφερόμενον οὐδὲν ὀνίνησιν. οὕτω δὲ καὶ εἰ κατὰ θώρακα καὶ πνεύμονα τύχοι. ἡ γὰρ στυπτικὴ δύναμις ἐν αὐτῷ τῆς πικρᾶς ἐστιν ἰσχυροτέρα. τῷ δὲ καὶ δριμύτητός τινος μετέχειν πλείονι μέτρῳ θερμόν ἐστιν ἤπερ ψυχρόν. εἰ δὲ δέοι καθόλου περιλαμβάνοντι τὴν κρᾶσιν αὐτοῦ κατὰ τὰς πρώτας ἀφορίσαι δυνάμεις, καίτοι γ' ἀνομοιομεροῦς ὄντος, θερμὸν μὲν ἂν ὑπάρχειν αὐτὸ τῆς πρώτης ἀποστάσεως εἴποιμεν, ξηρὸν δὲ τῆς τρίτης. ὁ δὲ χυλὸς αὐτοῦ πολὺ τῆς πόας θερμότερος.

Κεφ. β'. [α'. Περὶ βαλάνου μυρεψικῆς.] Βάλανος

folet, caeterum aegrius quam illae concoquitur. Valentius autem deficcat et moderati caloris eft.

[75. *De Abfinthio.*] Abfinthium aftrictoriam et amaram et acrem fimul qualitates poffidet, calefaciens pariter et extergens et roborans et deficcans. Proinde biliofos ventris humores per egeftionem infernam propellit ac per urinas evacuat. Magis autem quod in venis eft biliofum per urinas expurgat. Ob haec contentam in ventre pituitam nihil adjuvat fumptum, fic fane fi in thorace, aut pulmone contineatur, nam aftringens in eo facultas quam amara valentior eft. Porro quod infit quoque acrimonia, idcirco majori portione calidum eft quam frigidum. At fi opus eft univerfaliter comprehenfam ejus temperiem fecundum primas circunfcribere facultates, etfi diffimilare fit, calidum ipfum dixerim primi exceffus, ficcum tertii. Succus autem ejus longe quam herba ipfa calidior eft.

Cap. II. [1. *De Balano myrepfica, glande un-*

Ed. Chart. XIII. [162.] Ed. Baf. II. (77.)

μυρεψικὴ κομίζεται μὲν ἐκ τῆς βαρβάρου, χρῶνται δ' οἱ μυρεψοὶ τῷ τῆς σαρκὸς αὐτῆς χυλῷ, θερμῷ τὴν δύναμιν ὄντι. τὸ δ' ὑπόλοιπον ἀπόθλιμμα τὸ γεῶδες καὶ σκληρὸν ἐπικρατοῦσαν μὲν ἔχει τὴν πικρὰν ποιότητα. μέμικται δε τι καὶ στύψεως αὐτῷ καὶ διὰ τοῦτο ῥυπτικήν τε ἅμα καὶ τμητικὴν καὶ συνακτικήν τε καὶ πιλητικὴν ἔχει τὴν ἐνέργειαν, ὥστε καὶ πρὸς ἴονθους καὶ φακοὺς ἔφηλίν τε καὶ κνῆσιν, ἤδη δὲ καὶ πρὸς ψώραν καὶ λέπραν ἁρμόττει, οὐ μὴν ἀλλὰ καὶ σπλῆνας τήκει καὶ ἧπαρ σκιῤῥούμενον. εἰ δέ τις τῆς σαρκὸς αὐτῆς πίοι δραχμῆς ὁλκὴν μετὰ μελικράτου, ἐμετηρίου πειράσεται τοῦ φαρμάκου. πολλάκις δὲ καὶ διὰ τῆς κάτω κολίας ὑπάγει δαψιλῶς. ὅθεν ἐπειδὴ ὑπὲρ τοῦ διακαθῆραί τι τῶν σπλάγχνων καὶ μάλισθ' ἧπαρ, ἢ σπλῆνα, τῷ φαρμάκῳ χρώμεθα, μετ' ὀξυκράτου δίδομεν αὐτό. καὶ πρὸς τὰς ἄλλας δὲ τὰς ἐκτὸς ἐνεργείας ὄξει χαίρει μάλιστα. γίγνεται γὰρ δραστικὸν οὕτως, ὡς καὶ ψώρας καὶ λέπρας ἀποῤῥύπτειν, καὶ πολὺ δὴ μᾶλλον ἔτι τὰ τούτων ἐλάττω, φακοὺς, ἀλφοὺς, ἴονθους, ἔφηλιν, ἀχῶρας, ἐξανθήματα τὰ

guentaria.] Glans unguentaria adfertur ex barbarica regione. Utuntur unguentarii carnis ejus fucco, qui facultate calidus eft. Reliquiae autem, unde expreffus eft fuccus, terreftres fcilicet et durae vincentem habent qualitatem amaram. Sed et admixta eft quaedam aftrictio. Proinde extergentem fimul et incidentem, contrahentemque et ftipantem effectum poffident. Itaque ad jonthos, lentes, ephelin et pruritum, deinde et ad pforam et lepram conveniunt. Verum enimvero et lienes liquant, jecurque indurefcentia. Quod fi quis carnem ejus drachmae pondere cum melicrato bibat, medicamentum experietur vomitorium. Saepe etiam per infernam alvum largiter fubducit. Itaque quum hoc medicamento utimur ad vifcerum expurgationem et maxime jecinoris lienisque, ex oxycrato ipfum exhibere confuevimus. Gaudet vero vel maxime alioqui aceto ad actiones extrinfecas. Adeo enim efficax efficitur, ut et pforas et lepras extergeat, et multo etiam magis quae his funt minora, lentes, vitiliginem, jonthos, ephelin, exan-

ἑλκώδη καὶ παχύχυμα πάντα. λαμπρύνει δὲ καὶ οὐλ΄ς. ὅτι κἂν τῷ καταπλάττειν αὐτῇ τὸν σπλῆνα κάλλιόν ἐστι μιγνύναι τι τῶν ξηραντικῶν ἀλεύρων, οἷόν ἐστιν ὀρόβινόν τε καὶ αἴρινον ἄλευρον, ἐκ τῆς περὶ συνθέσεως ἤδη φαρμάκων εἴη ἂν τοῦτο πραγματείας μᾶλλον, οὐ τῆς νῦν ἐνεστώσης, εἰρήσεται δὲ κἂν τοῖς εὐπορίστοις. ἀρκεῖ δ' ἐν τῷ παρόντι ῥυπτικήν τε καὶ τμητικὴν ἅμα στύψει τινὶ τὴν δύναμιν εἰπόντα τοῦ προειρη(78)μένου φαρμάκου μεταβαίνειν ἐφ' ἕτερον. ὁ μέντοι φλοιὸς αὐτοῦ πάνυ στυπτικός ἐστιν, ὥστε καὶ τούτῳ δύναιτ' ἄν τις εἰς ὅσα περ ἰσχυρᾶς ἐστι χρεία στύψεως, εἰς ταῦτα χρῆσθαι.

[β'. Περὶ βαλσάμου.] Βάλσαμον ξηραίνει καὶ θερμαίνει κατὰ τὴν δευτέραν ἀπόστασιν. ἔστι δὲ καὶ λεπτομερὲς ὡς ἀρωματίζειν. ὁ δὲ ὀπὸς αὐτοῦ λεπτομερεστέρας ἐστὶ δυνάμεως ἢ καὶ αὐτὸ τὸ φυτὸν, οὐ μὴν εἰς τοσοῦτόν γε θερμὸς, ὡς οἴονταί τινες, ὑπὸ τῆς λεπτομερείας ἐξαπατώμενοι. ὁ δὲ καρπὸς αὐτοῦ παραπλησίας μέν ἐστι

themata, achoras, tum ulcerofa et quae craffi funt fucci omnia. Sed et cicatricibus decorem affert. Porro quod quum illinenda eft lieni, praeftet admixtam effe farinarum quampiam exiccantium, cujusmodi eft ervi, ac lolii farina, id jam potius ad componendorum medicamentorum tractationem, haudquaquam ad praefens inftitutum pertinet, fed et in paratu facilibus ipfum dicetur. Verum in praefens fufficit abftergentem et incidentem cum aftrictione quapiam propofiti medicaminis dixiffe facultatem, ac fic ad aliud transgredi. Cortex tamen ejus admodum aftringit, Itaque et hunc quoque poffis, ubi validae ufus eft aftrictionis, accommodare.

[2. *De Balfamo.*] Balfamum deficcat et calefacit fecundo exceffu. Eft autem et tenuium partium, adeo ut odoratum fit. Sed liquor ejus tenuiorum etiam partium eft quam ipfa planta, non tamen adeo calidus, ut quidam exiftimant, tenuitate partium falfi. Porro fructus ejus

κατὰ τὸ γένος δυνάμεως, ἀπολείπεται δὲ μακρὸν κατὰ τὸ λεπτομερές.

[γ΄. Περὶ βαλαυστίου.] Βαλαύστιον μὲν ἄνθος ἀγρίας ῥοιᾶς, οἷόν περ τῶν ἡμέρων ὁ κύτινος. ἰσχυρῶς δὲ στύφει τὴν γεῦσιν. [163] καὶ δὴ καὶ ξηραντικῆς καὶ ψυκτικῆς ἐστι δυνάμεως καὶ δηλονότι καὶ παχυμεροῦς, εἴ τι μεμνήμεθα τῶν ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων εἰρημένων, ἡνίκα ἐδείκνυμεν ἅπαν τὸ στῦφον γεῶδες εἶναι ψυχρόν. οὐδεμιᾶς δ᾽ ἔμφασιν ἔχει ποιότητος ἑτέρας, καὶ διὰ τοῦτο ἄν τις αὐτὸ θείη ξηραίνειν καὶ ψύχειν οὐκ ἀγεννῶς, εἴ γε δὴ μὴ κακῶς ἡμῖν ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων ἐδείκνυτο τοῖς γεώδεσι ψυχροῖς σώμασιν ὑπάρχειν ἡ στύφουσα ποιότης. ἀτὰρ οὖν καὶ τὰ φαινόμενα μαρτυρεῖ. καὶ γὰρ εἰ παρατρίμμασι καὶ εἰ τοῖς ἄλλοις ἕλκεσιν ἐπιπάττοις αὐτὸ, τάχιστ᾽ ἂν ἴδοις εἰς οὐλὴν ἰόντα. ταῦτά τοι κἀπὶ τῶν ἀναγόντων αἷμα δυσεντερικῶν, ἔτι τε τῶν κατὰ γαστέρα καὶ μήτραν ῥευμάτων, οὐκ ἔστιν ὅστις οὐ χρῆται τῷ φαρμάκῳ τούτῳ τῶν τὰς θεραπευτικὰς πραγματείας γραψάντων ἰατρῶν.

persimilis genere facultatis est, caeterum longe in tenuitate partium inferior.

[3. *De Balaustio.*] Balaustium flos est agrestis punicae, sicut domesticarum cytinus. Valenter gustum astringit. Et sane desiccantis et refrigerantis facultatis est et nimirum etiam crassae essentiae, siquidem memores sumus eorum quae in quarto horum commentariorum sunt prodita, ubi ostendimus omne astringens terrestre esse frigidum. Aliarum autem qualitatum nullius prae se fert indicium. Proinde ipsum quis censeat strenue et exiccare et refrigerare. Siquidem non perperam in quarto horum voluminum terreis frigidis corporibus astringentem inesse qualitatem demonstratum est. Sane vero et eventus ipse comprobat. Nam si intertriginibus et aliis ulceribus ipsum illinas, celerrime illa videbis cicatricem contrahere. Hoc sane nomine et ad sanguinem rejicientes et ad dysenteriam, tum ad ventris uterique profluvia, non est quispiam medicorum, qui curandi tractatus conscripsere, qui hoc non utatur medicamento.

Ed. Chart. XIII. [165.] Ed. Baf. II. (78.)

[δ'. Περὶ βάτου.] Βάτου καὶ τὰ φύλλα μὲν καὶ οἱ βλαστοὶ καὶ τὸ ἄνθος καὶ ὁ καρπὸς καὶ ἡ ῥίζα στυπτικῆς μετέχουσι ποιότητος, οὐκ ἀσαφῶς. ἀλλήλων δὲ διαφέρουσιν ἐν τῷδε τῷ τὰ μὲν φύλλα καὶ μάλιστα τὰ μαλακὰ καὶ νέα, πλείστου τοῦ ὕδατος μετέχοντα βραχέως ἐστὶ στυπτικά. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ οἱ βλαστοὶ, ὥστε καὶ διαμασωμένους ἄφθας τε καὶ τἄλλα τὰ ἐν τῷ στόματι θεραπεύειν ἕλκη καὶ μέντοι καὶ τἄλλα τραύματα δύνασθαι κολλᾷν. ἔστι γὰρ ἡ κρᾶσις αὐτῶν ἐκ γεώδους ψυχρᾶς οὐσίας καὶ ὑδατώδους χλιαρᾶς. ὁ δὲ καρπὸς εἰ μὲν εἴη πέπειρος, οὐκ ὀλίγου μετέχει καὶ τοῦ συμμέτρως θερμοῦ χυμοῦ, γλυκέος ὑπάρχοντος, ὡς ἐδείξαμεν, ὥστε καὶ διὰ τοῦτό τε καὶ τὴν μετρίαν στύψιν ἐδώδιμος οὐκ ἀηδής ἐστιν. ὁ δ' ἄωρος ὑπὸ ψυχρᾶς γεώδους οὐσίας ἐπικρατεῖται καὶ διὰ τοῦτο στρυφνός τέ ἐστι καὶ ἰσχυρῶς ξηραντικός. καὶ μὲν δὴ καὶ ξηρανθεὶς ἑκάτερος ἀποτίθεται, ξηραντικώτερος ὢν τοῦ προσφάτου. καὶ τὸ ἄνθος δὲ τῆς αὐτῆς τ' ἐστὶν τῷ ἀώρῳ καρπῷ δυνάμεως, εἰς δυσεντερίας καὶ ῥεύματα γαστρὸς καὶ ἀτονίας καὶ τὰς τοῦ αἵματος πτύσεις ἐπιτή-

[4. *De bato, Rubo.*] Rubi folia, germina, flos, fructus et radix qualitatis aſtringentis participes ſunt, ejusque non obſcurae. Sed hoc inter ſe differunt, quod folia, ac praecipue mollia et recens nata plurimum in ſe habeant ſubſtantiae aqueae, paucum vero aſtrictionis, eadem ratione et germina. Itaque ſi mandantur, aphthas et alia oris ulcera ſanant. Quin et alia vulnera glutinare valent, eſt enim eorum temperies et ex terrea frigida eſſentia et aquea tepida. At fructus, ſiquidem maturus fuerit, non parum habet ſucci calidi temperati, qui dulcis eſt, uti monſtravimus. Itaque ob hoc et modicam aſtrictionem eſui non inſuavis eſt. At immaturus a frigida ſubſtantia terrea vincitur, ac proinde acerbus eſt et valde exiccatorius. Et ſane uterque ſiccatus reconditur, validius quam recens deſiccans. Sed et flos eandem vim fructui immaturo poſſidet. Utraque ad dyſenterias et ventris profluvium et imbecillitates et ſanguinis expuitionem idonea remedia. Porro radix praeter

δεια φάρμακα. ἡ δὲ ῥίζα πρὸς τῷ στύφειν ἔτι καὶ λεπτομεροῦς οὐσίας οὐκ ὀλίγης μετείληφε, δι' ἣν καὶ τοὺς ἐν τοῖς νεφροῖς διαθρύπτει λίθους.

[ε'. Περὶ βατραχίου.] Βατράχιον τέσσαρας μὲν ἔχει τὰς κατ' εἶδος διαφοράς. πάντα δὲ δριμείας ἰσχυρῶς ἐστι δυνάμεως, ὡς ἑλκοῦν μετὰ πόνου. ταῦτ' ἄρα συμμέτρως χρωμένῳ καὶ ψώρας καὶ λέπρας ἀποδέρει καὶ ὄνυχας ἀφίστησι τοὺς λεπροὺς καὶ στίγματα διαφορεῖ καὶ ἀκροχορδόνας καὶ μυρμηκίας ἀφαιρεῖ. καὶ μέντοι καὶ ἀλωπεκίας ὠφελεῖ, πρὸς ὀλίγον χρόνον ἐπιτεθέντα. χρονιζόντων γὰρ οὐκ ἐκδέρεται μόνον, ἀλλὰ καὶ ἐσχαροῦται τὸ δέρμα. ταυτὶ μὲν οὖν ἅπαντα τοῦ καυλοῦ καὶ τῶν φύλλων ἔργα, χλωρῶν καταπλαττομένων. ἡ δὲ ῥίζα ξηρανθεῖσα πταρμικόν ἐστι φάρμακον ὁμοίως τοῖς ἄλλοις ἅπασι, τοῖς ἰσχυρῶς ξηραίνουσι. καὶ ὀδόντων δὲ ὀδύνας ὠφελεῖ μετὰ τοῦ θραύειν αὐτοὺς τῷ ξηραίνειν ἰσχυρῶς δηλονότι. καὶ συνελόντι φάναι θερμὴ καὶ ξηρὰ σφοδρῶς ἐστιν ἥ τε ῥίζα καὶ ἡ σύμπασα πόα.

[στ'. Περὶ βδελλίου.] Βδέλλιον τὸ μὲν Σκυθικὸν ὀνο-

aftrictionem non paucam habet fubftantiam in fefe tenuem, per quam et lapides renum comminuit.

[5. *De Batrachio.*] Batrachium quatuor habet fpeciatim differentias. Omnia vero vehementer acrem qualitatem poffident, adeo ut cum dolore exulcerent. Hac ratione fi moderate utare, pforas et lepras excoriant et ungues divellunt, tum leprofis ftigmata digerunt et acrochordonas et myrmecias detrahunt. Quin et alopecias juvant pauco tempore admota, nam fi diutius inhaereant, non excoriatur folum ipfa cutis, fed et in cruftam uritur. Atque haec omnia caulis et foliorum funt opera, fi imponas virentia. Porro radix arefacta fternutationem provocat fimiliter aliis omnibus quae valenter deficcant. Sed et dentes dolentes juvat, ut et frangat eos, valenti fcilicet exiccatione. Et ut femel dicam, calida et ficca valde eft tum radix tum universa adeo herba.

[6. *De Bdellio.*] Bdellium quod Scythicum nomi-

Ed. Chart. XIII. [163. 164.] Ed. Baf. II. (77.)

μαζόμενον, ὃ δὴ καὶ μελάντερόν ἐστιν καὶ ῥητινωδέστερον, μαλακτικῆς ἐστιν [164] ἱκανῶς καὶ δραστηρίου δυνάμεως. τὸ δ' ἕτερον τὸ Ἀραβικὸν, ὃ δὴ καὶ διαυγέστερόν ἐστι, μᾶλλον ξηραίνει τῶν μαλακτικῶν. ὅσον οὖν ἐστι νέον αὐτοῦ, καὶ ὑγρόν ἐστι καὶ κοπτόμενον μαλάττεται ῥᾳδίως, ἐπιτήδειον εἰς ὅσα περ καὶ τὸ Σκυθικόν. ὅσον δὲ παλαιότερόν τέ ἐστι καὶ πικρὸν ἱκανῶς ἐν τῇ γεύσει καὶ δριμὺ καὶ ξηρὸν, ἐκπέπτωκεν ἤδη τοῦτο τὴν τῶν μαλαττόντων τὰ σκιῤῥούμενα συμμετρίαν. χρῶνται δ' αὐτοῖς τινες, καὶ μάλιστα τῷ Ἀραβικῷ, ἐπί τε βρογχοκήλων καὶ ὑδροκήλων, ἀσίτῳ πτυέλῳ δεύοντες, ὡς ἐμπλαστρώδη σύστασιν ἔχειν. τὸ δὲ Ἀραβικὸν καὶ τοὺς ἐν νεφροῖς λίθους δοκεῖ θρύπτειν πινόμενον, οὖρά τε προτρέπειν καὶ τὰς τῶν ἀπέπτων πνευμάτων διαδρομὰς ἐξιᾶσθαι καὶ πόνους πλευρῶν καὶ ῥήγματα.

[ζ. *Περὶ βηχίου.*] *Βηχίον ὠνόμασται μὲν οὕτως ἀπὸ τοῦ πεπιστεῦσθαι βῆχάς τε καὶ ὀρθοπνοίας ὠφελεῖν, εἴ τις ἤτοι τὰ φύλλα ξηρὰ λαβὼν, ἢ τὴν ῥίζαν ἐπ' ἀνθράκων θυμιάσας, εἰσπνέοι τὴν ἀναφερομένην λιγνύν. ἔστι δὲ δριμεῖα*

nant, quod fane et atrius eft et refinofum, magis emollientis admodum et efficacis facultatis eft. At alterum, nempe Arabicum, quod dilucidius eft, magis deficcat quam emollientia. Igitur recens et humidum eft et contufum facile mollefcit, ad omnia, ad quae Scythicum, idoneum, at quod antiquius eft et admodum guftu amarum et acre et ficcum ab eorum, quae indurata molliunt, mediocritate excidit. Utuntur autem quidam illis et potiffimum Arabico et ad bronchocelas et hydrocelas, faliva matutina jejunaque fubigentes, ut emplaftri confiftentiam accipiat. Porro arabicum et calculos renum in potu fumptum frangere apparet, tum urinas ciere et crudorum flatuum difcurfus, praeterea laterum dolores et rupturas perfanare.

[7. *De Bechio, tuffilagine.*] Bechium inde adeo fic nuncupatum eft, quod bechas, hoc eft tuffes, et orthopnoeas, juvare fit creditum, fi quis folia arida, aut radicem in prunis urens afcendentem inde fuliginem infpiratu attrahat.

συμμέτρως, ὥστε καὶ ῥήσσειν ἀλύπως πεπιστεῦσθαι τὰ κατὰ τὸν θώρακα πάντ᾽ ἀποστήματα. τὰ μὲν δὴ χλωρὰ φύλλα καὶ τὰ φλεγμαίνοντα μόρια δυσπέπτως ὀνίνησιν ἔξωθὲν καταπλασσόμενα διὰ τὴν ἐπιμιξίαν τῆς ὑδατώδους ὑγρότητος, ἧς ἅπαντα τὰ χλωρὰ καὶ ἁπαλὰ τὰ μὲν μᾶλλον, τὰ δ᾽ ἧττον μετέχει. τὰ γὰρ ἤδη ξηρὰ φύλλα τοῦ βηχίου δριμυτέρας ἐστὶν ἢ κατὰ τὰ φλεγμαίνοντα δυνάμεως.

[η΄. Περὶ βλίτου.] Βλίτον ἐδώδιμόν ἐστι λάχανον ὑγρὸν καὶ ψυχρὸν τῇ κράσει ἐν τῇ δευτέρᾳ μάλιστα τῶν εὐκράτων ἀποστάσει.

[θ΄. Περὶ βολβοῦ ἡμέρου.] Βολβὸς ἐσθιόμενος μὲν ψυχρότερός τ᾽ ἐστὶ καὶ παχύτερος καὶ γλίσχρου χυμοῦ γεννητικός. καὶ γὰρ δύσπεπτός τ᾽ ἐστὶ καὶ φυσώδης καὶ ἀφροδισιαστικός. ἐπιπλαττόμενός γε διὰ τὸ πικρότητός τε ἅμα καὶ στύψεως μετέχειν, στυπτικός τε καὶ κολλητικὸς γίνεται καὶ δηλονότι ξηραντικός. ἐδείχθη γὰρ ὡς ἡ μὲν πικρότης ἐν ταῖς ῥυπτικαῖς οὐσίαις ἐστὶν, ἡ δὲ στύψις ἐν ταῖς κολλητικαῖς, ἡ δὲ ξηρότης ἀμφοτέραις ἠκολούθηκεν.

Eſt autem modice acris, ut ſine moleſtia noxave omnes thoracis abſceſſus credita ſit rumpere. Sane folia virentia partes cruda phlegmone obſeſſas illitu extrinſecus adjuvant, nempe ob aqueae humiditatis admixtionem, quam omnia viridia teneraque obtinent, alia plus, alia minus, nam ſicca bechii folia acriora ſunt quam ut phlegmonis conveniant.

[8. *De Blito.*] Blitum olus eſt eſculentum, humidae frigidaeque temperiei, in ſecundo maxime exceſſu a temperatis.

[9. *De Bulbo ſativo.*] Bulbus eſculentus quidem frigidiorem et craſſiorem lentumque ſuccum procreat. Nam et coctu difficilis eſt et flatuoſus et venerem provocans. Attamen illitus ob amarorem ſimul et aſtrictionem abſtergit ſimul et glutinat, et nimirum etiam exiccat. Eſt enim oſtenſum amarorem in extergentibus eſſe ſubſtantiis, aſtrictionem vero in glutinantibus. At ſiccitas utramque conſequitur.

(79) [ι'. Περὶ βολβοῦ ἐμετικοῦ.] Βολβὸς ἐμετικὸς θερμότερός ἐστι πολὺ τῆς τοῦ προειρημένου βολβοῦ κράσεως.

[ια'. Περὶ βουβωνίου.] Βουβώνιον ἢ ἀστὴρ Ἀττικὸς, ὠνόμασται μὲν ἀπὸ τοῦ πεπιστεῦσθαι βουβῶνας ἰᾶσθαι καταπλαττόμενόν τε καὶ περιαπτόμενον. ἔστι δὲ διαφορητικῆς μετρίως δυνάμεως, ὅτι καὶ θερμόν ἐστι μετρίως καὶ οὐ σφοδρῶς οὐδὲ συντατικῶς ξηραίνει, καὶ μάλισθ' ὅταν ἔτι μαλακὸν ᾖ καὶ νέον.

[ιβ'. Περὶ βουγλώσσου.] Βούγλωσσον ὑγρὸν καὶ θερμόν ἐστι τὴν κρᾶσιν, ὅθεν καὶ τοῖς οἴνοις ἐμβαλλόμενον εὐφροσύνης αἴτιον εἶναι πεπίστευται. ἁρμόζει δὲ καὶ τοῖς διὰ τραχύτητα φάρυγγος βήττουσιν ἐν μελικράτῳ ἀφεψόμενον.

[165] [ιγ'. Περὶ βουνίου.] Βούνιον, οἱ δὲ ἀρκτικὸν, τῶν θερμαινόντων ἐστὶν εἰς τοσοῦτον ὡς οὐρητικόν τε εἶναι καὶ καταμηνίων ἀγωγόν. καὶ τὸ ψευδοβούνιον δὲ παραπλησίως αὐτῷ θερμόν ἐστιν.

[ιδ'. Περὶ βουφθάλμου.] Βούφθαλμον ὠνόμασται μὲν οὕτως ἀπὸ τῶν ἀνθῶν ἐοικέναι δοκούντων κατὰ τὸ σχῆμα

[10. *De Bulbo vomitorio.*] Bulbus vomitorius multo est calidioris temperiei quam superior.

[11. *De Bubonio.*] Bubonium aut aster Atticus nuncupatum est ita, quia creditum est bubonas sanare, tum illitum tum inguini alligatum. Est autem mediocriter digerentis facultatis, quia videlicet et modice calidum est, nec vehementer, nec ita desiccat ut contendat, maxime quum etiamnum molle ac recens fuerit.

[12. *De Buglosso.*] Buglossum humidae calidaeque temperiei est. Itaque vinis injectum laetitiae ac hilaritatis causa esse creditum est. Sed et iis, qui ob pharyngis asperitatem tussiunt, coctum in melicrato convenit.

[13. *De Bunio.*] Bunium, alii Arcticum, adeo calefacit, ut et urinam moveat et menses provocet. Sed et pseudobunium similis illi caliditatis est.

[14. *De Buphthalmo.*] Buphthalmum sic appellatum est a floribus, qui figura quidem boum oculis videantur

βοὸς ὀφθαλμῷ, ἐπί τε τήν γε χρόαν τοῖς τῆς ἀνθεμίδος ἐστὶν ὁμοιότατα. μείζω δ᾽ ἐστὶν αὐτῶν συχνῷ καὶ δριμύτερα, καὶ διὰ τοῦτο καὶ διαφορητικώτερα, μέχρι τοῦ καὶ σκληρίας ἰᾶσθαι μιγνύμενα κηρωτῇ.

[ιε΄. Περὶ βράθυος.] Βράθυ τῶν ἰσχυρῶς ξηραινόντων ἐστὶ, κατά γε τὰς τρεῖς ποιότητας ἃς καὶ τῷ γεύεσθαι διασημαίνει, παραπλησίως κυπαρίσσῳ, πλὴν ὅτι δριμύτερον αὐτῆς ἐστι καὶ ὡς ἂν εἴποι τις ἀρωματικώτερον. αὐτῆς γε οὖν ταύτης μετέχει τῆς ποιότητος ἧς εἴρηκα νῦν τῆς δριμείας, ἐπὶ θερμῇ κράσει συνισταμένης, ἔτι τε πικρότητός τε καὶ στύψεως ἀμυδροτέρας ἢ κατὰ κυπάρισσον. ὅσον γὰρ ἐν δριμύτητι πλεονεκτεῖ κυπαρίσσου, καὶ διὰ τοῦτο καὶ διαφορητικώτερον. κολλῆσαι μὲν οὖν οὐ δύναται διὰ ῥώμην ξηρότητος καὶ θερμότητος. εἰς τοσοῦτον γὰρ ἀμφοῖν τούτων μετείληφεν, ὡς ἤδη συντατικὸν καὶ φλογῶδες ὑπάρχειν· εἰς δὲ τὰς σηπεδόνας ὁμοίως ἁρμόττει κυπαρίσσῳ, καὶ μάλισθ᾽ ὅσαι κακοηθέστεραί τ᾽ εἰσὶ καὶ χρονιώτεραι. φέρουσι γὰρ ἀλύπως αὗται τὴν ἰσχὺν τοῦ φαρμάκου. καὶ τοίνυν καὶ τὰ μεμε-

affimiles, colore autem anthemidis floribus fimillimi funt, fed multo tum majores tum acriores. Proinde et vehementius digerunt, adeo ut et duritias fanent cerato mixti.

[15. *De Brathy fabina.*] Sabina ex numero eft fortiter exiccantium, idque fecundum tres qualitates, quas in guftu prae fe fert, fimiliter ut cupreffus, nifi quod ea et acrior eft et ut fic dixerim odoratior. Igitur hujus quam modo dixi qualitatis eft particeps, nempe acrimoniae confiftentis in temperamento calido, praeterea amaroris et aftrictionis obfcurioris quam in cupreffo, quantum enim ipfa cupreffum fuperat in acrimonia, tantum ab ipfo fuperatur in aftrictione. Quo manifeftum eft quod omnino calidior eft cupreffo et ob id etiam potentius digerit. Itaque glutinare nequit vulnera ob ficcitatis et caliditatis robur, nam illi tantum utriusque ineft, ut etiam contendat et inflammationem afferat. At putredinibus fimiliter ut cupreffus accommodari poteft, maxime ubi rebelliores fuerint et diuturniores; nam hae citra noxam vim medicamenti perferunt.

Ed. Chart. XIII. [165.] Ed. Baf. II. (79.)

λασμένα καὶ τὰ λίαν ῥυπαρὰ μετὰ μέλιτος ἀποκαθαίρει καὶ ἄνθρακας ἀπολύει. διὰ δὲ τὴν λεπτομέρειαν καὶ καταμηνίων ἐστὶν ἀγωγὸν, εἴπερ τι καὶ ἄλλο, καὶ δι' οὔρων αἷμα κινεῖ, καὶ τὰ ζῶντα τῶν ἐμβρύων διαφθείρει, τὰ νεκρὰ δ' ἐκβάλλει. κείσθω δὴ καὶ τοῦτο τὸ φάρμακον ἐν τῇ τρίτῃ τῶν ἀποστάσεων κατά τε τὸ θερμαίνειν καὶ τὸ ξηραίνειν ἐν τοῖς μάλιστα λεπτομερέσιν ὑπάρχον. ταῦτ' ἄρα καὶ μύροις μίγνυται καὶ μάλιστα τῷ γλευκίνῳ καὶ εἰς ἀντιδότους ἐμβάλλεται παμπόλλας. ἔνιοι καὶ ἀντὶ κινναμώμου διπλάσιον αὐτὸ βάλλουσι, λεπτυντικῆς τε γάρ ἐστι καὶ διαφορητικῆς εἰ ποθείη δυνάμεως.

[ιστ'. Περὶ βρεταννικῆς.] Βρεταννικῆς τῆς πόας ἐστὶ μὲν καὶ τὰ φύλλα στυπτικά τε καὶ κολλητικὰ τραυμάτων, ὅμοια τοῖς τῶν ἀγρίων ὄντα λαπάθων, πλὴν ὅσον μελάντερά τε καὶ δασύτερα φαίνεται. ἔστι δὲ ὁ ἐξ αὐτῶν χυλὸς ὁμοίως στυπτικὸς, ὥστε καὶ ἕψοντες αὐτὸν ἀποτίθενταί τινες ὡς δραστικώτατον τῶν στοματικῶν φαρμάκων. ἰᾶσθαι γὰρ δοκεῖ καὶ τὰ ἤδη σηπόμενα.

Quin et quae atra funt reddita et admodum fordida, ea cum melle expurgat. Carbunculos item folvit. Porro partium tenuitate menfes quoque provocat ut fiquid aliud, et fanguinem per urinas movet. Foetum etiam viventem interficit et mortuum educit. Efto autem hoc medicamentum tertii ordinis tum calefacientium tum deficcantium ex numero eorum, quae vel maxime tenuium funt partium. Et hoc utique nomine unguentis inditur et maxime gleucino et in multas antidotos injicitur. Quidam vero etiam cinnamomi vice duplum ejus fubjiciunt. Eft enim extenuandi et digerendi facultatis, fi epotum fuerit.

[16. *De Britanica.*] Britanicae herbae folia aftringentia funt et vulnerum glutinatoria, fimilia agreftium lapathorum foliis, nifi quatenus acriora funt et hirfutiora. Sed et expreffus ex illis fuccus perinde natus eft aftringere, itaque coctum quidam reponunt tanquam inter ori dicata medicamenta efficaciffimum. Videtur enim fanare jam etiam putrefcentia.

[ιζ'. *Περὶ βρόμου.*] *Βρόμος ἐστὶ μὲν ἕν τι τῶν ὀσπρίων, ἀλλ' ὡς φάρμακον ὁμοίαν ἔχει δύναμιν κριθῇ. καταπλασσόμενον γὰρ ξηραίνει καὶ διαφορεῖ μετρίως τε καὶ ἀδήκτως. ἔστι δὲ καὶ ψυχρότερον ἀτρέμα τῇ κράσει καί τι καὶ στύψεως ἔχων, ὥστε καὶ τὰς κατὰ γαστέρα διαῤῥοίας ὠφελεῖν.*

[166] [ιη'. *Περὶ βρύου.*] *Βρύον θαλάττιον σύνθετόν ἐστιν ἐκ γεώδους τε ἅμα καὶ ὑδατώδους οὐσίας ἀμφοτέρων ψυχρῶν. στύφει τε γὰρ γευόμενον καὶ πάνθ' ὅσα θερμὰ καταπλασσόμενον ἐναργῶς ἐμψύχει τε καὶ ὠφελεῖ.*

[ιθ'. *Περὶ βρύου ἢ καὶ σπλάγχνου.*] *Βρύον, ἔνιοι δὲ σπλάγχνον. εὑρίσκεται μὲν ἐπὶ δρυσὶ καὶ πεύκαις καὶ λεύκαις. ἔχει δὲ καὶ δύναμιν στυπτικὴν οὐκ ἰσχυράν. οὐδὲ γὰρ ψυχρὸν ἱκανῶς ἐστιν, ἀλλ' ἐγγύς πως τοῖς μέσοις, ὅτι καὶ διαφορητικῆς τε καὶ μαλακτικῆς μετείληφε δυνάμεως, καὶ μάλιστα τὸ ἐπὶ κεδρίνων εὑρισκόμενον ξύλων.*

Κεφ. γ'. [α'. *Περὶ γαλλίου.*] *Γάλλιον ὠνόμασται μὲν ἀπὸ τοῦ τὸ γάλα πηγνύναι. παραπλήσιον δ' ἐστὶν ἀπαρίνῃ*

[17. *De Bromo.*] Bromus unum eſt ex leguminibus, verum ut medicamentum ſimilem hordeo vim obtinet. Nam illitum deſiccat et digerit mediocriter et ſine morſu. Temperiem autem habet paulo frigidiorem. Nonnihil etiam aſtrictionis obtinet, ut ventris profluvia juvet.

[18. *De Byro Alga.*] Alga compoſita eſt ex terrena et aquea eſſentia, utraque frigida. Siquidem et guſtum aſtringit, et calidis quibusvis illitum, ea evidenter refrigerat et adjuvat.

[19. *De Byro muſco.*] Muſcus, quidam vero ſplanchnon. Invenitur autem in quercubus et piceis et populis albis. Vim habet aſtringentem invalidam. Nec enim multum eſt frigidum, ſed proxime ferme mediis, quia videlicet et digerendi et molliendi facultatis eſt particeps, maxime quod in cedrinis lignis reperitur.

Cap. III. [1. *De Gallio.*] Gallium inde adeo nomen ſortitum eſt ſuum, quod lac coagulet. Aſſimile autem

δύναμιν ἔχον ξηραντικὴν καὶ ὑπόδριμυν. τὸ δὲ ἄνθος αὐτοῦ πρὸς αἱμοῤῥαγίας ἁρμόττειν δοκεῖ καὶ πυρίκαυστα ἰᾶσθαι. ἔστι δὲ εὔοσμόν τε καὶ τῇ χροιᾷ μήλινον.

[β΄. Περὶ γεντιανῆς.] Γεντιανή. ταύτης τῆς πόας ἡ ῥίζα δραστήριος ἱκανῶς ἐστιν, ἵνα χρὴ λεπτῦναί τε καὶ διακαθῆραι, καὶ ἀποῤῥύψαι καὶ ἐκφράξαι, καὶ οὐδὲν θαυμαστὸν εἰ ταῦτα δύναται πικρὰ σφοδρῶς ὑπάρχουσα.

[γ΄. Περὶ γιγάρτων.] Γίγαρτα ξηρὰ μέν ἐστι κατὰ τὴν δευτέραν τάξιν, ψυχρὰ δὲ κατὰ τὴν πρώτην. ἡ δ᾽ οὐσία παχυμερὴς αὐτῶν ἐστι καὶ γεώδης, ὡς τῇ γεύσει δηλοῦται· στρυφνὰ γὰρ φαίνεται. καὶ ἡ πεῖρα διδάσκει. πᾶσι γὰρ τοῖς κατὰ γαστέρα πάθεσι τοῖς ῥοώδεσιν ἱκανῶς ἁρμόττει.

[δ΄. Περὶ γιγγιδίου.] Γιγγίδιον, ὥσπερ τῇ γεύσει πικρότητός τε καὶ στύψεως μετέχει, οὕτως καὶ τῇ κράσει θερμότητός τε καὶ ψύξεως. ξηραντικὸν δ᾽ ἐστὶν κατ᾽ ἀμφοτέρας τὰς ποιότητας, καὶ μέντοι καὶ εὐστόμαχον, ὅτι στύψεως

eſt aparinae, facultatem obtinens exiccatoriam et ſubacrem. Flos ejus ſanguinis profluviis competere videtur et combuſtis mederi. Eſt autem boni odoris et coloris lutei.

[2. *De Gentiana.*] Gentiana. Hujus herbae radix multum eſt efficax, quum opus eſt extenuatione, purgatione, abſterſione, obſtructionis liberatione. Nec mirum ſi haec poſſit, quum impenſe ſit amara.

[3. *De Gigartis, acinorum uvae nucleis.*] Acinorum uvae nuclei ex ſecundo ordine ſunt exiccantium, refrigerantium vero primo. Subſtantia eorum craſſarum partium eſt et terrena, cui guſtus indicio eſt, nimirum quum acerbi appareant. Quin et experientia comprobat. Nam omnibus ventris cum profluvio junctis affectibus impendio conferunt.

[4. *De Gingidio*] Gingidium ſicut guſtu amarorem et aſtrictionem praefert, ſic temperie quoque ipſa caliditatem et frigiditatem. Secundum utranque vero qualitatem deſiccatorium eſt. Sed enim ſtomacho amicum eſt, utpote non parvam obtinens aſtrictionem. Quamobrem non ad-

οὐκ ὀλίγης μετείληφε. θερμασίαν μὲν οὖν οὐ πάνυ τι σαφῆ κέκτηται. ξηραίνει δὲ κατὰ τὴν δευτέραν ἀπόστασιν.

(80) [ε΄. Περὶ γλαυκίου.] Γλαύκιον στύφει μετά τινος ἀηδίας, ἀλλὰ καὶ ψύχει σαφῶς οὕτως, ὥστε θεραπεύειν μόνον ἐρυσιπέλατα πολλάκις, ὅσα γε μὴ ἰσχυρά. καὶ ἔστιν ἡ κρᾶσις αὐτοῦ σύνθετος ἐξ ὑδατώδους τε καὶ γεώδους οὐσίας, ψυχρῶν μὲν ἀμφοῖν, οὐ μὴν ἄκρως, ἀλλ᾽ οὕτως ὡς ὕδωρ κρηναῖον.

[στ΄. Περὶ γλαυκός.] Γλαὺξ ἡ πόα· καὶ αὐτὴ γάλακτος εἶναι δοκεῖ γεννητική. καὶ εἴπερ τοῦτο οὕτως ἔχει, θερμὴ ἄν πως εἴη καὶ ὑγρὰ τὴν κρᾶσιν.

[167] [ζ΄. Περὶ γλήχωνος.] Γλήχων. καὶ αὕτη ἡ πόα ὡς ἂν δριμεῖά τε καὶ ὑπόπικρος οὖσα θερμαίνει τε καὶ λεπτύνει σφοδρῶς. ἱκανὸν δὲ τεκμήριον τοῦ μὲν θερμαίνειν ὅτι καταπλαττομένη φοινίσσει, καὶ εἰ ἐπιμένοι, ἐπὶ πλέον ἑλκοῖ· τῷ δὲ λεπτύνειν, ὅτι τά τ᾽ ἐκ θώρακος καὶ πνεύμονος ὑγρὰ παχέα καὶ γλίσχρα ῥᾳδίως ἀναπτύεσθαι ποιεῖ καὶ καταμήνια προτρέπει.

modum confpicuam caliditatem poffidet, fecundo autem recefſu deficcat.

[5. *De Glaucio.*] Glaucium aftringit cum quadam infuavitate. Tum adeo manifefte refrigerat, ut folum faepe eryfipelata, utique fi valentia non fuerint, curare poffit. Mixtura ejus compofita eft ex aquea terreaque fubftantia, utraque fane frigida, verum non fumme, fed ceu aqua fontana.

[6. *De Glauce.*] Glaux herba. Et ipfa lactis generandi vim obtinere videtur. Quod fi fit, calida quodammodo humidaque temperamento fuerit.

[7. *De Glico, Pulegio.*] Pulegium. Et haec herba, quandoquidem acris et fubamara eft, valde tum calefacit, tum extenuat. Porro quod calefaciat, abunde magnum eft indicium quod illa lubrificat, et fiquis diutius toleret, exulcerat quoque. Quod vero extenuet, fatis indicat, quum humida, craffa et lenta, ex thorace et pulmone excreatu facilia faciat menfesque moveat.

[η'. Περὶ γλοιοῦ.] Γλοιὸς μετρίως ἐστὶ καὶ μαλακτικός.

[θ'. Περὶ γλυκυῤῥίζης.] Γλυκύῤῥιζα. τούτου τοῦ θάμνου τῶν ῥιζῶν ὁ χυλὸς μάλιστ' ἐστὶ χρήσιμος ὁμοίως] ταῖς ῥίζαις αὐτοῦ γλυκὺς ὑπάρχων, ἅμα βραχείᾳ τινὶ στύψει. διὸ καὶ τραχύτητας ἐκλεαίνειν πέφυκεν, οὐκ ἐν ἀρτηρίᾳ μόνον, ἀλλὰ καὶ ἐν ψωρώδει κύστει, τῷ μετρίῳ τῆς κράσεως· εἴη ἂν οὖν ἡ φύσις αὐτοῦ οἰκεία τῆς ἡμετέρας κράσεως· τοιοῦτον γὰρ ἐδείχθη τὸ γλυκύ. προσούσης δέ τινος καὶ στύψεως ἡ σύμπασα κρᾶσις αὐτῆς, ὅσον ἐπὶ θερμότητι καὶ στύψει, κατὰ τὴν χλιαρὰν μάλιστα ἂν εἴη θερμασίαν, ἐγγυτάτω τῆς συμμέτρου. ἐπεὶ δὲ καὶ ὑγρόν ἐστι τῇ κράσει τὸ μετρίως γλυκὺ, δεόντως ἄδιψόν ἐστι τὸ φάρμακον, ὑγρόν τε ἅμα μετρίως καὶ ψυχρότερον ὑπάρχον τῆς ἀνθρώπου φύσεως. φησὶ δ' ὁ Διοσκουρίδης τὴν ῥίζαν ξηρὰν λειανθεῖσαν πτερυγίων ἐπιτήδειον γίνεσθαι κατάπαστον φάρμακον.

[ι'. Περὶ γλυκυσίδης.] Γλυκυσίδην, ἣν καὶ πεντόροβον

[8. *De Gloeo, strigmentis balneorum.*] Gloeos modice emolliendi vim obtinet.

[9. *De Glycyrhiza, dulci radice.*] Glycyrhiza. Hujus fruticis radicum succus in primis utilis est, similiter ut ejus radices, dulcis simulque leviter adstringens. Proinde asperitates lenire potest, nec modo in arteria, verum etiam vesica scabra, idque temperiei mediocritate. Quocirca fuerit sane natura ejus familiaris nostrae temperiei; nam tale monstratum est esse dulce, sed quum adstrictio quaedam adjuncta sit, universum ejus temperamentum quantum ex caliditate et adstrictione est, tepidae potissimum caliditatis fuerit, quam proxime accedens ad temperamentum. Porro quoniam temperie quoque est humidum id, quod modice est dulce, jure sane etiam siti congruens medicamentum est, nimirum modice humidum, simul et humana natura frigidius. Refert Dioscorides radicem siccam ad laevorem redactam, pterygiorum *unguium oculorum* idoneum esse illitu remedium.

[10. *De Glycyside, Paeonia.*] Glycysida, quam pen-

ὀνομάζουσι καὶ παιονίαν, ῥίζαν ἀτρέμα στύφουσαν ἔχει μετά τινος γλυκύτητος, ἐπὶ πλέον δὲ μασωμένη καὶ δριμύτητος ὑποπίκρου. ταῦτ' ἄρα καταμήνιά τε κινεῖ, μέγεθος ἀμυγδάλου σὺν μελικράτῳ πινομένη· κόπτειν δὲ δηλονότι χρὴ καὶ διαττᾷν αὐτὴν καὶ οὕτως ἐπιπάττειν. ἐκκαθαίρει δὲ καὶ ἧπαρ ἐμπεφραγμένον καὶ νεφρούς. ἀλλὰ ταῦτα μὲν ᾗ δριμεῖά τέ ἐστι καὶ ὑπόπικρος ἐργάζεσθαι πέφυκεν, ᾗ δ' ἔχει τι καὶ στυπτικὸν, ἵστησι τὰ κατὰ τὴν γαστέρα ῥεύματα. χρὴ δ' αὐτὴν ἐν οἴνῳ τηνικαῦτα τῶν αὐστηρῶν τινι καθεψήσαντα πίνειν. ὅλως δὲ ξηραντικὴ τὴν δύναμίν ἐστιν ἰσχυρῶς, ὥστ' οὐκ ἂν ἀπελπίσαιμι καὶ περιαπτομένην αὐτὴν εὐλόγως πεπιστεῦσθαι παιδίων ἐπιληψίας ἰᾶσθαι. καὶ οἶδά γέ ποτε παιδίον ὀκτὼ μησὶ μηδ' ὅλως ἐπιληφθὲν ἐξ ὅτου τῆς ῥίζης ἐφόρει, ὡς δ' ἀπεῤῥύη πως ἀπὸ τοῦ τραχήλου τὸ περίαπτον, εὐθὺς ἐπελήφθη, καὶ αὖθίς τε περιαφθέντος ἑτέρου πάλιν ἀμέμπτως εἶχεν. ἔδοξε δέ μοι κάλλιον εἶναι καὶ αὖθις ἀφελεῖν αὐτὸ πείρας ἕνεκα, καὶ οὕτω πράξαντες, ἐπειδὴ πάλιν

torobon et paeoniam nuncupant, radicem habet leviter adftringentem cum quadam dulcedine, ac fi plufculum dentibus mandas, acrimoniam item quampiam fubamaram fubeffe percipies. Proinde menfes ciet ex melicrato amygdali pota quantitate, fane tundere eam neceffe eft, ac ita cribratam infpergere. Expurgat porro etiam jecur obftructum et renes, fed haec efficere nata eft, qua acris et fubamara eft, qua vero quiddam etiam adftrictorium obtinet, in ventre provenientes fluxiones fiftere poteft, caeterum eam tunc in aufterorum vinorum quopiam decoctam potare convenit. Eft porro omnino reficcatoria. Eapropter haud defperaverim eam, quod merito creditum eft, ex collo pueris fufpenfam comitialem morbum fanare. Equidem vidi puellum quandoque octo totis menfibus morbo comitiali liberum, ex quo hanc radicem geftavit, ac poftea forte fortuna quum quod a collo fufpenfum erat decidiffet, protinus denuo convulfione correptum, rurfusque fufpenfo in locum illius alio inculpate poftea egiffe. Porro vifum eft mihi fatius

ἐσπάσθη, μέγα τι καὶ πρόσφατον μέρος τῆς ῥίζης ἐξηρτήσαμεν αὐτοῦ τοῦ τραχήλου, κἀντεῦθεν ἤδη τοῦ λοιποῦ τελέως ὑγιὴς ἐγένετο ὁ παῖς καὶ οὐκέτ᾽ ἐπιλήφθη. εὔλογον οὖν ἦν ἢ ἀποῤῥέοντά τινα τῆς ῥίζης μόρια, κἄπειτα διὰ τῆς εἰσπνοῆς ἑλκόμενα, θεραπεύειν οὕτω τοὺς πεπονθότας τόπους ἢ καὶ τοῦ ἀέρος αὐτοῦ τρεπομένου καὶ ἀλλοιουμένου πρὸς τῆς ῥίζης. [168] οὕτω γάρ τοι καὶ ὁ Κυρηναῖος ὀπὸς ὀνίνησι γαργαρεῶνα φλεγμαίνοντα καὶ τὸ πεφρυγμένον μελάνθιον ἐναργῶς ξηραίνει καταῤῥους καὶ κορύζας, εἴ τις δήσας αὐτὸ θερμὸν εἰς ὀθόνιον ἀραιὸν ἐπισπῷτο συνεχῶς τὴν ἐξ αὐτοῦ θερμότητα διὰ τῆς κατὰ τὰς ῥῖνας εἰσπνοῆς. καὶ μὲν δὴ εἰ λίνα πλείονα, καὶ μάλιστα ἀπὸ θαλασσίας πορφύρας, περιβαλὼν ἐχίδνης τραχήλῳ πνίξειας αὐτοῖς τὴν ἔχιδναν, εἶτα περιάπτοις ἕκαστον τῶν λίνων τῷ τραχήλῳ, θαυμαστῶς ὀνίνησι παρισθμιά τε καὶ ὅσα περὶ τράχηλον ἐκβλαστάνει. περὶ μὲν οὖν τῶν τοιούτων κἂν ἰδίᾳ ποτὲ διέλθοιμι. τῆς δὲ παιονίας τὴν κρᾶσιν ἰστέον εἶναι λεπτομερῆ τε καὶ ξηραντικὴν, οὐ

esse rursum id collo detrahere, certioris experientiae gratia. Id quum fecissem, ac puer iterum esset convulsus, magnam recentis radicis partem ex collo ejus suspendimus, ac deinceps prorsum sanus effectus est puer, nec postea convulsus est. Rationabile itaque erat, aut partes quaspiam a radice defluentes, ac deinde per inspirationem attractas, affectos ita locos curare, aut aërem a radice assidue mutari et alterari. Nam hoc pacto succus Cyrenaicus columellam phlegmone affectam juvat, et melanthium frictum palam catarrhos et coryzas deficcat, si quis id in calidum linteum rarum liget, assidueque calorem ex eo per inspirationem in nares attrahat. Quin etiam si compluribus linis, et maxime marinae purpurae, collo viperae injectis, illis viperam praefoces, eaque postea cujuspiam collo obvincias, mirifice profuerit tum paristhmiis tum omnibus iis quae in collo expullulant. Sane de talibus privatim aliquando forte conferibam. Ac nunc paeoniae cognoscendum temperamentum est tum exiccatorium tum tenuium esse partium,

μὴν ἐπιφανῶς γε θερμὴν, ἀλλ' ἤτοι σύμμετρον ἢ βραχεῖ τινι θερμοτέραν.

[ια'. Περὶ γναφαλίου.] Γναφάλιον. ὠνόμασται μὲν οὕτως ἀπὸ τοῦ φύλλοις αὐτοῦ μαλακοῖς οὖσιν ἀντὶ γναφάλων χρῆσθαι. ἔστι δὲ λευκὰ καὶ μετρίως στύφοντα, καὶ διὰ τοῦτό τινες αὐτὸ διδόασι δυσεντερικοῖς μετά τινος τῶν αὐστηρῶν οἴνων.

[ιβ'. Περὶ γογγυλίδος.] Γογγυλίδος τὸ σπέρμα πρὸς ἀφροδίσια παροξύνει, φυσώδους πνεύματος ὑπάρχον γεννητικόν. οὕτω δὲ καὶ ἡ ῥίζα δύσπεπτός τε καὶ φυσώδης ἐστὶ καὶ σπέρματος γεννητική.

Κεφ. δ'. [α'. Περὶ δαμασωνίου.] Δαμασώνιον ἢ καὶ ἄλισμα. περὶ ταύτης τῆς πόας ἐν τῷ τρίτῳ Διοσκουρίδης λέγει ὡς τῆς ῥίζης, εἰ ποθείη, δυσεντερίας ἰωμένης καὶ κοιλίαν ἱστάσης καὶ οἰδήματα πραΰνούσης. ἡμεῖς δὲ τούτων μὲν οὐκ ἐπειράσθημεν· ὅτι δὲ τοὺς ἐν νεφροῖς συνισταμένους λίθους θρύπτει τὸ ὕδωρ πινόμενον, ἐν ᾧπερ ἂν ἑψηθεῖσα τύχῃ πεπειράμεθα. δῆλον οὖν ὅτι ῥυπτικήν τινα δύναμιν ἔχει.

haud tamen infigniter calidum, fed aut fymmetrum, aut pauxillo calidius.

[11. *De Gnaphalio.*] Gnaphalium inde adeo nominatum eft, quod foliis ejus mollibus pro fomento utantur. Sunt autem candida et modice aftringunt. Ac proinde quidam id exhibent ex aufterorum vinorum quopiam dyfentericis.

[12. *De Gongylide, rapa.*] Gongylidis femen venerem excitat, utpote fpiritum flatuofum procreans. Sic et radix coctu difficilis eft, inflatque et femen generat.

Cap. IV. [1. *De Damafonio feu alismate.*] Damafonium aut alisma. De hac herba in tertio libro tradit Diofcorides, quod radix ejus epota dyfenterias fanet et alvum fiftat, atque oedemata mitiget. Sed nos ea quidem experti non fumus. Quod autem conftitutos in renibus calculos aqua, in qua decocta fuerit, pota comminuat, id certe experti fumus. Ex quo liquet quod abfterforiam quandam facultatem obtinet.

[β'. Περὶ δαύκου.] Δαῦκος, ὃν δή τινες σταφυλῖνον ὀνομάζουσιν. ὁ μὲν ἄγριος ἧττον ἐδώδιμος τοῦ ἡμέρου, σφοδρότερος δ' ἐν πᾶσιν· ὁ δὲ ἥμερος ἐδώδιμος μὲν, ἀσθενέστερος δέ. δριμείας δέ ἐστι καὶ θερμαντικῆς δυνάμεως, καὶ διὰ τοῦτο καὶ λεπτυντικῆς. ἡ μὲν οὖν ῥίζα πρὸς τοῖς εἰρημένοις καὶ φυσῶδές τι κέκτηται καὶ ἀφροδισιαστικόν. τὸ δὲ σπέρμα τὸ μὲν τοῦ ἡμέρου ἔχει μέν τι καὶ αὐτὸ παροξυντικὸν εἰς ἀφροδίσια, τὸ δὲ τοῦ ἀγρίου τελέως ἐστὶν ἄφυσον, καὶ διὰ τοῦτο διουρητικόν τε καὶ καταμηνίων ἐστὶ κινητικόν.

(81) [γ'. Περὶ τοῦ δαύκου σπέρματος.] Δαύκου τῆς πόας τὸ σπέρμα θερμαντικὸν ἱκανῶς ἐστιν, ὡς οὐρητικόν τε φάρμακον ὑπάρχειν ἐν τοῖς μάλιστα δραστήριον, ἐμμήνων τε κινητικόν. ἔστι δὲ καὶ διαφορητικὸν ἱκανῶς ἔξωθεν ἐπιτιθέμενον. καὶ ἡ πόα δ' αὐτῆς παραπλησίας μέν ἐστι δυνάμεως, ἀσθενεστέρας δὲ ἢ κατὰ τὸ σπέρμα διὰ τὴν τῆς ὑδατώδους ὑγρότητος ἐπιμιξίαν. ἔστι γε μὴν καὶ αὕτη θερμὴ τὴν κρᾶσιν.

[2. *De Dauco.*] Daucus, quem quidam etiam ſtaphylinum nuncupant, agreſtis quidem domeſtico minus eſt eſui idoneus, caeterum in omnibus vehementior, at domeſticus eſui aptior, ſed imbecillior. Acrem et calefaciendi facultatem obtinet, ac proinde etiam extenuandi. Certe radix praeter jam comprehenſa flatuoſum quiddam obtinet ac venereum. Semen autem domeſtici quidem et ipſum quandam ad venerem ciendi potentiam poſſidet. Agreſtis vero plane flatu caret, ac proinde urinam menſesque ciet.

[3. *De Dauci ſemine.*] Dauci herbae ſemen calefaciendi vehementer facultatem habet, adeo ut inter prima efficax ſit tum urinae movendae medicamentum, tum menſibus provocandis. Multum etiam digerere per halitum foris impoſitum valet. Ipſa vero herba ſimilem quidem vim obtinet, tamen ſemine infirmiorem, nimirum ob aqueae humiditatis mixturam, quamquam utique et ipſa calida ſit temperie.

[169] [δ΄. Περὶ δάφνης τοῦ δένδρου.] Δάφνης τοῦ δένδρου καὶ τὰ φύλλα καὶ ὁ καρπὸς ξηραίνει καὶ θερμαίνει σφοδρῶς, καὶ μᾶλλον ὁ καρπὸς αὐτῆς τῶν φύλλων. ὁ δὲ φλοιὸς τῆς ῥίζης ἧττον μέν ἐστι δριμὺς καὶ θερμὸς, μᾶλλον δὲ πικρὸς, καί τι καὶ στύψεως ἔχει. ταῦτ᾽ ἄρα καὶ λίθους θρύπτει καὶ ἥπατι ὠφελεῖ. πίνεται δὲ σὺν οἴνῳ εὐώδει τριοβόλου σταθμός.

[ε΄. Περὶ δάφνης τῆς πόας.] Δάφνης τῆς πόας, ἣν καὶ Ἀλεξανδρείαν ὀνομάζουσιν, ἡ κρᾶσις ἐναργῶς ἐστι θερμὴ, καὶ γευομένοις ἐστὶ δριμεῖά τε καὶ ὑπόπικρος, καὶ πινομένοις ἔμμηνά τε καὶ οὖρα προτρέπει. τῆς δὲ χαμαιδάφνης καὶ ἐσθίονται οἱ ἁπαλοὶ κλῶνες. παραπλησία δὲ καὶ ἥδε τὴν δύναμίν ἐστι τῇ Ἀλεξανδρείᾳ δάφνῃ, καθάπερ καὶ τὸ δαφνοειδὲς ὀνομαζόμενον.

[στ΄. Περὶ δικτάμνου.] Δίκταμνον ἐκ λεπτομερεστέρας ἐστὶν οὐσίας ἢ κατὰ γλήχωνα. τὰ δ᾽ ἄλλα παραπλήσιον αὐτῇ. τὸ δὲ καλούμενον ψευδοδίκταμνον ἀσθενέστερον εἰς ἅπαντα τοῦ δικτάμνου.

[4. *De daphne, lauro.*] Lauri arboris et folia et fructus deficcant et calefaciunt vehementer, plusque etiam fructus quam folia. At radicis cortex minus quidem acris eft et calidus, plus tamen amarus, habetque etiam aftrictionis nonnihil. Quamobrem et calculos confringit et jecori prodeft. Bibitur ex vino fragrante trium obolorum pondere.

[5. *De daphne herba.*] Daphnes herbae, quam et Daphnen Alexandrinam appellitant, temperamentum evidenter eft calidum, et guftantibus ea acris fimul eft et fubamara, potaque tum urinas tum menfes prolicit. Porro chamaedaphnes germina tenera edi quoque affolent. Eft autem perfimilis viribus Daphnae Alexandrinae, ficut fane et quod Daphnoides nuncupant.

[6. *De dictamno.*] Dictamnum tenuiore effentia conftat quam pulegium, caetera illi fimile. At quod vocant pfeudodictamnum, ad omnia imbecillius dictamno eft.

Ed. Chart. XIII. [169.] Ed. Baf. II. (81.)

[ζ. *Περὶ διψάκου.*] *Διψάκου τῆς ἀκάνθης ἡ ῥίζα ξηραντικὴ τάξεως δευτέρας ἐστὶν, ἔχει δέ τι καὶ ῥυπτικόν.*

[η'. *Περὶ δορυκνιδίου.*] *Δορυκνίδιον ὅμοιον τῇ κράσει μήκωνι καὶ μανδραγόρᾳ καὶ τοῖς οὕτω ψυκτικοῖς ἐστιν, ἐπικρατούμενον, ὑδατώδει ψυχρότητι πάνυ δραστηρίῳ. καροῖ μὲν γὰρ ὀλίγον, ἀναιρεῖ δὲ πλέον συλληφθέν.*

[θ'. *Περὶ δρακοντίου.*] *Δρακόντιον ἔχει μέν τι παραπλήσιον ἄρῳ καὶ τοῖς φύλλοις καὶ τῇ ῥίζῃ. δριμύτερον δέ ἐστιν αὐτοῦ καὶ πικρότερον, καὶ διὰ τοῦτο καὶ θερμαντικώτερόν τε καὶ λεπτομερέστερον. ἔχει δέ τινα καὶ στύψιν βραχεῖαν, ἧς συνιούσης ταῖς προειρημέναις δύο ποιότησι, τῇ τε δριμείᾳ καὶ τῇ πικρᾷ, δραστήριον γίγνεται τὸ φάρμακον ἐν τοῖς μάλιστα. καὶ γὰρ ἡ ῥίζα διακαθαίρει τὰ σπλάγχνα πάντα, τοὺς παχεῖς μάλιστα καὶ γλίσχρους λεπτύνουσα χυμοὺς, καὶ τῶν κακοήθων ἑλκῶν ἄριστόν ἐστι φάρμακον, ἀποκαθαίρει τε καὶ ἀποῤῥύπτει γενικῶς τά τ' ἄλλα τὰ ῥύψεως δεόμενα καὶ ἀλφοὺς σὺν ὄξει. τά τε φύλλα, παραπλήσιον*

[7. *De dipfaco.*] Dipfaci fpinae radix eft fecundo ordine exiccatoria, habetque nonnihil et abfterforium.

[8. *De dorycnio.*] Dorycnium temperamento papaveri fimile eft et mandragorae ac caeteris quae parem habent refrigerandi potentiam, excellit et frigiditate aquea admodum efficaci. Quamobrem pauculum quidem foporem conciliat, plufculum vero fumptum interimit.

[9. *De dracunculo.*] Dracontium quiddam aro perfimile obtinet tum foliis tum radice, caeterum illo tum acrius eft tum amarius, ac proinde calefactorium magis et tenuiorum partium. Habet etiam leviculam quandam aftrictionem, quae quandoquidem cum comprehenfis duabus qualitatibus, acri et amara, conjuncta eft, medicamentum factum eft ut quae maxime efficax. Nam radix vifcera omnia expurgat, craffos potiffimum et lentos fuccos extenuans, optimumque remedium eft contumacium ulcerum. Expurgat quoque extergitque profecto ftrenue tum alia, quae exterfionem defiderant, tum vitiliginem cum aceto;

ἔχοντα δύναμιν ἕλκεσί τε καὶ τραύμασι νεοτρώτοις ἁρμόττει, καὶ ὅσῳ ἂν ἧττον ᾖ ξηρὰ τοσοῦτον μᾶλλον κολλᾷ. τὰ γὰρ ξηρότερα δριμύτερα τὴν δύναμίν ἐστιν ἢ ὡς τραύμασι πρέπει. πεπίστευται δὲ καὶ τυρὸν ὑγρὸν ἄσηπτον διαφυλάττειν, ἔξωθεν αὐτῷ περιτιθέμενον, διὰ τὴν τῆς κράσεως ξηρότητα. ὁ δὲ καρπὸς ἰσχυρότερος οὐ τῶν φύλλων μόνον, ἀλλὰ καὶ τῆς ῥίζης ἐστὶν, ὥστε καὶ καρκίνους καὶ πολύποδας ἐκτήκειν πεπίστευται. καὶ ὁ χυλὸς δ᾽ αὐτοῦ τὰ ἐν ὀφθαλμοῖς ἀποκαθαίρει.

[170] [ι΄. Περὶ δρυοπτερίδος.] Δρυοπτερὶς μικτῆς ἐστι γενομένῳ ποιότητος γλυκείας δριμείας ὑποπίκρου, κατὰ δὲ τὴν ῥίζαν καὶ στρυφνῆς. δύναμιν δ᾽ ἔχει σηπτικὴν, ὅθεν καὶ τρίχας ψιλοῖ.

[ια΄. Περὶ δρυός.] Δρυὸς ἅπαντα μὲν τὰ μόρια στυφούσης μετέχει ποιότητος, ἐπιπλέον δὲ τὸ ἐν τῷ φλοιῷ τοῦ πρέμνου τὸ ὑμενῶδες, καὶ τὸ ὑπὸ τῷ κελύφει τῆς βαλάνου, τὸ ἐπὶ τῇ σαρκὶ τοῦ καρποῦ. διὸ καὶ πρὸς ῥοῦν γυναι-

tum folia item, utpote fimilem facultatem habentia, ulceribus vulneribusque recens inflictis accommoda funt, et quanto minus fuerint ficca, tanto magis conglutinant. Nam quae ficciora funt, viribus funt acrioribus quam ut vulneribus conveniant. Creditum quoque eft cafeum humidum, fi illis foris tectus reponatur, ob temperiei illorum ficcitatem a putredine confervari. Fructus valentior eft non foliis tantum, fed et radice. Itaque et cancros et polypodas eliquare creditus eft. Succus quoque ejus vitia oculorum expurgat.

[10. *De Dryopteride, filicula.*] Dryopteris guftu mixtam qualitatem praefert, dulcem, acrem, fubamaram, in radice vero item acerbam. Facultatem habet fepticam, proinde etiam pilis glabram cutem efficit.

[11. *De Drye, quercu.*] Quercus partes omnes aftringentis qualitatis participes funt, fed plus tamen habet quae in trunci cortice membrana fubeft, tum quae fub glandis ipfius caliculo, ea videlicet, quae fructus carnem conveftit,

κεῖον, αἵματος τε πτύσεις καὶ δυσεντερίας καὶ γαστρὸς ῥεύματα χρόνια χρήσιμον εἶναι πεπίστευται, μάλιστα δ' ἀφέψοντες αὐτῷ χρῶνται. σφοδρότερον δ' ἔτι στύφει φηγὸς καὶ πρῖνος, εἴτ' οὖν εἴδη δρυὸς ὀνομάζειν αὐτά τις εἴτε καὶ διαφέρειν ὅλῳ τῷ γένει βούλοιτο. καὶ δὴ καὶ τὰ φύλλα τὰ μὲν τούτων τῶν φυτῶν ἁπαλὰ καταπλασσόμενα ξηραίνειν οὐκ ἀγεννῶς πέφυκε, τὰ δὲ τῆς ἑτέρας δρυὸς ἧττον, εἰς ὅσον καὶ στύψεως ἧττον μετείληφεν. ἔγωγ' οὖν οἶδα καὶ κολλήσας ποτὲ τραῦμα δρεπάνῳ γεγονὸς, οὐδαμῶς ἑτέρου παρόντος φαρμάκου, τοῖς φύλλοις τῆς δρυός. ἔτριψα δ' ἐπὶ πέτρας λείας αὐτὰ καὶ τὸ τραῦμα μετὰ τοῦ πέριξ χωρίου παντὸς κατέπλασα. ἔστι δὲ τῆς αὐτῆς τοῖς φύλλοις δυνάμεως καὶ ὁ καρπὸς τῆς δρυός. καὶ κέχρηνταί γε τούτῳ τινὲς τῶν ἰατρῶν ἐπὶ τῶν ἀρχομένων ἔτι καὶ αὐξανομένων φλεγμονῶν. ὅσαι γὰρ ἤδη σφοδραὶ τῶν στυφόντων οὐ δέονται. τὰ μὲν δὴ τοιαῦτα θεραπευτικῆς μᾶλλον ἢ τῆς ἐνεστώσης ἐστὶ πραγματείας. ἀπόχρη δ' εἴς γε τὰ παρόντα γιγνώσκειν ὡς στυπτικῆς μὲν εἰς ὅσον εἴρηται μετείληφε δυ-

Quamobrem ad profluvium muliebre et fanguinis expuitiones, tum dyfenterias et diuturnos ventris fluxus commodam effe credunt. Maxime vero ea utuntur decocta. Valentius tamen aftringunt fagus et ilex, feu quis eas fpecies effe roboris velit, feu toto genere diverfas. Quin et folia harum plantarum tenella illita non infirenue deficcare valent, minus autem quae funt alterius roboris, nimirum quanto minus fortita funt aftrictionis. Siquidem ego quandoque glutinaffe me vulnus memini fecuri inflictum, quum nullum adeffet ad manum medicamentum praeter ipfius quercus folia. Trivi ea in laevi petra et vulnus omnemque vicinum locum contexi. Eandem foliis vim habet et fructus roboris, eoque medici nonnulli ad incipientes et crefcentes utuntur phlegmonas, nam quae jam vehementes funt, aftringentia refpuunt. Sed talia ad curandi potius rationem quam praefentem tractatum attinent. Caeterum in praefentia noviffe quod eatenus aftringentem, quatenus dictum eft, facultatem quercus obtineat fufficit, ac proinde

νάμεως δρῦς, καὶ διὰ τοῦτο ξηραντικῆς τε καὶ στυπτικῆς, θερμῆς δ' ἐπ' ὀλίγον εἶναι κατωτέρω τῶν μέσων ἐν τοῖς ὡς ἂν οὕτω τις εἴποι χλιαροῖς.

Κεφ. ε'. [α'. Περὶ ἐβίσκου.] Ἐβίσκος ἢ ἀλθαία. ἔστι δὲ μαλάχη ἡ ἀγρία διαφορητικὴ, χαλαστικὴ, ἀφλέγμαντος, πραϋντικὴ, πεπτικὴ φυμάτων δυσπέπτων. καὶ ἡ ῥίζα δὲ αὐτῆς καὶ τὸ σπέρμα τὰ μὲν ἄλλα ὁμοίως ἐνεργεῖ τῇ πόᾳ χλωρᾷ, λεπτομερεστέραν δὲ ἐκείνης καὶ ξηραντικωτέραν καὶ προσέτι ῥυπτικωτέραν ἐπιδείκνυνται τὴν δύναμιν, ὥστε καὶ ἀλφοὺς ἀποῤῥύπτειν καὶ τὸ σπέρμα τοὺς ἐν νεφροῖς λίθους διαιρεῖν. τὸ δὲ τῆς ῥίζης ἀφέψημα καὶ πρὸς δυσεντερίαν καὶ διάῤῥοιαν καὶ πρὸς αἵματος ἀναγωγὴν ὠφέλιμόν ἐστιν ἐχούσης τινὰ δύναμιν στυπτικήν.

[β'. Περὶ ἐβένου.] Ἔβενος τῶν εἰς χυλὸν ἀναλυομένων ἐστὶ ξύλων εἰ παρατρίβοιτο μεθ' ὕδατος, ὥσπερ ἔνιοι τῶν λίθων. ἡ δὲ δύναμις θερμαντική τέ ἐστι καὶ ῥυπτικὴ καὶ λεπτομερὴς, ὅθεν καὶ τὰ ταῖς κόραις ἐπισκοτοῦντα πεπίστευται ῥύπτειν. ταῖς τε ἄλλαις ὀφθαλμικαῖς μίσγεται δυ-

deficcandi atque aftringendi, calefaciendi autem paulo infra media in genere fcilicet eorum, quae, ut fic dicam, tepida funt.

Cap. V. [1. *De Ebifco, Althaea.*] Ebifcus five althaea. Habet autem malva agreftis facultatem digerendi, laxandi, phlegmone levandi, mitigandi, concoquendi difficilia coctu phymata. Radix porro ejus et femen caetera quidem pari foliis viridibus modo agunt, verum tenuiorum partium, magisque exiccatoriam, ad haec magis exterforiam facultatem oftendunt, ut et vitiligines detergant et femen renum calculos confringat. At radicis decoctum ad dyfenteriam, diarrhoeam et fanguinis rejectionem aptum eft, nempe quum aftringentem quandam facultatem poffideat.

[2. *De Ebeno.*] Ebenus ex iis lignis eft, quae trita cum aqua in fuccum folvuntur, ficuti nonnulli lapides. Facultas ei ineft calefaciendi, extergendi et tenuium partium. Quamobrem quae pupillas obfcurant, extergere creditur. Mifcetur aliis remediis ocularibus, quae ad ul-

νάμεσιν, ὅσαι πρὸς ἕλκη παλαιὰ καὶ ῥεύματα καὶ φλυκταίνας ἁρμόττουσιν.

[171] (82) [γ'. Περὶ ἐλαίας.] Ἐλαίας οἱ μὲν θαλλοὶ τοσούτῳ μετέχουσι ψύξεως, ὅσον καὶ στύψεως. ὁ δὲ καρπὸς ὁ μὲν ἀκριβῶς πέπειρος θερμὸς συμμέτρως ἐστὶν, ὁ δ' ἄωρος στυπτικώτερός ἐστι καὶ ψυχρότερος.

[δ'. Περὶ ἐλαίου.] Ἔλαιον τὸ μὲν ἐκ τῆς ἐλαίας, ὅπερ καὶ κυριώτατον καλοῦμεν ἔλαιον, ὁποῖόν τι τὴν κρᾶσίν ἐστιν ἐν τοῖς ἔμπροσθεν λόγοις διώρισται. ὑγραντικόν τε γὰρ ἐδείκνυτο καὶ συμμέτρως θερμόν. τοιοῦτο δ' ἐστὶν τὸ γλυκύτατον, ἐκ δρυπετοῦς μάλιστα τοῦ καρποῦ γενόμενον. τὸ δ' ὠμοτριβὲς καὶ ὀμφάκινον ὀνομαζόμενον εἰς ὅσον στύψεως μετείληφεν, εἰς τοσοῦτον καὶ ψύξεως. τὸ δὲ παλαιὸν ἔλαιον τὸ μὲν ἐκ τοῦ γλυκέος παλαιουμένου γιγνόμενον θερμότερόν τε καὶ διαφορητικώτερόν ἐστι, τὸ δ' ἐξ ὠμοτριβοῦς, ἄχρι μὲν ἀποσώζει τι τῆς στύψεως, μικτῆς ὑπάρχει δυνάμεως, ἐπειδὰν δ' ἀποβάλλῃ τελέως αὐτὴν, ὁμοιοῦται

cera antiqua, fluxiones et bullas, five puftulas accommoda funt.

[3. *De Elaea, olea.*] Olivae rami quantum habent aftrictionis, tantae et frigiditatis participes funt. Fructus vero fi quidem ad unguem maturuit, moderate calidus eft, fin immaturus eft, magis tum aftringit tum refrigerat.

[4. *De Elaeo, oleo.*] Oleum quod ex olivis conficitur, quod fane propriiffimo nomine oleum appellamus, cujusmodi fit temperiei, fuperioribus libris definitum eft. Quippe humectatorium effe et moderate calidum oftendimus. Ejusmodi eft, quod eft dulciffimum; fitque potiffimum ex fructu oleae. Caeterum quod omotribes et omphacinum nuncupant, id quantum in fe habet aftrictionis, tantum etiam illi ineft frigiditatis. Porro oleum vetus, quod quidem ex dulci inveterato efficitur et calidius eft et ad difcutiendum potentius, quod vero ex crudo, id dum reliquum quippiam fervaverit aftrictionis, mixtae permanet facultatis, ubi vero illam prorfum abjecerit, reliquo fit fimile. Quin

τῷ ἄλλῳ. καὶ μὲν δὴ καὶ ὅσοι κατὰ τὴν σκευασίαν ἐπεμβάλλουσι θαλλὸν, καὶ οὗτοι παραπλήσιον ὀμφακίνῳ τὸ ἔλαιον ἀπεργάζονται. χρὴ δ᾽ οὐχ ὅπως ἐσκεύασται πυνθανόμενον, ἀλλ᾽ αὐτοῦ γευόμενον, εἰ μὲν ἐμφαίνοι τι στύψεως, εἰς ὅσον ταύτης μετείληφεν, εἰς τοσοῦτον καὶ ψύξεως αὐτὸ μετέχειν ὑπολαμβάνειν, ὥσπερ καὶ τὸ ἀπὸ τῆς Ἰβηρίας κομιζόμενον, ὅπερ Σπανὸν ὀνομάζουσιν. εἰ δὲ μηδ᾽ ὅλως γευόμενον φαίνοιτο στύφειν, ἀλλ᾽ ἀκριβῶς εἴη γλυκὺ, θερμὸν ἡγεῖσθαι τοῦθ᾽ ὑπάρχειν συμμέτρως. εἰ δὲ καὶ λεπτομερὲς φαίνοιτο, τοιοῦτο δ᾽ ἐστὶ τό τε καθαρὸν καὶ διαυγὲς ὁρῶντι, κἄπειδὰν ὀλίγον ληφθὲν ἐπιπλεῖστον ἐκτείνηται τοῦ σώματος καὶ ἑαυτῷ μένῃ συνεχὲς, ἀναπίνηταί τε πρὸς τοῦ χρωτὸς, ἡγεῖσθαι τοῦτο κάλλιστόν τε καὶ τὴν ἐλαίου μάλιστα κεκτημένον ἀρετὴν, οἷόν πέρ ἐστι τὸ Σαβῖνον. ὅτι δὲ τὸ πεπλυμένον ἔλαιον ἀδηκτότατόν ἐστιν εἴρηται καὶ πρόσθεν. ὅπως δ᾽ ἄν τις κάλλιστα πλύνοι, διὰ τῆς ἐφεξῆς ἐρῶ πραγματείας τῆς περὶ συνθέσεως φαρμάκων· ἔνθα καὶ περὶ Σικυωνίου καὶ εἴ τι τοιοῦτόν ἐστιν ἔλαιον εἰρήσεται. νυνὶ δὲ

etiam quicunque in praeparando ramos injiciunt, ii et ipfi omphacino fimile oleum efficiunt. Caeterum rogandum non eft, quo pacto fit praeparatum, fed guftandum eft potius, ac fi prae fe ferat aftrictionis quippiam, eatenus etiam frigidum effe exiftimandum, ceu illud quod ab Iberia portatur, quod Hifpanicum nominant. Quod fi nequaquam guftantibus aftringere appareat, fed adamuffim videatur dulce, id modice effe calidum putandum. Porro fi tenue quoque cernatur, tale eft quod purum eft, quodque intuenti translucidum videtur, ac modicum ejus latiffime per cutem extenfum fibi maneat continuum, celeriterque a cute combibatur, id utique pro optimo ducendum, ac olei virtute, quammaxime pollere, quale eft Sabinum. Porro quod oleum lotum minime omnium mordacitatem continet, fupra etiam dictum eft. Caeterum quo potiffimum modo id probiffime leves, in fequenti tradam opere, quod inferibetur de medicamentorum compofitione, ubi et de Sicyonio et fi quod ejus generis praeterea oleum eft agetur; nunc

περὶ τῶν ἁπλῶν διέξειμι καὶ προσθήσω ἤδη τὸν περὶ τῶν ἄλλων ἐλαίων λόγον. ὀνομάζεται γὰρ δή τι καὶ κίκινον ἔλαιον, ἐν Αἰγύπτῳ μάλιστα γιγνόμενον, ἐκ τοῦ καρποῦ τοῦ κίκεως, καὶ ῥαφάνινον δὴ καὶ σησάμινον, ἀμυγδάλινόν τε καὶ καρύϊνον, ἔτι τε σινάπινον, σχίνινον, δάφνινον, μελάνθινον, τερμίνθινον, μαστίχινον, μύρσινον, βαλάνινον, ὑοσκυάμινον, ἄλλα τε πρὸς τούτοις οὐκ ὀλίγα τῶν καρπῶν ἐκθλιβόμενα πάντα. διαφέρει δ' ἀλλήλων ταῦτα τὰς αὐτὰς διαφορὰς ὥσπερ καὶ οἱ καρποί. τὸ μὲν γὰρ κίκινον λεπτομερέστερόν τε καὶ διαφορητικώτερόν ἐστιν, ὅμοιον μάλιστα τῷ ἐκ τῆς ἐλαίας ἐλαίῳ τῷ παλαιῷ. διὸ καὶ χρηστέον ἔνθ' ἂν ᾖ κίκινον ἔλαιον γεγραμμένον ἔν τινι συνθέσει φαρμάκου, μὴ παρόντος αὐτοῦ, τῷ κοινῷ ἐλαίῳ, καὶ μάλιστ' εἰ Σαβῖνον εἴη. τὸ δὲ ῥαφάνινον ὅμοιον μὲν τἄλλα τῷδε, θερμότερον δὲ, καὶ τούτου μᾶλλον ἔτι τὸ σινάπινον. ὅμοιον δὲ αὐτῷ τὸ ἐκ τοῦ μελανθίου. ἔμπαλιν δὲ τούτοις τὸ μύρσινόν τε καὶ σησάμινον, τὸ μὲν τῷ στύφειν, τὰ δ' ὅτι παχυμερῆ.

sermo mihi est de fimplicibus, adjiciamque et de aliis olei fpeciebus. Vocatur enim quoddam cicinum oleum, in Aegypto maxime proveniens ex fructu ricini, tum raphaninum, fefaminum, amygdalinum, caryinum, ad haec finapinum, lentifcinum, laurinum, melanthinum, terebinthinum, maftichinum, myrtinum, balaninum, hyofcyaminum, nec pauca praeter haec ex fructibus expreffa omnia, caeterum tantum inter fefe difcrepantia, quantum et fructus ipfi a fe invicem diffident. Eft enim cicinum tum tenuiorum partium tum ad difcutiendum potentius quam fimillimum oleo ex oliva vetufto. Quamobrem fiquando in medicamenti compofitione cicinum oleum afcriptum fuerit, fi ipfum non adfit, communi utendum oleo, maxime fi fuerit Sabinum. Raphaninum autem caetera huic fimile eft, fed calidius tamen, at hoc etiam calidius finapinum. Huic fimile eft quod ex melanthio, hoc eft gith, conficitur. Pugnant cum illis myrtinum et fefaminum, tum quod aftringant tum quod craffarum fint partium. Mixtae fa-

Ed. Chart. XIII. [171. 172.] Ed. Baf. II. (82)

μικτῆς δέ ἐστι δυνάμεως τό τε σχίνινον καὶ τὸ τερμίνθινον καὶ τὸ μαστίχινον, οὐ γὰρ μαλάττει μόνον, ἀλλὰ καὶ στύφει. [172] τὸ δ' ἀμυγδάλινον ἐπικρατοῦσαν μὲν ἔχει τὴν πικρότητα, μετέχει δέ τινος καὶ στύψεως, οὐ μὴν τό γε καρύϊνον, ἀλλ' ἁπλῆς μάλιστα δυνάμεώς ἐστι τοῦτο τῆς διαφορητικῆς. θερμότερον δ' αὐτοῦ καὶ διαφορητικώτερον ὑπάρχει τὸ δάφνινον, καὶ τούτου μᾶλλον ἔτι τὸ κέδρινον. ἐγγὺς δ' αὐτῷ τὸ ἀπὸ τῆς ὑγρᾶς πίττης τὸ δάδινον, ἧττον μὲν τοῦ δαφνίνου θερμὸν, ξηραίνει δὲ μᾶλλον. τὸ δ' ὑοσκυάμινον μικτῆς ἐστι δυνάμεως, μαλακτικῆς τε ἅμα καὶ ψυκτικῆς. τὸ δὲ κίκινον ἔλαιον ὑπάγει γαστέρα. τούτου δ' ἔτι μᾶλλον τὸ ἐκ τοῦ κνιδίου κόκκου, καὶ τοσούτῳ γε μᾶλλον ὅσῳ ὁ κόκκος αὐτοῦ τοῦ κίκεως καθαρτικώτερος ὑπάρχει. ἔστι δὲ καὶ τὸ ἐκ τῆς ἀγρίας ἐλαίας ἔλαιον οὐχ ἁπλῆς κράσεως, ἀλλὰ ῥυπτικόν τε ἅμα καὶ στυπτικόν. αὐχμηρότερον δ' ὡς ἐν ἐλαίοις τοῦτο καὶ μετὰ τοῦτο τὸ Ἰστρικόν. ἐφεξῆς δ' αὐτοῖς τὸ Σπανόν. λιπαρώτατον δὲ τό τε Λιβυκόν ἐστι καὶ τὸ Κιλίκιον, ἅμα δὲ λιπαρόν τε καὶ λεπτομερὲς τὸ

cultatis eft lentifcinum et terebinthinum et maftichinum, non enim tantum emolliunt, fed et aftringunt. Amygdalinum porro amarorem exuperantem poffidet, caeterum cujusdam etiam aftrictionis eft particeps, non tamen caryinum, fed id vel maxime fimplicis eft digerendi facultatis. Calidius eo eft ac magis digerens laurinum, et hoc etiam magis cedrinum. Proximum ei eft quod ex nigra pice conficitur dadinum, minus quidem laurino calidum, verum valentius deficcans. Hyofcyaminum vero mixtae facultatis eft, emolliendi videlicet et refrigerandi. Oleum porro cicinum ventrem fubducit. Hoc vero magis quod fit ex Cnidio grano, tanto nimirum quanto granum potentiorem purgandi vim obtinet quam ricinus. Jam quod ex agrefti oliva oleum exprimitur, non fimplicem temperiem obtinet, fed extergit fimulque aftringit. Squalidiffimum id eft ex omni olei genere, et poft Iftricum quoque, deinceps poft illa eft Hifpanum. Pinguiffimum eft Libycum et Cilicium, fimul

Σαβῖνον. ἐν τῷ μέσῳ δὲ τῶν εἰρημένων ἁπάντων τό τε κατὰ τὰς Κυκλάδας νήσους ἐστὶ καὶ τὴν Ἑλλάδα καὶ τὴν Ἀσίαν. κρίνεται δὲ τὸ μὲν λιπαρὸν ἔλαιον τῇ γλισχρότητι, τὸ δὲ λεπτομερὲς τῷ τε διαυγεῖ καὶ καθαρῷ, καὶ τῷ πλεῖστον ἀλείφεσθαι τοῦ σώματος ὑπ' ἐλαχίστου καὶ τῷ πρὸς τοῦ χρωτὸς ἀναπίνεσθαι ῥᾳδίως. ἐκ δὲ τῶν εἰρημένων ἔνεστί σοι καὶ περὶ τῶν ἄλλων ἐλαίων, ὁπόσα τοῖς μύροις ὁμωνύμως λέγεται, γιγνώσκειν ἤδη, λέγω δὲ ῥοδίνου τε καὶ μηλίνου καὶ κρινίνου καὶ ὅσα τοιαῦτα καρπῶν ἢ ἀνθῶν ἢ βλαστῶν ἢ φύλλων ἐναποβρεχομένων ἐν ἐλαίῳ γίγνεται. τούτων γὰρ ἕκαστον, ὅταν ἅμα τοῖς ἀρώμασι σκευασθῇ, μύρον ἀποτελεῖται. λεχθήσεται δ' ἐπιπλέον ὑπὲρ αὐτῶν ἐν τῇ περὶ συνθέσεως φαρμάκων πραγματείᾳ. τὸ δ' εἰς τὸν παρόντα χρήσιμον εἰπὼν ἀπαλλάξομαι. κατὰ φύσιν ἑκάστου τῶν ἐμβληθέντων ἀλλοιωθήσεται τὸ ἔλαιον. ἐξ ὧν οὖν ὑπὲρ ἑκάστου τῶν ἐμβαλλομένων ἐν τῷδε τῷ λόγῳ παντὶ καθόλου μανθάνεις, ἐκ τούτων ἂν εἴη σοι καὶ περὶ τοῦ καθέκαστον αὐτῶν ἐλαίου γιγνώσκειν.

autem pingue tenue Sabinum. In medio comprehenforum omnium funt, tum id quod per Cyclades infulas nafcitur, tum quod per Graeciam Afiamque. Porro oleum pingue aeftimatur judicaturque vifcofitate, tenue vero fi perluceat, fi purum fit, fi plurimum a minima ejus portione inungatur, fi facile a cute combibatur. Ex dictis cognofcere jam liceat et de aliis olei generibus, quae aequivoce ipfis dicuntur unguentis, puta rofaceo, melino, liliaceo, et quaecunque id genus floribus, fructibus, germinibus, foliis in oleo maceratis conficiuntur, Horum quodque ubi una cum aromatibus praeparantur, unguentum efficitur. De his copiofius dicetur in opere De componendis medicamentis. Porro ubi quod in praefentia utile eft expofuero, definam. Pro cujusque injectorum natura oleum variari contingit. Ex iis ergo quae in toto hoc opere de quoque injiciendorum univerfaliter difces, figillatim quoque confectum ex iisdem oleum cognofcere dabitur.

[ε΄. Περὶ ἐλατίνης.] Ἐλατίνη μετρίως ἐστὶ ψυκτική τε καὶ στυπτική.

[στ΄. Περὶ ἐλαφοβόσκου.] Ἐλαφόβοσκος θερμῆς καὶ λεπτομεροῦς ἐστι δυνάμεως καὶ διὰ τοῦτο καὶ ξηραντικῆς κατὰ τὴν δευτέραν που μάλιστα τῶν ἀποστάσεων.

[ζ΄. Περὶ Ἐλενίου.] Ἐλενίου τῆς πόας ἡ ῥίζα ἐστὶ μάλιστα χρήσιμος, οὐκ εὐθὺς κατὰ τὴν πρώτην προσβολὴν θερμαίνουσα, καὶ διὰ τοῦτο λεκτέον αὐτὴν οὐ θερμὴν καὶ ξηρὰν ἀκριβῶς, ὥσπερ τὸ μέλαν καὶ λευκὸν πέπερι, ἀλλὰ σὺν ὑγρότητι περιττωματικῇ, καὶ διὰ τοῦτο καὶ τοῖς ἐκλείγμασι τοῖς εἰς τὰς ἀναγωγὰς τῶν γλίσχρων καὶ τῶν παχέων ἐν θώρακι καὶ πνεύμονι χυμῶν ἐπιτηδείως μίγνυται καὶ φοινίσσουσιν αὐτῇ τὰ μόρια, ψυχροῖς καὶ χρονίοις ἐνοχλούμενα πάθεσιν, ὥσπερ ἰσχιάδες τέ τινές εἰσι καὶ ἡμικρανίαι καὶ συνεχεῖς ἄρθρων τινῶν ἐκπτώσεις δι᾽ ὑγρότητος.

[173] [η΄. Περὶ ἐλελισφάκου.] Ἐλελίσφακος θερμαντικῆς ἐναργῶς ἐστι κράσεως, ὑποστυφούσης ἀτρέμα.

[5. *De Elatine.*] Elatine modice tum refrigerat tum aſtringit.

[6. *De Elaphoboſco.*] Elaphoboſcus facultatis eſt calefactoriae et tenuium partium, ac proinde exiccatoriae ſecundo maxime exceſſuum ordine.

[7. *De Elenio, enula campana.*] Elenii herbae radix maxime eſt utilis, non primo ſtatim occurſu calefaciens, ac proinde dicenda eſt non calida et ſicca exacte, ceu piper tum atrum, tum candidum, ſed cum excrementitio humore. Quapropter eclegmatis, quae faciunt ad educendos ex pectore pulmoneque craſſos lentosque humores, convenienter commiſcetur. Rubrificant illa quoque partes frigidis ac diuturnis vexatas affectibus, cujusmodi ſunt nonnullae coxarum paſſiones, iſchiadas vocant, et hemicraniae aſſiduaeque articulorum quorundam prae humiditate procidentiae ac luxationes.

[8. *De Eleliſphaco, ſalvia.*] Salvia evidenter calefacit ac leviter ſubaſtringit.

(83) [θ'. *Περὶ ἐλλεβόρου.*] Ἐλλέβορος ἑκάτερος, ὅ τε λευκὸς καὶ ὁ μέλας, ῥυπτικῆς τε ἅμα καὶ θερμαντικῆς εἰσι δυνάμεως. διὸ καὶ πρὸς ἀλφοὺς καὶ λειχῆνας καὶ ψώρας καὶ λέπρας ἁρμόττουσι, καὶ μὲν δὴ καὶ εἰς σύριγγα τετυλωμένην ὁ μέλας, καθιέμενος ἐν δύο που καὶ τρισὶν ἡμέραις ἀφίστησιν αὐτῆς τὸν τύλον, καὶ ὀδόντας δὲ σὺν ὄξει διακλυζόμενος ὀνίνησι. καὶ κείσθωσαν ἐν τῇ τρίτῃ τάξει τῶν θερμαινόντων τε καὶ ξηραινόντων. ἔστι δὲ τῇ γεύσει θερμότερος μὲν ὁ μέλας, ὑπόπικρος δὲ ὁ λευκός.

[ι'. *Περὶ ἐλξίνης.*] Ἑλξίνη, ἔνιοι δὲ περδίκιον ὀνομάζουσιν, ἄλλοι δὲ παρθένιον, ἄλλοι δὲ σιδηρίτιδα, εἰσὶ δ' οἳ Ἡρακλείαν. δύναμις δ' αὐτῆς ῥυπτική τε καὶ ἀτρέμα στυπτικὴ μεθ' ὑγρότητος ὑποψύχρου. ὅθεν ἰᾶται φλεγμονὰς ἁπάσας ἐν ἀρχῇ τε καὶ ἐν ἀναβάσει μέχρι τῆς ἀκμῆς, καὶ μάλιστα τὰς θερμάς. καὶ μὲν δὴ καὶ ἀρχομένοις φυγέθλοις ἐπιπλάττεται. καὶ ὁ χυλὸς δ' αὐτῆς μετὰ ῥοδίνου πρὸς ὤτων ἀλγήματα φλεγμαινώδη μετρίως ἤρμοκεν. ἀνακογχυλίζονται δ' αὐτὴν ἔνιοι καὶ πρὸς παρίσθμια, καί τινες τῶν

[9. *De Elleboro, veratro.*] Elleborus uterque tum albus, tum niger, extergentis eſt et calefacientis facultatis. Quamobrem ad alphos, lichenas, pſoras, leprasque accommodi ſunt. Quin etiam niger ſi in fiſtulam callo induratam immiſſus fuerit duobus tribusve diebus, callum detrahit. Dentibus prodeſt cum aceto colluentibus. Sunt autem in tertio ordine calefacientium et deſiccantium. Porro niger guſtu calidior eſt, candidus ſubamarus.

[10. *De Helxine.*] Helxine. Alii perdicium nominant, alii parthenium, alii ſideritin, ſunt qui heracleam appellitent. Caeterum facultas ei ineſt abſtergendi et leviter conſtringendi cum humiditate ſubfrigida. Quamobrem phlegmonas omnes in initio et augmento ſanat usque ad ſtatum, et maxime ſi calidae fuerint. Quin etiam incipientibus phygethlis cataplasmatis ritu illinitur. Tum etiam ad aurium dolores phlegmonoſos ſuccus ejus cum roſaceo mediocriter profuerit. Gargarizandum item nonnulli exhibet ad pariſthmia. Sunt vero etiam ex medicis quidam, qui

ἰατρῶν τοῖς χρονίως βήττουσιν ἔδοσαν αὐτήν. τοῦ ῥύπτειν δ' ἐναργῆ πεῖραν παρέχεται καὶ ἐπὶ τῶν ὑαλίνων σκευῶν.

[ια'. Περὶ ἑλξίνης μελαίνης.] Ἑλξίνη, ἡ καὶ κισσάμπελος ὀνομαζομένη, δυνάμεώς ἐστι διαφορητικῆς.

[ιβ'. Περὶ ἐλύμου.] Ἔλυμος, καλεῖται δὲ καὶ μελίνη. ἔστι μὲν ἐκ τῶν ὀσπρίων, ὅμοιον κέγχρῳ τήν τε ἰδέαν καὶ τὴν δύναμιν, ὀλιγότροφόν τε καὶ ξηραντικόν. ἵστησί τέ τι καὶ τὰ κατὰ γαστέρα ῥεύματα, καθάπερ καὶ ὁ κέγχρος. εἰ δ' ἔξωθεν ἐπιπλασθείη, ξηραίνει τε καὶ ψύχει.

[ιγ' Περὶ ἐμπέτρου.] Ἔμπετρον εἰς καθάρσεις μόνας δοκεῖ χρήσιμον ὑπάρχειν ἄγον φλέγμα καὶ χολήν. ἔστι δὲ ἁλυκὸν τῇ γεύσει, ὥστε καὶ εἰς ἄλλα χρήσαιτ' ἄν τις αὐτῷ εἰς ἅπερ καὶ τὴν ἁλυκὴν οὐσίαν ἐδείκνυμεν δυναμένην· ὀνομάζεται δὲ καὶ πρασοειδές.

[ιδ'. Περὶ ἐπιθύμου.] Ἐπίθυμον τῆς θύμου δυνάμεώς ἐστιν ἰσχυρότερον, τὰ πάντα ξηραινούσης τε καὶ θερμαινούσης κατὰ τὴν τρίτην ἀπόστασιν.

iis, qui diutina tussi vexantur, illam exhibuerint. Certe evidens extergendi experimentum praebet et in vasis vitreis.

[11. *De Helxine nigra.*] Helxine, quae et cissampelos nuncupatur, digerendi facultatem obtinet.

[12. *De Elymo, panico.*] Panicum. Vocatur autem et meline, ex leguminum genere est, milio specie simile, facultate certe pauci nutrimenti et exiccatoria. Sistit quoque nonnihil ventris fluxus, ceu ipsum etiam milium. Si vero foris illinatur, exiccat atque refrigerat.

[13. *De Empetro.*] Empetron ad solas purgationes esse videtur commodum, bilem ac pituitam educens. Gustu salsum est, proinde ad alia quoque utaris licet, ad quae pollere ostendimus substantiam salsam. Nominatur item prasoeides.

[14. *De Epithymo.*] Epithymum thymi facultatem habet, ad omnia efficacius. Exiccat et calefacit in tertio gradu.

[174] [ιε'. Περὶ ἐπιμηδίου.] Ἐπιμηδίου ἡ δύναμις ψυκτική μετρίως ἐστὶ, μεθ' ὑγρότητος ὑδατώδους. οὐδεμίαν γοῦν ἐπίσημον ἔχει ποιότητα, δύναται δὲ καταπλαττομένη μαστοὺς ὀρθίους διαφυλάττειν, φασὶ δὲ καὶ ἀτόκιον εἶναι πινομένην.

[ιστ'. Περὶ ἐπιμήλιδος.] Ἐπιμηλίς· στρυφνὸν τοῦτο τὸ φυτόν ἐστι καὶ ὡς ἂν εἴποι τις ἀγρία μηλέα. καλεῖται δ' ὑπὸ τῶν κατὰ τὴν Ἰταλίαν ἀγροίκων οὐνέδων. πλεῖστον δὲ ἐν τῇ Καλαβρίᾳ γίγνεται. ὁ καρπὸς δ' αὐτῆς στρυφνὸς μὲν, κακοστόμαχος δὲ καὶ κεφαλαλγής. ἀναμέμικται γὰρ αὐτῷ τις ἀλλόκοτος ποιότης.

[ιζ'. Περὶ ἐρεβίνθου.] Ἐρέβινθος, ὄσπριον φυσῶδες, τρόφιμον, εὐκοίλιον, οὐρητικὸν, γάλακτος καὶ σπέρματος γεννητικὸν, προτρέπει δὲ καὶ καταμήνια. εἰσὶ δ' οἱ κριοὶ καλούμενοι τῶν ἄλλων οὐρητικώτεροι. τὸ δ' ἀφέψημα αὐτῶν τοὺς λίθους τοὺς ἐν νεφροῖς θρύπτει. τὸ δ' ἕτερον γένος τῶν ἐρεβίνθων καλοῦνται μὲν ὀροβίαι, τῆς δ' αὐτῆς ἐστι δυνάμεως, ἐπισπαστικῆς, διαφορητικῆς, τμητικῆς, ῥυπτικῆς.

[15. *De Epimedio.*] Epimedii facultas eft moderate refrigeratoria cum aquea humiditate, quare nullam habet infignem qualitatem. Uberibus illitum ea recta fervare poteft. Ajunt vero, fi potu hauriatur, fterilitatem parere.

[16. *De Epimelide, mefpilo, unedone.*] Mefpilus. Acerba haec planta eft, utque dixerit quispiam pomus fylveftris. Vocatur autem ab Italiae rufticis unedon. Ingens ejus in Calabria proventus. Fructus ejus acerbus quidem eft, nihilo minus tamen ftomacho ingratus et capitis movens dolores. Admixta fiquidem ei eft aliena quaepiam qualitas.

[17. *De Erebintho, cicere.*] Cicer legumen eft flatuofum, copiofi nutrimenti, alvo movendae habile, ciendae urinae idoneum, lacti et femini generando aptum, projicit vero et menfes. Porro quod vocatur arietinum caeteris efficacius urinam provocat. Decoctum ejus calculos renum confringit. Reliquum autem cicerum genus, vocatur autem orobiaeum, eadem vi pollet, puta, attrahendi, digerendi,

εἰσὶ γὰρ θερμοὶ μὲν καὶ μετρίως ξηροὶ, μετέχουσι δέ τι καὶ τῆς πικρότητος, δι᾽ ἣν καὶ σπλῆνα καὶ ἧπαρ καὶ νεφροὺς ἐκκαθαίρουσι, καὶ ψώρας καὶ λειχῆνας ἀποῤῥύπτουσι καὶ παρωτίδας, καὶ διδύμους σκιῤῥουμένους διαφοροῦσι, καὶ τὰ κακοήθη δὲ τῶν ἑλκῶν ἰῶνται μετὰ μέλιτος.

[ιη΄. Περὶ ἐρεβίνθου ἀγρίου.] Ἐρέβινθος ἄγριος ἰσχυρότερος εἰς πάντα τοῦ ἡμέρου, τουτ᾽ ἔστι θερμότερός τε καὶ ξηραντικώτερος, ὅσον περ καὶ δριμύτερός τέ ἐστι καὶ πικρότερος.

[ιθ΄. Περὶ ἐρείκης.] Ἐρείκη διαφορητικῆς ἐστι δυνάμεως. τῷ δ᾽ ἄνθει μάλιστα καὶ τοῖς φύλλοις αὐτῆς χρηστέον.

[κ΄. Περὶ ἑρπύλλου.] Ἕρπυλλος θερμαντικῆς εἰς τοσοῦτόν ἐστι δυνάμεως, ὡς καταμήνιά τε καὶ οὖρα κινεῖν. ἔστι δὲ καὶ πρὸς τὴν γεῦσιν ἱκανῶς δριμύς.

[κα΄. Περὶ ἐρυσίμου.] Ἐρυσίμου τὸ σπέρμα καθάπερ τῇ γεύσει παραπλήσιον φαίνεται καρδάμῳ, οὕτω καὶ τῇ δυνάμει πυρῶδές τε καὶ θερμαντικὸν ὑπάρχει. ἐπειδὰν δὲ ἐκλείγματι δέῃ χρῆσθαι αὐτῷ, βέλτιόν ἐστιν ὕδατι προβρέξαντας ψῦξαι ἢ εἰς ὀθόνιον ἐνδήσαντας, εἶτα σταιτὶ περιπλά-

incidendi, extergendi. Sunt enim calidi et modice ficci, participes item funt amaroris, cujus vi lienem et jecur et renes expurgant, pforasque et lichenes extergunt, tum abfceffus poft aures provenientes et teftes induratos difcutiunt. Tum etiam ulcera maligna cum melle fanant.

[18. *De Erebintho cicere agrefti.*] Cicer agrefte ad omnia efficacius domeftico eft, hoc eft tum calidius tum ficcius, quanto et acrius et amarius.

[19. *De Erice.*] Erice digerendi per halitum facultatem obtinet. Flore ejus potiffimum ac foliis utendum.

[20. *De Erpyllo, Serpyllo.*] Serpyllum usque adeo calefacit ut et menfes et urinas moveat. Guftu multum eft acre.

[21. *De Eryfimo.*] Eryfimi femen ficut guftu nafturtio apparet fimile, ita facultate igneum eft et calefactorium. Porro ubi in eclegmate uti ex ufu eft, praeftat aqua maceratum refrigerare, aut linteolo involutum et crufta pifto-

Ed. Chart. XIII. [174. 175.] Ed. Baſ. II. (83.)

σαντας ὀπτήσαι. χρήσιμον δ' ἐστὶ μετὰ τῶν ἐκλειγμάτων εἰς τὰς τῶν κατὰ θώρακα καὶ πνεύμονα γλίσχρων τε καὶ παχέων χυμῶν ἀναπτύσεις. ἀλλὰ καὶ παρωτίδας σκιῤῥουμένας καὶ σκληρίας παλαιὰς ἐν μαστοῖς καὶ διδύμοις ὠφελεῖ. φησὶ δὲ Διοσκουρίδης ὡς καταπλαττόμενον μεθ' ὕδατος ἢ μέλιτος ὀνίνησι τοὺς κρυπτοὺς καρκίνους.

[175] [κβ'. Περὶ ἐρυθροδάνου.] Ἐρυθρόδανον. ἔστι δὲ ἡ τῶν βαφέων ἐρυθρὰ ῥίζα στρυφνὴ καὶ πικρὰ τὴν γεῦσιν, ὅθεν ὅσα περ εἴρηται κατὰ τὸ πρὸ τούτου γράμμα ποιεῖν ἐς ταὐτὸν ἀλλήλαις αἱ τοιαῦται συνελθοῦσαι δυνάμεις, ἅπαντα σαφῶς ἐν τῇδε τῇ ῥίζῃ θεάσῃ. καὶ γὰρ καὶ σπλῆνα καὶ ἧπαρ διακαθαίρει, καὶ οὖρα παχέα καὶ πολλὰ καί ποτε καὶ αἱματώδη κενοῖ, καὶ δὴ καὶ καταμήνια προτρέπει καὶ ἀποῤῥύπτει συμμέτρως, ὅσα δεῖται ῥύψεως. ἀλφοὺς γοῦν λευκοὺς ὠφελεῖ μετ' ὄξους ἐπαλειφόμενον. διδόασι δ' αὐτὴν τινες καὶ τοῖς ἰσχιαδικοῖς καὶ τοῖς παραλελυμένοις πίνειν μετὰ μελικράτου.

ria circumlitum torrere. Utile eſt cum eclegmatis ad promovendas craſſorum lentorumque pectoris pulmonisque humorum expuitiones. Quin et parotides induratas et duritiem antiquam uberum et teſticulorum juvat. Refert Dioſcorides, quod cum aqua et melle cataplasmatis in morem illitum occultis proſit cancris.

[22. *De Erythrodano, rubia paſſiva.*] Erythrodanum. Eſt autem tinctorum rubia radix acerba guſtu et ſubamara. Itaque quaecunque agere dicta ſunt ſuperiore libro, ubi in unum ejusmodi coiverint facultates, ea omnia in hac radice luculenter conſpicies. Quippe quum et lienem et jecur expurget, et urinas craſſas multasque, ac nonnunquam etiam ſanguinolentas vacuet. Quin et menſes ciet, et mediocriter quae exterſionem poſtulant extergit, proinde vitiligines albas cum aceto illita juvat. Sunt qui eam iſchiadicis et reſolutis in potu cum melicrato exhibeant.

(84) [κγ'. *Περὶ εὐπατορίου.*] *Εὐπατόριον ἡ πόα λεπτομεροῦς καὶ τμητικῆς καὶ ῥυπτικῆς ἐστι δυνάμεως, ἄνευ θερμότητος ἐπιφανοῦς, ὅθεν καὶ τὰς καθ' ἧπαρ ἐμφράξεις ἐκκαθαίρει. μετέχει δὲ καὶ στύψεως βραχείας, δι' ἣν καὶ τόνον ἐντίθησι τῷ σπλάγχνῳ.*

[κδ'. *Περὶ εὐφορβίου.*] *Εὐφόρβιον καυστικῆς ἐστι καὶ λεπτομεροῦς δυνάμεως, ὁμοίως τοῖς ἄλλοις ὀποῖς.*

[κε'. *Περὶ ἐφημέρου.*] *Ἐφήμερον οὐ τὸ δηλητήριον, ὃ καὶ Κολχικὸν ὀνομάζουσιν, ἀλλὰ τὸ ἕτερον, ὃ δὴ καὶ ἶρις ἀγρία καλεῖται. φύλλα μὲν καὶ καυλὸν ἔχει ὅμοιον κρίνῳ, ῥίζαν δὲ μακρὰν οὐ στρογγύλην, ὥσπερ τὸ Κολχικόν. ἔστι δὲ δακτύλου μὲν μάλιστα τὸ πάχος, στύφουσα δὲ καὶ εὐώδης. ἐξ ὧν δῆλον ὡς μικτῆς ἐστι δυνάμεώς τε καὶ κράσεως ἀποκρουστικῆς τε καὶ διαφορητικῆς. μαρτυρεῖ δὲ καὶ τὰ κατὰ μέρος ἔργα. καὶ γὰρ ὀδονταλγίας ἐστὶν οὐκ ἄπρακτον ἥ γε ῥίζα διάκλυσμα καὶ φυμάτων ἀναβάσεσί τε καὶ ἀκμαῖς ἁρ-*

[23. *De Eupatorio.*] Eupatorium herba ipfa tenuium partium, incidendi extergendique facultatem citra manifeftam caliditatem obtinet. Quocirca obftructiones jecoris expurgat. Ineft itidem ei et aftrictio quaedam, per quam robur vifceri addit.

[24. *De Euphorbio.*] Euphorbium cauflicae, five urentis facultatis eft et tenuium partium aliis fuccis fimiliter.

[25. *De Ephemero.*] Ephemerum non illud lethale ac deleterium, quod et Colchicum nominant, fed alterum, quod et irin agreftem cognominant, folia et caulem lilio fimilem obtinet, radicem oblongam non rotundam, ceu Colchicum, digiti potiffimum craffitudine, aftringentem et boni fuavisque odoris. Ex quibus palam fit facultatis temperieique effe mixtae, nempe repellentis et per halitum digerentis. Teftantur opera quae particulatim edit. Siquidem non ineffìcaciter radix ejus in dentium doloribus colluitur. Tum phymatum augmento et ftatui folia con-

μόζει τὰ φύλλα. χρὴ δ' ἕψοντας ἐν οἴνῳ, πρὶν ἐκπυῆσαι, καταπλάττειν.

[κστ'. Περὶ ἐχίνου.] Ἐχίνου τῆς πόας ὁ καρπὸς στρυφνὸς καὶ διὰ τοῦτο ἀποκρουστικὸς καὶ ξηραντικός. χρῶνται δ' αὐτῷ πρός τε τὰ τῶν ὀφθαλμῶν ῥεύματα καὶ πρὸς ὦτα.

Κεφ. στ'. [α'. Περὶ ζειᾶς.] Ζειὰ μεταξύ πως ἐστι τὴν δύναμιν ἅπασαν πυρῶν τε καὶ κριθῶν, ὥστ' ἐξ ἐκείνων γινωσκέσθω.

[β'. Περὶ ζιγγιβέρεως.] Ζιγγιβέρεως ἡ ῥίζα χρήσιμός ἐστιν, ἥνπερ δὴ κομίζουσιν ὡς ἡμᾶς ἐκ τῆς βαρβάρου. θερμαίνει μὲν οὖν ἰσχυρῶς, ἀλλὰ οὐ κατὰ τὴν πρώτην προσβολὴν ὡς τὸ πέπερι. ταύτῃ τοι καὶ λεπτομερέστερον ἧττον αὐτὸ πεπέρεως ὑποληπτέον ὑπάρχειν. ἐλύετο γὰρ ἂν εἰς λεπτὰ μόρια καὶ διὰ ταχέων ἐνεργείᾳ θερμὸν ἐγίγνετο, καθάπερ ἐκεῖνο. φαίνεται γοῦν ἀκατεργάστου τινὸς ἔτι καὶ παχυμερεστέρας οὐσίας μετέχον καὶ ταύτης [176] οὐ ξηρᾶς καὶ γεώδους, ἀλλ' ὑγρᾶς καὶ ὑδατώδους μᾶλλον. διὰ τοῦτό γέ τοι καὶ τιτρᾶται ῥᾳδίως, ὅτι μέτεστιν αὐτῆς περιττωμα-

gruunt, oportet autem ea in vino decocta prius quam pus moveas illinere.

[26. *De Echino herba.*] Echini herbae fructus acerbus eſt, ac proinde repellentis et exiccatoriae facultatis. Utuntur eo ad oculorum fluxiones et ad aures.

Cap. VI. [1. *De Zeia.*] Zeia univerſa ſua facultate quodammodo in medio eſt tritici et hordei. Itaque ex illis cognoſcatur.

[2. *De Zingibere.*] Zingiberis radix utilis eſt, utique quam ex Barbaria ad nos convehunt. Calefacit valenter, ſed non primo ſtatim occurſu velut piper, unde ſane et minus eſſe ſubtilium partium quam piper exiſtimandum, ſiquidem in tenues ſolveretur partes et celerrime actu, ut illud, fieret calidum. Apparet enim illaborata et craſſior adhuc quaedam ei ineſſe ſubſtantia, nec ea ſicca et terreſtris, ſed humida potius atque aquea. Quo fit ut facile perforetur, quum ſcilicet excrementitia inſit humiditas; neque

Ed. Chart. XIII. [176.] Ed. Baf. II. (84.)

τικῆς ὑγρότητος. οὐδὲν γοῦν τοῦτο πάσχει τῶν ἤτοι ξηρῶν ἀκριβῶς ἢ ὑγρῶν μὲν, ἀλλὰ τῶν κατειργασμένην τε καὶ οἰκείαν ἐχόντων ὑγρότητα. ταὐτὸν τούτῳ καὶ τὸ μακροπέπερι πεπονθὸς, καὶ διὰ τοῦτο παραμένει μέχρι πλείονος ἡ ἀπὸ ζιγγιβέρεως καὶ μακροπεπέρεως θερμότης ἤπερ ἡ ἀπὸ λευκοῦ τε καὶ μέλανος. ὡς γὰρ ἡ ἀπὸ τῶν ξηρῶν καλάμων φλὸξ ἀνάπτεται μὲν ἅμα, καὶ πάντη σκίδναται τάχιστα, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡ ἀπὸ τῶν ξηρῶν τῇ δυνάμει φαρμάκων. ἡ δ᾽ ἀπὸ τῶν ὑγροτέρων ἀνάλογον τοῖς χλωροῖς ξύλοις καὶ βραδύτερον ἐξάπτεται καὶ παραμένει μέχρι πλείονος, ὅθεν καὶ ἡ χρεία διάφορος ἑκατέρου τῶν φαρμάκων. ὅταν μὲν γὰρ τὸ πᾶν σῶμα ἐκθερμῆναι βουλώμεθα διὰ ταχέων, ὅσα ταχέως μὲν ἐκθερμαίνει πλησιάζοντα τῷ τοῦ ζώου θερμῷ, ταχέως δὲ πάντῃ φέρεται δοτέον. ἐπειδὰν δέ τι μόριον ἐψυγμένον ἐκθερμῆναι βουληθῶμεν, ἔμπαλιν πρακτέον, ὅσα βραδέως θερμαινόμενα μέχρι πλείστου παραμένει, ταῦτα προσφέρονται. τὸ μὲν οὖν ζιγγίβερι καὶ τὸ μακροπέπερι, κἂν εἰ διαφέρει ταύτῃ τοῦ

enim quicquam eorum, quae aut plane ficca funt, aut humida, fed elaboratam et familiarem continent humiditatem, tale aliquid patitur. Idem ufu venit piperi longo. Atque hinc eft quod diutius perfeverat quae proficifcitur a zingibere aut pipere longo caliditas quam quae ab albo aut nigro. Nam ficut ab aridis calamis flamma fimul celerrime accenditur et undequaque difpergitur, eundem in modum quae a ficcis poteftate medicamentis editur caliditas; at quae prodit ab humidioribus, ceu ligna funt viridia, et tardius accenditur et durat diutius. Ex quo fit ut utriusque medicamenti diverfus fit ufus. Siquidem ubi totum corpus celeriter calefacere confilium eft, ea tunc exhibenda funt, quae et celerrime a caloris noftri contactu incalefcant et promptiffime undequaque ferantur. Verum ubi partem quamvis refrigeratam calefacere ftudemus, contra agendum, nimirum quae tarde calefcentia plurimo tempore perdurent, ea praebendo. Caeterum licet zingiber et piper longum hac ratione a nigro pipere differant, non magna tamen eft

μέλανος πεπέρεως, ἀλλ' ἐπ' ὀλίγον. κάρδαμον δὲ καὶ νᾶπυ καὶ θαψία καὶ ὁ τῶν ἀγρίων περιστερῶν ἀπόπατος ἐν χρόνῳ τε πλείονι τελέως ἐκπυροῦται καὶ μέχρι πλείστου παραμένει.

[γ΄. Περὶ ζύθου.] Ζύθος δριμύτερός ἐστι τῶν κριθῶν οὐ σμικρῷ, κακόχυμος, ὡς ἂν ἐκ σηπεδόνος γεγενημένος. ἔστι δὲ καὶ φυσώδης, καὶ τὸ μέν τι δριμὺ καὶ θερμαῖνον ἔχον, τὸ πλεῖστον δὲ ψυχρὸν ὑδατῶδες ὀξύ.

[δ΄. Περὶ ζύμης.] Ζύμη λεπτομερὴς μέν ἐστι καὶ μετρίως θερμή. διὰ τοῦτο τοίνυν ἀλύπως τε καὶ ἀδήκτως ἐπισπᾶταί τε ἅμα τὰ ἐκ τοῦ βάθους καὶ διαφορεῖ. μέμικται δὲ ἐξ ἐναντίων καὶ ἥδε δυνάμεων, ὥσπερ καὶ ἄλλα πολλά. καὶ γὰρ ὀξύτητος μετέχει ψυχρᾶς καὶ σηπεδονώδους θερμότητος καὶ προσέτι τῆς ἀπὸ τῶν ἁλῶν καὶ τῆς ἀπὸ τοῦ ἀλεύρου κατὰ φύσιν.

Κεφ. ζ. [α΄. Περὶ ἡδυόσμου.] Ἡδύοσμον, ἔνιοι δὲ μίνθην προσαγορεύουσιν. ἔστι γὰρ ἑτέρα τις οὐκ εὐώδης μίνθη, ἣν καὶ καλαμίνθην καλοῦσι. δριμεῖαι δ' εἰσὶ γενο-

differentia, at nafturtium, napy, thapfia et agreftium columbarum ftercus majori tempore perfecte accenduntur et plurimo tempore perdurant.

[3. *De Zytho.*] Zythus acrior eft non paulo hordeo et fucci pravi, utpote qui ex putredine proveniat, eft et flatuofus, tum partim acris eft et calidus, partim vero plurimum frigidus, aqueus, acidus.

[4. *De Zyme fermento.*] Fermentum tenuium eft partium et mediocriter calidum. Proinde fane fine molestia ac mordacitate quae in profundo funt tum extrahit tum digerit. Caeterum ex contrariis et ipfum facultatibus temperatum eft, ficut alia multa. Particeps namque eft aciditatis cujusdam frigidae et caliditatis putredinofae, cui accidit et ea quae ex fale et farina provenit, quae fecundum naturam eft.

Cap. VII. [1. *De Hedyofmo, Mentha.*] Hedyofmus. Alii vero minthen odoratam nuncupant. Eft enim et alia quaedam minthe non odorata, quam calaminthen

μένοις ἀμφότεραι καὶ θερμαὶ τὴν δύναμιν ἐκ τῆς τρίτης που τάξεως τῶν θερμαινόντων. ἀσθενεστέρα μὴν ἡ εὐώδης μίνθη τῆς καλαμίνθης ἐστὶ καὶ ἧττον θερμαντική. καθόλου γὰρ εἰπεῖν ἡ μὲν ὥσπερ ἀγρία τίς ἐστιν, ἡ δ' ἥμερος, ὥστε διὰ τὴν ἐκ τοῦ κηπεύεσθαι προσοῦσαν ὑγρότητα καὶ πρὸς ἀφροδίσια παρορμᾷ μετρίως. ὑπάρχει δὲ τοῦτο κοινὸν ἅπασιν οἷς μέτεστιν ὑγρότητος ἡμιπέπτου τε καὶ φυσώδους. διὰ δὲ τὴν τοιαύτην τῆς πόας κρᾶσιν καὶ κατὰ τῶν ἀποστημάτων ἐπιτιθέασιν ἔνιοι μετ' ἀλφίτων αὐτὴν, ὅπερ ἡ καλαμίνθη ποιεῖν οὐ δύναται τῷ σφοδρότερον ἢ τὰ τοιαῦτα θερμαίνειν καὶ ξηραίνειν. ἔχει δέ τι καὶ πικρὸν καὶ στρυφνὸν ἐν ἑαυτῇ, καὶ τῷ μὲν πικρῷ τὰς ἕλμινθας ἀναιρεῖ, τῷ δὲ στρυφνῷ μετ' ὀξυκράτου πινομένη τὰς προσφάτους αἵματος ἀναγωγὰς ἐπέχει. λεπτομερὴς δ' ἐστὶ τὴν οὐσίαν εἴπερ τις καὶ ἄλλη πόα.

[177] [β'. *Περὶ ἡδυσάρου.*] Ἡδύσαρον ἢ πελεκῖνος. τούτου τοῦ θάμνου τὸ σπέρμα πυῤῥὸν μὲν τὴν χρόαν, ἀμφίστομον δὲ καθάπερ οἱ πελέκεις· πικρὸν καὶ ὑπόστρυφνον

vocant. Utraque gustu acri et facultate calida est, ex tertio ordine calefacientium. Infirmior tamen est mentha odorata quam calamintha et minus calefacit. Ut enim in universum dicam, haec ceu sylvestris quaedam est, illa ceu domestica. Quamobrem fane ob eam, quae ex cultu accedit humiditatem, mediocriter item ad venerem excitat. Id quod omnibus commune est, quae humiditatem semicoctam et flatuosam continent. Ob talem ipsius herbae temperiem in abscessibus ea quidem cum polenta mixta utuntur; id quod in calamintha facere nequeas, propterea quod valentius tum calefaciat tum desiccet quam id genus poscant. Habet vero etiam quoddam amarum in se et acerbum, illo quidem lumbricos interficit, acerbitate vero, si cum oxycrato bibatur, recentes sanguinis rejectiones reprimit. Substantiae est ut siqua alia herba tenuium partium.

[2. *De Hedysaro.*] Hedysarum aut pelecinus. Hujus fruticis semen colore rufum est, utrinque anceps uti secures. Amarum et subacerbum apparet. Quamobrem

φαίνεται, ὅθεν εὐστόμαχόν τ' ἐστὶ πινόμενον, ἐκκαθαίρει τε τὰς ἐν τοῖς σπλάγχνοις ἐμφράξεις. οὕτω καὶ οἱ κλῶνες ὅλου τοῦ θάμνου δρῶσιν.

[γ'. Περὶ ἡμεροκάλλους.] Ἡμεροκάλλους ἡ ῥίζα παραπλησία τῇ τοῦ κρίνου κατά τε τὴν ἰδέαν οὖσα καὶ κατὰ τὴν δύναμιν ὠφελεῖ παραπλησίως ἐκείνῃ τὰ πυρίκαυτα. καὶ γὰρ διαφορητικῆς ἀτρέμα δυνάμεώς ἐστι μετὰ τοῦ καὶ ἀποκρουστικὸν ἔχειν τι.

(85) [δ'. Περὶ ἡμιονίτιδος.] Ἡμιονίτις στύψεως ἅμα σὺν πικρότητι μετέχει, διὸ καὶ σπληνικοὺς ὠφελεῖ σὺν ὄξει πινομένη.

[ε'. Περὶ ἠριγέροντος.] Ἠριγέρων δύναμιν ἐπίμικτον ἔχει, ψυκτικήν τε ἅμα καὶ μετρίως διαφορητικήν.

[στ'. Περὶ ἠρυγγίου.] Ἠρύγγιον θερμότητι μὲν ἢ βραχὺ τῶν συμμέτρων ἢ οὐδὲν ὑπερέχει, ξηρότητος δὲ λεπτομεροῦς οὐκ ὀλίγης μετέχει.

Κεφ. η'. [α'. Περὶ θαλιήκτρου.] Θαλίηκτρον κοριάννῳ μὲν ἔχει τὰ φύλλα παραπλήσια, τὸν καυλὸν δὲ πηγάνου τὸ

potum gratum eſt ſtomacho et viſcerum obſtructiones expurgat. Idem praeſtant totius fruticis germina.

[3. *De Hemerocalle.*] Hemerocalles radicem habet lilii radici ſimilem non figura tantum, ſed et facultatibus. Prodeſt non ſecus atque illa igni ambuſtis, quippe quae leviter digerentem facultatem habeat et cum hoc nonnihil repellentis.

[4. *De Hemionitide.*] Hemionitis ſimul et aſtrictionem et amarorem poſſidet. Quamobrem cum aceto pota lienoſis auxilio eſt.

[5. *De Herigeronte.*] Herigeron facultatem mixtam obtinet, ſimul refrigeratoriam et modice digerentem.

[6. *De Eryngio.*] Eryngium caliditate aut parum, aut nihil quod temperatum eſt ſuperat. Caeterum non parvam habet ſiccitatem in tenui eſſentia conſiſtentem.

Cap. VIII. [1. *De Thaliectro.*] Thaliectrum folia habet coriandro ſimilia, caulem craſſitudine rutae. Vis ei

πάχος. ἡ δύναμις δ' αὐτοῦ ξηραντικὴ χωρὶς δήξεως, ἐπουλοῖ γοῦν τὰ χρόνια τῶν ἑλκῶν.

[β'. Περὶ θαψίας.] Θαψία δριμείας ἐστὶ καὶ ἰσχυρῶς θερμαντικῆς δυνάμεως σὺν ὑγρότητι. ἕλκεται γὰρ οὖν ἐκ βάθους βιαίως καὶ αὐτὸ διαφορεῖ τὸ ἑλχθέν. χρόνῳ δὲ ἐργάζεται πλείονι ταῦτα, διὰ τὸ περιττωματικῆς ὑγρότητος ἐμπεπλῆσθαι δαψιλοῦς, δι' ἣν καὶ ταχέως διαφθείρεται.

[γ'. Περὶ θέρμου.] Θέρμος, ἐσθίεται μὲν ἑψηθείς τε καὶ πολλαῖς ἡμέραις, ἐναποθέμενος ὕδατι τὴν πικρότητα, καὶ γίνεται τηνικαῦτα τροφὴ παχύχυμος. ὡς φάρμακον δὲ ὁ μὲν τοιοῦτος ἐκ τῶν ἐμπλαστικῶν ἐστιν, ὁ δὲ τὴν σύμφυτον πικρότητα ἔχων ῥυπτικός τε καὶ διαφορητικὸς ὑπάρχει. ἀναιρεῖ δὲ καὶ ἕλμινθας ἐπιπλαττόμενός τε καὶ μετὰ μέλιτος ἐκλειχόμενος ἢ μετ' ὀξυκράτου πινόμενος, οὐ μὴν ἀλλὰ καὶ τὸ ἀφέψημα αὐτοῦ τὰς ἕλμινθας ἐκβάλλειν πέφυκε. καὶ μέν γε καὶ καταντλούμενον ἔξωθεν ὀνίνησιν ἀλφοὺς, ἀχῶρας, ἐξανθήματα, ψώρας, [178] γαγγραίνας, ἕλκη κακοήθη, τὰ μὲν τῷ ῥύπτειν, τὰ δὲ τῷ διαφορεῖν καὶ

ineſt exiccatoria citra morſum. Itaque ulcera inveterata ad cicatricem perducit.

[2. *De Thapſia.*] Thapſia acrem habet ac valenter calefacientem facultatem cum humiditate conjunctam. Quamobrem ex alto violenter extrahit et quod extraxit digerit. Verum pluſculum ad ea efficienda tempus poſtulat, ut quae larga humiditate excrementitia impleta eſt, cujus vitio etiam fit ut celeriter corrumpatur.

[3. *De Thermo, lupino.*] Lupinus edi poteſt coctus, multis ante diebus per macerationem amarore in aqua depoſito. Fitque tunc nutrimentum ſucci craſſi. Caeterum hic, ut medicamentum quidem, ex genere eſt emplaſticorum. At ubi nativus etiamnum manet amaror, extergendi digerendique vim obtinet. Interficit lumbricos tum illitus tum addito melle linctus tum ex poſca epotus. Quin et decoctum ejus lumbricos ejicere poteſt, tum etiam foris itidem perfuſum vitiligines, achoras, puſtulas, pſoras, gangraenas, ulcera maligna juvat, partim extergendo, partim

Ed. Chart. XIII. [178.] Ed. Baſ. II. (85.)

ξηραίνειν ἀδήκτως. ἐκκαθαίρει δὲ καὶ ἧπαρ καὶ σπλῆνα, μετὰ πηγάνου καὶ πεπέρεως ἡδονῆς ἕνεκα λαμβανόμενον. ἐπισπᾶται δὲ καὶ καταμήνια καὶ ἔμβρυα, σὺν σμύρνῃ καὶ μέλιτι προστιθέμενον. ἔστι δὲ καὶ τὸ ἄλευρον τῶν θέρμων ἀδήκτως διαφορητικόν. οὐ γὰρ τὰ πελιδνὰ μόνον, ἀλλὰ καὶ χοιράδας καὶ φύματα σκληρὰ θεραπεύει, ἐν ὄξει δ᾽ ἑψεῖν αὐτὸ χρὴ τηνικαῦτα, ἢ ὀξυμέλιτι, ἢ ὀξυκράτῳ, κατά τε τὰς κράσεις δηλονότι τῶν καμνόντων καὶ τοῦ πάθους τὴν διαφορὰν ἐξευρίσκοντα τὸ δέον. οὐκ ἔστι δὲ τῆς προκειμένης νῦν ἡμῖν πραγματείας τὰ τοιαῦτα διαιρεῖσθαι. διαφορεῖ δὲ καὶ τὰ πελιδνά· καὶ τἄλλα ὅσα πρόσθεν εἴρηται τὸ ἀφέψημα δρᾷν, πάντα καὶ τὸ ἄλευρον ἐργάζεσθαι πέφυκε. καταπλάσσουσι δ᾽ ἔνιοι καὶ τοὺς ἰσχιαδικοὺς αὐτῷ.

[δ'. *Περὶ θέρμου ἀγρίου.*] *Θέρμος ἄγριος πικρότερος καὶ ἰσχυρότερος εἰς ἅπαντα τοῦ ἡμέρου ἐστὶ, τῆς αὐτῆς ὑπάρχων αὐτῷ κατὰ γένος δυνάμεως.*

[ε'. *Περὶ θλάσπεως.*] *Θλάσπι σπέρμα.* δριμὺ καὶ τοῦτ᾽ ἔστι τὴν δύναμιν, ὥστε καὶ τὰ ἐντὸς ἀποστήματα ῥήσσει

citra mordacitatem digerendo ſiccandoque. Expurgat jecur et lienem cum ruta et pipere ſuavitatis gratia aſſumptum. Elicit menſes ac foetum cum myrrha et melle impoſitum. Porro lupinorum farina ſine mordicatione digerit. Nec enim livida tantum, ſed et ſtrumas et phymata dura curat, ſed tunc in aceto aut oxymelite, aut poſca coquatur oportet, idque pro laborantium temperamento et affectus diverſitate, quod ex uſu eſt eligendo. Sed non eſt praeſentis inſtituti talia diſtinguere. Digerit item quae livida ſunt. Et quaecunque modo diximus praeſtare poſſe decoctum, eadem omnia efficit et farina. Sunt vero etiam qui eam iſchiadicis cataplaſmatis modo illinunt.

[4. *De Thermo, lupino agreſti.*] Lupinus agreſtis amarior eſt et ad omnia valentior domeſtico, ejusdem genere cum ipſo facultatis.

[5. *De Thlaſpi.*] Thlaſpi ſemen. Habet et ipſum facultatem acrem, adeo ut internos abſceſſus potum disrum-

ποτιζόμενον καὶ καταμήνια κινεῖ καὶ ἔμβρυα κτείνει καὶ δι᾽ ἕδραν ἐνιέμενον ἰσχιάδας ὀνίνησιν αἱματώδη κενοῦν. ἔστι γὰρ καὶ ἄλλως καθαρτικὸν ἄνω τε καὶ κάτω χολωδῶν, ὀξυβάφου πλῆθος πινόμενον.

[στ´. Περὶ θρίδακος.] Θρίδαξ ὑγρὸν καὶ ψυχρὸν λάχανον, οὐ μὴν ἐσχάτως γε, οὐδὲ γὰρ ἂν ἐδώδιμον ἦν, ἀλλὰ κατὰ τὴν τῶν κρηναίων ὑδάτων, ὡς ἂν εἴποι τις, μάλιστα δύναμιν ἤτοι ψυχρότητα. διὰ τοῦτο πρὸς μὲν τὰς θερμὰς φλεγμονὰς ἁρμόττει καὶ πρὸς τὰ μικρὰ καὶ κοῦφα τῶν ἐρυσιπελάτων, οὐ μὴν τοῖς γε μείζοσιν ἐπαρκεῖν ἱκανή. ἔστι δὲ καὶ ἄδιψον ἔδεσμα. τὸ δὲ σπέρμα πινόμενον ἐπέχει γονοῤῥοίας, ὅθεν καὶ τοῖς ὀνειρώττουσι δίδοται. οὕτω καὶ τὸ τῆς ἀγρίας, ἧς καὶ τὸν ὀπὸν ἀθροίζουσιν, ἄργεμά τε καὶ ἀχλὺς ἀποκαθαῖρόν τε καὶ πρὸς τὰ ἐπικαύματα, μετὰ γυναικείου γάλακτος ὑπαλειφόμενον.

[ζ´. Περὶ θύμου.] Θύμος τέμνει καὶ θερμαίνει σαφῶς, διὰ τοῦτο καὶ οὖρα καὶ καταμήνια κινεῖ καὶ ἔμβρυα κατα-

pat. Menfes ciet et foetum necat. Per fedem infufum fanguinolenta evacuans ifchiadibus prodeft. Eft enim alioqui tum fuperne tum inferne bilioforum humorum evacuatorium oxybaphi menfura epotum.

[6. *De Thridace, lactuca.*] Lactuca humidum eft frigidumque olus, non tamen extreme, fiquidem edendo non foret, verum maxime fecundum aquae, ut fic dicam, fontanae frigiditatem. Proinde ad calidas phlegmonas accommodum eft et ad parva et levia eryfipelata, non tamen majoribus fatisfacere idonea eft. Eft etiam edulium fiti adverfum. At femen potum geniturae profluvium cohibet, quamobrem etiam iis qui libidinofis fomniis vexantur datur; fic et agreftis lactucae femen, cujus colligitur fuccus, argemas et caligines expurgans, tum ad aduftiones cum lacte mulierum inungi folitus.

[7. *De Thymo.*] Thymum incidit et calefacit vehementer. Ob id et urinam et menfes provocat, foetum

σπᾷ καὶ τὰ σπλάγχνα διακαθαίρει πινομένη, ταῖς τε ἐκ θώρακος καὶ πνεύμονος ἀναγωγαῖς συναίρεται. καὶ τοίνυν ἔν τε τῷ ξηραίνειν καὶ θερμαίνειν ἐν τῇ τρίτῃ τάξει θετέον αὐτήν.

Κεφ. θ΄. [α΄. Περὶ ἰδαίας ῥίζης.] Ἰδαία ῥίζα καὶ γευομένη μέν ἐστι σφόδρα στρυφνὴ καὶ τοῖς ἔργοις δὲ πειρωμένῳ τὴν αὐτὴν ἐπιδείκνυται δύναμιν, αἱμοῤῥαγίας τε καὶ κοιλίας ῥεύματα καὶ δυσεντερίας καὶ ῥοῦν γυναικεῖον καὶ ὅσα τἆλλα τοιαῦτα θεραπεύουσα πινομένη τε καὶ ἔξωθεν ἐπιτιθεμένη.

[179] [β΄. Περὶ ἰξοῦ.] Ἰξὸς ἐκ πλείστης μὲν ἀερώδους τε καὶ ὑδατώδους οὐσίας θερμῆς, ἐλαχίστης δὲ γεώδους σύγκειται. τὸ γοῦν δριμὺ πλέον ἐστὶν ἐν αὐτῷ τοῦ πικροῦ καὶ τοίνυν καὶ τὰ ἔργα κατὰ τὴν οὐσίαν αὐτῷ. ἕλκει γὰρ ἐκ τοῦ βάθους ἰσχυρῶς ὑγρότητας, οὐ τὰς λεπτὰς μόνον, ἀλλὰ καὶ τὰς παχυτέρας, καὶ ταύτας διαχεῖ τε καὶ διαφορεῖ. ἔστι δὲ τῶν οὐκ εὐθὺς θερμαινόντων φαρμάκων, μετὰ τὴν πρώτην ἐπίθεσιν, ἀλλὰ χρόνου δεομένων ὥσπερ ἡ θαψία. τοῦτο δ' εἴρηται καὶ πρόσθεν, ὡς τοῖς θερμοῖς κατὰ

evellit, viscera potum expurgat, educendis ex thorace et pulmone confert. Itaque in calefaciendo exiccandoque in tertio ordine statuendum est.

Cap. IX. [1. *De Idaea radice.*] Idaea radix gustu admodum acerba est, ac si opere periculum facias, eandem vim praefert. Nimirum sanguinis profluvia, alvi fluxus, dysenterias, profluvium mulierum et quaecunque ejus sunt generis tum pota tum foris imposita curans.

[2. *De Ixo, visco.*] Viscum ex plurima aërea et aquea calida, paucissima terrena substantia constat. Nam acrimonia in eo amarorem excellit. Itaque etiam effectus ei secundum essentiam insunt. Siquidem valenter ex alto humores extrahit, nec eos tantum tenues, sed et crassiores, eosque diffundit ac digerit. Est autem ex eorum genere quae non protinus admota calefaciunt, sed quae tempus requirunt velut thapsia. Sed et supra hoc commonuimus

δύναμιν ὑπάρχει φαρμάκοις, ὅταν ὑγρότητα περιττωματικὴν ἔχῃ δαψιλῆ.

[γ'. Περὶ ἴου.] Ἴου τὰ φύλλα τὴν ὑδατώδη καὶ ὑπόψυχρον οὐσίαν ἐπικρατοῦσαν κέκτηται, καὶ διὰ τοῦτο καὶ καθ' ἑαυτὰ καὶ μετὰ ἀλφίτων ἐπιπλαττόμενα, τὰς θερμὰς φλεγμονὰς παρηγορεῖ. ἐπιτίθεται δὲ καὶ κατὰ τοῦ στόματος τῆς γαστρὸς ἐκκαιομένου καὶ κατ' ὀφθαλμῶν.

[δ'. Περὶ ἱππούριδος.] Ἵππουρις σιυπτικὴν μετὰ πικρότητος ἔχει ποιότητα, καὶ διὰ τοῦτο ξηραντικὴν ἰσχυρῶς τε ἅμα καὶ ἀδήκτως. τραύ(86)ματα οὖν τὰ μέγιστα καταπλαττομένη κολλᾷ, κᾂν νεῦρα διατετμημένα τύχῃ καὶ τὰς καλουμένας ἐντεροκήλας, ἀλλὰ καὶ πρὸς τὰς ἀναγωγὰς τοῦ αἵματος, καὶ πρὸς ῥοῦν τὸν γυναικεῖον καὶ μάλιστα τὸν ἐρυθρὸν, ἔτι τε δυσεντερίας καὶ τἄλλα τὰ κατὰ τὴν γαστέρα ῥεύματα, γενναῖόν ἐστι φάρμακον ἡ πόα πινομένη δι' ὕδατος ἢ οἴνου. γράφουσι δ' ὑπὲρ αὐτῆς τινες ὡς καὶ κύστεως ἰάσατό ποτε καὶ τῶν λεπτῶν ἐντέρων τραύματα ὁ χυλὸς αὐτῆς. αἱμοῤῥαγίας τε τὰς ἐκ ῥινῶν ὠφελεῖ καὶ κατὰ

inesse calidis facultate medicamentis, ubi largum continent humorem excrementitium.

[3. *De Io, viola.*] Violae folia aqueam et subfrigidam substantiam superantem possident. Proinde tum per se tum cum polenta illita calidas phlegmonas mitigant. Imponuntur et ori ventriculi aestuanti et oculis.

[4. *De hippuride, cauda equina.*] Cauda equina astringentem cum amarore qualitatem possidet, ac proinde valenter simulque citra mordacitatem exiccantem. Itaque vulnera, vel maxima illita conglutinat, etiamsi praefectos esse nervos contigerit, praeterea vocatas enterocelas glutinat. Ad haec ad sanguinis rejectionem, ad profluvium muliebre potissimum rubrum, ad dysenterias et reliquos ventris fluxus strenuum ac generosum est remedium herba ipsa, aut ex aqua, aut ex vino epota. Sunt qui de ea scriptum reliquerunt, quod nonnunquam etiam vesicae ac tenuium intestinorum vulnera sanavit. Ejus vero succus prodest etiam profluvio sanguinis prorumpenti e naribus,

τὴν γαστέρα ῥοώδη πάθη, σύν τινι τῶν αὐστηρῶν οἴνων πινόμενος καὶ δι' ὕδατος, ἂν πυρέττοντες τύχωσιν.

[ε'. Περὶ ἱππομαράθρου.] Ἱππομάραθρον. ἅμα τῷ μαράθρῳ περὶ τούτου ῥηθήσεται.

[ϛ'. Περὶ ἰσάτιδος.] Ἰσάτις ἡ μὲν ἥμερος, ᾗ οἱ βαφεῖς χρῶνται, ξηραντικῆς ἰσχυρῶς ἐστι δυνάμεως, οὐδέπω δακνούσης. ἔστι γὰρ πικρά τε ἅμα καὶ στυπτική. ταῦτά τοι καὶ τὰ μεγάλα τραύματα τῶν σκληρῶν σωμάτων κολλᾷ, κἂν ἐν ταῖς τῶν μυῶν ᾖ κεφαλαῖς, καὶ κατὰ τῶν αἱμοῤῥαγούντων ὠφελίμως ἐπιπλάττεται καὶ τοὺς οἰδηματώδεις ὄγκους θαυμαστῶς διαφορεῖ τε ἅμα καὶ προστέλλει καὶ πρὸς πάντα τὰ κακοήθη ἕλκη θαυμαστῶς ἀνθίσταται, κἂν σήπηται κἂν διαβιβρώσκηται. εἰ δέ ποτε τῆς τοῦ κάμνοντος φύσεως ἰσχυρότερος φαίνοιτο, μιγνύναι χρὴ τοῖς φύλλοις αὐτῆς λειανθεῖσιν ἢ ἄρτον ἢ κρίθινον ἄλευρον ἢ πύρινον ἢ ἄλφιτα κατὰ τὴν ἐπικρατοῦσαν ἐν ἑκάστῳ διάθεσιν. ἡ δὲ ἀγρία ἰσάτις ἔχει τι δριμὺ σαφὲς ἤδη κατά τε τὴν γεῦσιν καὶ κατὰ τὴν ἐνέργειαν, καὶ διὰ τοῦτο τῆς ἡμέρου ξηραν-

tum fluxibilibus in ventre paſſionibus ex auſterorum vinorum quopiam potus, ac ſi febre teneantur, ex aqua.

[5. *De Hippomarathro.*] Hippomarathrum. Una cum foeniculo et de ipſo diſſeremus.

[6. *De Iſatide.*] Iſatis domeſtica quidem, qua utuntur tinctores, facultatis eſt valenter exiccantis, nondum tamen mordentis, eſt enim ſimul amara atque aſtringens. Proinde magna vulnera corporum durorum glutinat, etiamſi in capitibus muſculorum fuerint, et ſanguinis profluvio laborantibus partibus utiliter illinitur. Tumores oedematodeis mirifice digerit ſimul ac reprimit, et adverſus omnia ulcera maligna mirabiliter reſiſtit, etiamſi putreſcant, etiamſi exedantur ac erodantur. Quod ſi quando quam pro laborantis natura valentior appareat, foliis ejus tritis miſcere oportebit aut panem, aut hordeaceam farinam, aut triticeam, aut polentam, pro vincente nimirum in unoquoque affectu. At iſatis ſilveſtris manifeſte jam acre quiddam tum guſtu tum actione praefert. Proinde quam domeſtica

τικωτέρα γενομένη πρὸς τὰς ὑγρὰς σηπεδόνας ἰσχυροτέρως ἀνθίσταται, τὰ δ᾽ ἄλλα τὰ προειρημένα χείρων ἐστὶν, [180] ἀμετροτέρως γὰρ ἤδη καὶ μετὰ τοῦ δάκνειν ξηραίνει. τὰ τοιαῦτα δ᾽ ἐρεθίζεται καὶ φλεγμονώδη γίνεται. διὰ δὲ τὸ ἰσχυρὸν τῆς δυνάμεως καὶ τοῖς σπληνικοῖς ὑπάρχει χρήσιμος, οὔπω τῆς ἑτέρας ὠφελούσης.

[ζ΄. Περὶ ἰσοπύρου.] Ἰσόπυρον ἢ φασίολον σπέρμα πικρὸν καὶ ὑπόστρυφνον ἔχει. ῥύπτει τοιγαροῦν καὶ τέμνει τοὺς παχεῖς χυμοὺς, μετὰ τοῦ συνάγειν καὶ σφίγγειν τὰ σώματα, καὶ διὰ τοῦτο καὶ ταῖς ἐκ θώρακος ἀναπτύσεσι συναίρεται, καὶ ἧπαρ ἐκκαθαίρει καὶ αἱμοπτυϊκοῖς οὐκ ἀντιπράττειν, ἀλλ᾽ ἔτι καὶ προσωφελεῖν πεπίστευται. διὰ γὰρ τὸ μικτὸν τῆς κράσεως ἁρμόττειν δοκεῖ καὶ πρὸς τὰ ἐναντία.

[η΄. Περὶ ἰτέας.] Ἰτέας χρήσαιτο μὲν ἄν τις καὶ τοῖς φύλλοις εἰς τραυμάτων ἐναίμων κόλλησιν, οὐ μὴν ἀλλὰ τῷ ἄνθει μάλιστ᾽ αὐτῆς ἅπαντες σχεδὸν οἱ ἰατροὶ χρῶνται πρὸς ἐμπλάστρου ξηραινούσης σκευασίαν. ἔστι γὰρ ἡ δύναμις αὐτῶν ξηραντικὴ καὶ ἄδηκτος, ἔχει δὲ καὶ στύψιν. ἔνιοι δὲ

valentius deficcans, valentius humidis etiam putredinibus obfiftit. Ad caetera vero jam comprehenfa deterior, immoderatius enim jam mordaciterque deficcat, talia autem irritantur hoc pacto et phlegmone gravari incipiunt. Caeterum ob facultatis robur lienofis quoque utilis fuerit, quum altera nondum prodeffe poffit.

[7. *De Ifopyro.*] Ifopyrum aut phafiolum femen habet amarum et fubacerbum. Extergit itaque et incidit humores craffos, cum hoc ut corpora contrahat et conftringat. Quamobrem excreationibus pectoris conducit et jecur expurgat, et fanguinem fpuentibus non eft adverfum, imo etiam juvare creditur, nam propter temperiei mixtionem contrariis etiam congruere videtur.

[8. *De itea, falice.*] Salicis foliis ad cruenti vulneris glutinationem uti poffis. Verum floribus ejus maxime prope omnes utuntur medici ad exiccantis emplaftri praeparationem, eft enim facultas eorum deficcatoria et morfus expers, habent vero etiam quandam aftrictionem. Sunt vero

καὶ χυλὸν ἐξ αὐτῶν ποιοῦντες, ἄδηκτον καὶ ξηραῖνον ἴσχουσι φάρμακον εἰς πολλὰ χρήσιμον. οὐδὲν γάρ ἐστι πολυχρηστότερον ἀδήκτου καὶ ξηραίνοντος φαρμάκου, στύφοντος ὀλίγον, ὡς κἀν τοῖς περὶ συνθέσεως τῶν φαρμάκων ἀκριβέστερον διηχθήσεται. καὶ ὁ φλοιὸς δὲ τοῦ δένδρου παραπλήσιος ὑπάρχει τῇ τε τῶν ἀνθῶν καὶ τῶν φύλλων δυνάμει, πλὴν ὅσα ξηρότερός ἐστι τὴν κρᾶσιν, ὥσπερ ἀμέλει καὶ πάντες οἱ φλοιοί. ἀλλὰ τοῦτόν γε καίουσιν ἔνιοι καὶ χρῶνται τῇ τέφρᾳ πρὸς ὅσα περ ἂν ἰσχυρῶς δέωνται ξηραίνειν. τοὺς γοῦν καλουμένους ἥλους καὶ τύλους, ἔτι τε μυρμηκίας ἐξαίρουσιν αὐτὴν δεύοντες ὄξει δριμεῖ. ἔνιοι δὲ κατὰ τὸν καιρὸν τῆς ἀνθήσεως ἐντέμνοντες τὸν φλοιὸν, ὀπὸν ἀθροίζουσί τινα καὶ χρῶνται πρὸς τὰ ταῖς κόραις ἐπισκοτοῦντα, ῥυπτικῷ τε ἅμα καὶ λεπτομερεῖ φαρμάκῳ. χρήσαιτο δ' ἄν τις καὶ εἰς ἄλλα πολλὰ τοιούτῳ γε ὄντι αὐτῷ.

etiam qui fuccum ex eis expreffum medicamentum fervent mordacitatis expers et exiccatorium, ad multas res utile. Haud enim invenias quid ad plures res utilius medicamento citra mordacitatem exiccante, quod paulum etiam aftringat, ficut in opere de medicamentorum compofitione exactius docebimus. Porro arboris cortex fimilem facultatem obtinet tum floribus tum foliis, nifi quod temperiei fit ficcioris, velut omnes cortices. Sed hunc quidam comburunt, ejusque cinere utuntur ad ea omnia quae valenter deficcare oportet. Nam clavos quos vocant, callos, myrmecias tollunt, aceto acri ipfum macerantes. Nonnulli autem dum floret falix, corticem ejus incidunt et fuccum quendam colligunt, utunturque ad ea quae pupillas offufcant extergente videlicet fimulque tenuium partium medicamento. Uti vero illo ad multa quis poffit, fiquidem talis fuerit.

